Ἰάμβλιχος· Ἐπεὶ δὲ τοῦτο χαλεπὸν ἦν, καὶ σπάνιόν τι τὸ τῆς οἰκουροῦ φυλαττούσης, καὶ ἄβρας τινὸς ἄλλης συμπαρούσης, ἀναπείθει τὴν κόρην λαθοῦσαν τοὺς γονεῖς ἀποδρᾶναι.

Ἀβραάμ· ὁ πρῶτος ἐν Πατριάρχαις· εἰς ὃν ἀπεσεμνύνετο δῆμος ὁ τῶν Ἑβραίων τὸ πρότερον, πρὶν ἢ θεοῦ ἀποσκιρτῆσαι, καὶ γένεσθαι τούτου ἀλλότριοι, καὶ τὸ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ αἷμα ἐφ᾽ ἑαυτοὺς ἐπισπάσασθαι. Οὗτος ἐκ μὲν τῆς Χαλδαίων γῆς ὑπῆρχεν ὁρμώμενος, τῶν περὶ τὰ μετέωρα καὶ τοὺς ἀστέρας τὸν βίον ὅλον καταναλισκόντων. Ἀσκηθεὶς οὖν κατὰ τὸν πάτριον νόμον τὰς τῶν ἐπουρανίων ἀστέρων κινήσεις, καὶ στοχασάμενος ὡς οὐκ ἐν τούτοις ἵσταται τὸ μεγαλουργὸν τῆς φαινομένης ταυτησὶ κτίσεως, ἀλλ᾽ ἔχει τινὰ τὸν δημιουργὸν καὶ κινοῦντα καὶ διευθύνοντα τὴν ἐναρμόνιον τῶν ἀστέρων πορείαν, καὶ τοῦ κόσμου παντὸς τὴν κατάστασιν. Καὶ διὰ τοῦ μεγέθους καὶ τῆς καλλονῆς τῶν κτισμάτων τὸν γενεσιουργὸν αὐτῶν, ὡς ἐνῆν, θεωρήσας, οὐκ ἔστη μέχρι τούτων, οὐδὲ τὴν ἔφεσιν εἰς ταῦτα κατεδαπάνησεν· ἀλλὰ τῶν οὐρανίων ἀψίδων ὑπεραρθεὶς, καὶ πᾶσαν διαβὰς τὴν νοητήν τε καὶ ὑπερκόσμιον σύμπηξιν, οὐκ ἀπέστη τοῦ ζητουμένου, ἕως οὗ ὁ ποθούμενος ἑαυτὸν αὐτῷ ἐφανέρωσε, τύποις τε καὶ μορφώμασιν, καὶ οἷς ἑαυτὸν ἐμφανίζει ὁ ἀφανὴς καὶ ἀόρατος. Καὶ μετανάστην αὐτὸν ἐκ τῆς πατρίδος λαβὼν, ἐπὶ τὴν Χανανῖτιν κατέστησε, τὸν ἐννενηκοστόν που καὶ ἔνατον ἤδη χρόνον παρέλκοντα· καὶ ἄπαιδα μέχρι τότε τυγχάνοντα, γεννήτορα τοῦ θαυμασίου καὶ μάκαρος κατέστησεν Ἰσαὰκ, ἵν᾽ ἔχοι μονογενῆ υἱὸν καὶ πρωτότοκον, τοῦ μονογενοῦς καὶ πρωτοτόκου μυστικὴν εἰκόνα προδιαγράφοντα· τοῦτο γέρας αὐτῷ κατ᾽ ἐξαίρετον χαρισάμενος, τὸ δοῦλον καὶ φίλον καὶ πατέρα χρηματίσαι τοῦ μονογενοῦς υἱοῦ κατὰ σάρκα, τοῦ τὸν κόσμον ὅλον δημιουργήσαντος. Οὗτος εὗρεν ἱερὰ γράμματα, καὶ γλῶσσαν ἐμηχανήσατο, ἧς Ἑβραίων παῖδες ἐν ἐπιστήμῃ ἐτύγχανον, ὡς ὄντες τούτου μαθηταὶ καὶ ἀπόγονοι. Ἐκ τούτου καὶ τὰ Ἑλλήνων γράμματα τὰς ἀφορμὰς ἔλαβε, κἂν ἀλ-

Idem *Sicyonio:*

Nam ancillam [*alterius*] *loco emens*
Amatam, huic quidem non dedit ſervandam,
Sed alendam ſeorſim, ut ingenuam decet.

Idem *Apiſto:*

Exiſtimabam, ſi aurum accepiſſet
Senex, ancillam emptam ſtatim
Habram futuram.

Iamblichus: *Quoniam autem illud miniſterium ædes cuſtodiendi moleſtum erat & inſolens, præſertim, cum alia ancilla una adeſſet; perſuadet puellæ, ut clam parentibus aufugiat.*

Ἀβραάμ. Abrahamus, inter Patriarchas primus: quo populus Hebræorum olim gloriabatur, priuſquam a Deo defeciſſent, atque ab eo alienati fuiſſent, & ipſius unigeniti filii ſanguinis ſe reos feciſſent. Hic oriundus erat ex terra Chaldæorum, qui totam ætatem in earum rerum, quæ in ſublimi fiunt, & ſtellarum obſervatione conſumunt. Exercitatus igitur patrio more in cœleſtium ſtellarum motibus, ſagaciter animadvertit, vim effectricem rerum conditarum & in oculos incurrentium, non in iis conſiſtere, ſed habere aliquem opificem, qui moveat & dirigat aptum illum & concinnum ſtellarum motum, & mundi totius conſtitutionem. Atque ex magnitudine, & elegantia rerum conditarum, creatorem ipſarum, quantum licuit, contemplatus, in his non ſubſtitit, neque ſuum deſiderium in his conſumpſit: ſed ſupra cœleſtes orbes evectus, & pervagatus omnem rerum conditarum compagem, quæ ſub intelligentiam cadit, mundumque ſuperat, ab eo quærendo, quem cognoſcere cupiebat, non deſtitit, donec ille, cujus deſiderio flagrabat, ſe ipſi patefecit, typis quibuſdam & imaginibus, & cæteris rationibus, quibus ille, qui cerni conſpicique nequit, ſe mortalibus patefacere ſolet. Ipſum autem ex patria tranſlatum in Chananæa collocavit, cum ætatis annum jam nonageſimum & nonum ageret: cumque ad id uſque tempus expers liberorum eſſet, ipſum admirandi & beati Iſaaci parentem effecit, ut haberet unigenitum, & primogenitum filium, qui unigeniti, & primogeniti Filii myſticam imaginem præfiguraret: idque munus ei eximium dedit, ut ſervus, & amicus, & pater, ſecundum carnem, appellaretur unigeniti Filii, qui mundum univerſum fabricavit. Hic ſacras literas invenit, & linguam excogitavit, cujus notitiam habuerunt Hebræorum filii, quod eſſent hujus diſcipuli, & poſteri. Ab hoc etiam literæ Græcorum originem duxerunt, quamvis Græci, ſe ipſos

---

[1] Σικυωνίῳ] Sic ex MSS. hanc vocem reſtituimus, cum in prioribus Edit. male legeretur Σικυωνίᾳ. Fabulam hanc *Sicyonius* Suidas etiam infra, v. Ἀγγαρεῖ, & v. Κακὴ μὲν, laudat. Portus in hoc loco interpretando graviter hallucinatus eſt, quoniam non vidit τὸ Σικυωνίῳ, uti & paulo poſt vocem Ἀπίστῳ, eſſe fabularum nomina, quæ proinde inconſiderate admodum cum reliquis Menandri verbis miſcens, haud valde gratum lectori cinnum propinat. Nos errorem iſtum ex verſione Latina ſuſtulimus, eamque textui Græco accommodavimus.

[2] Ἀπίστῳ] Hanc fabulam Menandri haud temere alibi laudatam reperies. Tacent enim de ea Scholiaſtæ Græci, tacet Athenæus, tacent reliqui Scriptores veteres, quos quidem legi, omnes. Eadem effugit diligentiam accuratiſſimi Meurſii, *Bibliothec. Attic.* L. IV. in v. *Menander*, ubi catalogum fabularum, quas Comicus iſte docuit, exhibet. Obiter hic Lectorem moneo, *Bibliothecam Atticam* Meurſii eſſe opus poſtumum, & ante paucos demum annos editum eſſe in Tomo X. *Theſauri Antiquitatum Græcarum*, qui Lugduni Batav. in lucem prodiit.

λως ἑαυτοὺς διαπαίζοντες ἀναγράφωσιν Ἕλληνες. Καὶ τούτου μαρτύριον ἡ τοῦ Ἄλφα φωνὴ τοῦ πρώτου στοιχείου καὶ ἄρχοντος, ἀπὸ τοῦ Ἄλεφ Ἑβραϊκοῦ λαβόντος τὴν ἐπίκλησιν τοῦ μακαρίου καὶ πρώτου καὶ ἀθανάτου ὀνόματος. Ἐκ τούτου καὶ τὰ ὀνείρων βιβλία ἐσφετερίσαντο Ἕλληνες. Καὶ μάρτυς Ἰωσὴφ ὁ πανθαύμαστος ὁ τούτου ἀπόγονος, ὁ τοῦ Φαραὼ τὰ ἐνύπνια ὡς ἔμελλον ἀποβήσεσθαι διηγούμενος. Τοῦτό μοι καὶ Φίλων, ἐξ Ἑβραίων Φιλόσοφος, ἐν τῷ τοῦ Πολιτικοῦ Βίῳ συνεπιμαρτυρήσει. Φίλων, περὶ οὗ ἐρρέθη, Φίλων [1] πλατωνίζει, καὶ Πλάτων φιλωνίζει.

[2] Ὅτι ἤρξατο [3] ἡ εἰδωλολατρεία ἀπὸ Σεροὺχ ἕως τῶν χρόνων Θάρα τοῦ πατρὸς Ἀβραάμ. ὃς Ἀβραὰμ ὑπάρχων ἐτῶν ιδʹ, καὶ θεογνωσίας ἀξιωθεὶς, ἐνουθέτει τὸν πατέρα αὐτοῦ, λέγων· τί πλανᾷς τοὺς ἀνθρώπους διὰ κέρδος ἐπιζήμιον (τουτέστι, τὰ εἴδωλα); οὐκ ἔστιν ἄλλος θεὸς, εἰ μὴ ὁ ἐν τοῖς οὐρανοῖς, ὁ καὶ πάντα τὸν κόσμον δημιουργήσας. Ὁρῶν γὰρ τοὺς ἀνθρώπους κτισματολατρεύοντας, διήρχετο διαπονούμενος, καὶ τὸν ὄντως ὄντα θεὸν ἐκζητῶν ἐκ φιλοθέου καρδίας. [4] Ὁρῶν δὲ τὸν οὐρανὸν ποτὲ μὲν λαμπρὸν, ποτὲ δὲ σκοτεινὸν, ἔλεγεν ἐν ἑαυτῷ, οὐκ ἔστιν οὗτος θεός. Ὁμοίως καὶ τὸν ἥλιον, καὶ τὴν σελήνην, τὸν μὲν ἀποκρυπτόμενον καὶ ἀμαυρούμενον· τὴν δὲ φθίνουσαν καὶ ἀπολήγουσαν, ἔφησεν, οὐδ' οὗτοι εἰσὶ θεοί. Καὶ μέν τοι καὶ [5] τὴν τῶν ἀστέρων κίνησιν, ἐκ τοῦ πατρὸς γὰρ ἐπαιδεύετο τὴν ἀστρονομίαν, ἀπορῶν ἐδυσχέραινεν. Ὤφθη δὲ αὐτῷ θεὸς, καὶ λέγει αὐτῷ· Ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου. Καὶ λαβὼν τὰ εἴδωλα τοῦ πατρὸς, καὶ τὰ μὲν κλάσας, τὰ δὲ ἐμπυρίσας, ἀνεχώρησε μετὰ τοῦ πατρὸς ἐκ γῆς Χαλδαίων· καὶ ἐλθόντων εἰς Χαῤῥὰν, ἐτελεύτησεν ὁ πατὴρ αὐτοῦ. Καὶ ἐξελθὼν ἐκεῖθεν ἐν λόγῳ Κυρίου ἦλθε σὺν τῇ γυναικὶ Σάῤῥᾳ, καὶ τῷ ἀνεψιῷ Λὼτ, μετὰ πάσης αὐτῶν τῆς ἀποσκευῆς εἰς τὴν ὀφειλομένην γῆν Χαναὰν, ἣν οἱ Χαναναῖοι τυραννικῶς ἀφελόμενοι ᾤκησαν. Λιμοῦ δὲ γενομένου καταλιπὼν τὴν Χαναναίων γῆν εἰς Αἴγυπτον ἀπῄει, οὗ καὶ γυναῖκα Σάῤῥαν [6] Ἀβιμέλεχ ἥρπασεν ὁ βασιλεύς. Τοῦτον ὁ θεὸς ἐκδειματώσας, καὶ πάρεσιν τῶν μελῶν ἐπάξας, ἀπόδος, ἔφη, τῷ

illudentes, aliter hac de re ſcribant. Hujus vero rei teſtimonium eſt appellatio τοῦ Ἄλφα, primæ & principis literæ, ab Aleph Hebraico, beato illo & primo & immortali nomine ſuum nomen ſortitæ. Ab hoc etiam ſomniorum libros acceptos Græci ſibi vendicarunt. Teſtis eſt Joſephus ille maxime admirandus, hujus pronepos, qui Pharaonis inſomnia ſic expoſuit, ut erant eventura. Hoc autem & Philo, Hebræus Philoſophus, in *Viri Politici Vita* ſuo teſtimonio confirmabit: Philo inquam, de quo dictum eſt, *aut Philo platoniſſat, aut Plato philoniſſat.*

Imaginum cultus cœpit a Serucho, & viguit uſque ad tempora Tharæ, patris Abrahami; qui Abrahamus, natus quatuordecim annos, & Dei cognitione prædítus, ſuum patrem admonuit his verbis: *Quid ſeducis homines ob lucrum pernicioſum*, (hoc eſt, ob imagines)? *Non eſt alius Deus, niſi ille, qui in cœlis eſt, & univerſum mundum fabricavit.* Cum enim videret homines res creatas colere, magno labore & animo religioſo verum Deum exquirens varias regiones peragrabat. Cum autem videret cœlum, modo quidem ſerenum, modo vero nubilum & obſcurum, in animo ſuo dixit, *hoc cœlum non eſt Deus.* Similiter etiam, cum Solem & Lunam, illum quidem occultari & obſcurari; hanc vero deficere & deſinere cerneret, dixit, *ne iſti quidem ſunt Dii.* Quinetiam aſtrorum motum conſiderans (a patre enim aſtronomiam edocebatur) animo dubitans moleſtia quadam affici cœpit. Apparuit autem ipſi Deus, & ipſi dixit: Exi ex tua terra & ex cognatione tua. Quamobrem correptis patris ſimulacris, iiſque partim fractis, partim crematis, ex Chaldæorum terra cum patre exceſſit. Cum autem Charram perveniſſent, ipſius pater obiit. Illinc autem Domini juſſu egreſſus cum uxore Sara, & conſobrino Loto, & omni ipſorum ſupellectile in Chananæam terram ſibi debitam pervenit, quam Chananæi per vim occupatam incolebant. Exorta autem fame, relicta Chananæorum terra, in Ægyptum abiit, ubi etiam Abimelechus Rex Saram ejus uxorem rapuit. Huic autem Deus, terrore injecto, & membrorum laxatione in corpus inducta, *Redde* (inquit) *huic*

---

[1] Φίλων πλατωνίζει] Photius Cod. CV. ubi de Philone agit: Τοσοῦτον δ' αὐτὸν τοῖς Ἑλληνισταῖς παρασχεῖν θαῦμα τῆς ἐν τοῖς λόγοις δυνάμεως, ὡς καὶ λέγειν αὐτούς· ἢ Πλάτων φιλωνίζει, ἢ Φίλων πλατωνίζει. i. e. *Græcos facultate dicendi adeo in admirationem ſui rapuit, ut dicerent: Aut Plato philonizat, aut Philo platonizat.* Vide etiam Suid. infr. v. Φίλων.

[2] Ὅτι ἤρξατο ἡ εἰδωλ.] Hic incipit nova de Abrahamo Ecloge, a ſuperioribus omnino diſtinguenda, quam proinde Portus & Wolfius male cum periodo præcedenti connectendam putarunt, locumque hunc ita verterunt, quaſi cœpta ante de Philone oratio, abſque ulla interruptione, etiam in ſequentibus continuaretur; quod eſt omnino falſum. Ne ergo Lector in eundem errorem incideret, nos Eclogam hanc a præcedentibus manifeſto ſeparavimus, & a capite lineæ, ut vocant, imprimendam curavimus.

[3] Ἡ εἰδωλ. ἀπὸ Σερούχ] Suffragatur Anonymo huic Johan. Antiochenus in Excerpt. Peireſc. p. 778. ubi hæc leguntur: Ὅτι ἡ εἰδωλολατρεία ἤρξατο ἀπὸ Σερούχ τινος, καταγομένου ἐκ τῆς φυλῆς τοῦ Ἰαφεθ, δογματίσαντος, εἰκόσι καὶ ἀνδριᾶσι τιμᾶσθαι τοὺς πάλαι ἀριστεύσαντας. i. e. *Idolorum cultus auctor fuiſſe dicitur Seruch quidam, ex poſteris Japhet, qui primus decrevit, ut, qui olim res præclare geſſiſſent, imaginibus ac ſtatuis honorarentur.* Vide etiam Suidam, v. Σερούχ, ubi ipſiſſimum hunc locum ex Joh. Antioch. deſcripſit. Epiphanius quoque *Adverſus Hæreſ.* lib. 1. cap. 6. originem Idololatriæ ad Seruch his verbis refert: Φαλὲκ δὲ γεννᾷ τὸν Ῥαγαύ. Ῥαγαὺ, τὸν Σερούχ, τὸν ἑρμηνευόμενον ἐρεθισμόν. ἐν ᾧ ἤρξατο εἰς ἀνθρώπους ἡ εἰδωλολατρεία.

[4] Ὁρῶν δὲ τὸν οὐρανὸν] Gemina his de Abrahamo, leguntur apud Mich. Glycam. *Annal.* Part. 2. p. 131. qui tamen ſua ex Syncello deſcripſit.

[5] Τὴν τῶν ἀστέρων κίνησιν] Hic ἀπὸ κοινοῦ repetenda eſt vox ὁρῶν. quod cum non obſervaſſent Wolfius & Portus, in loco hoc interpretando longe a vero aberrarunt. Nos genuinum auctoris ſenſum in verſione expreſſimus.

[6] Ἀβιμέλεχ ἥρπασεν] Hic duæ hiſtoriæ confunduntur, ut patet ex Geneſ. cap. XII. & cap. XX. Non enim Abimelechus, qui erat Rex Gerarenſium, Saram abſtulit Abrahamo, in Ægypto degenti, ſed Pharao, ut in citato cap. XII. expreſſe traditur. Viciſſim, Abimelechus rapuit Saram tempore & loco diverſo, nimirum, cum Abrahamus Geraris eſſet, ut diſcimus ex cap. XX.

ἀνθρώπῳ τὴν γυναῖκα, ὅτι προφήτης ἐστὶ, καὶ προσεύξεται περὶ σοῦ, καὶ ζήσεις. εἰ δὲ μὴ ἀποδῷς, γνῶθι ὅτι ἀποθανῇ σὺ καὶ τὰ σὰ πάντα. Καὶ οὕτως ἀπολαβὼν τὴν γυναῖκα ἀμίαντον, καὶ προσευξάμενος, ἰαθῆναι ἐποίησε τῆς παρέσεως τὸν Ἀβιμέλεχ καὶ τὸν οἶκον αὐτοῦ. Καὶ ἔκτοτε τιμῶν αὐτὸν ὁ βασιλεὺς καὶ προσέχων ἦν τοῖς ὑπ' αὐτοῦ λεγομένοις. Διδάσκαλος οὖν ὁ Ἀβραὰμ εὐσεβείας καὶ πολυπειρίας Αἰγυπτίοις ἐγένετο. Ὁ αὐτὸς Ἄβραμ ἐπιστρέφων ἐκ τοῦ πολέμου τῆς εὐλογίας τοῦ Μελχισεδὲκ κατηξίωται, τοῦ βασιλέως Σαλὴμ, ὃς ἐξήνεγκεν αὐτῷ ἄρτους καὶ οἶνον. Ἦν δὲ καὶ ἱερεὺς τοῦ Ὑψίστου. καὶ ἔδωκεν αὐτῷ Ἄβραμ δεκάτην ἀπὸ πάντων. Ἦν δὲ ὁ Μελχισεδὲκ ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, ἀφωμοιωμένος τῷ υἱῷ τοῦ Θεοῦ. Τῷ δὲ Ἄβραμ ἀτεκνίαν ὀλοφυρομένῳ καθ' ὕπνους ἐπιδείξας ὁ Θεὸς τοὺς ἀστέρας, κατὰ τὸ πλῆθος αὐτῶν ἔσεσθαί οἱ τὸ σπέρμα προεδήλου. Ὁ δὲ ἐπίστευσε τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. Ἡ δὲ Σάρα στεῖρα οὖσα συνεχώρησεν Ἄβραμ ἀπὸ τῆς παιδίσκης παιδοποιήσασθαι· καὶ ἔσχε τὸν Ἰσμαήλ. Ἐννενήκοντα δὲ καὶ ἐννέα ἐτῶν ὄντι τῷ Ἄβραμ ἐπιφανεὶς ὁ Θεὸς Ἀβραὰμ μετωνόμασεν. Ἄβραμ γὰρ πρώην ὠνομάζετο. Ὁμοίως δὲ καὶ τὴν Σάραν Σάῤῥαν, προσθεὶς καὶ ἕτερον ρ. Καὶ περιέτεμε τὸν Ἰσμαὴλ, καὶ πάντας τοὺς ἐξ αὐτοῦ. Κύριος δὲ τῷ Ἀβραὰμ ἐπιξενωθεὶς ἐπηγγείλατο τέξεσθαι Σάῤῥαν αὐτῷ παῖδα. Ἡ δὲ, ἐμειδίασε, καὶ Ἰσαὰκ τὸ γεννηθὲν προσηγορεύθη, φερωνύμως τῷ μεθ' ἡδονῆς γέλωτι κατὰ τὴν Ἑβραΐδα διάλεκτον.

Ἀβραμιαῖος· ὁ ἀπόγονος Ἀβραάμ, ἢ Γιγαντιαῖος, ἱεροπρεπής.

[1] Ἁβρὰ βαίνων. θρυπτόμενος· [2] κολακευόμενος. Ἐκεῖνος ὄντως ἁβρὰ βαίνων ἐδόκει, ἔχων τὰς ὀφρῦς ὑπερηρμένας ἄνω.

Ἀβρανῖτις. χώρα.

Ἁβραῖς. ἁπαλαῖς. τρυφεραῖς. Αἰλιανός· [3] Ἐπὶ κλίναις μάλα ἁβραῖς, καὶ στρωμναῖς ὑφῇ τινὶ ὑπερηφάνῳ κεκοσμημέναις, ἐπιθέντας.

Ἀβρέας. ὄνομα κύριον.

Ἀβρεττανή. χώρα, ἡ λεγομένη Μυσία. ἀπὸ [4] Βρετίας Νύμφης.

Ἀβρηλία. χώρα. καὶ Ἀβρηλιανὸς, καὶ Ἀβρήλιος, ὀνόματα κύρια.

[5] Ἀβρικέστερον. τὸ ἀληθέστερον.

Ἄβρικτον· τὸ δύσκωφον, ἤτοι ἐκ μέρους ἀκοῦον.

homini ſuam uxorem, quia eſt Propheta, & pro te precabitur, & vives. Niſi vero eam ipſi reddideris, ſcito te moriturum, & tua omnia peritura. Sic igitur Abrahamus, recepta uxore impolluta, Deum precatus, effecit, ut Abimelechi, & ipſius familiæ, paralyſis ſanaretur. Ex eo autem tempore Rex ipſum honorare ejuſque verbis aures attentas præbere cœpit. Abrahamus igitur pietatis & multiplicis doctrinæ magiſter Ægyptiis extitit. Eidem Abrahamo, ex bello revertenti, benedixit Melchiſedecus, Rex Salem, qui ipſi panes & vinum obtulit. Erat autem Altiſſimi Sacerdos, eique Abrahamus decimam omnium rerum dedit. Melchiſedecus autem erat ſine patre, ſine matre, ſine generis origine, ſimilis Filio Dei. Abrahamo autem orbitatem ſuam deploranti Deus in ſomnis ſtellas oſtendens, progeniem ipſi futuram prædixit tantam, quanta eſſet illarum multitudo. Ille vero Deo credidit, & hoc ipſi in Juſtitiam eſt imputatum. Sara vero, cum eſſet ſterilis, indulſit Abrahamo, ut ex ancilla liberos ſuſciperet, ex qua natus eſt ei Iſmael. Abramo autem, nonageſimum nonum ætatis annum agenti, Deus apparens ipſum mutato nomine vocavit Abrahamum. Abramus enim prius vocabatur. Eodem etiam modo Saram, vocavit Sarram, addito altero r. Iſmaelem autem & omnes ſuos Abrahamus circumcidit. Dominus etiam ab Abrahamo exceptus hoſpitio promiſit ei, fore, ut Sarra filium ipſi pareret. Illa vero, his auditis, riſit: unde filius, ex ea natus, a *riſu* appellatus fuit Iſaac, quoniam ea vox lingua Hebraïca *ſuavem riſum* ſignificat.

Ἀβραμιαῖος. Abramiæus. Ab Abrahamo oriundus. Aut Gigantiæus. Sanctimonia præditus.

Ἁβρὰ βαίνων. Molliter & delicate vivens. Aſſentatoribus gaudens. *Ille profecto molliter vivere videbatur, habens ſupercilia valde ſubducta.*

Ἀβρανῖτις. Abranitis. Regio ſic appellata.

Ἁβραῖς. Teneris. Delicatis. Ælianus. *In lectos valde molles & ſtragula pretioſe contexta imponentes.*

Ἀβρέας. Abreas. Nomen proprium.

Ἀβρεττανή. Abrettane. Regio, quæ Myſia vocatur, a Brettia Nympha.

Ἀβρηλία. Abrelia. Regio ſic dicta. Et Abrelianus, & Abrelius, ſunt nomina propria.

Ἀβρικέστερον. Verius.

Ἄβρικτον. Surdaſtrum. Ex parte tantum audiens.

---

[1] Ἁβρὰ βαίνων] Proprie, *molliter incedens.* Hoc loco vero, *molliter vivens.* Hominum enim delicatorum & effœminatorum mollities, cum ex aliis ſignis exterioribus, tum etiam ex inceſſu apparere ſolet. Senec. Epiſt. cxiv. *Non vides, ſi animus languet, trahi membra, & pigre moveri pedes? Si ille effœminatus eſt, in ipſo inceſſu apparere mollitiem?*

[2] Κολακευόμενος] In 2 MSS. Pariſ. exaratum eſt βλακευόμενος, i. e. *inertiæ ſe dedens,* quam lectionem prætulerim vulgatæ; quamvis & ea ſenſum huic loco ſatis commodum habeat.

[3] Ἐπὶ κλίναις] Vide Suid. infra v. Ὑπερήφανος, & v. Ὕφει, ubi Fragmentum hoc repetitur.

[4] Βρετίας] Vel Βρεττίας per duplex ττ ſcribendum, ſi verum eſt ipſam regionem ab hac Nympha dictam Ἀβρεττανήν, vel in utroque nomine ſimplex τ ſcribendum videtur. Stephanus. Ἀβρεττίνη. χώρα Μυσίας, ἀπὸ Βρεττίας Νύμφης. τὸ ἐθνικὸν, Ἀβρεττηνός. Strabo lib. 12. 395. Ἀβρεττηνὴν appellat. Hæc igitur vocum, & ſcripturæ varietas eſt obſervanda. P.

[5] Ἀβρικέστερον] Forte hæc vox errore librariorum corrupta eſt ex ἀκριβέστερον.

Ἀβείξαι. τὸ ἀπὸ βορᾶς νυστάξαι, ἢ κοιμηθῆναι.

Ἀβειόειξ. ὄνομα κύριον.

Ἀβρογάστης Φράγγος. ὃς [1] κατ' ἀλκὴν σώματος καὶ θυμοῦ τραχύτητα φλογοειδὴς ἦν, δευτεραγωνιστὴς τυγχάνων Βαύδωνος. Ἄλλως τε ἦν καὶ πρὸς σωφροσύνην [2] πεπηγώς τε καὶ διηρθρωμένος, καὶ πρὸς χρήματα πόλεμον πολεμῶν ἄσπονδον. Διέφερε γοῦν τῶν εὐτελῶν στρατιωτῶν ὅσον γε εἰς πλοῦτον οὐδέν. καὶ διὰ τοῦτο ἐδόκει τῷ Βασιλεῖ Θεοδοσίῳ χρήσιμος, ὅς τε πρὸς τὸν Οὐαλεντινιανοῦ τρόπον ἀῤῥενωπὸν ὄντα καὶ δίκαιον, καὶ τὸ παρ' ἑαυτοῦ βάρος ἐπετίθει, καθάπερ ὀρθὸν καὶ ἀστραβῆ τινα [3] κανόνα τοῖς βασιλείοις, πρὸς τὸ μηδὲν τῶν περὶ τὴν αὐλὴν παραβλάπτεσθαι, ἢ ἁμαρτάνεσθαι.

Ἁβροδίαιτη. τρυφερὰ ζωὴ καὶ ἁπαλή. Καὶ Ἁβροδίαιτος. τρυφητὴς, τρυφερόβιος. Τοῖς δὲ Ῥωμαίοις οὐκ ἐς τὸ ἁβροδίαιτον ὁ βίος· ἄλλως δὲ ὡς φιλοπόλεμοί τέ εἰσι καὶ φερέπονοι. Σημαίνει δὲ, καὶ τὸν πλουσίως ζῶντα. Καὶ Ἁβρότητι. τρυφερότητι, ἁπαλότητι.

[4] Ἁβροκόμας. οὗτος Σατράπης ἦν Ἀρταξέρξου τοῦ Περσῶν Βασιλέως.

Ἀβρόμιος. χωρὶς οἴνου.

Ἢν ὀλοοῦ διὰ [5] καῦμα φύγω πυρὸς, εἰς ἑκατόν σοι
Ἠελίους [6] δροσερῶν πίομαι ἐκ λιβάδων,
Ἀβρόμιος καὶ ἄοινος.

Ἐν Ἐπιγράμμασι.

Ἄβρομος· [7] ὁ θορυβώδης.

Ἁβρόν. παρὰ Ἡροδότῳ καλὸν, αὔθαδες, σεμνὸν, τρυφερόν.

Ἁβρός. λαμπρός. τρυφερός. ἁπαλός. [8] Ἐν Ἐπιγράμμασι·

Ἁβρὸν ἐπιτρύζων κιθάρας ὕπερ ἕζετο τέττιξ.

Ὅμως δὲ ὁ τρυφερὸς ἐκεῖνος καὶ ἁβρὸς, καὶ ὑπὸ μαλακίας τοῦ σώματος [9] καταγὼς καὶ [10] λελυγισμένος, καὶ [11] τάς τε κόμας ἀναδούμενος, ὥσπερ αἱ τῶν ἑταιρίδων ἀσελγέστεραι, καὶ ἁβροσταγὲς ἔχων ἀεὶ τὸ μέτωπον καὶ τοὺς βοστρύχους, λαβὼν χρυσίον ἐκ τῶν κοινῶν συμφορῶν, ὅσον ἱκανὸν ἦν ἐμπλῆσαι καὶ τὸν ἐκ μύθου Μίδαν, εἰσέῤῥει πρὸς τὸν Βασιλέα.

Ἀβείξαι. A cibo dormitare, vel dormire.

Ἀβειόειξ. Nomen proprium.

Ἀβρογάστης Φράγγος. Abrogaſtus Francus, robore corporis ferox, & animi iracundia flammæ ſimilis, ſecundas a Baudone partes agebat: cæteroqui temperantiæ & vitæ moderatæ deditiſſimus, & bellum irreconciliabile cum pecunia gerens. Quamobrem a gregariis militibus, quod ad divitias attinet, nihil differebat: eandemque ob cauſam Cæſari Theodoſio videbatur utilis, quippe qui ad Valentiniani mores viriles & juſtos ſuum quoque adjungebat pondus, tanquam rectam & accuratam Regiæ normam, ne quid in aula peccaretur, vel res ejus detrimenti quicquam caperent.

Ἁβροδίαιτη. Mollis & delicata vita. Et ἁβροδίαιτος. Delicatus. Molliter vivens. *Romani vero non ſunt aſſueti molliter vivere, utpote bellicoſi & laborum patientes.* Significat etiam Ἁβροδίαιτος eum, qui more divitum ſplendide vivit. Et ἁβρότητι. Mollitie. Deliciis.

Ἁβροκόμας. Abrocomas. Hic Satrapa fuit Artaxerxis Perſarum Regis.

Ἀβρόμιος. Sine vino.

Si pernitioſi æſtum ignis effugero, per centum
Dies roſcidis bibam ex fontibus
A vino abſtinens.

Sunt verba Epigrammatis.

Ἄβρομος. Tumultuoſus.

Ἁβρόν. Apud Herodotum ſignificat pulchrum, arrogans, gravitatem præ ſe ferens, delicatum.

Ἁβρός. Splendidus, Mollis, Delicatus. In Epigrammate:

Suaviter ſtridens ſupra citharam ſedebat cicada.

Verumtamen ille mollis, & delicatus, & præ corporis mollitie fractus, & viminis inſtar flexilis, & comas coronis ornans, ut laſciviores meretriculæ, & faciem cincinnoſque pretioſis unguentis perfuſos ſemper habens, auro ex communibus calamitatibus collecto, quantum ſufficeret ad explendum vel illum fabulis celebrem Midam, ad Regem ingreſſus eſt.

---

[1] Κατὰ ἀλκὴν σώματος] Euſtath. ad Il. E. p. 513. locum hunc de Abrogaſto (quem Ἀβρογάστην vocat) ex Suida, ut opinor, (nomen enim ejus ibi reticet) αὐτολεξεὶ deſcripſit.

[2] Πεπηγὼς καὶ διηρθρωμένος] Proprie, *temperantiæ affixus & ei firmiter junctus.* Διαρθρῶσαι enim apud Medicorum filios dicitur de articulatione & junctura partium corporis humani; & ὀστᾶ διηρθρωμένα Galenus vocat oſſa in corpore humano ſibi invicem juncta & cohærentia.

[3] Κανόνα] Hanc lectionem ex 2. MSS. Pariſ. revocavi. Ante enim legebatur κίονα, *columnam.*

[4] Ἁβροκόμας] Ex Harpocratione: ubi vide Mauſſacum.

[5] Καῦμα] In prioribus Edit. peſſime legitur κῦμα, i. e. *fluctus*; quam vocem Portus loci hujus ſenſui fruſtra accommodare conatus eſt. Καῦμα recte legitur in *Antholog. Epigramm.* lib. 11. cap. 34. unde hæc Suidas deprompſit. Loquitur autem Epigramma iſtud de anu temulenta & merobiba, quæ, cum vehementi febre laboraret, Jovi ſe hoc voto obſtrinxit, ſe, ſi a febri iſta liberaretur (id enim ſibi volunt verba iſta, *ſi pernitioſi æſtum ignis effugero*: nam febris ſæpe ab Hippocrate πῦρ vocatur) per centum *Soles*, id eſt, dies, aquam meram, loco vini, bibituram eſſe. Cæterum in Anthol. minus recte legitur διάκαυμα, una voce, cum præpoſitio διὰ referenda ſit ad ſequentem vocem φύγω, quoniam nihil frequentius eſt apud Poetas, quam præpoſitiones per tmeſin a verbis ſuis ſeparari.

[6] Δροσερῶν πίομαι] Verti, *Roſcidis bibam ex fontibus*; i. e. rore plenis. Ros autem hic Poetice pro quavis aqua accipitur.

[7] Ὁ θορυβώδης] Heſychius contra, χωρὶς βρόμου, ἢ ἄνευ θορύβου. Etymologus tamen cum Suida conſentit. *Pearſ.*

[8] Ἐν Ἐπιγράμμασι] Antholog. lib. VI. cap. 16.

[9] Καταγὼς] Homines molles & effœminati a Græcis dicuntur καταγότες, i. e. *fracti.* Heſychius. Ἰωνικόν. τρυφερόν, ἢ ἐπὶ τοῦ καταγότος καὶ θηλυκοῦ.

[10] Λελυγισμένος] Puto me ſenſum in verſione expreſſiſſe. Hominum enim delicatorum & σκιατραφῶν corpus ſolet eſſe fractum quaſi, & in omnes partes flexile, utpote tenerum & molle; contra viri fortes & laboribus innutriti dicuntur eſſe corpore firmo, duro & ſolido. In editione Baſileenſi & Genevenſi pro λελυγισμένος male legitur λελογισμένος, quod Portus recte quidem in λελυγισμένος mutandum eſſe vidit, ſed infeliciter admodum interpretatus eſt. Τὸ λυγίζω enim non ſolum ſignificat *ligo, vincio*; ſed etiam, teſtibus Grammaticis, κάμπτω, στρέφω, i. e. *flecto, torqueo, verto*, quæ ſignificatio huic loco convenit.

[11] Τάς τε κόμας ἀναδούμενος] Hæc repetuntur infra v. Ἀναδούμενος, ubi pro ἁβροσταγὲς, melius, ut puto, legitur, μυροσταγὲς, i. e. *unguentis madens.*

Ἁβρὸς λειμών. [1] καινότερος καὶ εὐθαλής. Πάντας δὲ ὡς ἁβρότατά τε καὶ ἅμα εἰς ἔκπληξιν [2] κατὰ πλοῦτον, τόγε δὴ πλοῦτον θαυμάζοντι, ἐσταλμένους.

[3] Ἄβρος, παροξυτόνως. ἔθνος περὶ τῷ Ἀδρίᾳ.

Ἁβροσύνη. φαιδρότης.

Ἀβροτάζω. ἁμαρτάνω.

Ἁβρότερον. Ἀλλ' ἁβρότερον αὐτῶν εἶχον, καὶ [4] Συβάρειδος μεστοὶ ἦσαν.

[5] Ἀβρότη. ἡ νύξ. παρὰ τὸ ἐστερῆσθαι βροτῶν.

Ἀβροτήμων. ἁμαρτωλός.

Ἄβροτον. ἄψυχον, ἀναίσθητον.

Ἀβρότονον. εἶδος βοτάνης θαμνώδους. ἔστι δὲ πικρότατον, [6] θερμαῖνον καὶ ξηραῖνον κατὰ τὴν τρίτην ἀπόστασιν· [7] διαφορικῆς τε καὶ τμητικῆς ὑπάρχον δυνάμεως. Ἀναλειβόμενον δὲ σὺν ἐλαίῳ δι' ὅλου τοῦ σώματος τὰ κατὰ περίοδον ῥίγη ὑγιάζει, καὶ τὸ κεκαυμένον μᾶλλον τοῦ ἀκαύστου. ἀλωπεκίας ἰᾶται, σύν τινι τῶν λεπτομερῶν ἐλαίων.

Ἁβροχίτων. τρυφερὰ φορῶν.

Ἄβρων. Φρύξ, ἢ Ῥόδιος· Γραμματικὸς, μαθητὴς Τρύφωνος, σοφιστεύσας ἐν Ῥώμῃ. [8] γεγονὼς δὲ ἐκ δούλων, ὡς φησιν [9] Ἕρμιππος.

Ἄβρωνος βίος. ἐπὶ πολυτελῶν. Ἄβρων γὰρ παρ' Ἀργείοις ἐγένετο πλούσιος. Ἢ καὶ ἀπὸ ἁβροῦ. Καὶ Ἁβρώνειος.

Ἁβρύνεται. κοσμεῖται, θρύπτεται, καυχᾶται.

[10] Ἀβυδηνὸν ἐπιφόρημα. Ὅταν ἀκαίρως ἐπιφανέντος τινὸς ἀηδία τις ᾖ, εἰώθαμεν λέγειν Ἀβυδηνὸν ἐπιφόρημα. διὰ τὸ τοὺς Ἀβυδηνοὺς, ὅταν τινὰ τῶν πολιτῶν ἢ ξένων ἑστιῶσι, [11] μετὰ τὸ μύρον καὶ τοὺς στεφάνους, τὰ παιδία περιφέρειν φιληθησόμενα. Τῶν τε τιθηνῶν θορυβουσῶν, τῶν τε παιδίων κεκραγότων, ἐνοχλεῖσθαι τοὺς παρόντας. ἀφ' οὗ εἴθισται λέγειν τὸ προκείμενον.

Ἄβυδος. πόλις. ἐπὶ συκοφάντου τάττεται ἡ λέξις, διὰ τὸ δοκεῖν συκοφάντας εἶναι τοὺς Ἀβυδηνούς. Καὶ ἐπίρρημα, Ἀβυδόθι, ἐν Ἀβύδῳ. Καὶ [12] Ἄβυδον φλυα-

Ἁβρὸς λειμών. Pratum molle & virens. *Omnes autem ſplendidiſſime & ad admirationem uſque, ſaltem illius, qui divitem cultum miratur, veſtitos.*

Ἄβρος. Habri, cum accentu in priore ſyllaba. Gens juxta Adriam.

Ἁβροσύνη. Splendor. Nitor.

Ἀβροτάζω. Aberro.

Ἁβρότερον. *Sed delicatius ipſis vivebant, & lautioribus epulis pleni erant.*

Ἀβρότη. Nox. Sic dicta, quod careat hominibus.

Ἀβροτήμων. Peccator.

Ἄβροτον. Inanimum. Senſu carens.

Ἀβρότονον. Abrotonum, genus herbæ fruticoſæ. Eſt autem amariſſimum, calefaciens, & ſiccans in tertio gradu, diſcutiendi, & incidendi vim habens. Tritum vero mixtumque cum oleo, periodicos algores per totum corpus ſanat, & quidem uſtum magis, quam non uſtum. Alopeciis medetur, ſi adhibeatur cum aliquo oleo, tenuioribus partibus conſtante.

Ἁβροχίτων. Molles, ſive pretioſas veſtes geſtans.

Ἄβρων. Abron, Phryx, aut Rhodius. Grammaticus, Tryphonis diſcipulus, qui Romæ Rhetorica præcepta docuit, ex ſervitute manumiſſus ut ait Hermippus.

Ἄβρωνος βίος. Abronis vita. De ſumptuoſis dicitur. Abron enim quidam apud Argivos dives fuit. Vel etiam hoc deduci poteſt a voce ἁβροῦ. Dicitur etiam Ἁβρώνειος.

Ἁβρύνεται. Ornatur, Deliciis indulget, Gloriatur.

Ἀβυδηνὸν ἐπιφόρημα. Abydena bellaria. Cum ex alicujus intempeſtivo interventu moleſtia aliqua nobis oboritur, dicere conſuevimus, *Abydena bellaria*. Nam Abydeni, quum aliquem civem aut peregrinum excipiunt convivio, poſt unguentum & coronas illatas, pueros oſculandos circumferunt. Nutricibus vero tumultuantibus, & pueris vociferantibus, præſentes moleſtia afficiuntur: unde proverbium hoc originem duxit.

Ἄβυδος. Abydus. Urbs. Hoc vocabulum pro *Sycophanta* ponitur, quod Abydeni tales eſſe crederentur. Et adverbium Ἀβυδόθι, in ρίαν, τὴν πολλήν. καὶ Ἀβυδηνὸς, ὁ ἀπὸ Ἀβύδου.

---

[1] Καινότερος] Vocem hanc ſuſpectam habeo, quare eam in verſione non expreſſi.

[2] Κατὰ πλοῦτον] Hæc puto eſſe ſupervacanea, præſertim cum tribus vocibus interjectis τὸ πλοῦτον iteretur.

[3] Ἄβρος παροξυτ.] Lege Ἄβροι. Vide Ethnicographum h. v.

[4] Συβάρειδος] Verti, *lautioribus epulis*, ſecutus auctoritatem Heſychii, qui Σύβαριν, πολυτελῆ τροφὴν interpretatur.

[5] Ἀβρότη. ἡ νύξ] Sic noctem vocat Homerus, Il. Ξ. 78. ubi vide Scholiaſtam.

[6] Θερμαῖνον] Hæc ſumpta ſunt ex Paulo Ægineta, lib. III. c. 7. ut Pearſonius ad marginem Suidæ ſui recte obſervaverat. Eadem autem deſunt in MSS. Pariſ. ut fere omnia alia loca, quæ in vulgatis Edit. Suidæ, ex illo ſcriptore tranſlata, hodie leguntur.

[7] Διαφορικῆς] Si codex mendo caret, jam τὸ διαφορικὸν idem eſt, ac τὸ διαφορητικὸν, quod a Medicis paſſim uſurpatur. Διαφορητικὰ φάρμακα, medicamenta diſcuſſoria, quæ diſcutiendi vim habent. Διαφορητικὴ δύναμις, diſcuſſoria vis, quæ vapores, flatus, humores, ac tumores diſcutere ac diſſipare poteſt. Conſule Oeconomiam Hippocratis. Ἀπόστασιν vero vocant Græci Medici, quum de medicamentorum viribus & facultatibus verba faciunt, quod Latini Medici gradum appellant, ut, quum dicunt primo, ſecundo, tertio gradu calidum, vel frigidum, &c. P.

[8] Γεγονὼς δὲ ἐκ δούλων] Senſus eſt ambiguus. Poteſt enim verti, *ex ſervis parentibus procreatus*, ut a Porto factum: vel, ut a nobis, *ex ſervitute manumiſſus*. Ἐκ δούλων enim, ſive ἀπὸ δούλων apud Græcos dicitur, qui ante ſervus fuit, uti ἀπὸ βασιλέων, Exrex; ἀπὸ ἐπάρχων, Expræfectus, ſive Præfectura functus.

[9] Ἕρμιππος] Scripſerat is enim περὶ τῶν διαπρεψάντων ἐν παιδείᾳ δούλων, i. e. *de ſervis qui eruditione clari fuerunt*, cujus operis librum ſecundum laudat Suidas v. Ἴστρος.

[10] Ἀβυδηνὸν ἐπιφόρημα] Vide de hoc proverbio Zenobium & Diogenianum; item Athen. L. XIV. c. XI. & ibi Caſaub.

[11] Μετὰ τὸ μύρον] Id eſt, finito convivio, ſive, ut Zenobius, idem adagium exponens, ait, μετὰ τὸ δεῖπνον. Solebant enim veteres in conviviis, menſis remotis, caput demum coronis redimire, & unguentis ſeſe perfundere: quod vel ex Athenæo patet, qui convivium Dipnoſophiſtarum ordine deſcribens, ultimo operis ſui libro, quo τὰ μετὰ τὸ δεῖπνον ἐπιτελούμενα complexus eſt, de coronis & unguentis demum agit.

[12] Ἄβυδον φλυαρίαν] Hoc figurate dictum, pro τὴν Ἀβυδηνῶν ἢ τὴν Ἀβυδηνὴν φλυαρίαν. De Abydo, & proverbiis inde natis, conſule Dionyſium de *Situ Orbis* pag. 73. & 74. ubi Euſtathius verba facit de hoc verſu,

Σηστὸς ὅπη καὶ Ἄβυδος ἐναντίον ὅρμον ἔθεντο. P.

[1] Ἀβυδὼν, Ἀβυδῶνος. χωρίον Μακεδονίας. ὡς Στράβων.

Τηλόθεν ἐξ Ἀβυδῶνος ἀπ᾽ Ἀξίου εὐρὺ ῥέοντος.

Ἀβύρβηλον. ἀναίσχυντον, ἀπεχθές. καὶ Ἀβύρβηλος, ὁ πολὺς, ὁ μέγας, ἢ ὁ κατακορής. Λέγεται καὶ Ἀβέρβηλος, ὡς καὶ περὶ ὀλίγου γέγραπται, ὁ ἀκατάστατος.

Ἀβυρτάκη. ὑπότριμμα βαρβαρικὸν, κατασκευαζόμενον διὰ πράσων καὶ καρδάμων καὶ ῥοιᾶς κόκκων, καὶ ἑτέρων τοιούτων. δριμὺ δηλονότι. [2] Θεόπομπος Θησεῖ·

Ἥξει δὲ Μήδων γαῖαν, ἔνθα καρδάμων
Πλεῖστον ποιεῖται, καὶ πράσων ἀβυρτάκη.

Ἔστι δὲ ἐν [3] Κεκρυφάλῳ Μενάνδρου τοὔνομα.

Ἄβυσσος. ([4] ἣν οὐδὲ βυθὸς χωρῆσαι δύναται· Ἴωνες δὲ τὸν βυθὸν, βυσσόν φασιν. Ὅθεν δοκεῖ λέγεσθαι καὶ βυσσοδομεύειν) παρὰ τὸ δύω, τὸ ὑπέρχομαι, κατὰ τροπὴν βύω, βύσσω, βέβυσμαι, βυσσὸς, καὶ ἄβυσσος, ὃ οὐδεὶς εἰσέρχεται, διὰ τὸ βάθος. [5] Ἀριστοφάνης Βατράχοις·

Εὐθὺς γὰρ ἐπὶ λίμνην ἥξεις μεγάλην πάνυ
Ἄβυσσον.

Καὶ οὐδετέρως φησὶν ὁ αὐτός· [6] Ἕως ἂν ᾖ τὸ ἀργύριον τὸ ἄβυσσον παρὰ τῇ θεῷ, οὐκ εἰρηνεύσουσιν. ἐν γὰρ τῇ ἀκροπόλει [7] χίλια τάλαντα ἀπέκειτο.

[8] Ἄβυσσον καλεῖ τὴν ὑγρὰν οὐσίαν ἡ θεία γραφή. ἐπεὶ γοῦν ἡ γῆ πανταχόθεν ὕδασι περιέχεται μεγάλοις καὶ μικροῖς πελάγεσι, εἰκότως ἄβυσσον περιβόλαιον αὐτῆς εἴρηκεν ὁ Δαβίδ. Καὶ, Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται, ὁ αὐτὸς προφήτης φησίν· τὰ στρατιωτικὰ λέγων τάγματα, καὶ τὴν τοῦ πλήθους ὑπερβολὴν τροπικῶς. Ὡς ἐν ἀβύσσῳ τινὶ ὑποβρύχιος ἐγενόμην. Ἄβυσσος οὖν, ὑδάτων πλῆθος πολύ.

urbe Abydo. Et Abydenam nugacitatem, i. e. magnam. Et Abydenus, qui eſt ex urbe Abydo.

Ἀβυδὼν, Ἀβυδῶνος. Abydon, Abydonis. Locus Macedoniæ, ut Strabo ſcribit.

Procul ex Abydone, ab Axio late fluente.

Ἀβύρβηλον. Impudens, Inviſum. Et Ἀβύρβηλος, multus, magnus, ſatietatem afferens. Ἀβέρβηλος etiam (ut paulo ante dictum eſt) Inſtabilis vocatur.

Ἀβυρτάκη. Abyrtace. Barbaricum eſt intritum, confectum ex porris, & naſturtio, & mali punici granis, & aliis hujuſmodi rebus: unde acre eſt. Theopompus *Theſeo*:

Veniet autem Medorum in terram, ubi ex naſturtiis
Plurimis & porris abyrtace conficitur.

Hoc autem nomen in Menandri *Cecryphalo* quoque legitur.

Ἄβυσσος. Abyſſus, (quam ne profunditas quidem capere poteſt. Iones enim pro βυθὸν dicunt βυσσόν: unde etiam dicta videtur vox βυσσοδομεύειν, i. e. alte in animo verſare) a δύνω, ſubeo: unde per mutationem quandam fit βύω, βύσσω, βέβυσμαι, βυσσὸς, & ἄβυσσος, quam nemo, propter profunditatem, ingredi poteſt. Ariſtophanes *Ranis*:

Statim enim ad paludem magnam venies,
Et valde profundam.

Idem etiam neutro genere [ἄβυσσον] dixit. *Quamdiu immenſa illa pecunia apud Deam recondita erit, non ſane pacate vivent. Nam in arce mille talenta repoſita erant.*

Ἄβυσσον καλεῖ. Abyſſum Sacra Scriptura vocat ſubſtantiam aqueam. Quia autem terra undique circumdatur aquis, magniſque & parvis maribus, ideo jure David Abyſſum vocavit terræ amictum. Idem etiam Propheta dicit, *Abyſſus Abyſſum invocat*: ſic nimirum exercitus militum, & ingentem multitudinem, tropice vocans. Ut in Abyſſo quadam ſubmerſus fui. Abyſſus igitur, aquarum magna copia vocatur.

---

[1] Ἀβυδὼν, Ἀβυδῶνος] Strabo nullam Ἀβυδῶνος mentionem facit. In iis tamen, quæ ex ſeptimi libri fine ſunt excerpta, pagina 228. ex Vignonii typis, hæc ſcripta leguntur. Ἐπίκειται δὲ τῷ Ἀξιῷ ποταμῷ χωρίον, ὅπερ Ὅμηρος Ἀμυδῶνα καλεῖ. καὶ φησὶν τοὺς Παίονας ἐντεῦθεν εἰς Τροίαν ἐπικούρους ἐλθεῖν.

Τηλόθεν ἐξ Ἀμυδῶνος, ἀπ᾽ Ἀξιοῦ εὐρὺ ῥέοντος.

ubi nomen hoc fluvii Ἀξιός, Ἀξιοῦ, Ἀξιῷ, ſcribitur. At apud Homerum Iliados B. cum Euſtathii commentariis pag. 258. ſic totus locus ſcribitur, ut etiam ſcribendus videtur:

Αὐτὰρ Πυραίχμης ἄγε Παίονας ἀγκυλοτόξους,
Τηλόθεν ἐξ Ἀμυδῶνος, ἀπ᾽ Ἀξίου εὐρὺ ῥέοντος,
Ἀξίου, οὗ κάλλιστον ὕδωρ ἐπικίδναται αἴῃ. *P.* † Strabo nullam Ἀβυδῶνος mentionem facit, inquit Portus. In Excerptis quidem nullam: at in Opere pleno fecerat. Teſtis Euſtath. Il. B. 360. ubi ait: Ὡς δῆλον, ἐξ ὧν ὁ Γεωγράφος φησὶ, λέγων, ὅτι ἡ παρ᾽ Ὁμήρῳ Ἀμυδὼν, Ἀβυδὼν ὕστερον ἐκλήθη. *Pearſ.*

[2] Θεόπομπος] Locum hunc Theopompi citat etiam ex Ælio Dionyſio Euſtath. ad Odyſſ. Τ. p. 1854. 18.

[3] Κεκρυφάλῳ] Fabulam Menandri, dictam *Cecryphalus*, præter Suidam hoc loco, & infra v. Αἴρειν, laudat etiam aliquoties Athenæus.

[4] Ἣν οὐδὲ βυθὸς] Verba hæc, & quæ ſequuntur uſque ad βυσσοδομεύειν, parentheſi incluſi, quoniam ex margine in textum videntur eſſe recepta, & connexionem loci hujus dirimunt, qui ſic abſque ulla interruptione legendus eſt: Ἄβυσσος. παρὰ τὸ δύω &c. Cæterum, obſcura ſunt verba iſta, ἣν οὐδὲ βυθὸς χωρῆσαι δύναται, quorum loco non male forſan legeretur, ἧς οὐδὲ βυθὸν εὑρῆσαί τις δύναται, i. e. *cujus fundum invenire nemo poteſt*. Sed judicent peritiores.

[5] Ἀριστοφάνης Βατράχοις] Pag. 135, 136. Sequens vero locus ubinam exſtet ſic, ut a Suida ſcribitur, non recordor. In Lyſiſtrata, pag. 545. verſ. 174. legitur,

Καὶ τ᾽ ἀργύριον τὤβυσσον ᾖ παρὰ ταὶ σιῷ.

Quem locum fortaſſe Suidas intellexit. Dorice vero dictum τὤβυσσον, κατὰ κρᾶσιν ἐκ τοῦ τὸ ἄβυσσον, ἤγουν ἄπειρον. Sequentes vero voces ita more priſco ſunt ſcribendæ, ταὶ σιῶι, pro communi recentiorum Dorienſium τᾷ σιῷ, τουτέστι τῇ θεῷ. Priſci enim τὸ ι non ſubſcribebant, ſed adſcribebant. Deam vero vocat ipſam Minervam. De toto hoc loco conſule *Plutum* Ariſtophanis pag. 55, ubi Poeta ſic Carionem introducit loquentem:

Ἱδρυσόμεσθ᾽ οὖν αὐτίκ᾽, ἀλλὰ περίμενε,
Τὸν Πλοῦτον, οὗπερ πρότερον ἦν ἱδρυμένος,
Τὸν ὀπισθόδομον ἀεὶ φυλάττων τῆς θεοῦ.

Græca Scholia. Τὸν ὀπισθόδομον.] ὀπίσω τοῦ νεὼ διπλοῦς τοῖχος τῆς καλουμένης Πολιάδος Ἀθηνᾶς, ἔχων θύραν, ὅπου ἦν θησαυροφυλάκιον· ἐπειδὴ τὰ χρήματα ἐν τῷ ὀπισθοδόμῳ ἀπέκειτο, &c. *P.*

[6] Ἕως ἂν ᾖ τὸ ἀργύριον] Hæc non ſunt verba ipſius Ariſtophanis, ut Portus putavit, ſed Scholiaſtæ deperditi in Lyſiſtratam, ad hæc verba Comici, pag. 545.

Καὶ τ᾽ ἀργύριον τὤβυσσον ᾖ παρὰ ταῖ σιῶι. *Pearſ.*

[7] Χίλια τάλαντα] In arce urbis Athenarum mille talenta, inſtar ſacri theſauri, adſervabantur, quæ, lege ſancita, nefas erat delibare, vel ad ullum uſum impendere, præterquam ſi hoſtis claſſe Atticam invaſiſſet. Rem pluribus exponunt Meurſius *Cecropia*, c. 26. & Sam. Petitus *de LL. Attic.* p. 382. quorum ſcrinia compilare nolo.

[8] Ἄβυσσον καλεῖ] Hæc ex Theodoreto in Pſalmum CIII. 6. ſumpta ſunt: uti & ea, quæ paulo poſt ſequuntur, Καὶ ἄβυσσος ἄβυσσον ἐπικαλεῖται &c. ex eodem Theodor. in Pſalm. XLI. 8. Suidas deprompſit, ut Pearſonius ad hunc locum optime obſervaverat.

Ἄβυσσος. ἱερὸν ἦν τῆς Περσεφόνης, πολὺν χρυσὸν ἐκ παντὸς τοῦ χρόνου πεφυλαγμένον ἄθικτον ἔχον. ἐν ᾧ χρυσός τις ἄβυσσος, ἀόρατος τοῖς πολλοῖς κατὰ γῆς κεκρυμμένος.

Ἀγάγῃς. ὑποτακτικόν. καὶ ἀγάγωμεν.

Ἀγάζω. γενικῇ.

Ἀγαθά. ἐπὶ τῶν πρὸς ἀπόλαυσιν καὶ εὐωχίαν σιτίων καὶ ποτῶν ἐχρήσατο Ξενοφῶν τῇ λέξει. Καὶ [1]Ἀγαθὰ Κιλίκων, λείπει τὸ ἔχει. Κιλίκων δὲ ὄνομα κύριον. εὔπορος δὲ ἦν.

Ἀγάθαρχος. ὄνομα κύριον. Ἦν δὲ ζωγράφος ἐπιφανὴς, Εὐδήμου υἱὸς, τὸ δὲ γένος, Σάμιος.

Ἀγαθὴ καὶ μάζα μετ᾽ ἄρτον. ἐπὶ τῶν τὰ δευτερεῖα διδόντων, ἢ αἱρουμένων.

[2]Ἀγαθῆς Τύχης νεώς. οὐκ ἄδηλον τὸ σημαινόμενον.

Ἀγαθίας. Σχολαστικός. [3]Μυριναῖος. [4]ὁ γράψας τὴν μετὰ Προκόπιον ἱστορίαν τοῦ Καισαρέα. [5]τὰ κατὰ Βελισάριον, καὶ τὰς ἐν Ἰταλίᾳ καὶ ἐν Λιβύῃ πράξεις. τουτέστι, τὰ κατὰ Ναρσῆν ἐν Ἰταλίᾳ· καὶ τὰ ἐν [6]Λαζικῇ, καὶ Βυζαντίῳ. Οὗτος συνέταξε καὶ ἕτερα βιβλία ἔμμετρά τε, καὶ καταλογάδην· τά τε καλούμενα [7]Δαφνιακά· καὶ [8]τὸν Κύκλον τῶν νέων Ἐπιγραμμάτων, ὧν αὐτὸς συνῆξεν ἐκ τῶν κατὰ καιρὸν ποιητῶν. Συνήκμασε καὶ Παύλῳ τῷ Σιλεντιαρίῳ, καὶ [9]Μακεδονίῳ τῷ ὑπάτῳ, καὶ Τριβουνιανῷ, ἐπὶ τῶν Ἰουστινιανοῦ χρόνων.

Ἀγαθικά. τὰ σπουδαῖα.

Ἄβυσσος. Abyſſus. Ædes fuit Proſerpinæ, in qua multum auri, ab omni ævo intacti, ſervabatur: ſive in qua immenſa erat auri vis, a vulgo nunquam viſa, & ſub terra abſcondita.

Ἀγάγῃς. Duxeris. Subjunctivi modi. Et ἀγάγωμεν, Ducamus.

Ἀγάζω. Admiror. Genitivo [gaudet.]

Ἀγαθά. Xenophon hac voce uſus eſt de cibo & potu, ſive rebus, ad voluptatem conviviorum pertinentibus. Et, Ἀγαθὰ Κιλίκων, i. e. Bona Cilico; deeſt, *habet*. Cilicon vero, eſt nomen proprium viri divitis.

Ἀγάθαρχος. Agatharchus. Nomen proprium. Erat autem pictor inſignis, Eudemi filius; genere vero, Samius.

Ἀγαθὴ καὶ μάζα μετ᾽ ἄρτον. Bona etiam eſt maza poſt panem. De illis dicitur, qui deteriora dant, vel eligunt.

Ἀγαθῆς Τύχης νεώς. Bonæ Fortunæ templum. Haud obſcurum eſt, quid hoc ſignificet.

Ἀγαθίας. Agathias. Scholaſticus. Murinenſis; qui hiſtoriam ſcripſit, initio inde ſumpto, ubi deſiit Procopius Cæſareenſis (qui res a Beliſario in Italia & Libya geſtas literis mandavit) id eſt, res Narſetis in Italia; item ea, quæ in Lazica, & Byzantii geſta ſunt. Idem etiam alios libros, partim ligata, partim ſoluta oratione, compoſuit. Ut & ea, quæ *Daphniaca* vocantur, & Corpus novorum Epigrammatum, quæ ipſe ex recentioribus Poetis collegit. Floruit autem eodem tempore, quo Paulus Silentiarius, Macedonius Conſul, & Tribonianus, ſub Juſtiniano.

Ἀγαθικά. Bona.

---

[1] Ἀγαθὰ Κιλίκων] Scribendum videtur Κιλλικῶν, ut Ξενοφῶν. Sic etiam apud Ariſtophanem ſcribendum (ut patet ex genitivo Κιλλικῶντος, ut Ξενοφῶντος) in *Pace* 446.

Οὐδὲν πονηρόν, ἀλλ᾽ ὅπερ καὶ Κιλλικῶν.

De Cillicontis proditione, & fœdo vitæ genere, ac juſtis pœnis, conſule Græca Scholia, quæ rem totam fuſe declarant. Vide & Suidam infra in Κιλίκων. & paulo poſt, in Κιλλικῶν. ubi recte vox ſcripta legitur, & Ariſtophanis verſus affertur. P.

[2] Ἀγαθῆς Τύχης] Vid. Harpocrationem hac voce.

[3] Μυριναῖος] In prioribus Edit. male legitur Σμυρναῖος; pro quo in uno MS. Pariſ. ſcriptum inveni Σμυρνιναῖος; in duobus aliis vero Μυρηναῖος, quæ, ſi τὸ η in ι mutes, vera lectio eſt. Patriam enim Agathiæ fuiſſe Myrinam, urbem Æolidis in Aſia, ipſe de ſe in Præfat. Hiſtoriæ ſuæ expreſſe teſtatur, his verbis: Ἐμοὶ Ἀγαθίας μὲν ὄνομα, ΜΥΡΙΝΗ δὲ πατρίς. Multi viri docti vulgata lectione Suidæ antea decepti, exiſtimarunt, Agathiam Smyrnæum fuiſſe, quam opinionem etiam ſecutus eſt Salmaſius ad Solinum, pag. 607. Edit. Ultraject. qui eo nomine Petavio in *Miſcellaneis Exercitationibus*, pag. 383. vapulat. Bonaventura Vulcanius initio notarum ad Agathiam, recte quidem monet, errare eos, qui Agathiam, non Myrinæum, ſed Smyrnæum fuiſſe credant; ſed, cum ipſi in mentem non veniret, τὸ Σμυρναῖος apud Suidam eſſe corruptum, in alium errorem incidit. Exiſtimat enim, vocem illam non eſſe accipiendam de patria Agathiæ, ſed ad Σχολαστικὸς referendam; & Agathiam a Suida dici Scholaſticum Smyrnæum, quod in ea urbe Scholaſticum, ſive Advocatum, egiſſet: quod etiam Voſſio in Opere *de Hiſtor. Græc.* ubi de Agathia agit, perſuaſum video. Sed cum opinio iſta ſolo hoc Suidæ loco nitatur, apparet, viros illos doctos falli, quoniam pro Σμυρναῖος, ut diximus, ſuffragantibus MSS. reponi debet Μυριναῖος, eaque vox de patria Agathiæ neceſſario accipienda eſt. Pene oblitus eram monere, in Codice etiam Vaticano, pro Σμυρναῖος, recte legi, Μυριναῖος, ut Pearſonius ad hunc locum adnotavit.

[4] Ὁ γράψας τὴν μετὰ Προκόπιον] Senſus horum verborum eſt is, quem in verſione expreſſi. Ipſe enim Agathias in fine Præfationis ad Hiſtoriam ſuam ita de ſe inquit: Καὶ Προκοπίῳ μὲν τῷ Ῥήτορι ἐν τοῖς δὲ οἶμαι αὐτῷ τὰ τῆς ξυγγραφῆς διήνυσται, καὶ ξυμπεπλήρωται. ἐγὼ δὲ εἰς τὰ ἐχόμενα τούτων, ἐφ᾽ ἅπερ καὶ τὴν ἀρχὴν ᾑρούμην ἰέναι, καὶ δὴ ἐπὶ ταῦτα εἶμι. καὶ δὴ ἔχομαι τῶν πραγμάτων. i. e. interprete Bonav. Vulcanio: *Ac Procopius quidem in his, uti arbitror, finem hiſtoriæ ſuæ facit. Ego vero his proxima, & conſequentia, ut initio mihi propoſitum fuit, perſequens, res ipſas aggredior.*

[5] Τὰ κατὰ Βελισάριον &c.] Probe novi, delicatioris ſtomachi lectores locum hunc minime concocturos eſſe: eſt enim turbatus & mutilus. Quare, cum MSS. me hic deſtituant, ex ingenio eum in integrum reſtituere conabor. Cenſeo igitur, omnia fore clara & plana, ſi, verbis nonnullis parentheſi incluſis, & addita voce συντάξαντος, totus iſte locus ad hunc modum concipiatur: Ὁ γράψας τὴν μετὰ Προκόπιον ἱστορίαν τοῦ Καισαρέως (τοῦ τὰ κατὰ Βελισάριον, καὶ τὰς ἐν Ἰταλίᾳ, καὶ ἐν Λιβύῃ πράξεις συντάξαντος) τουτέστι, τὰ κατὰ Ναρσῆν &c. Neminem puto veritatem conjecturæ meæ in dubium vocaturum eſſe. Nam niſi locus iſte ſic ſcribatur, non ſolum ſenſus ejus erit obſcurus, ſed etiam falſus. Nuſquam enim Agathias in libris hiſtoriarum ſuarum res Libycas expoſuit, uti expoſuiſſe Procopium in *Vandalicis* notiſſimum eſt. Quæ autem ſequuntur parentheſin, optime conveniunt in Agathiam, quippe qui bella Juſtiniani in Lazica contra Perſas, & in Italia, ductu Narſetis, contra Gothos geſta, in opere ſuo hiſtorico fuſe narrat. Ceterum, ſenſum loci hujus in verſione ita expreſſi, uti eum reſtituendum putavi.

[6] Λαζικῇ] i. e. Colchide. Agathias lib. II. p. 55. Οἱ δὲ Λαζοί, Κόλχοι τὸ παλαιὸν ὠνομάζοντο. i. e. *Lazi autem olim Colchi dicebantur.*

[7] Δαφνιακά] Erat hoc opus eroticum, hexametris verſibus conſcriptum, & novem libris conſtans, ut ipſe Agathias teſtatur in Epigrammate, quod exſtat Anthol. lib. VI. cap. 9.

Δαφνιακῶν βίβλων Ἀγαθίου ἐννεάς εἰμι.
  Ἀλλά μ᾽ ὁ τεκτήνας ἄνθετό σοι, Παφίη.
Daphniacorum Agathiæ ſumus hic libri novem.
  Sed auctor nos, tibi, o Venus, dedicavit.

Hunc locum eo lubentius attuli, quod eum a Voſſio in Opere *de Hiſtor. Græcis*, ubi de *Daphniacis* Agathiæ agit, prætermiſſum eſſe videbam.

[8] Τὸν Κύκλον τῶν νέων Ἐπιγρ.] Ante Agathiam Epigrammata varia in unum corpus collegerant Meleager, Philippus, Diogenianus, Philochorus, Polemo, & alii. Quæ hodie exſtat Anthologia Epigrammatum, a Maximo Planude, ex Meleagri, Philippi & Agathiæ Anthologiis, conflata & compilata eſt.

[9] Μακεδονίῳ] Hic eſt ille Macedonius, cujus Epigrammata non pauca hodie in Anthologia leguntur.

Ἀγαθοεργία. [1] Δαμάσκιος. Ὡς δὲ ἑνὶ λόγῳ τὸ πᾶν συλλαβεῖν, ὅπερ ἔφη ὁ Πυθαγόρας, ὁμοιότητά τινα ἔχειν τῷ θεῷ τὸν ἄνθρωπον, τοῦτο σαφῶς ἐπὶ τῶν ἔργων αὐτὸς ἐπεδείκνυτο, τὴν ἀγαθοεργὸν προθυμίαν, καὶ τὴν ἐς πάντας ἐπεκτεινομένην εὐεργεσίαν· μάλιστα μὲν [2] τὴν ἀναγωγὴν τῶν ψυχῶν ἀπὸ τῆς κάτω βεβριθούσης παντοίας κακίας. ἔπειτα καὶ τὴν σωτηρίαν τῶν σωμάτων ἐκ τῆς ἀδίκου, ἢ ἀνοσίου ταλαιπωρίας. τὸ δ' αὖ τρίτον, ἐπεμελεῖτο τῶν ἔξω πραγμάτων, ὅση δύναμις.

[3] Ἀγαθοεργοί. αἱρετοὶ κατ' ἀνδραγαθίαν ἐκ τῶν Ἐφόρων.

Ἀγαθοθέλεια. ἡ τῶν ἀγαθῶν ἐκλογή. Οὐκ ἀρκεῖ τοῖς πράγμασιν ἡ ἀγαθοθέλεια μόνον, ἀλλὰ δεῖ καὶ ῥώμης, καὶ ἐπιστρεφείας.

[4] Ἀγαθοῦ Δαίμονος. Ἔθος εἶχον οἱ παλαιοὶ μετὰ τὸ δεῖπνον πίνειν Ἀγαθοῦ Δαίμονος, ἐπιρροφοῦντες ἄκρατον, [5] καὶ τοῦτο λέγειν Ἀγαθοῦ Δαίμονος. χωρίζεσθαι δὲ μέλλοντες, Διὸς Σωτῆρος. Καὶ ἡμέραν δὲ τὴν δευτέραν τοῦ μηνὸς οὕτως ἐκάλουν. Καὶ ἐν Θήβαις δὲ ἦν Ἡρῷον Ἀγαθοῦ Δαίμονος. † Ὅτι περὶ τἀγαθοῦ βιβλίον συντάξας Ἀριστοτέλης, τὰς ἀγράφους τοῦ Πλάτωνος δόξας ἐν αὐτῷ κατατάττει. καὶ μέμνηται τοῦ συντάγματος [6] Ἀριστοτέλης ἐν τῷ πρώτῳ περὶ Ψυχῆς, ἐπονομάζων αὐτὸ περὶ Φιλοσοφίας.

[7] Ἀγαθῶν ἀγαθίδες. τάττεται ἡ παροιμία παρὰ τοῖς Κωμικοῖς ἐπὶ τῶν πολλῶν ἀγαθῶν. καὶ ἀγαθῶν θάλασσα, ἐπὶ πλήθους ἀγαθῶν. καὶ ἀγαθῶν μυρμηκιά, ἐπὶ πλήθους εὐδαιμονίας. καὶ ἀγαθῶν σωρός, ἐπὶ πλήθους ἀγαθῶν, καὶ πολλῆς εὐδαιμονίας.

Ἀγάθων. ὄνομα κύριον. ἦν δὲ Τραγικός. διεβέβλητο δὲ ἐπὶ μαλακίᾳ. [8] Ἀριστοφάνης

Ἀγάθων ποῦ ἐστιν. ἀπολιπών μ' ἀποίχεται.
Ποῖ γῆς ὁ τλήμων; ἐς μακάρων εὐωχίαν.

Οὗτος ὁ Ἀγάθων ἀγαθὸς ἦν τὸν τρόπον, [9] ποθει-

Ἀγαθοεργία. Beneficentia. Damaſcius. *Ut autem uno verbo rem omnem complectar, id, quod Pythagoras dixit, Hominem habere quandam cum Deo ſimilitudinem, id factis clare demonſtravit, nimirum prompta benefaciendi voluntate, & ad omnes ſeſe extendente benignitate; maxime ea, qua animæ a vitiis, ipſas prægravantibus, & deorſum trahentibus, ad cœleſtia revocantur: deinde ea, qua corpora ab injuſta & impia ſervitute liberantur. Tertio vero loco, externarum quoque rerum pro virili curam gerebat.*

Ἀγαθοεργοί. Agathoergi. Ob fortitudinem ab Ephoris delecti.

Ἀγαθοθέλεια. Bonorum electio. *Non ſufficit ad res gerendas meliora velle, ſed etiam opus eſt viribus & induſtria.*

Ἀγαθοῦ Δαίμονος. Boni Dei. Moris erat apud antiquos, a cœna Boni Dei poculum bibere, merum ſorbentes, atque hoc *Boni Dei* poculum vocare: cum autem eſſent diſceſſuri, JOVIS SERVATORIS bibere ſolebant. Quin etiam cujuſque menſis ſecundum diem ſic appellabant. Fuit & Thebis fanum Boni Genii. † Ariſtoteles librum *de Bono* compoſuit, in quem Platonis ſententias, ſcriptis non mandatas, retulit. Idem Ariſtoteles in primo libro *de Anima* meminit hujus operis, idque *De Philoſophia* vocat.

Ἀγαθῶν ἀγαθίδες. Bonorum glomi. Hoc proverbium apud Comicos pro copia bonorum ponitur. Et, Ἀγαθῶν θάλασσα. Mare Bonorum. De copia bonorum dicitur. Et, Ἀγαθῶν μυρμηκιά, Bonorum myrmecia: de magna felicitate dicitur. Et, Ἀγαθῶν σωρός, Bonorum cumulus: de bonorum copia & multa felicitate dicitur.

Ἀγάθων. Nomen proprium. Erat autem Tragicus, & ob mollitiem infamis. Ariſtophanes:

Agathon ubi eſt? Me derelicto abiit.
Quo terrarum ille miſer abiit? Ad beatorum convivium.

Hic Agathon bonis moribus erat præditus, νὸς τοῖς φίλοις, καὶ τὴν τράπεζαν λαμπρός. Φασὶ δὲ ὅτι καὶ Πλάτωνος Συμπόσιον ἐν ἑστιάσει αὐτοῦ γέγραπται, πολλῶν ἅμα φιλοσόφων παραχθέντων. [1] Κωμῳδοποιὸς Σωκράτους διδασκάλου. ἐκωμῳδεῖτο δὲ εἰς θηλύτητα.

---

[1] Δαμάσκιος] Hoc fragmentum procul dubio depromptum eſt ex Vita Iſidori Philoſophi, a Damaſcio olim conſcripta, ex qua Photius. Cod. CCXLII. excerpta ſatis prolixa nobis conſervavit. In illis Excerptis multa hodieque leguntur loca, quæ Suidas ſub Damaſcii nomine paſſim adducit: ſed ſunt & alia, haud pauciora, (inter quæ etiam hoc fragmentum eſt) quæ in Photio non reperias: unde dubium non eſt, Suidam integra Vita Iſidori uſum fuiſſe.

[2] Τὴν ἀναγωγὴν τῶν ψυχῶν] Hæc Philoſophiam Platonicam ſapiunt, ſecundum quam nonnullæ animæ, poſtquam e loco ſuperiore in corpora deſcendiſſent, amore craſſioris & immundæ materiæ captæ, omnibus vitiis ſeſe polluebant, deorſumque ſemper vergentes, ad cœleſtia nunquam reſpiciebant. Hæ igitur animæ, ſi ab illa ὑλικῇ προσπαθείᾳ liberarentur, & a labe, quam contraxerant, ope virtutum purgarentur, dicebantur ἀνάγεσθαι ἀπὸ τῆς κάτω βεβριθούσης παντοίας κακίας, ut Damaſcii verbis utar. Hinc patet, quare μετάνοια ab illis vocaretur φάρμακον ἀναγωγικὸν καὶ σωτήριον. quoniam nimirum notitia peccati, & pœnitentia vitæ prioris male actæ, primus ad ſalutem gradus eſt. Vide Nicephorum in Scholiis ad Syneſium, pag. 384.

[3] Ἀγαθοεργοί] Apud Spartanos *Agathoergi* vocabantur Equitum natu maximi, qui quotannis, numero quini, a reliquo Equitum corpore ſecreti, per Laconiam dimittebantur, ut diſcimus ex Herodoto, lib. 1. c. 68. p. 27. quem locum Portus hic recte obſervaverat. Vide etiam Heſych. v. Ἀγαθοεργοί. Cæterum apud Suidam pro, ἐκ τῶν Ἐφόρων, rectius legas ἐκ τῶν ἱππέων, quoniam, ut diximus, Agathoergi ex Equitibus eligebantur: vel, ſi pro ἐκ legas ὑπό, ſenſus eſſe poterit, Agathoergos ab Ephoris ex Equitum numero delectos fuiſſe.

[4] Ἀγαθοῦ Δαίμονος] De poculis apud Veteres *Boni Dei* & *Jovis Servatoris* vocatis, vide Schol. Ariſtoph. ad *Equit.* p. 293. ad *Veſp.* p. 466. ad *Pac.* p. 642. item Athen. lib. 11. *cap.* 2. p. 38. lib. xv. *cap.* 5. p. 675. & *cap.* 13. p. 692. Inde enim petant lectores velim, quæ ad loci hujus illuſtrationem faciunt. Nobis enim in his Notis brevitati ſtudendum eſt.

[5] Καὶ τοῦτο λέγειν Ἀγαθοῦ Δαίμονος] In prioribus Edit. verbis iſtis hæc ſubjuncta ſunt: ἄλλοι δέ φασι τὸ πρῶτον ποτήριον οὕτω λέγεσθαι: quæ cum non ſolum ſeriem orationis interrumpant, ſed etiam in MSS. deſint, tanquam Scholium ex textu ejicienda putavi.

[6] Ἀριστοτέλης ἐν τῷ πρώτῳ περὶ Ψυχῆς] Cap. 2. his verbis: Ὁμοίως δὲ καὶ ἐν τοῖς περὶ Φιλοσοφίας λεγομένοις διωρίσθη. ad quem locum Philoponus ait: Τὰ περὶ τἀγαθοῦ ἐπιγραφόμενα, περὶ Φιλοσοφίας λέγει. ἐν ἐκείνοις δὲ τὰς ἀγράφους συνουσίας τοῦ Πλάτωνος ἱστορεῖ ὁ Ἀριστοτέλης. ἔστι δὲ γνήσιον αὐτοῦ τὸ βιβλίον. quæ verbis Suidæ omnino ſunt conſona.

[7] Ἀγαθῶν ἀγαθίδες] De his & ſimilibus proverbiis legendi ſunt ſcriptores proverbiorum veteres, a Schotto editi; item recentiores, Michael Apoſtolius, Eraſmus, Junius, Braſſicanus & alii; qui quoniam ſunt omnibus notiſſimi & obvii, raro eos cum Suida confero: idque ideo, ne Suidam inutili & non neceſſaria notarum mole onerem, quod a Porto factum video.

[8] Ἀριστοφάνης· Ἀγάθων] Hæc ita ſunt ſcribenda, ut apud Ariſtophanem in Ranis, pag. 133. ſcribuntur.

Ἀγάθων δὲ ποῦ 'στιν; Ἀπολιπών μ' ἀποίχεται.
Ποῖ γῆς ὁ τλήμων; Ἐς μακάρων εὐωχίαν.

De Agathone ſi plura, eaque ſcitu digna ſcire cupis, conſule τὰς Ἀριστοφάνους Θεσμοφοριαζούσας, præcipue vero pag. 516. v. 28. 29. & pag. 517. v. 10. 11. 12. *P.*

[9] Ποθεινὸς τοῖς φίλοις] Ariſtoph. *Ranis*, p. 214. de Agathone ait: Ἀγαθὸς ποιητὴς καὶ ποθεινὸς τοῖς φίλοις. ubi vide Scholiaſtam, ex quo Suidas hunc locum deſcripſit.

Ἀγαθώνειος αὔλησις. ἡ μαλακὴ καὶ ἐκλελυμένη· ἢ ἡ μήτε χαλαρὰ, μήτε πικρὰ, ἀλλ' εὔκρατος καὶ ἡδίστη.

[2] Ἀγαθώνιος. ὄνομα κύριον, ὃς ἐβασίλευσε τῆς Ταρτησσοῦ.

Ἀγαθοὶ δ' ἀριδάκρυες ἄνδρες. ἐπὶ τῶν σφόδρα πρὸς ἔλεον ῥεπόντων.

[3] Ἀγαθοκλῆς. οὗτος ἐγένετο τύραννος, καὶ ὥς φησι Τίμαιος, κατὰ τὴν πρώτην ἡλικίαν κοινὸς πόρνος, ἕτοιμος τοῖς ἀκρατεστάτοις, κολοιὸς, [4] τελόρχης, πάντων τῶν βουλομένων τοῖς ὄπισθεν ἔμπροσθεν γενόμενος. ὃς ὅτε ἀπέθανε, τὴν γυναῖκα φασὶ καταχλαιομένην αὐτὸν οὕτω θρηνεῖν· Τί δ' οὐκ ἐγὼ σέ; τί δ' οὐκ ἐμὲ σύ; Ὅτι δὲ ἐκ φύσεως ἀνάγκη μεγάλα προτερήματα γεγενέναι περὶ τὸν Ἀγαθοκλέα τοῦτον, δῆλον. Εἰς γὰρ τὰς Συρακούσας [5] παραγενήθη φεύγων τὸν τροχὸν, τὸν καπνὸν, τὸν πηλὸν, περί τε τὴν ἡλικίαν ὀκτωκαίδεκα ἔτη γεγονὼς, καὶ μετά τινα χρόνον ὁρμηθεὶς ἀπὸ τοιαύτης ὑποθέσεως, κύριος μὲν ἐγένετο πάσης Σικελίας, [6] μεγίστοις δὲ κινδύνοις περιέστησε Καρχηδονίους. Τέλος ἐγγηράσας τῇ δυναστείᾳ, κατέστρεψε τὸν βίον, βασιλεὺς προσαγορευόμενος.

Ἀγχιάλεια πόλις. καὶ Ἀγχίαλος, ἡ ἐγγὺς τῆς θαλάσσης. Οὐ πάντως δὲ αἱ ἀγχίαλοι, καὶ ἀμφίαλοί εἰσιν. οἷά ἐστιν ἡ Ἀλεξάνδρεια, ἀγχίαλος μὲν, οὐκ ἀμφίαλος δέ. αἱ δὲ νῆσοι, ἀγχίαλοι καὶ ἀμφίαλοί εἰσι. [1] Σοφοκλῆς· Τελαμώνιε παῖ τῆς ἀμφιῤῥύτου Σαλαμῖνος. καὶ αὖθις·

—— —— Θεῖον Ὅμηρον
Κλεινὸς ἐπ' ἀγχιάλῳ τύμβος ἔχει σκοπέλῳ.

Ἀγχιάλη. [2] πόλις, ἣν ἔκτισεν ἐν μιᾷ ἡμέρᾳ Σαρδανάπαλος ὁ τῶν Ἀσσυρίων Βασιλεύς. Ὁμοίως ἔκτισε καὶ τὴν Ταρσὸν ὁ αὐτός.

Ἀγχιβαθής. [3] ὁ ἐγγύβαθος.

Ἀγχιβατεῖν. Ἴωνες τὸ ἀμφισβητεῖν. καὶ Ἀγχισβασίην, Ἡράκλειτος.

Ἀγχίθυρος. πλησιαίτατος, γείτων. [4] Ἀγχίθυροί τε καὶ γείτονες ἀλλήλων αἱ δυνάμεις ἐγένοντο.

Ἀγχέμαχος. ἐγγύθεν μαχόμενος.

Ἀγχίμολον. ἐγγὺς ἐλθόν.

Ἀγχίνους. συνετός. ὀξὺς τὸν νοῦν. Δημηγορήσαντος τοῦ βασιλέως, τοῦ τε ἱεροῦ ξυλλόγου τὸ ἀγχίνουν τε καὶ βουλευτικὸν τοῦ βασιλέως ἐπαινέσαντος. [5] Ὅτι τρία μέρη εὐμαθείας, ἀγχίνοια, μνήμη, ὀξύτης. καὶ μνήμη μέν ἐστι τήρησις, ὧν ἔμαθέ τις. ὀξύτης δὲ, ἡ ταχύτης τῆς διανοίας. ἀγχίνοια δὲ, τὸ, ἐξ ὧν ἔμαθε, θηρεύειν καὶ ἃ μὴ ἔμαθεν.

Ἀγχίνοια. σύνεσις, ἡ ἕξις εὑρετικὴ τοῦ καθήκοντος, ἐκ τοῦ παραχρῆμα. ἢ εὐστοχία τις ἐν ἀσκέπτῳ χρόνῳ. καὶ Ἀγχίνουν. [6] Δαμάσκιος· Ὀξεῖαν δὲ καὶ ἀγχίνουν φύσεως δύναμιν, ἐπὶ πολλὰ δι' ὀλίγου φέρεσθαι δυναμένην, ἑτοιμοτάτην συνιέναι, καὶ γνωρίζειν τὰ ἴχνη τῶν θηραμάτων. Περὶ Ἰσιδώρου ὁ λόγος.

Ἀγχίσης. Ἀγχίσου. καὶ Ἀγχισίδης.

Ἀγχίσπορος. ἐγγὺς γένους. [7] Δαμάσκιος· Ἀλλὰ ῥώμη γενναίας φύσεως, καὶ θεῶν ἀγχισπόρου.

Ἄγχιστα. ἔγγιστα.

Ἀγχιστεύς. καὶ Ἀγχιστεία. συγγένεια. καὶ Ἀγχιστεῖς, οἱ ἀπὸ ἀδελφῶν καὶ ἀνεψιῶν, καὶ θείων κατὰ πατέρα καὶ μητέρα ἐγγυτάτω τελευτήσαντος. Οἱ δὲ ἔξω τούτων, συγγενεῖς μόνον. Οἱ δὲ κατ' ἐπιγαμίαν μιχθέντες τοῖς οἴκοις, οἰκεῖοι λέγονται.

Ἀγχιστεία. [8] ἡ μετουσία τῆς οὐσίας. παρὰ Ἀρι-

Ἄγχι. Prope.

Ἀγχιάλεια. Anchialia, urbs. Et ἀγχίαλος, sita prope mare. Non omnes autem urbes, mari vicinæ, etiam ab utraque parte mari alluuntur. Ut Alexandria, est quidem urbs maritima, at non utrinque mari circumfuſa. Sophocles: *Telamonis fili, circumfluæ Salaminis ſolum tenens.* Et rurſus:

—— —— *Divinum Homerum*
Inclytus tumulus habet ad vicinum mari
ſcopulum.

Ἀγχιάλη. Anchiale. Urbs, quam unico die Sardanapalus Aſſyriorum Rex condidit. Idem etiam ſimiliter Tarſum condidit.

Ἀγχιβαθής. Prope littus, vel ripam, profundus.

Ἀγχιβατεῖν. Iones dicunt pro ἀμφισβητεῖν, contendere. Et Ἀγχιβασίην uſus eſt Heraclitus.

Ἀγχίθυρος. Proximus. Vicinus. *Copiæ proxime ad ſe invicem acceſſerunt.*

Ἀγχέμαχος. Cominus pugnans.

Ἀγχίμολον. Quod prope accedit.

Ἀγχίνους. Solers. Ingenioſus. *Rege concionante, & ſacro Concilio ingenium ejus & prudentiam collaudante.* Tres ſunt docilitatis partes: Ἀγχίνοια, ſolertia; Μνήμη, memoria; Ὀξύτης, acumen. Et Μνήμη quidem eſt, cum memori mente ſervantur ea, quæ quis didicit. Ὀξύτης, cum celeriter aliquid intelligimus & percipimus. Ἀγχίνοια vero, cum ex iis, quæ quis didicit, etiam ea, quæ non didicit, inveſtigat.

Ἀγχίνοια. Solertia, vel facultas extempore inveniendi id, quod decet. Vel ſagacitas quædam extemporalis. Et Ἀγχίνουν, ſolertem. Damaſcius: *Celerem & ſolertem ingenii vim, quæ brevi tempore multa percurrere poterat, promptiſſimam ad intelligendum, & cognoſcenda veſtigia rerum quærendarum.* De Iſidoro illic verba fiunt.

Ἀγχίσης. Ἀγχίσου. Anchiſes. Anchiſæ. Et Ἀγχισίδης. Anchiſides.

Ἀγχίσπορος. Genere propinquus. Damaſcius: *Sed robur naturæ generoſæ, & ad Deorum genus proxime accedentis.*

Ἄγχιστα. Proxime.

Ἀγχιστεύς. Genere propinquus. Et Ἀγχιστεία, generis propinquitas. Et Ἀγχιστεῖς vocantur, fratrum, conſobrinorum, & patruorum aut avunculorum liberi, qui defunctum cognatione proxime contingunt. Reliqui vero Συγγενεῖς tantum dicuntur. Qui vero per jus connubii aliis juncti ſunt, (οἰκεῖοι) affines vocantur.

Ἀγχιστεία. Jus adeundæ hæreditatis. Ariστοφάνης ἐν Ὄρνισι· [1] Νόθῳ μὴ εἶναι ἀγχιστείαν. καὶ Ἀγχιστεύω ῥῆμα, γενικῇ.

---

[1] Σοφοκλῆς] In *Ajace flagellifero*, p. 9. 1. ſic legitur:

Τελαμώνιε παῖ, τῆς ἀμφιρύτου
Σαλαμῖνος ἔχων βάθρον ἀγχιάλου.

Sequens vero locus exſtat Epigrammatum libro tertio, 269. 1.

Ἐνθάδε Πιερίδων τὸ σοφὸν στόμα, θεῖον Ὅμηρον
Κλεινὸς ἐπ' ἀγχιάλῳ τύμβος ἔχει σκοπέλῳ. P.

[2] Ἀγχιάλη] Vide Stephanum de Urbibus, & infra, v. Σαρδανάπαλος.

[3] Ἀγχιβαθής] In prioribus Edit. legitur Ἀγχιβαθύς. Sed MSS. major apud me fuit auctoritas, quæ Ἀγχιβαθής exhibent.

[4] Ἀγχίθυροί τε καὶ γείτονες] Ex Theophylacto Simocatta, lib. II. cap. VIII.

[5] Ὅτι τρία μέρη εὐμαθείας] Hæc ſumpta ſunt ex Vita Pythagoræ apud Photium, Cod. CCXLIX. pag. 1319. Edit. Rhotom. Ultima autem apud Photium minus recte ſe habent, quæ ex Suida emendanda ſunt.

[6] Δαμάσκιος. ὀξεῖαν δὲ] Hæc leguntur apud Photium in Vita Iſidori Philoſophi, Cod. CCXLII. pag. 1034. Vide etiam infra, v. Ἔρως.

[7] Δαμάσκιος] Apud Photium, Cod. CCXLII. pag. 1035. ubi locum integrum lege. Utitur autem hac phraſi idem Damaſcius apud Photium, pag. 1031. ubi homines ætatis aureæ eleganter vocat, θεῶν ἀγχισπόρων γένος.

[8] Ἀγχιστεία] Proprie ſignificat jus cognationis vel agnationis, cum quo ſemper conjunctum eſſe ſolet jus participandi bona defuncti: Unde per metonymiam conſequentis pro antecedenti etiam ſignificat jus adeundæ hæreditatis.

Ἀγχιστίνδην. τὸ κατ᾽ ἀγχιστείαν. ὡς ἀπὸ τοῦ ἄριστος, ἀριστίνδην, καὶ πλοῦτος, πλουτίνδην.

Ἀγχίστροφοι. συστραφέντες. ἢ ταχὺ ἐπιστρεφόμενοι. Προκόπιος· [2] Ἦν τε μάχη καρτερὰ ἐγεγόνει, καὶ ἐκ χειρὸς ἦν, ἀγχιστρόφους τε τὰς διώξεις ἐποιοῦντο ἐς ἀλλήλους ἑκάτεροι. καὶ αὖθις· Εἶτα ὑμεῖς τὰς φάλαγγας ἐξελίξαντες ἀγχίστροφοι γενόμενοι, ἀντιμέτωποι γίνεσθε τοῖς διώκουσι. καὶ αὖθις· Τῷ ἀγχιστρόφῳ τῆς τύχης. † [3] Ὁ Θηραμένης ποικίλος τις ὢν καὶ ἀγχίστροφος, καθωμίλει τοῖς καιροῖς, πρὸς τὸ κρεῖττον ἀεὶ διδοὺς ἑαυτόν.

Ἀγχιτέρμων. ὁ γείτων.

Ἀγχόνη. [4] ὁ βρόχος. τὸ σχοινίον. παροξυτόνως. Ἀγχονὴ δὲ τὸ πρᾶγμα, ὀξυτόνως. ἡ ἐνέργεια.

Ἀγχονήσας. πνίξας.

Ἀγχότερος. ἐγγύτερος. Ἡρόδοτος· Στεινοτέρη ἐφαίνετο καὶ ἀγχοτέρη ἡ εἰσβολή.

Ἀγχοῦ. ἐγγύς.

Ἀγχούροις. πλησιοχώροις. παρὰ τὸ ἄγχι τοὺς ὅρους εἶναι.

Ἄγχουσα. εἶδος βοτάνης. ἧς ἡ ῥίζα ἐρυθρὰ, ᾗ ἐρυθραίνουσι τὰ πρόσωπα αἱ γυναῖκες. [4] Ἡ ἄγχουσ᾽ ὀδυνήσει καὶ τὸ σὸν ψιμμύθιον.

Ἀγχώμαλον. καὶ Ἀγχωμάλου, ἴσης. ἐγγὺς τοῦ ὁμαλοῦ συμμίξαντος. Καὶ ἀγχώμαλα ἀγωνισάμενοι, καὶ μήτε ζωγρήσαντές τινα, μήτε ἐπὶ τὸ πλέον ἔτι προχωρήσαντες, διελύθησαν. καὶ αὖθις· Ἱππομαχία γίνεται καρτερὰ καὶ πλήθει τῶν ἀγωνιζομένων ἀγχώμαλος, καὶ ἀρεταῖς ἐμφερής.

Ἄγχων. περισφίγγων. θλίβων. Ὁ δὲ ἄγχων τὴν αὐτῆς δεξιὰν καὶ περιάγων, περιαιρεῖται τὸ ξίφος.

Ἄγχω. αἰτιατικῇ.

Ἀδαήμονες. ἄπειροι. Ὁ δὲ τὴν τῶν Αἰγυπτίων σοφίαν ἦν ἀδαημονέστερος. ὁ Ἀσκληπιόδοτος.

Ἀδαϊστί. ἀπείρως.

Ἄδακρυς πόλεμος. ἐπὶ τῶν ἔξω παντὸς κινδύ-

ſtophanes *Avibus*: *Notho non eſſe jus adeundæ hæreditatis*. Et Ἀγχιστεύω verbum, cum genitivo conſtruitur.

Ἀγχιστίνδην. Secundum jus propinquitatis. Dictum autem hoc eodem modo, quo ab ἄριστος, ἀριστίνδην, & a πλοῦτος, πλουτίνδην.

Ἀγχίστροφοι. Qui celeriter vertuntur. Procopius: *Et prælium acre fuit, & cominus committebatur, & utrique celeri converſione facta ſe mutuo perſequebantur*. Et rurſus: *Deinde, evolutis phalangibus, celeriter converſi, adverſa fronte occurrite hoſtibus, vos inſequentibus*. Et iterum: *Celeri mutatione fortunæ*. † Theramenes homo varius & mutabilis, inſerviebat temporibus, ad potentiores ſemper ſeſe applicans.

Ἀγχιτέρμων. Vicinus.

Ἀγχόνη. Laqueus. Funis: cum acuto in antepenultima. Ἀγχονὴ vero, cum acuto in ultima, ſignificat ipſam actionem ſtrangulandi.

Ἀγχονήσας. Qui ſtrangulavit.

Ἀγχότερος. Propinquior. Herodotus: *Anguſtior & propinquior aditus videbatur*.

Ἀγχοῦ. Prope.

Ἀγχούροις. Vicinis. Ita dicti, quod prope invicem habeant fines.

Ἄγχουσα. Anchuſa. Genus herbæ, cujus radix eſt rubra, qua mulieres faciem rubefaciunt. *Anchuſa te dolore afficiet, & tua ceruſſa*.

Ἀγχώμαλον. Æquale: & Ἀγχωμάλου, æqualis. *Et cum æquo Marte pugnaſſent, neque quenquam vivum cepiſſent, nec longius proceſſiſſent, diſceſſerunt*. Et rurſus: *Equeſtre prælium acre committitur, & multitudine pugnantium, & virtute æquale*.

Ἄγχων. Angens. Stringens. Premens. *Ille vero ipſius dextram ſtringens & circumagens, ei gladium eripit*.

Ἄγχω. [Ango.] Gaudet accuſativo.

Ἀδαήμονες. Imperiti. *Ille vero Aegyptiorum ſapientiæ erat imperitior*. Aſclepiodotus ſcilicet.

Ἀδαϊστί. Imperite.

Ἄδακρυς πόλεμος. Bellum carens lacrymis.

---

[1] Νόθῳ μὴ εἶναι ἀγχιστείαν] Apud Ariſtophanem in *Avibus*, p. 429. integer locus ita ſcriptus legitur:

Ἐρῶ δὲ δὴ καὶ τὸν Σόλωνός σοι νόμον.
Νόθῳ δὲ μὴ εἶναι ἀγχι-
στείαν, παίδων ὄντων γνη-
σίων. ἐὰν δὲ παῖδες
Μὴ ὦσι γνήσιοι, τοῖς
Ἐγγυτάτω τοῦ γένους,
Μετεῖναι τῶν χρημάτων.

Dicam vero jam etiam Solonis tibi legem. Notho ne ſit jus propinquitatis, liberis exiſtentibus legitimis. Si vero liberi non fuerint legitimi; illis, qui ſunt genere proximi, jus ſit participandorum bonorum. Demoſthenes ἐν τῷ πρὸς Μακάρτατον λόγῳ, pag. 242. hujus legis mentionem his verbis facit, ubi pluribus de hæreditatis jure diſſerit: Νόθῳ δὲ, μηδὲ νόθῃ μὴ εἶναι ἀγχιστείαν. &c. Locus eſt obſervatu dignus. Legum ſtudioſi legant. *P.* † Vide Petit. *de LL. Attic.* lib. 11. Tit. IV. p. 139.

[2] Προκόπιος] Lib. 1. *de Bello Perſico*, cap. xv.

[3] Ὁ Θηραμένης] Ariſtophanes ἐν Βατράχοις, pag. 151. 152. hujus Theramenis levitatem & inconſtantiam egregie deſcribit his verbis:

Ταῦτα μὲν πρὸς ἀνδρός ἐστι
Νοῦν ἔχοντος, καὶ φρένας, καὶ
Πολλὰ περιπεπλευκότος,
Μετακυλινδεῖν αὑτὸν ἀεὶ
Πρὸς τὸν εὖ πράττοντα τοῖχον
Μᾶλλον, ἢ γεγραμμένην
Εἰκόν᾽ ἑστάναι, λαβόνθ᾽ ἓν
Σχῆμα. τὸ δὲ μεταστρέφεσθαι
Πρὸς τὸ μαλθακώτερον,
Δεξιοῦ πρὸς ἀνδρός ἐστι, καὶ φύσει Θηραμένους.

Conſule Græca Scholia. Item Xenophontem τῶν Ἑλληνικῶν ſecundo, pag. 465. & 466. *P.* † Vide infra v. Δεξιὸς, v. Θηραμένης, & v. Εὐμεταβολώτερος.

[4] Ἀγχόνη] Ariſtophanes *Acharnenſ.* p. 376. Ταῦτα δῆτ᾽ οὐκ ἀγχόνη; ubi Scholiaſta: Ἡ διαφορὰ τοῦ ὀνόματος ἐν τῷ τόνῳ. ὀξυτόνως μὲν γὰρ τὸ εἶδος τοῦ πάθους. βαρυτόνως δὲ τὸ σχοινίον καὶ ὁ βρόχος. Quæ pene eadem ſunt cum iis, quæ Suidas hic habet.

[4] Ἡ ἄγχουσα] Locus integer apud Ariſtophanem in *Concionatricibus*, pag. 586. ſic habet:

Οὐ τὸ γ᾽ ἐμὸν ὀδυνήσει σε γῆρας. Ἀλλὰ τί;
Ἥγχουσα μᾶλλον, καὶ τὸ σὸν ψιμμύθιον.
Non mea dolore afficiet te ſenectus. Sed quid?
Anchuſa potius, & tua ceruſſa. P.

νυ, καὶ ῥᾷστα, καὶ παρ' ἐλπίδα [1]τὰ πράγματα κατορθούντων.

'Αδακρυτί. ἀκλαυστί.

'Αδαλίδης. ὄνομα κύριον.

[2] 'Αδάμ. ὁ πρῶτος ἄνθρωπος, ὁ χειρὶ θεοῦ πλασθεὶς, καὶ κατὰ τὴν εἰκόνα καὶ ὁμοίωσιν μορφωθεὶς τοῦ δημιουργοῦ τε καὶ κτίσαντος· ὁ καὶ τιμηθεὶς τὴν εἰς Παράδεισον οἴκησιν. Οὗτος δικαίως ἂν πρῶτος καλοῖτο σοφὸς, ὡς πρωτόκτιστον ἄγαλμα, καὶ εἰκὼν οὖσα θεόγραφος· ὡς τῶν χαρίτων ὅλων ὑπάρχων ἀνάπλεως, καὶ πάντα καθαρὰ καὶ ἀκίβδηλα περιφέρων τὰ τῆς ψυχῆς τε καὶ σώματος αἰσθητήρια. μαρμαρυγαὶ γάρ τινες, ὡς εἰπεῖν, ἐκ τῆς ἐκείνου ψυχῆς ἀπαστράπτουσαι, καὶ θείων ἐννοιῶν τε καὶ ἐνεργειῶν πλήθουσαι κατὰ πᾶσαν εἰσέτρεχον φύσιν, [3]εὐστόχως καὶ ἀναμαρτήτως τὸ οἰκεῖον ἑκάστης πλεονέκτημα φθάνουσαι. ὃς οὐ παρὰ ἀνθρώπων ἐδοκιμάσθη τῶν τὰς κρίσεις πολλάκις ἐπισφαλῶς ποιουμένων, ἀλλὰ παρὰ τοῦ τῶν ὅλων θεοῦ τοῦ πᾶσαν γνῶσιν καὶ κρίσιν ὀρθῶς ποιουμένου, καὶ πρὸ τοῦ τὰς ἐννοίας κινηθῆναι παρὰ τῆς ὠδινούσης τὰ τοιαῦτα ψυχῆς, καὶ ἀποτικτούσης νοήματα. Καὶ γὰρ φησιν ἡ γραφὴ, 'Εποίησεν ὁ θεὸς πάντα τὰ κτήνη, καὶ τὰ θηρία, καὶ τὰ ἑρπετὰ, καὶ τὰ πετεινὰ, καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν 'Αδὰμ, ἰδεῖν, τί καλέσει αὐτά. καὶ ὡς ἐκάλεσεν 'Αδὰμ, τοῦτο ὄνομα αὐτῷ. Τί τῆς φωνῆς ταύτης καὶ μαρτυρίας ἀριδηλότερον; τί τῆς σοφίας ταύτης καὶ διαγνώσεως ὑψηλότερον; 'Εκάλεσεν ὀνόματα, τὴν φύσιν αὐτὴν καὶ τὴν ὑπόστασιν ἑκάστου ζώου ὥσπερ ὑπογραφόμενος, οὐ μελετήσας, οὐ προσκεψάμενος, οὐδέν τι προπεπονθὼς τῶν ὅσα μεταμανθάνουσιν ἄνθρωποι. καὶ πολλῶν καὶ ἀναρίθμων γενεῶν παραδραμουσῶν, οὐκ ἴσχυσεν οὐδεὶς ὑπαλλάξαι κἂν τοῦ τυχόντος ζώου τὸ ὄνομα, οὐδὲ τῆς ἐκείνου δράξασθαι μεγαλονοίας καὶ διαγνώσεως. Μᾶλλον μὲν οὖν μένουσιν ἅπαντες κατὰ πᾶσαν ἐσπαρμένοι τὴν γῆν ἄνθρωποι τοῖς ἐκείνου στοιχοῦντες ἀμεταθέτοις θεσπίσμασι. Καὶ οὐδὲ μέχρι τούτων ἔστη τοῦ πρωτογόνου ἀνθρώπου τὸ ὑπερβάλλον ἐν πᾶσιν ἀξίωμα· ἀλλὰ καὶ σπερμάτων, καὶ φυτῶν διαφορὰς, ῥιζῶν τε καὶ βοτανῶν δυνάμεις, καὶ ὅσα εἰς ἀντίληψιν καὶ θεραπείαν ἡ φύσις ἑκάστῳ προσαρμόττει τῶν ζώων, διέκρινέ τε, καὶ διεσάφισεν. Οὗτος καὶ τὴν γυναῖκα πρῶτος ἰδὼν, οὐχ ὥσπερ ἐκ στόματος ἀνθρωπίνου περὶ ταύτης ἐφθέγξατο· ἀλλ' ὡς ἔκ τινος θείας ὀμφῆς ἐνηχούμενος, εὐστόχως τὸ πολυύμνητον ἐκεῖνον καὶ θαυμαστὸν ἀπεφοίβασε λόγιον· Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου, καὶ σὰρξ

Dicitur de illis, qui extra omne periculum, & facillime, & præter ſpem res feliciter gerunt.

'Αδακρυτί. Sine lacrymis.

'Αδαλίδης. Adalides. Nomen proprium.

'Αδάμ. Adam primus homo, Dei manu efſictus, & ad imaginem & ſimilitudinem opificis & conditoris formatus, & habitatione Paradiſi honoratus. Hic jure primus ſapiens appellari poteſt, ut primo conditum ſimulacrum, & imago divinitus picta: ut omnium gratiarum plenus, & omnes animi corporiſque ſenſus puros & incorruptos circumferens. Radii enim quidam (ut ita loquar) ex illius animo effulgentes, & divinarum cogitationum & actionum pleni, per omnem naturam penetrabant, ſagaciter & ſine errore proprium cujuſque & præcipuum bonum antevertentes. Qui non ab hominibus probatus fuit, qui in judiciis ſuis ſæpe labuntur: ſed a Deo univerſitatis auctore, qui de rebus omnibus recte judicat, etiam priuſquam cogitationes moveantur in anima noſtra, & in ea quaſi conceptæ & genitæ ſint. Nam (ut Scriptura dicit) *Deus fecit omnia jumenta, & feras, & ſerpentes, & volucres, & ipſa ad Adamum adduxit, ut videret, quo nomine ipſa eſſet nominaturus. Ut autem Adamus vocavit ea, ita nomen ipſis manſit.* Quid hac voce, & teſtimonio eſt evidentius? Quid hac ſapientia, & cognitione ſublimius? Nominibus enim impoſitis, naturam ipſam & vim cuique animanti inſitam veluti penicillo expreſſit, non præmeditatus nec præparatus, nec perpeſſus ſimile quid cæteris hominibus, qui cognito priori errore, alia deinceps probare ſolent. Quamvis autem multæ, atque adeo innumeræ ætates jam præterierint, nullus tamen vel minutiſſimi atque viliſſimi animalis nomen mutare, neque amplitudinem ingenii atque cognitionis, quæ in illo fuit, aſſequi potuit. Imo vero potius omnes homines per univerſum terrarum orbem diſperſi, immutabilia ejus Oracula conſtanter ſequuntur. Neque vero uſque ad hos terminos progreſſa ſtetit hominis primogeniti omnibus in rebus excellens dignitas. Sed & ſeminum, & plantarum diſcrimina, & radicum & herbarum vires, & quæcunque ad auxilium & medicinam unicuique animali Natura attribuit, diſtinxit & dilucide explicavit. Hic etiam uxore primum conſpecta, confeſtim de ipſa non ut ex ore humano loquutus eſt: ſed quaſi quadam divina voce in ipſo reſonante, felici conjectura rem aſſequutus, celeberrimum illud & admirabile oraculum protulit: *Hoc eſt os ex oſſibus meis, & caro ex carne mea: vocabiturque virago, quia ex viro ſumpta fuit.* Hic

---

[1] Τὰ πράγματα κατορθούντων] Hæc totidem verbis leguntur etiam apud Zenodotum. Diogenianus vero addit: χρησμὸς γὰρ ἐδόθη Λακεδαιμονίοις, ἄδακρυν μάχην νικῆσαι. ὅθεν ἤδη εἰς τοὺς τοιαῦτα τυχόντας εἰώθασιν. i. e. interprete Andrea Schotto: *Datum enim Spartanis Oraculum, fore, ut pugna ſine lacrymis victores evaderent. Quo factum eſt, ut caderet ex ipſis nemo.*

[2] 'Αδάμ. ὁ πρῶτος ἄνθρ.] In hoc articulo nonnulla ſunt obſcura, nec ſatis inter ſe cohærentia; quibus lucem dare, & remedium adhibere non potui, quoniam auctorem, unde hæc ſumpta ſunt, ignoro, nec in MSS. hic quicquam præſidii eſt: de quo ideo lectorem moneo, ne quis forte putet, me hic dormitaſſe, vel difficultates hujus loci diſſimulare voluiſſe.

[3] Εὐστόχως καὶ ἀν. τ. οἰκ. ἑκ. πλ. φθ.] Si locus ſanus eſt, videant alii, quid auctor, ex quo Suidas hæc depromſit, ſibi velit. Ego enim iſta non ſatis capio.

ἐκ τῆς σαρκός μου. αὕτη κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη. Οὗτος τοίνυν ἐστὶν ὁ δοκιμάσας ἕκαστα, καὶ πᾶσι κανόνας καὶ σταθμὰς ἀκριβεῖς, καὶ ὅρους ἀναμφιρρήτους ἐναρμοσάμενος. Τούτου τέχναι, καὶ γράμματα. Τούτου ἐπιστῆμαι λογικαί τε, καὶ ἄλογοι. Τούτου προφητεῖαι, ἱερουργίαι, καὶ καθαρμοὶ, καὶ νόμοι γραπτοί τε καὶ ἄγραφοι. Τούτου πάντα εὑρήματα καὶ διδάγματα, καὶ ὅσα κατὰ τὸν βίον ἀναγκαίαν χρείαν τε καὶ δίαιταν. Οὗτός ἐστιν ὁ πρῶτος ἀνδριὰς, τὸ θεόκλητον ἄγαλμα, ἀφ' οὗπερ ἀπευθύνονται πᾶσαι ἀνθρώπων ἀγαλματουργίαι, κἂν πρὸς τὸ ἧττον μᾶλλον καὶ μᾶλλον ἐκπίπτωσιν ἐκείνου τοῦ μακαρίου καὶ θεοειδοῦς ἀπεικάσματος, μηδεμίαν ἔχοντος ἀφορμὴν, ἧς ἂν ἐπιλάβοιτο ὁ μετ' ἐκεῖνον διαπλαττόμενος, ἢ ζωγραφούμενος· ἕως ὁ παλαμναῖος, καὶ ἀποστάτης καὶ πλάνος διάβολος, τοῦτον ἐξεκύλισεν τῆς οἰκείας ἱδρύσεώς τε καὶ στάσεως, καὶ κατὰ τοῦ πρανοῦς εἴασε φέρεσθαι, καὶ πρὸς βαραθρώδεις τινὰς καὶ ἀλαμπεῖς χώρους, μέχρι τῶν ἀμειδήτων τοῦ ᾅδου κευθμώνων ἐγγίζοντας. Κἀντεῦθεν ἤρξατο φύσις ἡ τῶν ἀνθρώπων παραχαράττεσθαι τοῖς τοῦ τυράννου μορφώμασί τε καὶ σχήμασιν. Ἐντεῦθεν ἡ νόθος σοφία τὰς ἀφορμὰς ἔλαβε, τῆς θείας δραπετευσάσης, καὶ πρὸς οὐρανὸν ἀναπτάσης, ὅθεν τὸ πρότερον ἦν ἀφορμήσασα. Ὅθεν ὁ πλάνος τὸ καὶ Θεοῦ σφετερισάμενος ὄνομα, εἰς πολλὰ κατεμέρισε, Κρόνους τε, καὶ Ζῆνας, καὶ Ποσειδῶνας, ἑαυτὸν μετακαλῶν· καὶ τὸ δὴ πάντων ἀνοσιώτατον, εἰς ὀνόματα θήλεά τε καὶ ἄσεμνα τὴν μακαρίαν καὶ ἄρρητον συγκατασπάσαι φύσιν ὁ ἀλιτήριος κατετόλμησεν, εἴς τε τὰς Ῥέας ἐκείνας, καὶ Ἀφροδίτας, καὶ Ἀθηνᾶς, καὶ εἰς ἄλλας μυρίας καὶ ἀλλοκότους ἀλόγων ἰδέας τε καὶ μορφὰς, ἃς ὁ κακίας δημιουργὸς, καὶ τὴν ἀποστασίαν νοσήσας, ἐπέχρωσέ τε καὶ διεχάραξεν. Ἐντεῦθεν Αἰγυπτίων τὰ περὶ Ὄσιριν καὶ Τυφῶνα καὶ Ἶσιν μοχθηρὰ διηγήματα, καὶ Περσῶν μαγικὰ μαγγανεύματα, καὶ Βραχμάνων Γυμνοσοφιστίαι, καὶ ἄχαροι φαντασίαι, καὶ [1] ἡ θαυμαζομένη Σκυθῶν ῥῆσις, καὶ τὰ Θρᾳκῶν ὄργια, καὶ οἱ Φρυγῶν αὐλοὶ καὶ Κορύβαντες. Ἐντεῦθεν ἡ Χαλδαίων ἀστρονομία ἡ σφαλερά τε καὶ [2] πολυώδυνος. Ἐντεῦθεν ἡ τοῦ ψεύδους λοχεύτρια ποίησις, ἡ τῶν Ἑλληνικῶν ληρημάτων σεμνομυθία. Ἐντεῦθεν Ὀρφεύς τε καὶ Ὅμηρος, [3] καὶ ὁ τῶν ἀθεμίτων γονῶν ζωγράφος Ἡσίοδος. Ἐντεῦθεν ἡ Θάλητος δόξα, καὶ ὁ κλεινὸς Πυθαγόρας, καὶ ὁ σοφὸς Σωκράτης, καὶ Πλάτων, τὸ τῆς Ἀθηναίων Ἀκαδημίας πολυθρύλλητον

Hic igitur eſt ille, qui probavit omnia, & omnibus regulas & amuſſes exquiſitas, & limites minime dubios aſſignavit. Hujus inventa ſunt artes & literæ. Hujus ſunt ſcientiæ, tam liberales, quam illiberales. Hujus ſunt prophetiæ, ſacrificia, luſtrationes, & leges, tam ſcriptæ, quam nullis ſcriptis mandatæ. Hujus ſunt omnia inventa, & diſciplinæ, & quidquid ad vitam degendam eſt utile & neceſſarium. Hæc eſt illa prima ſtatua, & ſimulacrum, cui divinitus nomen impoſitum eſt, a quo omnes humanæ ſimulacrorum fingendorum artes diriguntur: quamvis ab ea divina & beata imagine magis ac magis deflectentes, in pejus excidant, cum illa nullam habeat anſam, quam apprehendat is, qui poſt illum fingitur aut pingitur: donec ſceleſtus homicida, apoſtata, & impoſtor Diabolus eum de ſua ſede & ſtatu dejecit, & præcipitem deturbavit ad profunda quædam & obſcura, triſtibuſque Orci latebris vicina loca. Hinc autem cœpit hominum Natura depravari & adulterari, & hujus tyranni formis & figuris ſignari. Hinc autem initium duxit adulterina ſapientia, poſtquam illa divina ex terris aufugit, & in cœlum ſublimis avolavit, unde prius deſcenderat. Hinc impoſtor ille Dei nomen uſurpans, id in multas partes diviſit, Saturnos nimirum, Joves, & Neptunos; nomen ſuum varie mutans. Imo, quod omnium eſt maxime impium, ad nomina fœminea & inhoneſta beatam illam & ineffabilem Naturam ſceleratus ille detrahere auſus eſt; Rheas nimirum, Veneres & Minervas, & alias infinitas & monſtroſas brutorum ſpecies & formas, quas ille improbitatis opifex & apoſtata coloribus exornavit, & ſignis cœlavit. Hinc ortæ ſunt illæ Ægyptiorum de Oſiride & Typhone & Iſide improbæ narrationes, & Perſarum magicæ impoſturæ, & Brachmanum Gymnoſophiſtiæ & importunæ phantaſiæ, & dictum Scytharum, quod multi admirantur, & Thracum Orgia, & Phrygum tibiæ & Corybantes. Hinc manavit illa lubrica & cruciatus plena Chaldæorum aſtrologia. Hinc nata illa mendacii obſtetrix poeſis, & Græcanicarum nugarum fabuloſa pompa. Hinc etiam Orpheus, & Homerus, & qui impias Deorum generationes conſcripſit, Heſiodus. Hinc illa Thaletis gloria, & inclytus Pythagoras, & ſapiens Socrates, & Plato, quo Academia Athenienſium tantopere ſe jactat.

---

[1] Ἡ θαυμαζομένη Σκ.] Vide infra v. Ἡ ἀπὸ Σκυθῶν ῥῆσις.

[2] Πολυώδυνος.] Auctorem hunc anonymum exiguo judicio præditum fuiſſe, & vere de eo dici poſſe proverbiale illud, Flumen verborum, & gutta mentis, ex tota hac de Adamo Ecloga ſatis apparet. Quare, licet ejuſmodi ſcriptores corrigere & emendare, velle res ſit lubrica & aleæ plena; quoniam ſæpe incertum eſt, utrum vox aliqua, quæ ineptam reddit ſententiam, ſit ingenii illorum, ἀλλοκότους non raro ſenſus parturientis, abortus, an vero librariorum σφάλμα: conabor tamen pro πολυώδυνος aliam vocem hic ſubſtituere, quam auctorem noſtrum potius, quam altera illa, uſum eſſe exiſtimo. Ea autem eſt πολυώνυμος i. e. nominibus abundans; quod epithetum Aſtronomiæ, propter multitudinem ſtellarum, variaſque earum appellationes, haud inepte tribui poteſt. Qui enim τὸ πολυώδυνος ei conveniat non video; niſi forte quis Aſtronomiam ſic appellare velit, quod multos homines dolore afficiat, ob triſtes rerum eventus, ex aſtrorum inſpectione prædictos: quod tamen coactum eſſe & longe petitum quivis facile videt.

[3] Καὶ ὁ τῶν ἀθεμ. γονῶν ζ.] Perſtringit his verbis auctor Anonymus *Theogoniam* Heſiodi.

σεμνολόγημα. Ἐντεῦθεν οἱ Παρμενίδαι, καὶ Πρωταγόραι, καὶ Ζήνωνες. Ἐντεῦθεν αἱ Στοαί, καὶ οἱ Ἄρειοι πάγοι, καὶ Ἐπικούρειοι. Ἐντεῦθεν οἱ Τραγῳδῶν θρῆνοι, καὶ κοπετοί, καὶ τὰ Κωμικῶν παίγνια, καὶ τωθάσματα. Ἐντεῦθεν τὰ δολερὰ τοῦ Λοξίου καὶ ψευδηγόρου θεσπίσματα, καὶ ἡ λοιπὴ τῶν Ἑλληνικῶν κομψευμάτων ἐρεσχελία καὶ τερατεία. Καὶ ἵνα μὴ μακρὸν ἀποτείνω τὸν λόγον, εἰς σαπρούς τε καὶ ὀδωδότας μύθους ἐνασχολούμενος, πᾶσαν εἰς ἑαυτὸν τὴν κτίσιν ὁ πλάνος ἐμφορησάμενος, καὶ λαβὼν ὑπὸ χεῖρα τὸν ἄνθρωπον ὡς ἀνδράποδον, καὶ διερχόμενος τὴν ἐπ' οὐρανὸν, καὶ περιπατῶν τὴν γῆν, καὶ ὡς ᾠὸν πάντα κατέχων, ὡς αὐτός που φησὶν ἀλαζονευόμενος, ᾤετο δεῖν τὸν ἑαυτοῦ θρόνον θήσειν ἐπάνω τῶν νεφελῶν τοῦ οὐρανοῦ, καὶ ἔσεσθαι ὅμοιος τῷ Ὑψίστῳ. Ἀλλ' ὁ τοῦ Θεοῦ μονογενὴς υἱὸς καὶ λόγος ὁ προαιώνιος, οἰκτείρας τὸν ἄνθρωπον ὡς ἠπατημένον ὑπὸ τοῦ Δράκοντος, ἐκ τῶν τοῦ πατρὸς κόλπων ἑαυτὸν ἐκένωσεν· καὶ σαρκωθεὶς ἐκ Πνεύματος Ἁγίου, καὶ ἐκ τῆς ἁγίας παρθένου καὶ θεοτόκου Μαρίας, καὶ διὰ τοῦ τιμίου σταυροῦ καὶ τοῦ πάθους αὐτοῦ καταβαλὼν τὸν ἀντίπαλον, καὶ καταβὰς εἰς τὰ κατώτατα μέρη τῆς γῆς, ἐκεῖθεν εἵλκυσε τὸν παραπεσόντα Πρωτόπλαστον, ἀποδοὺς τῇ εἰκόνι τὸ πρῶτον κάλλος, καὶ τῇ φύσει τὸ ἀρχαῖον ἀξίωμα. Κἀντεῦθεν ἠφάνισται πᾶσα ἡ τοῦ τυράννου δυναστεία καὶ συμμορία, τοῦ τῆς εὐσεβείας φωτὸς διαυγάσαντος πάσῃ τῇ κτίσει τῶν ἡλιακῶν μαρμαρυγῶν τηλαυγέστερον. Ἐκ τούτου τοῦ φωτὸς ἡ κατὰ Θεὸν σοφία πάλιν διέλαμψε, καὶ γλώσσας ἁλιέων ἐστόμωσε, καὶ τῶν σοφῶν διδασκάλους τοὺς ἀσόφους εἰργάσατο. Ἐντεῦθεν ὁ τῆς βροντῆς γόνος, τὸ Ἐν ἀρχῇ ἦν ὁ λόγος, ἐξ οὐρανίων νεφελῶν ἀπαστράψας, ἐβρόντησε, καὶ πᾶσαν τὴν οἰκουμένην ἐλάμπρυνε. Κἀκ τούτου τοῦ φωτὸς Παῦλος εἰς τρίτον οὐρανὸν ἀναφέρεται, καὶ θεᾶται τὰ ἀθέατα, καὶ τῶν ἀρρήτων ὑπακούει λογίων, καὶ διατρέχει πᾶσαν τὴν γῆν ὡς πτηνὸς καὶ ἀέριος, τὸν Ἰησοῦν εὐαγγελιζόμενος. Ἐντεῦθεν ὁ Πέτρος τὸν Χριστὸν υἱὸν Θεοῦ τοῦ ζῶντος ὠνόμασε, καὶ τὰς κλεῖς τῆς τῶν οὐρανῶν πιστεύεται βασιλείας, ἵνα ἀνοίγῃ μὲν τοῖς πιστοῖς, ἀποκλείῃ δὲ τοῖς ἀπίστοις τῶν θείων ἀνακτόρων τὴν εἴσοδον. Ἐντεῦθεν ἀγέλαι μαρτύρων καταβάλλουσιν εἴδωλα, καὶ τρέχουσιν ἕτοιμοι πρὸς τὸν θάνατον, ὡς στεφάνους τὰς πληγὰς, καὶ ὡς πορφύρας τὰ ἑαυτῶν αἵματα περιφέροντες οἱ καλλίνικοι. † [1] Ἔστω γοῦν ὁ πρωτόπλαστος ἀρχηγὸς τοῦ γράμματος, κατά γε τὸν ἐμὸν ὅρον καὶ λόγον, ὡς ποταμὸς, πηγή τε καὶ θάλαττα, καὶ ῥίζα καὶ κλάδοι καὶ ὅρπηκες, καὶ πάσης ὑπάρχων τῆς ἀνθρωπίνης φύσεως ἀπαρχὴ καὶ πρωτόλειον. † [2] Ὅτι ἀπὸ Ἀδὰμ ἕως τοῦ κατακλυσμοῦ, ἔτη δισχίλια. σ.

Hinc Parmenidæ, & Protagoræ, & Zenones. Hinc Porticus, & Areo-pagi, & Epicurei. Hinc Tragœdorum lamentationes & planctus, & Comicorum joci atque riſus. Hinc doloſa Apollinis obliqui & falſidici Oracula, & reliquæ Græcorum pompoſæ & portentoſæ nugæ. Denique, ne longius producam orationem, putidis, fœtidiſque fabulis diutius immorans, omnes creaturas Impoſtor ille in humeros ſuos ſuſcepit, & hominem ut mancipium in ſuam poteſtatem redegit, viamque ad cœlum ingrediens, & terram obambulans, & tanquam ova, omnia continens, ut ipſe alicubi gloriatur, putabat ſuum ſolium ſupra cœli nubes eſſe collocandum, ſeque Altiſſimo fore ſimilem. Verum unigenitus Dei filius, & æternus Sermo, miſeratus hominem, ut a Dracone deceptum, ex Patris ſinu ſe ipſum demiſit, & aſſumpta carne ex Spiritu Sancto, & ſancta Virgine & Deipara Maria, per venerandam Crucem & ſupplicium ſuum, quod paſſus eſt, proſtrato adverſario, in infimas terræ partes deſcendit, & inde prolapſum illum primum hominem eduxit, prima pulchritudine imagini reſtituta, & Naturæ priſtina dignitate. Hinc autem abolitus eſt omnis hujus tyranni principatus, & ditio, poſtquam veræ religionis lux, ſolari ſplendore ſplendidior, omni creaturæ illuxit. Ex hac luce divina ſapientia rurſus reſplenduit, & linguas piſcatorum acuit, & inſipientes ſapientum doctores effecit. Hinc ille Tonitrus filius, *IN principio erat Sermo*, ex cœleſtibus nubibus fulguris inſtar emicans, intonuit, & omnem orbem terrarum illuſtravit. Ex hac etiam luce Paulus in tertium cœlum ſublimis tollitur, & non contemplanda mortalibus contemplatur, & ineffabilia audit Oracula, & omnem terram, ut volucer & aerius, percurrit, Jeſum euangelizans. Hinc Petrus Chriſtum Dei viventis filium vocavit, regnique cœleſtis claves fidei ſuæ commiſſas accepit, ut fidelibus quidem aperiret divini templi ingreſſum, infidelibus vero occluderet. Hinc greges Martyrum dejiciunt ſimulacra, & alacres ad mortem currunt, plagas ut coronas, & ſuum ſanguinem ut purpuram circumferentes; victores vere inclyti. † Eſto igitur primus ille homo princeps & caput literæ, ſecundum meam definitionem & orationem, ut fluvius, & fons, & mare, & radix, & rami, & ſurculi, & totius humanæ naturæ primitiæ. † Ab Adamo uſque ad diluvium ſunt anni 2242. A τεσσαράκοντα δύο. ἀπὸ δὲ τοῦ κατακλυσμοῦ, ἕως τῆς πυργοποιίας, ἔτη φκε. [1] ἀπὸ δὲ τῆς πυργοποιίας, ἕως τοῦ Ἀβραάμ, ἔτη υκε. ἀπὸ δὲ τοῦ Ἀβραὰμ ἕως τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐξ Αἰγύπτου, ἔτη υλ. ἀπὸ δὲ τῆς ἐξόδου ἕως τῆς οἰκοδομῆς τοῦ Σολομοντείου Ναοῦ, ἔτη ψνζ. ἀπὸ δὲ τῆς οἰκοδομῆς τοῦ Ναοῦ ἕως τῆς αἰχμαλωσίας τοῦ Ἰσραήλ, υκε. ὁμοῦ ἔτη τετρακισχίλια ω ὀγδοήκοντα. ἀπὸ δὲ τῆς αἰχμαλωσίας ἕως Ἀλεξάνδρου Μακεδόνος τοῦ βασιλέως τιη. ἀπὸ δὲ Ἀλεξάνδρου ἕως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τγ. ὁμοῦ [2] ἔτη εφ. ἀπὸ δὲ τοῦ Χριστοῦ [3] ἕως τοῦ μεγάλου Κωνσταντίνου, τιη. ἀπὸ δὲ Κωνσταντίνου μέχρι Μιχαὴλ υἱοῦ τοῦ Θεοφίλου φνε. ὁμοῦ τὰ πάντα ἔτη ϛτοε. ἀπὸ δὲ Μιχαὴλ ἕως Ῥωμανοῦ υἱοῦ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, [4] ἔτη εὕρηνται ρκ. ἀπὸ δὲ τοῦ Πορφυρογεννήτου ἕως τῆς τελευτῆς Ἰωάννου τοῦ Τζιμισκῆ, [5] ἔτη κε. καὶ Ἀδαμιαῖος, ἀπὸ Ἀδάμ.

---

[1] Ἔστω γοῦν ὁ πρωτόπλ.] Hæc a ſuperioribus diſtinguenda ſunt, quoniam ex alio auctore, & quidem Lexicographo quodam deſcripta eſſe apparet.

[2] Ὅτι ἀπὸ Ἀδάμ] Pearſonius ad marginem Suidæ ſui recte obſervaverat, locum hunc, qui varias annorum Epochas complectitur, deſcriptum eſſe ex Nicephori Patriarchæ CP. Chronographia Compendiaria, quæ in Corpore Hiſtoriæ Byzantinæ Georgio Syncello ſubjuncta eſt. In ea enim pag. 404. pauciſſimis verbis mutatis eadem leguntur, quæ Suidas uſque ad verba illa Ἀπὸ δὲ Μιχαὴλ ἑ. ͵ρ. hoc loco tradit.

Ἀδάμας. ὁ λίθος. καὶ Ἀδαμάντινα, τὰ στερρά. Ὁ [6] δὲ Ἀπολλώνιος ὥσπερεὶ ἑαυτῷ διελέγετο, οἶδα, ἔλεγε· καὶ, δοκεῖ μοι· καὶ, ποῖ φέρεσθε· καὶ, χρὴ εἰδέναι. καὶ δόξαι βραχεῖαι, καὶ ἀδαμάντιναι.

Ἀδαμαστί. ἐπίρρημα.

Ἀδάμαστος παρθένος. ἄζυξ. [7] Σοφοκλῆς· Νῦν δ' ἡ Διὸς γοργῶπις παρθένος θεὰ ἔσφηλεν ἐμβαλοῦσα λυσσώδει νόσῳ.

Ἀδαμίθειος.

Ἀδαξῆσαι, τὸ κνῆσαι. οὐκ [8] ἐν τῷ ὀδαξῆσαι. καὶ Ἀδαχεῖν. τὸ κνήθειν. [9] Ἀδαχεῖ γὰρ αὐτοῦ τὴν ἄχωρα ἐκλέγει τ' ἀεί. Ἀριστοφάνης.

Ἀδαῖον. ἄκαυστον. καὶ [10] Ἀδαῖος. ὄνομα κύριον.

Ἄδαιστον. ἀμέριστον.

Ἄδεν. ἤρεσκεν. ἐν Μύθοις.

Οὐδέ οἱ οὐδ' αἴθων ἄδε πάρδαλις, οὕνεκα θυμοῦ
Ἐμπλείη.

Ἀδεές. ἀσφαλές. οὐ φοβερόν. ὡς ἡ παροιμία. Ἀδεὲς

diluvio vero, uſque ad Turris ædificationem, anni 525. A Turris ædificatione, uſque ad Abrahamum, anni 425. Ab Abrahamo, uſque ad Exitum filiorum Iſrael ex Ægypto, anni 430. Ab Exitu, uſque ad Solomonii Templi ædificationem, anni 757. Ab ædificatione Templi, uſque ad captivitatem Iſraelitarum, anni 425. qui anni in unum ſummam collecti, ſunt 4880. A captivitate, uſque ad Alexandrum Macedonem Regem, 318. Ab Alexandro, uſque ad Chriſtum, Deum noſtrum, 303. Tota ſumma, 5500. A Chriſto, uſque ad Conſtantinum Magnum, 318. A Conſtantino, uſque ad Michaelem, Theophili filium, 555. Tota ſumma eſt annorum 6375. A Michaele, uſque ad Romanum, Conſtantini Porphyrogenneti filium, anni reperiuntur 120. A Porphyrogenneto, uſque ad obitum Johannis Tzimiſcæ, ſunt anni 25. Et Ἀδαμιαῖος, ab Adamo oriundus.

Ἀδάμας. Adamas. Lapis. Et Ἀδαμάντινα, dura. *Apollonius cum diſſereret, quaſi Oracula proferens, Novi, aiebat; &, Videtur mihi; &, Quo ferimini? &, Oportet ſcire: & ſententiæ ejus erant breves & quaſi adamantinæ.*

Ἀδαμαστί. [Indomite.] Adverbium.

Ἀδάμαστος. Virgo, nondum viro juncta. Sophocles: *Nunc vero illa Jovis filia, & terribilis aſpectu Dea me in errorem induxit, furore immiſſo.*

Ἀδαμίθειος. Adamithius.

Ἀδαξῆσαι. Scalpere. Fricare. Significat idem quod ὀδαξῆσαι. Et Ἀδαχεῖν, ſcalpere. *Scalpit enim ſemper ipſius caput, colligitque ex eo [ſordes]*. Ariſtophanes.

Ἀδαῖον. Non uſtum. & Adæus, nomen proprium.

Ἄδαιστον. Indiviſum.

Ἄδεν. Placuit. In Fabulis: *Nec illi ullo modo ardens placuit pardalis, quod iræ eſſet plena.*

Ἀδεές. Tutum. Non metuendum. Ut in

---

[1] Ἀπὸ δὲ τῆς πυργοποιίας, ἕως τοῦ Ἀβρ.] Hic omiſſa eſt Epocha annorum 76. quæ, ut ratio ſummæ conſtet, ex Nicephoro huic loco addenda eſt. Apud eum enim recte ſic legitur: Ἀπὸ δὲ τοῦ πύργου ἕως τῶν διχοτομημάτων Ἀβραάμ, ἔτη υκέ. Ἀπὸ δὲ τῶν διχοτομημάτων Ἀβραάμ, ἕως τοῦ τέλους Ἀβραάμ, ἔτη οϛ'. Si ad calculum revoces ſummas annorum hic percenſitas, iiſque Epocham modo dictam addas, videbis exacte inde confici ſummam annorum 4880, quantam Suidas paulo poſt colligit.

[2] Ἔτη εφ'] Lege ἔτη εφά, i. e. 5501. Tot enim anni ex præcedentibus colliguntur. Cauſa & origo mendi eſt τὸ ά in voce ἀπό: quod alterum ά proxime præcedens abſorpſit.

[3] Ἕως τοῦ μεγάλου Κωνσ.] Iohannes Maſſonius, vir eruditus, & judicii in Chronologicis perquam acuti, bene me monuit, verba hæc Suidæ, vel potius Nicephori, non eſſe intelligenda de obitu Conſtantini, quaſi a nato Chriſto ad id uſque tempus anni 318. tantum effluxiſſent; ſed de anno imperii ejus vigeſimo: quoniam in eum annus a nato Chriſto trecenteſimus duodevigeſimus incidit, ſecundum ſententiam ipſius Nicephori, qui pag. 401. tempus Concilii Nicæni in annum Chriſti 318; Conſtantini vero, vigeſimum confert.

[4] Ἔτη εὕρηνται ρκ'] De hoc loco modo laudatus Ioh. Maſſonius
„ ſequentem obſervationem mecum communicavit. In Edit. Me-
„ diolan. εὕρηνται ἔτη tantum, abſque annorum numero, legitur.
„ Nec ſane τὸ ρκ' bene ſe habet. Etenim teſtibus Glyca, Cedre-
„ no &c. Romanus imperium A. M. Cpolit. 6486. Ind. 3. Men-
„ ſe Sept. iniit; obiit vero, cum 3 annos & 6 fere menſes re-
„ gnaſſet, A. M. Cpolit. 6471. Martii 15. Ind. 6. i. e. anno Æræ
„ vulgaris 963. quo ea Indictio ad Septembrem uſque decurrebat.
„ Jam ſi annos inter annum M. 6375. Cpolit. Michaelis, ſecun-
„ dum Suidam, emortualem, & A. M. 6471, Romani itidem e-
„ mortualem interjectos computemus, annos tantum 97. non
„ 120, inveniemus. At ſi ab initio Michaelis, anno nempe M.
„ Cpolit. 6350. numeremus, tum annos 121. a Michaele uſque ad
„ Romanum reperiemus; quod proxime ad calculum Suidæ ac-
„ cedit.

[5] Ἔτη κέ] Hic numerus cum veritate Chronologiæ pugnat, ſive eum de initiis ſive obitu utriuſque Imperatoris accipias. Conſtantinus enim Porphyrogeneta A. M. Cpolit. 6468. i. e. Ær. vulgaris 960. menſe Sept. exceſſit; 55 circiter annis poſtquam imperium ſuſceperat: Tzimiſches vero ſecundum Glycam, Cedrenum &c. A. M. Cpolit. 6484. i. e. Ær. vulg. 976. obiit. Itaque inter Conſtantini Porphyrog. mortem & Tzimiſchis obitum anni tantum 16 interſunt; at circiter 50 inter utriuſque initia.

[6] Ὁ δὲ Ἀπολλώνιος] Hæc excerpta ſunt ex Philoſtrato de *Vit. Apollon.* lib. 1. cap. XIII. ex quo pro ὥσπερεὶ ἑαυτῷ διελέγετο, legendum eſt, ἀλλ' ὥσπερ ἐκ τρίποδος ὅτε διαλέγοιτο, οἶδα, ἔλεγε &c. uti etiam infra v. Κατεγλωττισμένον recte legitur.

[7] Σοφοκλῆς] In *Aj. Flagellif.* p. 27. ut a Porto obſervatum fuit. Ibi autem verſus hi ſic diſtinguuntur & leguntur:

Νῦν δ' ἡ Διὸς γοργῶπις ἀδάμαστος θεὰ
Ἔσφηλεν, ἐμβαλοῦσα λυσσώδη νόσον.

[8] Οὐκ ἐν τῷ Ὀδαξ.] Puto Suidam ſcripſiſſe, ταὐτόν ἐστι τῷ ὀδαξῆσαι, quod in verſione ſecutus ſum. Nam infra Ὀδαξησμὸς exponitur itidem κνησμός.

[9] Ἀδαχεῖ γ.] De ſenſu hujus ſenarii ἐπέχω, donec ipſum locum Ariſtophanis, ubi is exſtat, invenero. Interim verti, ut potui, & ἄχωρα caput reddidi, quoniam Heſychius auctor eſt, vocem iſtam ſecundum quoſdam κρανίον etiam ſignificare.

[10] Ἀδαῖος] De Adæo quodam vide Athen. XII. p. 532.

δέδιας δέος. Λεγόμενόν τι ἐστὶν ἐπὶ τῶν τὰ μὴ φοβερὰ φοβουμένων.

Ἀδέητος. ὁ μηδενὸς δεόμενος, καὶ πάντα ἔχων. Ἀντιφῶν ἐν α΄ Ἀληθείας. Διὰ τοῦτο οὐδενὸς δεῖται, οὔτε προσδέχεται οὐδενός τι, ἀλλ' ἄπειρος· καὶ ἀδέητος.

Ἀδεκάστως. ἀμερίστως. δικαίως. ἀδωροδοκήτως. ὀρθῶς.

Ἀδεκατεύτους. [1] Ἀριστοφάνης. ἀτελωνήτους. τὰς γὰρ δεκάτας τῶν κοιλιῶν τῶν θυομένων ἐδίδοσαν τὴν δεκάτην μοῖραν ἐν τῷ πρυτανείῳ.

Ἀδεκτώ. ὄνομα Δαίμονος.

Ἀδελφά. οἰκεῖα. ἁρμόζοντα. πρέποντα.

Ἀδέλφιος. ὄνομα κύριον.

Ἀδελφειός. ὁ ἀδελφός. Ἀδελφιδοῦς δὲ, ὁ ἀνεψιός. καὶ τὸν ἀδελφιδοῦν. καὶ Ἀδελφίζειν, ἀντὶ τοῦ ἀδελφὸν καλεῖν. οὕτως Ἰσοκράτης, καὶ ὁ Μιλήσιος Ἑκαταῖος, καὶ Ἀπολλοφάνης ἐχρήσαντο· καὶ τὸ θηλυκὸν, ἡ ἀδελφιδῆ. [2] Ὅτι Ἀλυάτης ὁ τῶν Λυδῶν βασιλεὺς ᾔσχυνε τὴν ἑαυτοῦ ἀδελφήν.

Ἀδελφὸς [3] παρείη. ὅτι προτιμητέον τοὺς οἰκείους εἰς βοήθειαν ἐν καιρῷ περιστάσεως.

Ἀδένη. [4] ἡ φλύαρος. ἡ δεῖνα.

Ἀδερβός. ὄνομα κύριον.

Ἄδερ. [5] ὁ ἀλιτήριος, ὁ ἐπαναστὰς Σολομῶντι. παῖς οὗτος ἦν Ἰδουμαῖος, γένος ἐκ βασιλικῶν σπερμάτων. Καταστρεψαμένου δὲ τὴν Ἰδουμαίαν Ἰωάβου τοῦ Δαβὶδ στρατηγοῦ, καὶ πάντας τοὺς ἐν ἀκμῇ καὶ φέρειν ὅπλα δυναμένους διαφθείραντος μησὶν ἕξ, φυγὼν οὗτος ἧκε πρὸς Φαραὼ τὸν Αἰγύπτου βασιλέα. Ὁ δὲ φιλοφρόνως αὐτὸν ὑποδεξάμενος, οἶκόν τε αὐτῷ δίδωσι, καὶ χώραν εἰς διατροφήν· καὶ γενόμενον ἐν ἡλικίᾳ λίαν ἠγάπα, ὡς καὶ τὴν αὐτοῦ γυναικὸς αὐτῷ δοῦναι πρὸς γάμον τὴν ἀδελφὴν, ὄνομα Θαφίνην· ἐξ ἧς υἱὸς αὐτῷ γενόμενος, τοῖς τοῦ βασιλέως παισὶ συνανετράφη. Ἀκούσας οὖν τὸν Δαβὶδ θάνατον ἐν Αἰγύπτῳ καὶ τὸν Ἰωάβου, προσελθὼν ἐδεῖτο τοῦ Φαραὼ ἐπιτρέπειν αὐτῷ βαδίζειν εἰς τὴν πατρίδα. τοῦ δὲ βασιλέως ἀνακρίνοντος, τίνος ἐνδεὴς ὢν, ἢ τί παθὼν ἐσπούδακε καταλείπειν αὐτὸν, [6] τότε μὲν οὐκ ἀφείθη. Ὕστερον δὲ καθ' ὃν ἤδη καιρὸν Σολομῶντι τὰ πράγματα κακῶς εἶχε διὰ τὰς προειρημένας αἰτίας καὶ παρανομίας, καὶ τὴν ὀργὴν τὴν ἐπ' αὐτοῖς τοῦ θεοῦ, [7] συγχωρήσαντος τοῦ Φαραὼ, ὁ

proverbio: *Non metuendum metuis metum.* Dicitur de iis, qui non timenda timent.

Ἀδέητος. Qui nulla re indiget, & qui omnia habet. Antipho in primo *de Veritate: Propterea nulla re indiget, nec a quoquam quidquam accipit: ſed eſt immenſus, & nullius opera indigens.*

Ἀδεκάστως. Sine ulla participatione. Juſte. Incorrupte. Recte.

Ἀδεκατεύτους. Res, quarum decimas vel vectigal quis non ſolvit. Ariſtophanes. Decima enim pars eorum, quæ Diis immolabantur, Prytanibus dari ſolebat.

Ἀδεκτώ. Adecto. Nomen Dæmonis.

Ἀδελφά. Similia. Convenientia. Decentia.

Ἀδέλφιος. Nomen proprium.

Ἀδελφειός. Frater. Ἀδελφιδοῦς vero, fratris vel ſororis filius. Et Ἀδελφίζειν, fratrem vocare. Sic Iſocrates, & Hecatæus Mileſius, & Apollophanes hac voce uſi ſunt. Et fœmininum, Ἀδελφιδῆ. Alyattes Lydorum Rex ſororem ſuam inceſto polluit.

Ἀδελφὸς π. Frater adſit. Significat, cognatis tempore neceſſitatis potius ſuccurrendum eſſe quam aliis.

Ἀδένη. Garrula. Quædam.

Ἀδερβός. Aderbus. Nomen proprium.

Ἄδερ. Ader. Ille ſceleratus, qui inſurrexit in Salomonem. Hic gente erat Idumæus, & genere regio oriundus. Cum autem Joabus, Davidis dux, Idumæam ſubegiſſet, atque omnes adultos, & qui arma ferre poterant, occidiſſet ſex menſium ſpatio: hic fuga elapſus ad Pharaonem Regem Ægypti ſe contulit. Ille vero homini comiter excepto & domum dedit & agrum, unde viveret; adultumque adeo dilexit, ut uxoris ſuæ ſororem, nomine Taphinam, ipſi in matrimonium daret: ex qua natus ei filius, cum regiis liberis eſt educatus. Audita igitur in Ægypto Davidis & Joabi morte, Pharaonem rogavit, ut ſibi in patriam ire permitteret. At Rege interrogante, qua re indigens, vel qua alia de cauſa a ſe diſcedere cuperet, tunc quidem dimiſſus non eſt. Poſtea vero, afflictis jam rebus Salomonis, ob cauſas ante dictas, & peccata ejus, & Dei propter illa indignationem, permiſſu Pharaonis Aderus in Idumæam venit: regnoque Syriæ potitus, Iſ-

---

[1] Ἀριστοφάνης] Locus Comici, quem Suidas reſpexit, exſtat in *Equitibus*, p. 304. ubi Cleon ſic inducitur loquens:

Καί σε φανῶ τοῖς Πρυτάνεσιν
Ἀδεκατεύτους τῶν θεῶν ἱε-
ρὰς ἔχοντα κοιλίας.

Ubi Scholiaſta: Ἀδεκατεύτους] Μὴ δεδωκότα ἀπ' αὐτῶν τὴν δεκάτην μοῖραν τοῖς θεοῖς. Ἔθος δὲ εἶχον τὰς δεκάτας τῶν θυομένων τοῖς Πρυτάνεσιν οἱ μάγειροι διδόναι. Δέον δὲ εἰπεῖν, ἀδεκάτευτον ἔχοντα οὐσίαν, ὁ δὲ ἀντὶ οὐσίας, κοιλίας ἐπήνεγκεν, ὡς ἀλλαντοπώλῃ.

[2] Ὅτι Ἀλυάτης ὁ τ. Λ. β. ἠ. τ. ἑ. ἀδελφήν] Hæc verba in uno MS. Pariſienſi deſunt, & in altero ad marginem ſcripta leguntur; certiſſimo indicio, hæc non ab ipſo Suida, ſed interpolatoribus ejus profecta eſſe.

[3] Ἀδελφὸς παρείη] Hæc auctoritate duorum MSS. inductus a capite repoſui, cum in cæteris Edit. ſuperiori articulo annexa ſint. Cæterum, proverbium hoc legitur etiam apud Diogenianum.

[4] Ἀδένη. ἡ φλ.] Vocabulum hoc apud alios Grammaticos non reperio. Quare de eo ἐπέχω.

[5] Ἄδερ. ὁ ἀλιτ.] Totum hunc articulum Suidas deſcripſit ex Joſepho *Antiquit. Judaic.* lib. VIII. p. 273. ubi nonnulla tamen paulo aliter leguntur.

[6] Τότε μὲν οὐκ ἀφ.] Locus hic ex Joſepho ſic ſupplendus eſt: ἐνοχλῶν πολλάκις καὶ παρακαλῶν τότε μὲν οὐκ ἀφ. Poſſunt tamen iſta abſque ullo ſenſus diſpendio etiam abeſſe.

[7] Συγχωρήσαντος τοῦ Φαραὼ] Hinc puto emendandum eſſe Joſephum, apud quem legitur συγχωρήσαντος τοῦ θεοῦ Φαραῶνι. Apparet enim, vocem θεοῦ per errorem librarii ex loco proxime præcedenti hic repetitam eſſe.

Ἄδερος ἧκεν εἰς τὴν Ἰδουμαίαν. ὃς τῆς Συρίας βασιλεύσας, κατέτρεχε τὴν τῶν Ἰσραηλιτῶν χώραν, ἐπιτίθεται δὲ Σολομῶντι.

Ἀδέρκων. πόλις Ἰβηρίας.

Ἀδέρκτως. οὐ προσβλέποντες, [1] ἀλλ' ἢ καταμύοντες. [2] παραμειβόμεθα ἀδέρκτως.

Ἀδέψητον. τὸ ὠμόν.

Ἄδεια. ἄνεσις. ἀφοβία. Ἰώσηπος· [3] Οἱ δὲ στασιασταὶ [4] τοὺς Ῥωμαίους ὁρῶντες, κακῆς ὁμονοίας κατήρχοντο. καὶ λόγον ἀλλήλοις ἐδίδοσαν, τί μένοιεν; τί παθόντες ἀνέχοιντο τρία ταῖς ἀναπνοαῖς αὐτῶν [5] ἀναφρασσόμενα τείχη, [6] καὶ τοῦ πολέμου μετ' ἀδείας [7] ἀντιπολεμίζοντος ἑαυτόν.

Ἄδεια. ἡ ἀφοβία. Ἐκέλευον αὐτὸν λέγειν ὅτι χρήζει μετ' ἀδείας. † Ὁ δὲ τῆς μὲν ἀδείας χάριν ὡμολόγει. τὸ δὲ ἑαυτοῦ πάθος ἐπὶ μέγα ἐξάρας, Ῥωμαίοις ἐμέμφετο.

Ἀδειάς. [8] εἶδος ἐσχάρας.

Ἀδειής. ἄφοβος. καὶ Ἄδειος, ὁμοίως.

Ἀδείμαντα. ἄφοβα. καὶ Ἄδειμος, ὁ ἄφοβος.

Ἀδείμαντος. Κορινθίων στρατηγός, [9] ὃς ἄπολιν εἶπε τὸν Θεμιστοκλέα. Ὁ δὲ, τίς, εἶπεν, ἄπολις, ἔχων σ' τριήρεις. Τούτου καὶ Πλάτων μέμνηται [10] ἐν τῷ Πρωταγόρᾳ. ἦν γὰρ τῶν περὶ τοὺς καιροὺς τούτους στρατηγούντων. [11] Ἐκωμῳδοῦντο δὲ ἐπὶ πονηρίᾳ, Κλέων, Μύρμηξ, καὶ Νικόμαχος, καὶ [12] Ἀρχέμορος μετ' Ἀδειμάντου [13] τοῦ Λευκολόφου.

Ἄδειν [14] κελεύονθ' ὥσπερεὶ τέττιγα ἑστιῶντα. διότι πολυλάλον ἐστὶ τὸ ζῶον. Ἀδεῖν δὲ, ἀρέσαι.

Ἄδεις ὥσπερ εἰς Δῆλον πλέων. [15] ἐπὶ τοῦ ἀφροντίστου καὶ φιληδοῦντος.

Ἀδηκότες. [16] ταλαιπωρήσαντες.

Ἀδήλητος. ἀσινής. ἀβλαβής. [17] Ἀγαθίας· Καὶ ἐπεδείκνυντο σῶοί τε καὶ ἀδήλητοι. Δηλῶ γὰρ τὸ βλάπτω.

Ἀδηλία. ἀοριστία. ἀπειρία. Τῷ δὲ ὑπερηφανίᾳ χρωμένῳ, καὶ τὴν τοῦ πολέμου ἀδηλίαν ἥκιστα εἰς

raelitarum terram incursionibus vexavit, & Salomonem bello adortus est.

Ἀδέρκων. Adercon. Urbs Iberiæ.

Ἀδέρκτως. Non intuentes, ſed oculos claudentes. *Præterimus clauſis oculis.*

Ἀδέψητον. Crudum.

Ἄδεια. Remiſſio. Metus vacuitas. Joſephus: *Seditioſi vero Romanos videntes, malam concordiam inire cœperunt, ſermoneſque invicem miſcentes quæſiverunt, quid expectarent? quave de cauſa ſpiritum ſibi tribus muris intercludi paterentur?*

Ἄδεια. Metus vacuitas [Securitas.] *Juſſerunt ipſum libere & ſine metu dicere, quæ vellet.* † *Ille vero impunitatis cauſa rem confeſſus eſt: ſuamque calamitatem vehementer extollens, Romanos incuſabat.*

Ἀδειάς. Genus foci.

Ἀδειής. Metus expers. Et Ἄδειος, idem.

Ἀδείμαντα. Metu carentia. Et Ἄδειμος, metu carens.

Ἀδείμαντος. Adimantus. Corinthiorum Dux, qui Themiſtoclem vocavit patria carentem. Ille vero, Quis, inquit, patria caret, qui 200. triremes habet? Hujus etiam meminit Plato in *Protagora*. Fuit enim de numero illorum Imperatorum, qui circiter illa tempora vixerunt. Propter improbitatem autem a Comicis perſtringebantur Cleon, Myrmex, & Nicomachus, & Archemorus, cum Adimanto, Leucolophi filio.

Ἄδειν κελ. Canere jubentem quaſi cicadam convivio excepiſſet. Valde garrulum enim eſt hoc animal. Ἀδεῖν vero, placere.

Ἄδεις ὥσπ. Canis tanquam in Delum navigans. De homine diſſoluto, & voluptatibus dedito.

Ἀδηκότες. Qui ærumnas ſunt paſſi.

Ἀδήλητος. Illæſus. Incolumis. Agathias: *Et oſtendebantur ſalvi & illæſi.* Δηλῶ enim ſignificat lædo.

Ἀδηλία. Incertitudo. Ignorantia. *Illi vero, homini ſuperbo, & incertos belli eventus mi-*

---

[1] Ἀλλ' ἢ καταμύοντες] Locus hic ex Scholiaſta Sophoclis ad *Oedip. Colon.* p. 275. ſic ſupplendus eſt: Ἀλλ' ἢ καταμύοντες, ἢ κύπτοντες.

[2] Παραμειβόμεθα ἀδ.] Hæc ſunt verba ipſius Sophoclis loco modo laudato, ubi Chorus de Eumenidibus inquit: Ἃς τρέμομεν λέγειν Καὶ παραμειβόμεσθ' ἀδέρκτως, Ἀφώνως, ἀλόγως. Locum hunc Sophoclis Portus etiam recte obſervaverat.

[3] Οἱ δὲ στασιασταὶ τ.] Locus hic ſumptus eſt ex Joſepho *de Bello Judaico* lib. VI. pag. 908. ex quo Suidas partim ſupplendus, & partim emendandus eſt.

[4] Τοὺς Ῥωμ. ὁρ. κακῆς] Supple ex Joſepho, τοὺς Ῥωμαίους ἀφορῶντες στρατοπεδευομένους τριχῆ, κακῆς &c. i. e. *cum Romanos viderent exercitu in tres partes diviſo caſtra poſuiſſe.* Vetus Joſephi interpres, quem Rufinum vulgo appellant, locum hunc aliter olim legit & diſtinxit, ut ex ejus verſione apparet, quæ tamen verum auctoris ſenſum minime exprimit.

[5] Ἀναφρασσόμενα] Lege ex Joſepho ἐπιφρασσόμενα.

[6] Καὶ τοῦ πολ. μ. ἀδ. ἀντ. ἑ.] Hæc verba in verſione non expreſſi, quoniam ſenſus eorum pendet ab iis, quæ proxime apud Joſephum ſequuntur.

[7] Ἀντιπολεμίζοντος] Sic etiam legitur infra v. Πολεμίζειν. Sed ex Joſepho reſtituendum eſt ἀντιπολίζοντας, quæ vox ſignificat, urbem vel munimenta inſtar urbis contra aliquos exſtruere, ut hoſtes contra obſeſſos facere ſolent.

[8] Ἀδειάς. εἶδος ἐσχ.] Apud Heſychium poſt v. Ἀδέρεθρωτον legimus Ἀδίας, ἐσχάρα, βωμός. Et Alibi, Ἄδις, ἡ ἐσχάρα.

[9] Ὃς ἄπολιν εἶπε τὸν Θεμ.] Vide Herodotum in *Urania* cap. LXI. & Plutarchum in *Themiſtocle* pag. 117.

[10] Ἐν τῷ Πρωταγόρᾳ] Pag. 195. G.

[11] Ἐκωμῳδοῦντο δὲ ἐπὶ πον.] Vide Ariſtoph. *Ran.* p. 188. Edit Baſil. quem locum Suidas reſpexit, ut recte a Porto obſervatum fuerat.

[12] Ἀρχέμορος] Apud Ariſtoph. loco laudato idem vocatur Ἀρχένομος.

[13] Τοῦ Λευκολόφου] Apud Platonem, loco paulo ante citato, Adimanthus hic vocatur filius Λευκολοφίδου.

[14] Ἄδειν κελεύονθ' ὥσπ.] Non diſplicet opinio Porti, qui locum hunc ſic legendum & diſtinguendum putat:
Ἄδειν κελεύονθ' ὥσπερεί τινα τέττιγ' ἑστιῶντα.

[15] Ἐπὶ τοῦ ἀφρ. καὶ φιληδ.] Zenobius addit: Εὐχερὴς γὰρ ὁ πλοῦς τὴν Δῆλον πλεῦσαι, καὶ οἱ ἐκεῖσε [illegible] ἀφροντίστως πλέοντες ᾖδον.

[16] Ἀδηκότες] Vide Heſychium & Etymologum h. v.

[17] Ἀγαθίας] Locus iſte exſtat apud Agathiam lib. 1. p. 24.

νοῦν βαλλομένῳ, ἠλπίζετο ῥᾳδίως αἱρήσειν τὸν βάρβαρον. Ἀδηλία δὲ, ἡ κρυφιότης.

Ἀδηλώσας. ἀγνώριστον ποιήσας. Ὁ δὲ ἀδηλώσας ἑαυτὸν πιναρᾷ στολῇ, καὶ λαβὼν δρέπανον ὡς ἂν γῆς ἐργάτης.

Ἀδημονία. ἡ φροντίς.

Ἀδημονῶ. τὸ λίαν λυποῦμαι. Ὁ δὲ τὸ μὲν πρῶτον ἠδημόνει, καὶ ἡσυχίαν εἶχεν ὑπὸ τοῦ παρόντος κακοῦ. καὶ Ἀδημονούσης, ἀπορούσης.

Ἀδημονῶν. ἀγωνιῶν. ἀκηδιῶν. καὶ Ἀδημονέστερος, ἀντὶ τοῦ ἀγωνιστικώτερος. Ὧν δὲ τοῦ προσήκοντος ἀδημονέστερος, ἀντεῖχε τούτῳ.

Ἄδην. ἅλις. ἢ εἰς κόρον. ἱκανῶς. ἀρκούντως. ἢ λάβρως. κατακόρως. Ἐν Χαρμίδῃ· Ἐπεὶ δὲ τῶν τοιούτων ἄδην ἔχομεν. καὶ Ἡρόδοτος· Ὡς δὲ ἄδην εἶχον κτείνοντες, τὰ λοιπὰ αὐτῶν ἤλαυνον. † Ἐπινεμομένου τε ἄδην τοῦ πυρὸς τὰς ἀγχοῦ τειχῶν οἰκίας, ταραχῆς ἐπλήσθη ἡ πόλις. Καὶ αὖθις· Οἱ δὲ οἴνῳ ἄδην ἐχρῶντο ἑσπέριοι καὶ ἐς νύκτα τελευτῶντες. Καὶ αὖθις· Οἱ [1] δὲ ἄδην καὶ ἀπείρως σπῶσι τοῦ οἴνου. Καὶ ἀνατραπέντες ἔκειντο ὡς ἔτυχον αὐτῶν ἕκαστος εἰκῇ. Καὶ αὖθις· [2] Τοῦ δὲ οἴνου καὶ τῶν ἄλλων ἄδην ἐνεπίπλαντο οἱ Κελτοὶ, τήν τε φύσιν ὄντες ἀκρατεῖς, καὶ χώραν ἔχοντες ὅτι μὴ πρὸς δημητριακοὺς καρποὺς τῶν ἄλλων ἄγονον καὶ ἀφυᾶ. τά τε σώματα αὐτοῖς μεγάλα ὄντα, καὶ τρυφηλὰ, καὶ σαρκῶν ὑγρῶν μεστὰ, καὶ ὑπὸ τῆς ἀδηφαγίας καὶ μέθης ἐς ὄγκον καὶ βάρος ἐξεχεῖτο· ἐς δρόμους δὲ καὶ πόνους ἀδύνατα πάμπαν. καὶ ἀπὸ ἱδρῶτος καὶ ἄσθματος, [3] ὅπου τι δέοι κάμνειν, ἐξελύοντο ταχέως. Καὶ αὖθις· [4] Οἱ δὲ βασιλικοὶ ἐν ἐξουσίᾳ γενόμενοι τοῦ ἄδην τὰ δημόσια καταναλίσκειν, Συβαριτικῶς τὸν νέον κραιπαλᾷν ἐνήργουν.

Ἀδηνέως. ἁπλῶς, καὶ ἀταλαιπώρως. κατὰ στέρησιν τῶν δηνέων, καὶ μεριμνῶν.

Ἀδήριτος. ἀνίκητος. ἄμαχος. ἀκαταπόνητος. Τὴν [5] λείαν τῶν πολεμίων ἤλπισεν ἀδήριτον περιαιρεῖν. ἀντὶ τοῦ ἄμαχον. καὶ Ἀδηρίτως, ἀφιλονείκως.

Ἄδης. [6] Ἄδη δυσκίνητε, τί τὴν ἐπέραστον ἑταίραν
Ἥρπασας; ἦ καὶ σὴν Κύπρις ἔμηνε φρένα;

Ἀδήσεις. ἀρέσεις.

Ἀδηφαγία. ἡ ἀπληστία. καὶ Ἀδηφάγος, ἀθρόως ἐσθίων, πολυφάγος, γαστρίμαργος. [7] Ἀδηφάγοι τριήρεις λέγοιντ' ἂν αἱ ἐντελόμισθοι, καὶ πολλὰ ἀναλίσκουσαι, ἐκ μεταφορᾶς τῶν τελείων καὶ ἀγωνιστῶν

nime secum reputanti spes erat, se Barbarum facile superaturum esse. Ἀδηλία significat rem occultam & absconditam.

Ἀδηλώσας. Ignotam speciem inducens. *Ille vero sordida veste indutus, & velut agricola, falce sumpta, se omnibus ignotum reddidit.*

Ἀδημονία. Cura. Solicitudo.

Ἀδημονῶ. Vehementer doleo. *Ille primum quidem dolore anxius ob præsens malum quiescebat.* Et Ἀδημονούσης, cum ad angustias redactam se sentiret.

Ἀδημονῶν. Animo anxius. Solicitus. Et Ἀδημονέστερος, Certaminis cupidior. *Cum autem supra modum esset certaminis cupidus, illi restitit.*

Ἄδην. Satis. Vel, ad satietatem usque. Abunde. Vel, vehementer. In Charmide: *Siquidem talia ad satietatem usque habemus.* Et Herodotus: *Cum autem cæde satiati essent, reliqua ipsorum abegerunt.* † *Igne autem ædes muris vicinas longe lateque depascente, urbs tumultu repleta est.* Et rursus: *Illi vero & vesperi & nocte vino sese ingurgitabant.* Et rursus: *Illi vero, affatim & supra modum vino hausto, prostrati & passim fusi temere jacebant.* Et rursus: *Galli autem vino aliisque rebus affatim sese replebant, quippe natura intemperantes, & terram incolentes, quæ nihil præter Cereales fruges producit. Quare corpora illorum natura magna, delicata & molli carne distenta, præ nimia cibi & potus copia in molem & pondus iners soluta, cursus & labores neutiquam ferre poterant, sed anhelitu & sudore, ubi molestia aliqua exantlanda erat, cito diffluebant.* Et rursus: *Aulici vero, nacti potestatem pecuniam publicam luxu perdendi, adolescentem impulerunt, ut more Sybaritico ebrietati indulgeret.*

Ἀδηνέως. Simpliciter. Sine molestia. Vox enim ista privationem δηνέων, i. e. curarum significat.

Ἀδήριτος. Invictus. Expers prælii. Qui nullo labore fatigari potest. *Prædam hostium se absque prælio ablaturum speravit.* Et Ἀδηρίτως, absque contentione.

Ἄδης. *Orce inexorabilis, cur amabilem amicam
Rapuisti? An & tuam Venus amore inflammavit mentem?*

Ἀδήσεις. Placebis.

Ἀδηφαγία. Insatiabilis edendi aviditas. Et Ἀδηφάγος. Cibo se ingurgitans. Edax. Gulosus. Triremes Ἀδηφάγοι dici possunt eæ, quæ plenum stipendium accipiunt, & multa consumunt; per metaphoram ab equis per-

---

[1] Οἱ δὲ ἄδην κ.] Eadem leguntur infra v. Ἀνατραπέντες.

[2] Τοῦ δὲ οἴνου καὶ τῶν ἀλ.] Fragmentum hoc esse Appiani discimus ex Excerptis Peiresc. a Valesio editis, pag. 557. & 558. ubi hæc inter Excerpta ex Appiano ipsissimis verbis leguntur.

[3] Ὅπου τι δέοι] In prioribus Edit. post δέοι desideratur vox κάμνειν, quam ex Appiano huic loco restituendam putavi.

[4] Οἱ δὲ βασιλικοὶ ἐν ἐξ.] Locum integrum auctoris, cujus hoc est ἀποσπασμάτιον, Suidas adducit infra v. Ζήνων. βασιλ.

[5] Τὴν λείαν τῶν πολ.] Hæc stilum Polybii sapiunt, qui lib. III. cap. XCIII. de Fabio ipsissimis pene verbis inquit: Τὴν μὲν λείαν αὐτῶν ἤλπισεν ἀδηρίτως περισυρεῖν· quem locum acceptum refero eruditissimo viro Jacobo Gronovio, qui eum ad Fragmenta Polybii e Suida collecta observavit.

[6] Ἄδη δυσκίνητε] Est pars Epigrammatis in Laidem meretricem, quod integrum legitur Anthol. lib. III. p. 329. ut a Porto etiam observatum fuerat.

[7] Ἀδηφάγοι τριήρ.] De significatione vocis ἀδηφάγος eadem habent Harpocratio, Hesychius, & Eustathius ad Odyss. Α. p. 1394. Vide etiam Pollucem lib. I. cap. IX. num. 25.

ἵππων. Ἀλκαῖος δὲ [1] ἐν τῷ Κωμῳδοτραγῳδῷ [2] τοὺς πότας λύχνους ἀδηφάγους εἶπεν.

Ἀδῄωτον. ἀπόρθητον. Οἱ δὲ τὴν γῆν ἀδῄωτον ἔχειν ἐθέλοντες, ὡμολόγησαν ἀργυρίου σταθμὰ δισχίλια δώσειν.

Ἀδιαβηνή. [3] αὕτη ἡ χώρα κεῖται περὶ τὴν Μεσοποταμίαν ὡς ἐπὶ ἀνατολὴν πέραν τοῦ Τίγρητος. ἐν αὐτῇ δέ ἐστι καὶ ἡ ἄσφαλτος [4] ἡ λεγομένη Νάφθα. Λέγεται δὲ Ἀδιαβηνή, διὰ τὸ εἶναι πλείους ποταμοὺς ἐν αὐτῇ, καὶ δυσχερεστέραν ποιεῖν τὴν διάβασιν. Ἐκεῖ που ἐστὶ καὶ ἡ Νινευΐ. τοσαύτην δὲ ἀσφάλειαν ποιεῖ τοῖς κτίσμασιν ἡ ἄσφαλτος, ὥστε ταῖς ὀπταῖς πλίνθοις, καὶ τοῖς λεπτοῖς λίθοις συμμιγεῖσα, ἰσχυροτέρα γίνεται παντὸς σιδήρου. Ἐκεῖσε δέ ἐστι καὶ τὸ Ἄορνον στόμιον, ἐξ οὗ δεινὸν πνεῦμα ἀναδίδοται, ὥστε πᾶν μὲν ἐπίγειον ζῶον, πᾶν δὲ πτηνὸν ἀποφθείρειν, καὶ εἰ πρὸς τὸ τυχὸν ὀσφρήσαιτο. [5] καὶ εἰ ἐσκεδάννυτο, οὐκ ἂν ᾠκίσθη ὁ χῶρος. [6] ἀλλὰ κατ' εὐθεῖαν ἄνεισι, καὶ ὀλίγον ἀνερχόμενον πάλιν ἀντανακλᾶται· καὶ ἐκ τούτου τά τε ἐν ὑψηλοτέρῳ πετόμενα σώζεται, καὶ [7] τὰ πέριξ νεμόμενα. καὶ Ἀδιαβηνός.

Ἀδιάδραστον. ἄφυκτον. Καταπλαγείη δ' ἄν τις τὸ ἀδιάδραστον τῆς δίκης ἐκ τῆς συμβάσης τούτῳ τιμωρείας.

Ἁλωάς. Areas, quas & ἀλωνίας vocant, ſive loca, ubi triticum tunditur. Item, locus fructuum ferax. A verbo ἀλοιῶ deducitur ἀλῳὴ cum ι [ſubſcripto.] *Qui vaſtare ſolebat vineam Oenei.* Ἁλωὰς vero, ab ἅλως, abſque ι ſcribitur. Dicitur etiam Ἅλωνος, & in Dativo Ἅλωνι.

> *Hic tibi apud aream, infortunata & laborioſa formica,*
> *Sepulcrum ex arida gleba condidi.*

Ἀλώβητον. Omnis labis, vel vitii expers. Illæſum.

Ἁλωαί. Areæ, vel Paradiſi, hortique amœni.

Ἁλῷεν. Capiantur. Diripiantur.

Ἀλωεύς. Nomen proprium.

Ἁλωή. Ager frumenti ferax. Ἀλόη vero eſt [aroma] myrepſicum.

Ἀλώμενος. Errans. Vagans. *Gepædes vero ſparſi & vagantes ad ipſum paulatim accedebant.* Et rurſus. *Theoſyles vero relicta patria vitam vagam perpetuo agebat.* Item: *Ego vero poſt irruptionem Barbarorum Pharaam profectus ſum.*

Ἁλῶν δὲ φόρτ. Salis vero onus unde venit, eo redit. Dicitur in eos, qui bonis ſuis ſoli utuntur, nec quenquam eorum participem faciunt.

Ἁλῶναι. Captum eſſe. Conſtrictum eſſe. *Et maxime cavebat, ne perjurii convinceretur.*

Ἁλωνευόμενος. Appianus. *Reliquo vero æſtatis tempore utrique in annona colligenda occupati fuerunt, Perſeus quidem in areis, Romani vero in caſtris frumenta terentes.*

Ἁλώνητον. Sale emptum, ſive Barbarum. Et proverbium: *Sale emptum mancipium:* quod dicitur de hominibus nullius pretii, quia mercatores ſalem in loca mediterranea advehere, eoque mancipia emere ſolebant. Et Ἁλώνητος, idem quod Barbarus. Thraces enim mancipia ſale vendebant.

Ἁλωνία. Ad aream pertinens. Et Ἁλωνοτριβῶ, in area verſor.

Ἀλωπεκῆθεν. Ἀλωπεκὴ eſt populus Tribus Antiochidis; cujus popularis vocatur Ἀλωπεκεύς. Et Ἀλωπεκία, galea.

Ἀλωπεκίζων. Dicitur de illis, qui alios decipere conantur.

---

quorundam Grammaticorum ſententia, τὸ ἅλως dictum eſſe παρὰ τὸ ἅλες, quod in area ſpicæ coacerventur. Clare Etymologus: Ἅλως, παρὰ τὴν τῶν ἀσταχύων συνάθροισιν. ἐκεῖ γὰρ συναθροίζονται οἱ ἀστάχυς. παρὰ τὸ ἅλες, ὃ σημαίνει τὸ συνάθροισμα. Hinc ergo patet, quam ridicule Portus vocem ἅλες in hoc loco Suidæ reddiderit *ſales*, quaſi eſſet pluralis, a nominativo ſingulari ἅλς, ἁλὸς, *ſal*, cum ſit adjectivum neutrum, a maſculino ἅλης, vel ἄλης (utroque enim modo ſcriptum reperitur) i. e. *confertus, coacervatus:* qua voce Hippocrates frequenter utitur, ut Lector diſcere poterit ex Foeſii *Oeconomia Hippocratis* v. Ἅλης.

[1] Ἁλῷ. πιεσθῇ, καταγνωσθῇ] Poſt hæc verba in prioribus Edit. ſequentia leguntur: Ἁλῷ. κατὰ περιποίησιν γενικῇ. Ἐπὶ δὲ τῆς ἐπιχθοῦς τῶν γονέων κακώσεως ἁλούς. Καὶ, ἐὰν δέ τις ἁλῷ παρανόμων ἢ κλοπῆς· quæ nota in uno, eoque antiquiſſimo, MS. Pariſ. prorſus deeſt; in duobus aliis vero ad marginem ſcripta legitur: quæ ratio eſt, quare eam in textum recipere noluerim.

[2] Ἁλῷα. ἑορτ.] Ex Harpocratione. Vide etiam Meurſium in *Græcia Feriata* v. Ἁλῷα.

[3] Ἔθων Οἰνῆος ἀλῳήν] Eſt pars verſus Homerici Il. I. 536. ubi ſcribitur ἀλωὴν, cum ſpiritu tenui, & abſque ι ſubſcripto.

[4] Αὐτοῦ σοι παρ' ἅλωνι] Eſt diſtichum Epigrammatis, quod integrum legitur Anthol. lib. III. pag. 383. Vide etiam infra v. Δυσπαθής.

[5] Ἐτέλει] Probo conjecturam Porti, pro ἐτέλει, διετέλει hic legentis.

[6] Ἁλῶν δὲ φόρτος κτλ.] Vide Zenobium & Diogenianum.

[7] Ἁλώνητον.] Vide Zenobium.

[8] Ἀλωπεκῆθεν. δῆμός ἐστιν ἡ Ἀλ.] Ex Harpocratione.

Ἀλωπεκόννησος. πόλις ἐστὶ μία τῶν ἐν Χερρονήσῳ. ὅτι [1] Αἶνος πόλις ἐστὶ τῆς Θρᾴκης, ἣν Ἕλληνες τὰ πρῶτα Ἀλωπεκοννησίοις κατῴκισαν· ὕστερον δὲ ἐκ Μιτυλήνης καὶ Κύμης ἐπηγάγοντο ἐποίκους.

Ἀλώπηξ. ὄνομα κύριον. καὶ παροιμία· Ἀλώπηξ οὐ δωροδοκεῖται. ἐπὶ τῶν μὴ ῥᾳδίως δώροις πειθομένων. Κρατῖνος Νόμοις· Ὑμῶν εἷς μὲν ἕκαστος ἀλώπηξ οὐ δωροδοκεῖται.

Ἀλώπηξ τὸν βοῦν ἐλαύνει. τάττεται ἡ παροιμία ἐπὶ τῶν μὴ κατὰ λόγον ἀποβαινόντων. [2] Κερδοῖ [3] συνών τε κερδοσύνην μὲν προσδόκα.

Ἀλωπόχρους. ὁ πολιός.

Ἁλωρῆται. οἱ τοὺς ἅλας φυλάσσοντες.

Ἄλλως. μάτην. ἢ μάλιστα. ἢ κατ' ἄλλον τρόπον. εἴρηται δὲ καὶ τηνάλλως, μετὰ τοῦ ἄρθρου. Οὐδὲ ἠλίθιοι ἄλλως αἱ εὐχαί, [4] αἱ κατὰ τοῦ θεοῦ ἐχθροῦ ἀραί.

Ἄλλως. ματαίως. Ἐπόνουν δὲ ἄλλως.

Ἄλως. τῆς ἅλω. κλίνεται Ἀττικῶς.

Ἄλλως. Οἰόμενος τοῦτο οὐ δυνατόν, εἴτε ἄλλως, εἴτε καὶ δυνατὸν φανείη, συμφέρον αὐτῷ γενέσθαι. ἀντὶ τοῦ, κατ' ἄλλον τρόπον. ἢ μάτην, ἢ μάλιστα. Καὶ αὖθις· Ὑπὲρ δὴ τούτων τί φατὲ οἱ τὴν πρόνοιαν ἀλᾶσθαι ἄλλως, καὶ μῦθον εἶναι λέγοντες. Καὶ αὖθις· Τὰ δὲ ἄλλα τοῖς φιλοσόφοις ἐπήρκει, καὶ τοῖς δεομένοις, ἄλλως δι' ἐπιείκειαν, καὶ ἐλευθέριον προαίρεσιν.

Ἄλλως [5] ᾄδεις. ἐπὶ τῶν μάτην πονούντων.

Ἄλλως ἀναλίσκεις ὕδωρ. ἐπὶ τῶν μάτην ἐν λόγοις πονούντων. μετήνεκται δὲ ἀπὸ τῶν ἐν [6] τοῖς δικαστηρίοις πρὸς ὕδωρ λεγόντων.

Ἁλώσιμα. εὔληπτα. Ἀρριανός· [7] Ἀπὸ τῶν φρουρίων ὁρμώμενος ἦγέ τε καὶ ἔφερε τῆς ὑπ' ἐκείνῳ οὐκ ὀλίγην, καὶ αὐτὸς οὐδαμῇ ἦν ἁλώσιμος.

Ἄλλως τε. μάλιστα.

Ἁλωτόν. τὸ ληφθῆναι δυνάμενον. [8] Πᾶν τὸ ζητούμενον, ἁλωτόν· ἐκφεύγει δὲ τἀμελούμενον. καὶ Ἁλωτοί· ληπτοί, χειρωτοί. καὶ Εὐριπίδης· Οὐ μή ποθ' ἁλῶ κακὰ δράσων.

Ἄλλῳ τῳ. ἀντὶ τοῦ, ἄλλῳ τινί.

Ἄλπειον. ὄνομα ὄρους. καὶ Ἄλπεις, ὄρη ἐπιμήκη· ἃ ὥσπερ τεῖχος Ἰταλίας ἡ φύσις ἤγειρεν, ὑπερνεφῆ μὲν τὸ ὕψος, ἐπιμηκέστατα δέ, ὡς πᾶσαν Ἰταλίαν διειληφότα καθήκειν· ἃς εἰσβολὰς καλοῦσι. Καὶ

Ἀλωπεκόννησος. Urbs eſt Cherſoneſi. Ænus autem eſt urbs Thraciæ, quam Græci primum Alopeconneſiis inhabitandam dederunt: poſtea vero ex Mitylena & Cumis colonos eo deduxerunt.

Ἀλώπηξ. Nomen proprium. Et proverbium: *Vulpes haud corrumpitur muneribus.* Dicitur in eos, qui non facile capiuntur donis. Cratinus *Legibus: Unuſquiſque enim veſtrum, ut vulpes, non corrumpitur donis.*

Ἀλώπηξ τὸν βοῦν ἐλαύνει. Vulpes bovem agit. Proverbium hoc dicitur de rebus, quæ præter ordinem naturæ eveniunt. † *Cum vulpe verſans, aſtutiam expecta.*

Ἀλωπόχρους. Canus.

Ἁλωρῆται. Salis cuſtodes.

Ἄλλως. Temere, maxime, vel alia ratione. Dicitur etiam τηνάλλως cum articulo. *Neque irritæ fuerunt preces adverſus Dei hoſtem* [*fuſæ.*]

Ἄλλως. Fruſtra. *Fruſtra laborabant.*

Ἄλως. Attice declinatur, ἡ ἅλως, τῆς ἅλω.

Ἄλλως. Aliter. *Exiſtimans fieri non poſſe* (*ſive res hæc ita, ſive aliter ei videretur*) *ut id ſibi conduceret.* Significat etiam temere, vel maxime. Et iterum: *Ad hæc vero quid dicitis vos, qui providentiam temere errare, & fabulam eſſe dicitis.* Et iterum: *Cætera vero Philoſophis & egentibus abunde ſuppeditabant, maxime propter morum bonitatem, & liberalem animum.*

Ἄλλως ᾄδεις. Fruſtra canis. Dicitur de illis, qui fruſtra laborant.

Ἄλλως ἀναλ. Fruſtra conſumis aquam. Dicitur in eos, qui fruſtra verba faciunt. Tranſlatum eſt ab illis, qui in judiciis ad clepſydram dicunt.

Ἁλώσιμα. Quæ facile capi poſſunt. Arrianus. *Ex caſtellis erumpens non exiguam partem regionis, ejus ditioni ſubjectæ, vaſtabat; & ipſe nuſquam capi poterat.*

Ἄλλως τε. Maxime.

Ἁλωτόν. Quod capi poteſt. *Quicquid diligenter quæritur, tandem capitur: effugit vero, quod negligitur.* Et Ἁλωτοί, qui capi & in poteſtatem noſtram redigi poſſunt. Euripides: *Ne unquam in malo facinore deprehendar.*

Ἄλλῳ τῳ. Dictum pro ἄλλῳ τινί. Alii alicui.

Ἄλπειον. Nomen montis. Et Ἄλπεις, montes longiſſimi. Hæ Alpes, quas natura velut murum Italiæ objecit, altitudine nubes ſuperant, tantæque ſunt longitudinis, ut totam Italiam concludant. Eædem vocantur fauces [Italiæ.] † *Alpes ſunt*

---

[1] Ὅτι Αἶνος πόλις ἐστὶ τῆς Θρᾴκης &c.] Eadem repetuntur infra v. Αἶνος.

[2] Κερδοῖ συνών τε κερδ.] Eſt verſus, ad ſomniorum interpretationem pertinens, qui etiam apud Aſtrampſychum legitur.

[3] Συνών τε κερδ.] Lege, συνὼν τὴν κερδοσύνην, ut apud Aſtrampſychum. Cæterum, ſupervacaneum puto monere, verſum hunc pertinere ad v. Κερδώ, nec ei ſuum hic locum eſſe: id enim cuilibet facile patet.

[4] Αἱ κατὰ τοῦ θεοῦ ἐχθροῦ] Lego κατὰ τοῦ θεοέχθρου, i. e. adverſus Dei hoſtem. Vox ἀραὶ autem, quæ ſequitur, eſt ſuperflua, & proinde expungenda: niſi forte quis legendum cenſeat, καὶ ἀραί.

[5] Ἄλλως ᾄδεις. ἐπὶ τῶν μ.] Eadem leguntur apud Zenobium & Diogenianum.

[6] Ἐν τοῖς δικαστ. πρὸς ὕδωρ λεγ.] Apud Græcos olim cauſas ad clepſydram actas fuiſſe alibi docemus. Vide infra v. Διαμεμετρημένη.

[7] Ἀπὸ τῶν φρουρίων ὁρμ.] Fragmentum hoc Arriani repetitur infra v. Ἦγε καὶ ἔφερεν.

[8] Πᾶν τὸ ζητούμενον ἁλ.] Ex Sophocl. *Oedip. Tyran.* v. 110. ubi locus hic ita diſtinguitur:

——————— Τὸ δὲ ζητούμενον
Ἁλωτόν· ἐκφεύγει δὲ τἀμελούμενον.

Ἄλπεις,[1] ὄρη διορίζοντα Γάλλους καὶ Αἰλούργους[2] ἔνθα ξυνέβαινε φρούρια συχνὰ εἶναι. οὗ δὴ Γότθοι ἐκ παλαιοῦ ἱδρυμένοι φυλακὴν εἶχον.

Ἄλση. τεμένη.

Ἅλσιν[3] διασμηχθεὶς οἶμαι γ' ἂν οὑτοσί. ἐπὶ τῶν παραπαιόντων μεταφορικῶς ἀπὸ τῶν κεραμίων, καὶ οἴνου, [4]ὅσοι ἅλας βάλλονται, ὑπὲρ τοῦ μὴ ἐξίστασθαι, μηδὲ ὀξίζειν εὐχερῶς. [5]ἐπειδὴ τοὺς ὑπὸ μέθης ὥσπερ παραφρονοῦντας ὑποβρέχειν εἰώθαμεν ἐλαίῳ ἁλσὶ μεμιγμένῳ. ὡς ἐπὶ τοῦ [6]Στρεψιάδου μὴ καθεστηκότος, ἀλλὰ καὶ παραφρονοῦντος, ὃς ἐπὶ ὁμολογουμένοις ἐξαρνός ἐστιν· οὕτω τῇ μεταφορᾷ ἐχρήσατο. Φησὶν οὖν, ὅτι οὐ τὰ τυχόντα οὗτος ὠφεληθείη διαβραχεὶς ἁλσίν, ὡς ἐπὶ ἀσκοῦ τὸν λόγον ποιούμενος, οἵ τινες, σμηχόμενοι ἁλσί, βελτίονες γίνονται. ἅμα δὲ καὶ παραφρονοῦντας βρέχομεν ἐλαίῳ καὶ ἁλσί, καὶ ὠφελοῦνται. ἢ ὡς παχύδερμον αὐτὸν χλευάζει. τὰ γὰρ παχέα ὑπὸ πιμελῆς τῶν δερμάτων ἁλσὶ μαλαττόμενα εὐρύτερα γίνεται. Ὄναιτο οὖν, φησιν, ἀποκαθαρθεὶς τὴν παχύτητα.

Ἀλσίνη.[7] βοτάνης εἶδος, ψύχουσά τε καὶ ὑγραίνουσα, παραπλησίως τῇ Ἑλξίνῃ. ὅθεν πρὸς τὰς ζεούσας ἁρμόζει φλεγμονάς.

Ἄλσος. ὁ σύνδενδρος τόπος. Αἵ τε νῆες, ἃς ἐπήξαντο ἐκ τῶν Ὀλυμπιακῶν ἀλσέων, καὶ τοῦ χώρου τοῦ τῷ Διῒ κομῶντος, κατεσάπησαν.

Ἄλτειον.[8] ὄνομα ὄρους.

Ἀλλοιῶσα.[9] ἡ τύπτουσα. καὶ Ἀλλοιᾶν, τύπτειν.

Ἁλοίη. κρατηθείη. καὶ Ἁλοῖεν. ληφθεῖεν.

Ἄλλοι κάμον, ἄλλοι ὤναντο. ἐπὶ τῶν [10]παρ' ἐλπίδα κληρονομησάντων.

Ἀλλοῖος. ὁ παρηλλαγμένος, ἢ ἀλλοδαπός.

Ἀλλοιοφανής.

Ἀλοιῶν. τύπτων. κρούων. Ὁ δὲ ῥοπάλῳ ἀλοιῶν, εἴτ' ἑτέρῳ τρόπῳ, τοῦτον ἔκτεινεν. Ἔνθεν καὶ πατραλοίας, ὁ τὸν πατέρα τύπτων. καὶ Ἀλοιῶσα, ἡ τύπτουσα. καὶ [11]Ὅμηρος· Ἄχρις ἀπηλοίησεν. Ἀλύω δέ, τὸ χαίρω. καὶ Ἀλύω, τὸ λυποῦμαι, βαρυτόνως.

Ἀλλοίωσις. Ἀλλοίωσίς ἐστι μεταβολὴ ἐξ εἰδοπεποιημένου εἰς εἰδοπεποιημένον, τοῦ αὐτοῦ ὑποκειμένου μένοντος. [12]διττοῦ δὲ τοῦ πάθους λεγομένου· τὸ μὲν εἰς φθορὰν ἄγον κυρίως λέγεται πάθος τε, καὶ ἀλλοίωσις· τὸ δὲ εἰς τελειότητα, οὐ κυρίως λέγεται πάθος, οὐδὲ ἀλλοίωσις, ἀλλὰ γένεσις μᾶλλον.

Ἄλλοις μὲν γλῶττα, ἄλλοις δὲ [13]γόμφοι. παρόσον οἱ μέν, λάλοι, οἱ δέ, φάγοι.

montes, qui Gallos & Ligures dividunt: ubi crebra erant caſtella. Ibidem Gothi, ex longo tempore habitantes, præſidia habebant.

Ἄλση. Nemora. Luci.

Ἅλσιν διασμηχθ. *Sale deterſus, forte melius ſe habebit.* Dicitur hoc in eos, qui deſipiunt: tranſlatione ducta a vaſis fictilibus, itemque vino, cui ſal injicitur, ne vappeſcat, aut facile aceſcat. [Vel hoc ideo dictum,] quia eos, qui ebrietate quaſi deſipiunt, oleo ſale mixto perfundere ſolemus. Quaſi igitur fœneratore deſipiente, nec ſana mente prædito, utpote qui res manifeſtas negaret, hac tranſlatione uſus eſt. Dicit igitur, multum ei profuturum eſſe, ſi ſale abſtergatur; tanquam de utre loquens, qui ſale fricti meliores fiunt. Deſipientes etiam oleo & ſale conſperſi melius ſeſe habere ſolent. Vel eum, tanquam hominem craſſa cute præditum, irridet. Craſſiores enim pelles, ſale maceratæ, extenduntur. Ait igitur, melius ſeſe habebit a craſſitie liberatus.

Ἀλσίνη. Herbæ genus refrigerans & humectans, eodem modo quo Elxine: unde adverſus ferventes inflammationes utilis eſt.

Ἄλσος. Locus arboribus conſitus. *Naves, quas compegerant ex Olympiacis lucis, & loco, qui arbores Jovi ſacras ferebat, computruerunt.*

Ἄλτειον. Nomen montis.

Ἀλλοιῶσα. Verberans. Et ἀλλοιᾶν. Verberare.

Ἁλοίη. Capiatur. Et Ἁλοῖεν. Capiantur.

Ἄλλοι κάμον, ἄλλ. Alii laborarunt, alii vero fructum perceperunt. Dicitur in eos, qui præter ſpem aliorum bona conſequuti ſunt.

Ἀλλοῖος. Immutatus, vel alienigena.

Ἀλλοιοφανής. [Qui diverſam ſpeciem habet.]

Ἀλοιῶν. Verberans. Percutiens. *Ille vero vel clava eum percutiens, vel alio quodam modo eum interfecit.* Hinc & πατραλοίας, patricida. Et Ἀλοιῶσα, verberans. Et Homerus: *Prorſus confregit.* Ἀλύω autem, gaudeo: item, doleo; cum accentu gravi.

Ἀλλοίωσις. Ἀλλοίωσις eſt, cum una ſpecies in alteram mutatur, eodem ſubjecto manente. Cum autem ἀλλοίωσις duplex ſit; ea, quæ res deſtruit, proprie vocatur πάθος & ἀλλοίωσις: ea vero, quæ res ad perfectionem perducit, non proprie dicitur πάθος vel ἀλλοίωσις, ſed potius generatio.

Ἄλλοις μὲν γλ. Aliis lingua; aliis vero dentes molares. [Dictum hoc ideo,] quia illi ſunt loquaces; hi vero, voraces.

---

[1] Ἄλπεις, ὄρη διορίζοντα Γάλλους καὶ Αἰλ.] Fragmentum hoc excerptum eſt ex Procop. *de Bello Goth.* lib. II. cap. XXVIII.

[2] Αἰλούργους] Nomen gentis hujus corruptum quidem eſſe vidit acutiſſimus Reineſius *Var. Lect.* lib. III. cap. 2. pag. 364. ſed minus recte Αἰρύλους, vel Ἰλλούργους, ejus loco reponendum putat. Ignorabat enim verba iſta deprompta eſſe ex Procopio, apud quem, loco laudato, recte legitur Λιγούργους, i. e. Ligures: quam lectionem in verſione ſecutus ſum.

[3] Ἅλσιν διασμηχθ.] Eſt verſus Ariſtoph. in *Nubibus*, pag. 193. ubi vide veterem enarratorem, ex quo Suidas ſua deſcripſit.

[4] Ὅσοι ἅλας βάλλονται] Apud Scholiaſtam Ariſtophanis legitur, οἷς ἅλας βάλλονται; quod probo, modo pro βάλλονται ſcribatur ἐμβάλλονται.

[5] Ἐπειδὴ] Lege ex Scholiaſta, ἢ ἐπεί.

[6] Στρεψιάδου] Lege δανειστοῦ, ut in Scholiis. Non enim hæc de Strepſiade dicuntur, ſed ipſe Strepſiades ea de fœneratore dicit.

[7] Ἀλσίνη. βοτάνης εἶδ.] Hæc deſcripta ſunt ex Paulo Ægineta lib. VII. cap. II. ubi locus hic ita legitur: Ἀλσίνη· αἱ δὲ μυὸς ὦτα. τὴν δύναμιν ὁμοίαν ἔχει τῇ Ἑλξίνῃ, ψύχουσά τε καὶ ὑγραίνουσα· διὸ πρὸς τὰς ζεούσας ἁρμόζει φλεγμονάς.

[8] Ἄλτειον] Scribendum eſt Ἄλπειον. Vide ſupra v. Ἄλπειον.

[9] Ἀλλοιῶσα] Lege ἀλοιῶσα, & ἀλοιᾶν, per unum λ.

[10] Παρ' ἐλπίδα κληρονομησάντων] Ex Zenobio & Diogeniano addendum eſt τὰ ἀλλότρια.

[11] Ὅμηρος] Il. Δ. v. 522.

[12] Διττοῦ δὲ τοῦ πάθους λεγ.] Vide infra v. Πάθος.

[13] Γόμφοι] Sic etiam Zenobius. Apud Diogenianum vero & Mich. Apoſtolium rectius legitur γομφίοι, i. e. *dentes molares*.

Ἀλύω. τὸ χαίρω. καὶ Ἀλύω, τὸ λυποῦμαι.

Ἄλοιτο. κινοῖτο. ὁρμῷτο.

Αἰεί[1] τοι λιπαρῷ ἐπὶ σήματι, θεῖε Σοφόκλεις,
Σκηνίτης μαλακοὺς κισσὸς ἄλοιτο πόδας.

Ἀλοιφή. τὸ λίπος. καὶ ἡ ἄλειψις.

Ἀλυάττης. [2] Λυδῶν βασιλεύς. ὃς ἦν μὲν τὰ πολέμια γενναῖος, ἄλλως δὲ ἀκόλαστος· καὶ γάρ ποτε τὴν ἑαυτοῦ ἀδελφὴν ᾔσχυνεν. ἐγέννησε δὲ Ἀλυάττην, ὅς τις ἕως μὲν νέος ἦν, ὑβριστὴς ἦν, καὶ ἀκόλαστος· ἐκβὰς δὲ ἐς ἄνδρας, σωφρονέστατος, καὶ δικαιότατος, καὶ ἀνδεικώτατος. Ἐπολέμησε δὲ Σμυρναίοις, καὶ εἷλε τὸ ἄστυ. Οὗτος γεννᾷ τὸν Κροῖσον. Στρατεύσας δὲ ἐπὶ Καρίαν, παρήγγειλε τοῖς ἑαυτοῦ στρατὸν ἄγειν ἐς Σάρδεις, ἐν οἷς καὶ Κροίσῳ, ὅστις ἦν αὐτῷ πρεσβύτατος τῶν παίδων, ἄρχων ἀποδεδειγμένος Ἀδραμυττείου τε καὶ Θήβης πεδίου. [3] Ἀλυάττου πολιορκοῦντος Πριήνην φησίν.

Ἀλύβη.[4] ὄνομα στήλης.

Ἀλύδαινος. ὁ κακὸς ἄνεμος.

Ἀλύδιμος.[5] ἡ οἰκουρός.

Ἀλύει. ἀδημονεῖ. δυσχεραίνει. ἀθυμεῖ. ἀπορεῖ. Ἀλύουσα καὶ ἀγάλλουσα παῦσαι. καὶ Ἀλύω, τὸ χαίρω ἐνίοτε.

Ἀλύειν. τὸ ἐν ἄλῃ δυσφορεῖν. Σημαίνει δὲ ἐνίοτε, καὶ τὸ γεγηθέναι, ἀπὸ τῆς ἀλέας καὶ διαχύσεως. Ὅμηρος[6].

Ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην;

ὅθεν καὶ δασύνεται. Σοφοκλῆς· Ἐᾶτέ μ' ὧδ' ἀλύειν. Ἐπὶ δὲ τοῦ δυσφορεῖν, καὶ ψιλοῦται. [7] Ἀγαθίας φησίν· Ἀλύοντι δὲ οἱ, καὶ γνωματεύοντι ἕκαστα, ἔδοξε χρῆναι[8] ἀποπειρᾶσθαι ἁμηγέπη τοῦ φρουρίου. Δίδυμος δὲ ἀμφότερα ψιλῶς. τὸ μὲν γὰρ ἀπὸ τοῦ ἀλεαίνεσθαί φησιν· τὸ δὲ, ἀπὸ τῆς ἄλης. Ἀττικώτερον δὲ, τὸ ἀμφότερα δασύνειν. καὶ γὰρ τὸ Ἁλεαίνεσθαι δασύνουσιν οἱ Ἀττικοί, καὶ πάντα τὰ τοιαῦτα.

Ἀλύω. Gaudeo. Lætor. Et Ἀλύω. Doleo. Triſtor.

Ἄλοιτο. Moveatur. Saliat.

Semper ſplendidum tuum ſuper ſepulchrum, divine Sophocles,
Scenica hedera mollibus repat pedibus.

Ἀλοιφή. Pinguedo. Item, quo ungimur.

Ἀλυάττης. Alyattes, Lydorum Rex, erat quidem in bello fortiſſimus, ſed alioqui intemperans. Sororem enim ſuam ſtupraſſe dicitur. Genuit Alyattem, qui in adoleſcentia quidem petulans fuit & libidinoſus: idem vero cum ad ætatem virilem perveniſſet, ſummæ moderationis, juſtitiæ, & fortitudinis laudem reportavit. Bellum geſſit cum Smyrnæis, eorumque urbem cepit. Hic genuit Crœſum: cumque expeditionem in Cariam ſuſcepturus eſſet, [filiis] ſuis, inter quos & Crœſo natu maximo, qui Adramyttio & Thebes campo præfectus erat, mandavit, ut exercitum Sardes adducerent.

Ἀλύβη. Nomen columnæ.

Ἀλύδαινος. Malus ventus.

Ἀλύδιμος. Domus cuſtos.

Ἀλύει. Mœret. Ægre fert. Animum deſpondet. Fluctuat. *Mœrere & indignari deſine.* Et Ἀλύω interdum ſignificat gaudeo.

Ἀλύειν. Iniquo animo aliquid ferre, ut illi, qui erroribus acti huc & illuc vagantur. Significat etiam interdum lætari, ideo quod animus lætitia diffundatur. Homerus:

An lætaris, quod Irum erronem viciſti?

Unde etiam cum ſpiritu aſpero ſcribitur. Sophocles: *Sinite me ſic dolori indulgere.* Agathias: *Fluctuanti vero illi, & ſingula perpendenti, viſum eſt expugnationem propugnaculi aliquo modo tentare.* Didymus vero utrumque cum ſpiritu leni ſcribit. Nam alterius quidem originem a verbo ἀλεαίνεσθαι, i. e. *calefieri*; alterius vero, a voce ἄλη i. e. *error*, arceſſit. Magis tamen Atticum eſt, ſi utrumque denſo ſpiritu notes. Nam & verbum ἀλεαίνεσθαι, & omnia hujus generis, cum ſpiritu aſpero Attici ſcribunt.

Ἀλυκόν. δριμύ. Ἀλυκὸν[9] δέ οἱ ἔκπεσε δάκρυ.

Ἀλυκρά.[10] χλιαρά. Γέντο δ' ἀλυκρά.

Ἀλυκτεῖν. δυσφορεῖν. ἀγανακτεῖν.

Ἄλυκτον. τὸ ἄφυκτον.

Ἀλυκτοπέδη. ἡ χαλεπὴ πέδη.

Ἀλυκόν. Acre. *Acris autem ipſi excidit lacryma.*

Ἀλυκρά. Tepida. *Facta eſt autem tepida.*

Ἀλυκτεῖν. Moleſte ferre. Indignari.

Ἄλυκτον. Inevitabile.

Ἀλυκτοπέδη. Moleſta pedica.

---

[1] Αἰεί τοι λιπαρῷ ἐπὶ σήμ.] Diſtichum hoc eſt pars Epigrammatis in Sophoclem, quod integrum legitur Anthol. lib. III. cap. XXV. p. 396.

[2] Λυδῶν βασιλεὺς, ὃς ἦν μὲν τὰ πολ.] Hæc, & quæ ſequuntur, ſunt verba Nicolai Damaſceni apud Conſtantin. Porphyrog. in Collectan. a Valeſ. editis, pag. 453. unde ea Suidas deprompſit. Notandum autem eſt, verba illa priora, Λυδῶν βασιλεὺς &c. uſque ad ἀδελφὴν ᾔσχυνεν, apud Conſtantinum, loco laudato, de Sadyatte, patre Alyattis, dici: quæ proinde cum Suidas hic ad Alyattem referat, apparet, eum mala fide locum iſtum excerpſiſſe.

[3] Ἀλυάττου πολιορκοῦντος Πριήνην φησίν.] Hæc verba nec apud Conſtantinum in Excerptis reperiuntur; nec ſententiam integram, ſed mutilam prorſus, continent: quæ ratio eſt, quare ea in verſione prætermiſerim.

[4] Ἀλύβη. ὄνομα στήλης] Alybe erat una columnarum Herculis, quæ ab aliis Calpe vocabatur; ut patet ex Euſtathio ad Dionyſium v. 64. Ἔστι δὲ αὐτῶν ἡ μὲν Εὐρωπαία, Κάλπη καλουμένη βαρβαρικῶς, Ἀλύβη δὲ καθ' Ἕλληνας· ἡ δὲ Λιβυκὴ κατὰ βαρβάρους μὲν Ἄβεννα καλουμένη, Ἑλληνικῶς δὲ Κυνηγητική. i. e. *Columnarum altera in Europa ſita erat, quæ a Barbaris vocabatur Calpe, a Græcis vero Alybe: altera vero in Libya, a Barbaris Abenna, a Græcis vero* Κυνηγητικὴ *appellata.* Euſtathio ſuffragatur Tzetzes Chil. II. v. 339.

Ἀλύβην τε καὶ τὴν Ἄβινναν στήλας ἵστατι δύο.

i. e. *Duas columnas ſtatuit* [*Hercules,*] *Alybam & Abinnam.* Per *Alybam* enim hic intelligit eam columnam Herculis, quæ in Hiſpania ad fretum Herculeum ſita erat, & ab aliis *Calpe*, ut diximus, appellabatur: per *Abinnam* vero eam, quæ in oppoſito litore Mauritaniæ poſita, a nonnullis *Abyla* vocabatur.

[5] Ἀλύδιμος. ἡ] Aliter hanc vocem exponit Heſychius, quem vid.

[6] Ὅμηρος] Odyſſ. Σ. v. 332.

[7] Ἀγαθίας] Lib. I. p. 20.

[8] Χρῆναι] Hæc vox deeſt apud Agathiam.

[9] Ἀλυκὸν δέ οἱ ἔκπεσε δάκρυ] Videtur ſumptum ex Homero Il. B. v. 266. ubi tamen hodie legitur, θαλερὸν δέ οἱ ἔκπεσε δάκρυ.

[10] Ἀλυκρά. κλ.] Vide Etymologum, ſecundum quem ἀλυκρὸν dictum eſt pro θαλυκρόν.

'Αλυκτοσύνη· ἡ ἔκκλισις.

'Αλύξαι. ἐκφυγεῖν. ἢ καταξύσαι.

'Αλυπότερος. ὁ μὴ λυπούμενος.

'Αλυσίδιον. καὶ ἁλυσιδωτὸς θώραξ.

'Αλυσις, ἁλύσεως.

'Αλύσιον. πλοκίου γένος περὶ τὸν τράχηλον. [1] Μένανδρος Καρίνῳ· [2] Περὶ τὸν τράχηλον ἁλύσιον τί σοι δώσω.

'Αλυσιτελές. ἀσύμφορον.

'Αλυσκάζειν. περιΐστασθαι. ἐκκλίνειν. φεύγειν.

Εἰ [3] γὰρ φέγγος ἔλειπον ἀλυσκάζουσαι ἰάμβων
Ἄγριον [4] Ἀρχιλόχου φθέγμα [5] Λυκαμβιάδες.

Ἄλυτα. ὄνομα πόλεως.

Ἄλυτος. δυσχερῶς λυόμενος. ἐν [6] Ἐπιγράμματι·

——— Κακοῦ δ' ἐπὶ γήραος ἡμῖν
Ἄλυτος [7] [8] ἡβάσκει γυιοτακὴς πενίη.

Ἄλφα. ὅτι τὰ ἄκλιτα, οἷον τὸ ἄλφα, χωρὶς ἄρθρου διδῶσιν ἐπίνοιαν εὐθείας· εἰ δὲ σὺν ἄρθρῳ, πλαγίας πτώσεως. Ὅτι ἡ τοῦ Ἄλφα φωνὴ, τοῦ πρώτου στοιχείου καὶ ἄρχοντος, ἀπὸ τοῦ Ἄλεφ Ἑβραίου τὴν ἐπίκλησιν ἔλαβεν· [9] ὥστε τὰ ἱερὰ γράμματα εὑρήματα εἶναι τοῦ Ἀβραὰμ, κἂν ἄλλως καὶ ἄλλως ἑαυτοὺς διαπαίζοντες ἀναγράφωσιν Ἕλληνες.

Ἀλφάνει. εὑρίσκει. [10] Μένανδρος Ὁμοπατρίοις· [11] Ἦν δῆλον ὅτι νυμφίος τε ἀλφάνει. Ἀριστοφάνης Θεσμοφοριαζούσαις·

Οἴμοι [12] κακοδαίμων τῆς τόθ' ἡμέρας, ὅτε
Εἶπέν μ' ὁ κῆρυξ οὗτος ἀλφάνῃ.

Εὔπολις Ταξιάρχαις· Οὐ θᾶττον αὐτὴν δεῦρό μοι τῶν τοξοτῶν ἀποκηρύξει τις ἐὰν ἀλφάνη. [13] Καὶ ὁ Ποιητής· [14] Ἑκατόμβοιον ὅς τ' ἀλφάνει.

'Αλυκτοσύνη. Declinatio. Vitatio.

'Αλύξαι. Declinare. Vel, radere.

'Αλυπότερος. Qui non dolet.

'Αλυσίδιον. [Catenula.] Et 'Αλυσιδωτὸς θώραξ, hamata lorica.

'Αλυσις, ἁλύσεως. Catena.

'Αλύσιον. [Ornamenti] tortilis genus, quo collum circundatur. Menander *Carino*: *Circa collum dabo tibi monile.*

'Αλυσιτελές. Quod non conducit.

'Αλυσκάζειν. Cavere. Declinare. Vitare.

Si enim lucem reliquerunt fugientes Iamborum
Archilochi amarulentiam Lycambi filiæ.

Ἄλυτα. Nomen urbis.

Ἄλυτος. Qui difficulter ſolvi poteſt. In Epigrammate:

——— *In mala vero ſenectute*
Cum dura & membra exedente paupertate mihi conflictandum eſt.

Ἄλφα. Nomina indeclinabilia, ut τὸ ἄλφα, ſine articulo poſita, caſum rectum indicant: cum articulo vero, caſum obliquum. Litera Ἄλφα, quæ primum & principem in Alphabeto locum tenet, ab Hebraico *Aleph* appellationem ſuam accepit. Quamobrem ſacræ literæ ſunt Abrahami inventum, quamvis Græci variis modis ſe ipſi deludentes, eas ſibi adſcribant.

Ἀλφάνει. Invenit. Menander in *Homopatriis*: *Erat manifeſtum quidnam ſponſus tunc inveniſſet*. Ariſtophanes *Theſmophor*.

Heu me infelicem illius diei cauſa,
Quando dixit præco - - - - -

Eupolis *Taxiarchis*: *Non citius aliquis lictorum eam inventam pronuntiabit*. Et Poeta: *Qui centum boum pretio dignus eſt.*

---

[1] Μένανδρος Καρίνῳ] Athenæus & Stobæus laudant Menandrum Καρίνῃ. uti etiam hic legendum non dubito.

[2] Περὶ τὸν τράχηλον ἀλ.] Eſt ſenarius Iambicus, ſed turbatus, quem ſic in ordinem rediges:

Περὶ τὸν τράχηλον ἁλύσιον δώσω τί σοι.

[3] Εἰ γὰρ φέγγος ἐλ.] Diſtichum hoc eſt pars Epigrammatis in Archilochum, quod integrum exſtat Anthol. lib. III. p. 391. ut a Porto etiam obſervatum fuit.

[4] Ἄγριον Ἀρχιλόχου φθ.] Archilochum poetam fuiſſe maledicentiſſimum, & mordacibus virulentiſque Iambis ſuis Lycambum una cum filiabus ad ſuſpendium adegiſſe, notiſſimum eſt. Hinc in Epigrammate Anthol. lib. III. cap. XXV. eleganter de eo dicitur:

——————— Ὅς ποτε πικρὴν
Μοῦσαν ἐχιδναίῳ πρῶτος ἔβαψε χόλῳ. i. e.
——————— *Qui quondam mordacem*
Stilum vipereo tinxit felle.

Huc etiam ſpectat tritum illud proverbium, Ἀρχίλοχον πατεῖς, de quo vide infra.

[5] Λυκαμβιάδες] Vide Anthol. lib. III. cap. X. pag. 330. ubi Epigrammata quædam in tragicam earum mortem leguntur.

[6] Ἐν Ἐπιγράμματι] Anthol. lib. VI. cap. III. p. 549. ut Portus etiam obſervavit.

[7] Ἄλυτος] Metri gratia legendum eſt Ἄκλυτος, ut in Anthologia.

[8] Ἡβάσκει] Brodæus in notis ad hunc locum Anthologiæ joculari errore τὸ ἡβάσκει in duas voces ἢ βάσκει diviſit, vertitque, *quæ accedit, properat*; cum ſit una tantum vox, ſignificans *pubeſcit, floret, viget*. Auctor enim Epigrammatis hujus argutias & acumen captavit ex oppoſitione illorum verborum κακοῦ δ' ἐπὶ γήραος, & ἡβάσκει, ſignificare volens, paupertatem pubeſcere quaſi, & tum maxime vigere, dum ætas ad ſenium vergat. Ego in loco hoc vertendo non tam verborum, quam ſenſus rationem habui.

[9] Ὥστε τὰ ἱερ. γράμμ. εὑρ.] Hæc, & quæ ſequuntur, leguntur etiam ſupra v. Ἀβραάμ.

[10] Μένανδρος Ὁμοπατρίοις] Hanc fabulam Menandri laudat etiam Stobæus duobus in locis, ut obſervavit Meurſius in *Bibliotheca Attica*, v. Μένανδρος.

[11] Ἦν δῆλον ὅτι νυμφ.] Senarius hic claudicat, quem Portus ſic in integrum reſtituendum putat:

Ἦν δῆλον ὅ, τι νυμφίος ποτ' ἀλφάνῃ.

Conjecturam hanc Porti nec refellere nec defendere animus mihi eſt, quoniam, quis hujus fragmenti ſit ſenſus, ignoro, neque ex tam paucis, iiſque corruptis, verborum reliquiis veram Poetæ mentem eruere potui.

[12] Οἴμοι κακοδαίμων τῆς τόθ' ἡμ.] Quamvis integrum Ariſtophanem diligenter perlegerim, & cum Suida contulerim, verba tamen hæc in *Theſmophoriazuſis* me legiſſe non memini. Quare neſcio, an non forte Suidas ἁμάρτημα μνημονικὸν hic commiſerit, & aliud agens Ariſtophani tribuerit, quæ ejus non ſunt, ſed alius auctoris: cujus peccati Grammaticum noſtrum nonnunquam reum deprehendi. Cæterum, fragmentum hoc propter brevitatem obſcurum eſt, adeo ut nemo verum ejus ſenſum indagare queat, niſi locum auctoris, ex quo id depromſit Suidas, invenerit.

[13] Καὶ ὁ ποιητής] In uno MS. Pariſ. ſcriptum inveni, Καὶ Εὔπολις.

[14] Ἑκατόμβοιον ὅς τ' ἀλφάνῃ] Vertendum eſt, *qui centum boum pretio dignus eſt*. Apud Græcos enim eleganter τιμὴν εὑρίσκειν (ſive, quod idem eſt, ἀλφάνειν) dicuntur res, vel merces, quæ certo pretio dignæ ſunt, ut erudite obſervavit Salmaſius ad Flavium Vopiſcum, pag. 546. Eadem phraſi uſus eſt Homerus Il. Φ. 79. Ἑκατόμβοιον δέ τοι ἦλφον. i. e. ſi proprie vertas, *centum boum pretium tibi inveni*. Senſus autem eſt: *Magno pretio a te venditus ſum.* Antiquiſſimis enim temporibus præcipuæ opes conſiſtebant in pecoribus, inter quæ principem locum tenent boves. Hinc factum eſt, ut ante inventum nummorum uſum pretia rerum bobus potiſſimum priſci mortales metirentur. Hinc orta ſunt vocabula illa, ἑκατόμβοιον, ἀλφεσίβοια, & ſimilia.

'Αλφε-

Ἀλφεσίβοια.[1] εὑρετικὴ βοῶν.

Ἀλφειός. ποταμός. [2]Ὅμηρος·

Ὅς τ' εὐρὺ ῥέει Πυλίων διὰ γαίης.

Ὃς[3] ἐκ τῆς πηγῆς εὐθέως κρύπτεται, καὶ πολὺν ἐκχεθεὶς τόπον ὑπὸ γῆς, ἐκβάλλει περὶ Λυκόαν τῆς Ἀρκαδίας. ὁ δὲ ποταμὸς οὐ πολὺν τόπον ἀποσχὼν τῆς πηγῆς, καὶ κρυφθεὶς ἐπὶ δέκα σταδίους, πάλιν ἐκπίπτει, καὶ τὸ λοιπὸν φερόμενος διὰ τῆς Μεγαλοπολίτιδος, ταῖς μὲν ἀρχαῖς ἐλαφρὸς, εἶτα λαμβάνων αὔξησιν, καὶ διανύσας ἐπιφανῶς πᾶσαν τὴν προειρημένην χώραν [4]ἐπὶ δέκα σταδίους, [5]ἐκφανεὶς γίνεται πρὸς Λυκόαν, ἤδη προσειληφὼς καὶ τὸ τοῦ Λυσίου ῥεῦμα, παντελῶς ἄβατος ὢν καὶ βαρύς.

Ἀλφειός. ποταμὸς [6]τῆς Ἀρκαδικῆς πόλεως, ἣ κεῖται κατὰ τὴν Πελοπόννησον. [7]δυόμενος δὲ διὰ τῆς Ἀδριάδος θαλάσσης εἰς τὸ πέλαγος, μηδαμῶς τε τῇ ἁλμυρίδι μιγνύμενος, κατὰ τὴν νῆσον ἀναδίδοται Σικελίας, περὶ τὴν πηγὴν τὴν λεγομένην Ἀρέθουσαν, ὡς ἂν ταύτης ἐρώμενος. [8]Ἀλλ' οὑτοσὶ τρέχει τις Ἀλφειὸν πνέων. οὕτω συντόμως τρέχει, ὡσεὶ Ὀλυμπιακὸς σταδιοδρόμος· ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ.

Ἀλφηστής. εὑρετής.

Ἄλφι.[9] ἄλφιτον. τοῦτο δὲ καλεῖται ἀπίτρωκλον, ὅ φασι πρῶτον εὑρεῖν Ἐπίχαρμον.

Ἄλφιτα. τὰ ἀπὸ νέας κριθῆς ἄλευρα. Πολλὰ μὲν ἄλφιτα ἀπέκειτο πεφυρμένα· πολλαὶ δὲ κριθαὶ ἀλεῖν. μύλη γάρ τις ἦν αὐτόθι.

Ἀλφιταμοιβούς. [10]Ἀριστοφάνης·

Ἢν [11]δ' ἀποκλίνῃ τὴν θύραν,
Τοὺς ἀλφιταμοιβοὺς τοῖς ἀπόροις τρεῖς χοίνικας
Δεῖπνον παρέχειν ἅπασιν, ἢ κλαίειν μακρά.

Ἀλφιτεῖς. οἱ τὰ ἄλφιτα ποιοῦντες. Ὑπερείδης.

Ἀλφιτόπωλις. ἡ τὰ ἄλφιτα πωλοῦσα.

Ἀλφιτοσιτῶ. Καὶ γὰρ ὅς τις ἀλφιτοσιτεῖ, ὕδατι μεμιγμένην ἀεὶ τὴν μᾶζαν ἐσθίει. [12]Ξενοφῶν.

Ἀλφοὺς λευκούς. ἢ [13]λευκάς.

Ἅμα. δοτικῇ. Δημοσθένης ἐπὶ τοῦ εὐθέως καὶ παραχρῆμα ἔταξε, καὶ ἐν τῷ ὑπὲρ Ῥητόρων λόγῳ εἰπών· Ὁ γὰρ θάνατος [14]τοῖς εὖ φρονοῦσιν οἰκτρός· τοῦτο γὰρ ἅμα τῷ γενέσθαι πάντων κατέγνωσται. Αἰσχίνης δὲ ἐπὶ τοῦ κατὰ τὸν αὐτὸν καιρὸν, [15]ἐν τῷ κατὰ

Ἀλφεσίβοια. Quæ plurium boum pretio digna eſt.

Ἀλφειός. Fluvius. Homerus: *Qui late fluit Pyliorum per terram.* Hic non procul a fontibus occultatur, & longum iter ſub terra emenſus juxta Lycoam Arcadiæ emergit. [Aliter.] Hic fluvius haud longe a fontibus progreſſus, terram ſubit, &, poſtquam per x ſtadia occultus manavit, rurſus erumpit, ac deinceps per Megalopolitanum agrum fluens, initio quidem modicus & lenis, poſtea vero incremento accepto celebris univerſam illam regionem permeat per cc ſtadia, & ad Lycoam rurſus emergit, adſcito jam Luſio flumine, tranſitu omnino difficilis & rapidus.

Ἀλφειός. Alpheus, fluvius Arcadiæ, quæ ſita eſt in Peloponneſo. Hic mare Adriaticum & pelagus tranſiens, nec cum aqua ſalſa permixtus, in inſula Siciliæ emergit, juxta fontem, qui Arethuſa vocatur, quaſi ejus amore captus. † *At iſte currit, ut quidam Alpheum ſpirans.* Id eſt, tam concitato curſu fertur, ut qui Olympiæ ſtadium currit. [Tranſlatio ducta eſt] a præterfluente fluvio.

Ἀλφηστής. Inventor.

Ἄλφι. Farina. Per apocopen, pro Ἄλφιτον: qua voce primum dicunt uſum eſſe Epicharmum.

Ἄλφιτα. Farina, ex novo hordeo confecta. *Magna autem vis farinæ mixtæ ibi repoſita erat; itemque magna vis hordei ad molendum. Erat enim ibi mola quædam.*

Ἀλφιταμοιβούς. [Farinæ venditores.] Ariſtophanes: *Farinæ venditores pauperibus tres choenices ad cœnam præbere* [*oportere*] *omnibus, aut in malam rem abire.*

Ἀλφιτεῖς. Qui farinam faciunt. Hyperides.

Ἀλφιτόπωλις. Mulier, quæ farinam vendit.

Ἀλφιτοσιτῶ. [Farina veſcor.] *Quicunque enim farina veſcitur, mazam aqua mixtam ſemper edit.* Xenophon.

Ἀλφούς. Vitiligines albicantes.

Ἅμα. [Simul.] Dativo gaudet. Demoſthenes pro *ſtatim* & *confeſtim* hac voce uſus eſt in Oratione pro Oratoribus, dicens: *Mors viris prudentibus non videtur miſeranda. Hæc enim, ſimul ac naſcuntur homines, omnibus eſt decreta.* Æſchines vero in Oratione contra Cteſiphon-

---

[1] Ἀλφεσίβοιαι] Eſt vox Homerica Il. Σ. v. 593.
Ἔνθα μὲν ἠΐθεοι, καὶ παρθένοι ἀλφεσίβοιαι.
Scholiaſta ad eum locum: Ἀλφεσίβοιαι, ἔντιμοι, καὶ διὰ τὴν εὐμορφίαν βόας εὑρίσκουσαι ἕδνα. Θρέμματα γὰρ τὸ παλαιὸν ἐδίδοτο περὶ τῶν γάμων δῶρα. ὠνόμασται δὲ ἀπὸ μέρους· ἐπειδὴ ἔντιμοι τὸ παλαιὸν οἱ βόες. Ἀλφαίνειν γὰρ τὸ εὑρίσκειν, καὶ ἀλφὴ ἡ τιμή. Idem Scholiaſta vocem hanc ad Il. Z. v. 236. ſic exponit: Ἀλφεσίβοιαι, εὑρίσκουσαι, κτώμεναι, καὶ περιποιοῦσαι ἑαυτοῖς ἕδνα πολλῶν βοῶν ἄξια. Vide etiam Etymologum.

[2] Ὅμηρος] Il. E. v. 545.

[3] Ὃς ἐκ τῆς πηγῆς εὐθέως κρ.] Hæc, & quæ ſequuntur, ſunt verba Polybii apud Conſtantinum Porphyrog. in Excerptis a Valeſio editis, pag. 74. unde ea Suidas deſcripſit.

[4] Ἐπὶ δέκα σταδίους] Apud Conſtantinum in Excerptis, loco laudato, legitur σ' σταδίους, i. e. *per ducenta ſtadia*; quæ inſignis eſt differentia.

[5] Ἐκφανεὶς] Hæc vox deeſt apud Conſtantinum.

[6] Τῆς Ἀρκαδικῆς πόλεως] Lego, τῆς Ἀρκαδικῆς χώρας.

[7] Δυόμενος δὲ διὰ τῆς Ἀδρ.] Vide Pauſaniam lib. v. cap. vii.

[8] Ἀλλ' οὑτοσὶ τρέχ.] Ex Ariſtoph. *Avib.* p. 411. *P.* † Eadem leguntur ſupra v. Ἀλλ' οὑτοσί.

[9] Ἄλφι. ἄλφιτον] De vocibus apocopen paſſis, uti ἄλφι pro ἄλφιτον, δῶ pro δῶμα, λὶ pro λίαν, ῥᾶ pro ῥᾴδιον, ἧλ pro ἧλος &c. vide inſignem locum apud Strabonem lib. viii. pag. 364.

[10] Ἀριστοφάνης] In *Eccleſiaz.* p. 736.

[11] Ἢν δ' ἀποκλίνῃ τὴν θύραν] Inter hæc verba, & ea quæ ſequuntur, verſus aliquot apud Ariſtophanem interjecti ſunt: unde apparet, Suidam locum hunc mutilaſſe, & minus fideliter ex Comico excerpſiſſe.

[12] Ξενοφῶν] *Cyropæd.* lib. vi. pag. 161. *P.*

[13] Λευκάς] Ab aliis ſcribitur λεύκας, παροξυτόνως. Eſt autem λεύκη genus morbi, qui vitiligo albicans vocatur: de quo vide ſcriptores Medicos.

[14] Τοῖς εὖ φρονοῦσι] Legendum puto τοῖς ἀφρονοῦσι; vel τοῖς εὖ φρονοῦσιν οὐκ οἰκτρὸς, quam lectionem in verſione ſecutus ſum.

[15] Ἐν τῷ κατὰ Κτησιφῶντος] Pag. 281.

Κτησιφῶντος. Ὡς ἀπέδοτο τριάκοντα μνῶν ἅμα τήν τε εἰς αὑτὸν ὕβριν, καὶ τὴν τοῦ δήμου [1] καταχειροτονίαν. Καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. Καὶ παρὰ τῷ Ἀντιφῶντι δὲ τὸ ἅμα κεῖται [2] ἐπὶ τὸ αὐτό. Φησὶ γὰρ ἐν Προοιμίοις· [3] Ἀλλ' εἰ τότε πρᾶγμά μοι κρεῖττον φαίνεται, ἅμα τε μαρτυρίᾳ ἀρετῆς πράξομαι. Καὶ [4] παρὰ Δημοσθένει ἐν τῷ περὶ Στεφάνου· Πάσαις δὲ λοιδορίαις καὶ βλασφημίαις ἅμα τούτου κεχρημένου.

Ἅμα [5] δίδου, καὶ λάμβανε. παροιμία ἐπὶ τῶν ἀγνωμόνων καὶ ἀπίστων.

Ἀμάδοκος. [6] δύο γεγόνασι, πατὴρ καὶ υἱός· ὃς καὶ Φιλίππῳ συμμαχήσων ἦλθεν, εἰς τὸν κατὰ Κερσοβλέπτου πόλεμον.

Ἅμα [7] ἔπος, ἅμα ἔργον. παροιμία ἐπὶ τῶν ταχέως καὶ ὀξέως ἀνυομένων.

Ἀμάλη. ὁ καρπός. καὶ παροιμία· Αὐταῖς ἀμάλαις. ἐπὶ τῶν πανωλεθρίᾳ διαφθειρομένων. οἱονεί, αὐτοῖς βάθροις.

Ἅμ' [8] ἠλέηται, καὶ τέθνηκεν ἡ χάρις. παροιμία ἐπὶ τῶν εὐεργετουμένων, καὶ ταχὺ ἐπιλανθανομένων.

Ἀμαζόνιον [9] ἱερόν. ὃ Ἀμαζόνες ἱδρύσαντο. οὕτως Ἰσαῖος. καὶ Ἀμαζόνειον κέρας.

Ἀμαθέσιν. ἀνηκόοις. Ὁ δὲ ἤλαυνε νυκτὸς, ἀμαθέσι τῶν ποιουμένων χρήζων τοῖς πολεμίοις ἐπιπεσεῖν.

Ἀμαθέστερος. καὶ Ἀμαθὴς ἀντὶ τοῦ, ἀπαίδευτος, καὶ ἀκόσμητος. Πλάτων. τάσσεται δὲ καὶ ἐπὶ τοῦ ἀμαθοῦς, καὶ ἐπὶ τοῦ μὴ μαθόντος, φύσει δὲ ἐπισταμένου.

Ἀμαθεί. ἀδιδάκτως.

Ἀμαθής. ὁ ἀμύητος. ἀδίδακτος. Ὁ δὲ ἀκούει ταῦτα, καὶ μὴ ὢν ἀμαθὴς οἰωνῶν, τὸν παῖδα ἐπανάγει καὶ ἐκτρέφει ὡς γνήσιον.

Ἀμαθί. ὄνομα κύριον.

Ἀμάθητος. ἀδίδακτος. [10] Ὁ δὲ Ἰουστῖνος ἀμάθητος ἦν γραμμάτων ἁπάντων, καὶ τὸ δὴ λεγόμενον ἀναλφάβητος. Καὶ, [11] Ἀμαθὴς γὰρ ἔφυς, κοὐ πολυπράγμων, [12] οὐδὲ τὸν Αἴσωπον πεπάτηκας. ἐπὶ τῶν ἰδιωτῶν. [13] τὸ δὲ πατῆσαι, ἴσον ἐστὶ τῷ ἐνδιατρῖψαι· ὡς τὸ ἀφικέσθαι που λέγομεν. Καὶ αὖθις Ἀριστοφάνης· [14] Ἀμαθέστερόν πως εἰπὲ καὶ σαφέστερον.

tem pro *eodem tempore: Ut xxx minis ſimul & injuriam ſibi illatam, & factum populi, ſuffragiis ſuis eum condemnantis, vendidit.* Apud Demoſthenem contra Midiam vox illa eadem ſignificatione accipitur: itemque apud Antiphontem in *Proœmiis*. Ait enim: - - - - - - - - - - - - - Præterea apud Demoſthenem in Orat. *de Corona: Cum ille omnibus convitiis ſimul & maledictis contra me uſus ſit.*

Ἅμα δίδου, καὶ λ. Simul da, & accipe. Proverbium in ingratos & infidos.

Ἀμάδοκος. Amadocus. Duo fuerunt, pater, & filius: qui etiam Philippo auxilium tulit in bello contra Cerſobleptem.

Ἅμα ἔπος, ἅμα ἔργον. *Dictum, factum.* Proverbium de rebus, quæ cito & celeriter expediuntur.

Ἀμάλη. [Manipulus] frugum. Et proverbium: *Cum ipſis manipulis*; quod dicitur de illis, qui ad internecionem delentur; quaſi dicas, αὐτοῖς βάθροις, i. e. funditus.

Ἅμ' ἠλέηται, καὶ τέθν. Simul atque miſertum eſt, periit gratia. Dicitur in eos, qui acceptorum beneficiorum cito obliviſcuntur.

Ἀμαζόνειον ἱερόν. Templum ab Amazonibus conditum. Sic Iſæus. Et Amazonium cornu.

Ἀμαθέσιν. Ignaris. *Ille vero noctu iter faciebat, quia hoſtes ignaros eorum, quæ gerebantur, aggredi cupiebat.*

Ἀμαθέστερος. Imperitior. Et Ἀμαθὴς, Indoctus, Imperitus, Incomptus. Plato. Ponitur etiam pro eo, qui alicujus rei ignarus eſt.

Ἀμαθεί. Sine diſciplina. Sine doctrina.

Ἀμαθής. Non initiatus. Imperitus. *Ille vero cum hæc audiviſſet, nec divinationis eſſet imperitus, puerum receptum ut filium ſuum educavit.*

Ἀμαθί. Nomen proprium.

Ἀμάθητος. Indoctus. *Juſtinus autem omnium literarum erat imperitus, & (quod vulgo dicitur) analphabetus.* Et, *Imperitus es natura, nec curioſus, neque Æſopum triviſti.* De imperitis hoc dicitur. Πατῆσαι enim hic idem ſignificat quod ἐνδιατρῖψαι, i. e. alicui rei immorari: ut dicimus, aliquo pervenire.

---

[1] Κατεχειροτονίαν] Sic recte legitur apud Æſchinem & in Edit. Mediolanenſi. Reliquæ vero Editiones mendoſe exhibent χειροτονίαν.

[2] Ἐπὶ τὸ αὐτό] Legendum eſt ἐπὶ τοῦ αὐτοῦ, i. e. eadem ſignificatione accipitur.

[3] Ἀλλ' εἰ τότε πρᾶγμά μ.] Ex fragmento hoc mutilo auctoris mentem inveſtigare non potui: quæ ratio eſt, quare locum hunc ἀνερμήνευτον reliquerim.

[4] Παρὰ Δημοσθένει ἐν τῷ περὶ Στεφάνου] Pag. 317. ubi legitur: Ἁπάσαις δ' αἰτίαις καὶ βλασφημίαις &c.

[5] Ἅμα δίδου καὶ λ.] Vide Diogenianum Parœm. 177. & Gatakerum in *Adverſariis Poſthumis* cap. x. pag. 516.

[6] Ἀμάδοκος. δύο γεγόν.] Ex Harpocratione.

[7] Ἅμα ἔπος, ἅμα ἔργον] Vide infra v. Ἴδ' ἀφύη πῦρ.

[8] Ἅμ' ἠλέηται, ἡ τέθν.] Vide Zenobium & Diogenianum. Ἅμ' ἠλέηται autem hic ſignificat, *ſimul atque aliquis in calamitates incidit*, vel, *infelix eſſe incipit*. Infelicium enim miſereri ſolemus. Inde tritum illud: *Malo invidiam, quam miſericordiam.*

[9] Ἀμαζόνειον ἱερόν] Ex Harpocratione; ad quem vide Mauſſacum. Præterea de *Amazonio* legendus eſt Stephani mutilator v. Ἀμαζόνειον.

[10] Ὁ δὲ Ἰουστῖνος ἀμάθητος ἦν κ.] Ex Procop. *Hiſtor. Arcan.* cap. VI. Vide etiam infra v. Ἀναλφάβητος, & v. Ἰουστινιανός.

[11] Ἀμαθὴς ἔφυς, κοὐ πολυπρ. οὐδὲ τὸν Αἰσ. πεπάτ.] Verſus hic Anapæſticus ſumptus eſt ex Ariſtoph. *Avib.* pag. 563. ut a Porto obſervatum fuit. Vide etiam infra v. Πατῆσαι, ubi eadem repetuntur.

[12] Οὐδὲ τὸν Αἴσωπον πεπάτ.] Proverbio huic ſimile eſt illud, τὸν Ἀρχίλοχον πεπάτηκας, de quo vide infra.

[13] Τὸ δὲ πατῆσαι ἴσον ἐστὶ τῷ ἐνδιατρ. ὡς τὸ ἀφικ. που λέγ.] Hæc ſunt verba Scholiaſtæ ad modo indicatum locum Ariſtophanis.

[14] Ἀριστοφάνης] In *Ranis*, pag. 86. ubi vide Scholiaſtam. P.

πρὸς τὴν παροιμίαν, Σαφέστερόν μοι κἀμαθέστερον φράσον.

Ἀμαθία. ἀντὶ τοῦ, ἀναισθησία. ¹Πλάτων.

²Ἄμαθος. ἡ τῆς πεδιάδος κόνις. Ψάμαθος δὲ, ἡ τῆς θαλάσσης.

Ἀμαθοῦς. πόλις Κύπρου.

Ἅμα κνέφει ὄρθρου. καὶ ³κνέφεον λέγουσι τὸν ὄρθρον.

Ἀμαλασοῦνθα.⁴ αὕτη μήτηρ Ἀταλαρίχου. ἣ τῆς δικαιοσύνης ἐπιπλεῖστον ἐλθοῦσα, τῆς τε φύσεως ἐς ἄγαν τὸ ἀρρενωπὸν ἐπιδεικνυμένη, ὅσον χρόνον ⁵τῆς πόλεως προὔστη, οὐδένα τῶν πάντων Ῥωμαίων ἐς τὸ σῶμα ἐκόλασεν, ἢ χρήμασιν ἐζημίωσεν· οὐ μὴν οὐδὲ Γότθοις ξυνεχώρησεν ἐς τὴν ἐκείνων ἀδικίαν ὀργῶσιν. Ἐβούλετο δὲ καὶ τὸν παῖδα τοῖς Ῥωμαίων ἄρχουσι τὰ ἐς δίαιταν ὁμότροπον καταστήσασθαι, καὶ φοιτᾷν ἐς γραμματιστοῦ ἤδη ἠνάγκαζε· τρεῖς τε ἀπολεξαμένη τῶν ἐν Γότθοις γερόντων, οὕσπερ ἠπίστατο μᾶλλον ἁπάντων ξυνετούς τε καὶ ἐπιεικεῖς εἶναι, ξυνδιαιτᾶσθαι Ἀταλαρίχῳ ἐκέλευσε. Γότθοις δὲ ταῦτα οὐδαμῆ ἤρεσκε. τῇ γὰρ ἐς τοὺς ὑπηκόους ἀδικίας ἐπιθυμίᾳ βαρβαρικώτερον πρὸς αὐτοῦ ἄρχεσθαι ἤθελον. καί ποτε ἡ μήτηρ ἁμαρτάνοντά τι ⁶ἐν τῷ κοινῷ τὸν παῖδα λαβοῦσα, ἐρράπισε, καὶ ὃς δεδακρυμένος ἐς τὴν ἀνδρωνῖτιν ἐνθένδε ἀπῆλθε. Γότθοι δὲ αὐτῷ ἐντυχόντες δεινὰ ἐποιοῦντο, καὶ τῇ Ἀμαλασούνθῃ λοιδορούμενοι ἰσχυρίζοντο, βούλεσθαί γε αὐτὴν τὸν παῖδα ἐξ ἀνθρώπων ἀφανίζειν ὅτι τάχιστα, ὅπως αὐτὴ, ἑτέρῳ ἀνδρὶ ἐς κοίτην ἐλθοῦσα, ξὺν αὐτῷ ἄρχοι. ⁷ξυλλεγέντες δὲ ᾐτιῶντο, οὐκ ὀρθῶς σφίσιν, οὐδέ οἱ τὸν βασιλέα παιδεύεσθαι. γράμματά τε γὰρ πολὺ κεχωρίσθαι ἀνδρίας, καὶ διδασκαλίας γερόντων ἀνθρώπων ἔς τε τὸ δειλὸν καὶ τὸ ταπεινὸν ἀποκεκλίνεσθαι ἐκ τοῦ ἐπιπλεῖστον. δεῖν τοίνυν τὸν ἔν τινι ἔργῳ τολμητήν τε καὶ δόξῃ μέγαν ἐσόμενον, φόβου τοῦ ἐκ διδασκάλων ἀπαλλαγέντα, τὰς ἐν τοῖς ὅπλοις μελέτας ποιεῖσθαι. ⁸ἔλεγον δὲ καὶ ὡς, ἄν περ αὐτῷ τὸ ἀπὸ τοῦ σκύτους ἐπιγένηται δέος, οὐ μήποτε ξίφους ἢ δορατίου ὑπερφρονεῖν ἀξιώσουσιν. οὐκοῦν, ὦ Δέσποινα, ἔφασαν, παιδαγωγοὺς μὲν τούτους χαίρειν ἔα· σὺ δὲ Ἀταλαρίχῳ παῖδας ὁμοδιαίτους ἥλικας δίδου, οἵπερ αὐτὸν τὰ ἐς τὴν ἡλικίαν ξυνακμάζοντες ἐς τὴν ἀρετὴν κατά γε τὸν βάρβαρον νόμον ὁρμήσουσιν. Ἡ δὲ οὐκ⁹ ἐπένευσε μὲν, δείσασα δὲ τὴν ἐξ αὐτῶν ἐπιβουλὴν, ξυνεχώρησε πάντα, ὅσα οἱ Βάρβαροι ἤθελον.

Et Ariſtophanes: *Rudius & planius aliquanto mihi rem narra.* Proverbium.

Ἀμαθία. Stupiditas. Imperitia. Plato.

Ἄμαθος. Arena campi. Ψάμαθος vero; maris.

Ἀμαθοῦς. Amathus. Urbs Cypri.

Ἅμα κνέφει ὄρθρου. Prima luce. Et Κνέφεον vocant matutinum.

Ἀμαλασοῦνθα. Atalarici mater, quæ juſtitiæ obſervantiſſima, animaque valde virili prædita fuit; & quamdiu rem publicam adminiſtravit, nec pœna corporis, nec mulcta quenquam Romanorum mulctavit: quin etiam iniquam nocendi illis cupidinem, qua Gothi ardebant, repreſſit. Filium autem ad Romanorum Principum vitam & mores inſtitui voluit, ludumque literarium frequentare coegit: & tres ſenes ex Gothis delectos, quos omnium prudentiſſimos & optimos eſſe norat, familiariter cum Atalarico vivere juſſit. Gothis autem hæc minime placebant. Nam præ cupiditate injuriis afficiendi ſibi ſubjectos, more magis barbaro ab eo regi volebant. Aliquando mater, cum in cubiculo peccantem aliquid deprehendiſſet, colaphum illi impegit. Is vero flens ſe inde in conclave virorum proripuit. Tum Gothi, in quos incidebat, graviter indignari, in Amalaſuntham convitia jacere, & affirmare, eo ſpectare conſilia ejus, ut, filio quamprimum e medio ſublato, ipſa alteri viro nupta cum eo imperaret. Quamobrem congregati [Amalaſuntham adeunt,] querentes, Regem non recte educari. Literas enim a fortitudine alieniſſimas eſſe, & ſeniorum hominum inſtitutionem animum plerumque reddere timidum, inſitamque ei generoſitatem frangere. Oportere igitur eum, qui in rebus gerendis ſtrenuus, & audax, & gloria illuſtris futurus ſit, a magiſtrorum metu liberatum in armis exerceri. Dicebant præterea, nunquam fore, ut ii, qui ſcuticam timuiſſent, haſtam vel gladium contemnant. Quare, Regina, inquiunt, pædagogos quidem iſtos valere jube, & Atalarico convictores aliquot æquales adhibe, qui ætate florentes ad virtutem ipſum more Barbaro incitent. Regina, etſi hæc minime probaret, metuens tamen, ne inſidiæ ſibi ab illis ſtruerentur, omnia, quæ Barbari poſtulabant, conceſſit.

---

[1] Πλάτων] Locus Platonis, quem Suidas reſpicit, exſtat in Timæo, pag. 550. Νόσον μὲν δὴ ψυχῆς ἄνοιαν συγχωρητέον. Δύο δ' ἀνοίας γένη· τὸ μὲν μανίαν· τὸ δ' ἀμαθίαν. i. e. *Animi morbum eſſe dementiam concedendum eſt. Duo autem ejus ſunt genera: inſania & ſtupiditas.*

[2] Ἄμαθος. ἡ τῆς πεδ.] Differentiam hanc vocis ἄμαθος & ψάμαθος confirmat etiam Ammonius his verbis: Ἄμαθος καὶ ψάμαθος διαφέρει. Ἄμαθος μὲν γάρ ἐστιν ἡ ἐν πεδίῳ κόνις· ψάμαθος, δὲ ἡ παραθαλασσία ἄμμος.

[3] Κνέφεον] Lege Κνεφαῖον. Vide infra v. Κνεφαῖος.

[4] Ἀμαλασοῦνθα. αὕτη μήτηρ Ἀταλ.] Integrum hunc locum de Amalaſuntha deſcripſit Suidas ex Procopio *de Bello Gothico* lib. 1. cap. 2.

[5] Τῆς πόλεως προὔστη] Lege ex Procopio τῆς πολιτείας προὔστη, quam lectionem in verſione ſecutus ſum.

[6] Ἐν τῷ κοινῷ] Ex Procopio reponendum ἐν τῷ κοιτῶνι, i. e. *in cubiculo.*

[7] Ξυλλεγέντες δὲ ᾐτιῶντο, οὐκ ὀρθῶς σφίσιν, οὐδέ οἱ τὸν βασ.] Locus hic corruptus eſt & mutilus, qui apud Procopium rectius ſic legitur: Ξυλλεγέντες δὲ, ὅσοι δὴ ἐν αὐτοῖς λόγιμοι ἦσαν, καὶ παρὰ τὴν Ἀμαλασοῦνθαν ἐλθόντες ᾐτιῶντο, οὐκ ὀρθῶς σφίσιν, οὐδὲ ᾗ ξυμφέρει, τὸν βασιλέα παιδεύεσθαι.

[8] Ἔλεγον δὲ καὶ ὡς, ἄν περ αὐτῷ τὸ ἀπ.] Locum hunc Suidas prorſus mutilavit, & minus fideliter repræſentavit, qui ſic apud Procopium legitur: Ἔλεγον δὲ, ὡς οὐδὲ Θευδέριχός ποτε Γότθων τινὰς τοὺς παῖδας ἐς γραμματιστοῦ πέμπειν ἐῴη· λέγειν γὰρ ἅπασιν, ὡς ἤνπερ αὐτοῖς τὸ ἀπὸ τοῦ σκύτους ἐπιγένηται δέος &c. i. e. *Dicebant vero, Theodoricum quondam non fuiſſe paſſum Gothorum liberos ad ludimagiſtrum mitti; dixiſſe enim omnibus, ſi ſemel ſcuticam timere cœpiſſent, nunquam fore, ut* &c.

[9] Οὐκ ἐπένευσε] Emenda ex Procopio, οὐκ ἐπῄνεσε, i. e. *non probavit.*

Ἀμαλήκ. ὄνομα κύριον. καὶ ἐξ αὐτοῦ, Ἀμαληκίτης.

Ἀμάλθακτον. ἀνένδοτον. ἑδραῖον.

Ἀμαλθείας[1] κέρας. ἐπὶ τῶν ἀφθόνως ζώντων, καὶ εὐθηνούντων, καὶ εὐπραγούντων.

Ἔνθ' ἵνα μοι βίος ἐστὶν Ἀμαλθείας κέρας αἰγός.

Ἀμάλθεια γὰρ ἡ τροφὸς τοῦ Διός, παρὰ τὸ μὴ μαλάσσεσθαι.

Ἀμαλδυνθήσομαι. ἀφανισθήσομαι. καὶ Ἀμαλδύνεσθαι, ἀφανίζεσθαι.

Ἀμαλκείδης.

Ἀμαλλοδετήρ. ὁ τὰ δράγματα συλλέγων.

Ἀμάμυξις.[2] σταφυλῆς γένος. οἱ δὲ τὴν ἀναδενδράδα οὕτως καλεῖσθαι. ἔστι δὲ καὶ παρ' Ἐπιχάρμῳ, καὶ παρὰ Σαπφοῖ τὸ ὄνομα.

Ἀμάν.[3] οὗτος προεστὼς τῶν βασιλικῶν πραγμάτων Δαρείου, ὑπέσχετο τῷ βασιλεῖ μύρια τάλαντα εἰσοίσειν, εἰ ἀπολέσοι Ἰουδαίους. ὡς δὲ ἔπεισεν, ἐπεστάλη τοῖς ἔθνεσιν, ἐν μιᾷ ἡμέρᾳ πάντας ἐξαφανίσαι. πρὶν δὲ συντελεσθῆναι ταῦτα, Μαρδοχαῖος τὴν κατ' αὐτοῦ ἐπίθεσιν διὰ τῆς Ἐσθὴρ ἐδήλωσε τῷ βασιλεῖ. ὁ δὲ τὰ ἐπισταλέντα ἀνεκαλεῖτο, τόν τε Ἀμὰν ἀνεσταύρωσε, μέλλοντα σταυροῦν τὸν Μαρδοχαῖον, πλεῖστοί τε τῶν ἐχθρῶν ὑπὸ Ἰουδαίων ἀπώλοντο· καὶ τὰς ἡμέρας ἐκείνας ἑορτάζουσιν Ἰουδαῖοι.

Ἀμᾶν. θερίζειν· παρὰ τὸ ἅμα. Βάβριος·

Νῦν[4] ἐστὶν ὄντως, παῖδες, ἐκ τόπων φεύγειν,
Ὅτ' αὐτὸς ἀμᾷ, κοὐ φίλοισι πιστεύει.

Ἀμμανῖται. ὄνομα ἔθνους. [5] σημαίνει δὲ καὶ τοὺς μύκητας.

Ἄμανον. ὄρος πρὸς τῇ Κιλικίᾳ. ἐκλήθη δὲ Ἄμανον ἀπὸ τοιαύτης ἱστορίας. [6] Ὀρέστης ἀπὸ Ταύρων σὺν Ἰφιγενείᾳ τὴν Ἄρτεμιν κομίσας, ἐν τῷ τοιούτῳ ὄρει τῆς μανίας τὴν λύσιν εὗρεν.

Ἅμαξα τὸν βοῦν ἕλκει. παροιμία, ὅταν τὸ κρεῖττον ὑπὸ τοῦ χείρονος ἄγηται.

Ἁμαξεία. ὁ τῶν ἁμαξῶν φόρτος.

Ἁμαξίς. εἶδος πλακοῦντος, ἣν νῦν κοπτὴν φαμέν. Σύμμαχος δέ, καὶ τὸ μικρὸν ἁμάξιον. Ἀριστοφάνης Νεφέλαις·

Ὅτ'[7] ἐπριάμην σοι Διασίοις ἁμαξίδα.

Ἁμαξιτόν. ὁδὸν δημοσίαν. Μάλχος· Ἡ δὲ εἰσβολὴ τῆς Κιλικίας ἁμαξιτὸς ἦν ὁδός, ὀρθία, ἰσχυρά, καὶ ἀμήχανος εἰσελθεῖν στρατεύματι, εἴ τις ἐκώλυεν.

Ἀμαλήκ. Nomen proprium: unde dicitur Amalecites.

Ἀμάλθακτον. Quod cedere neſcit. Durum.

Ἀμαλθείας κέρας. Amaltheæ cornu. Dicitur de illis, qui omnium rerum copia abundant, feliciterque vivunt.

Illic ubi mihi victum ſuppeditat Amaltheæ
capræ cornu.

Amalthea enim erat nutrix Jovis, [ſic dicta,] quod molliri non poſſet.

Ἀμαλδυνθήσομαι. Delebor. Perdar. Et Ἀμαλδύνεσθαι, deleri, perdi.

Ἀμαλκείδης. Amalcides.

Ἀμαλλοδετήρ. Qui frumenti manipulos colligit.

Ἀμάμυξις. Uvæ genus. Alii vero vitem arbuſtivam ſic appellant. Vox illa legitur apud Epicharmum & Sapphonem.

Ἀμάν. Aman. Hic regni adminiſtrationi a Dario præfectus, promiſit Regi, ſe decies mille talenta in ærarium illaturum eſſe, ſi Judæos perdidiſſet. Hoc igitur cum ei perſuaſiſſet, literæ omnibus gentibus ſcriptæ ſunt, ut omnes [Judæos] uno die delerent. Priuſquam vero illa perpetrarentur, Mardochæus per Eſtherem Regi aperuit inſidias contra ipſum comparatas. Is igitur mandata revocavit, & ipſum Amanem in crucem egit, qui Mardochæum eo ſupplicio tollere decreverat: plurimique inimicorum a Judæis cæſi ſunt. Hinc dies illos, tanquam feſtos, Judæi ſolenniter celebrant.

Ἀμᾶν. Metere. Ab ἅμα, i. e. ſimul. Babrius:

Nunc, liberi, hinc fugiendi tempus eſt,
Quoniam ipſe metere decrevit, nec amicis amplius credit.

Ἀμμανῖται. Nomen gentis. Significat etiam fungos.

Ἄμανον. Amanus, mons juxta Ciliciam, ſic vocatus, quod, uti hiſtoriæ tradunt, Oreſtes, ex Tauris Dianam cum Iphigenia adducens, in hoc monte ab inſania liberatus eſſet.

Ἅμαξα τὸν β. Currus bovem trahit. Proverbium, quod dici ſolet, cum præſtantior a deteriore ducitur.

Ἁμαξεία. Plauſtrorum onus.

Ἁμαξίς. Genus placentæ, quam nunc Κοπτὴν vocamus. Symmachus vero etiam parvum ploſtellum [ſic appellari tradit.] Ariſtophanes in *Nubibus*: *Quando tibi in feſto Diaſiorum ploſtellum emi.*

Ἁμαξιτόν. Viam publicam. Malchus: *Fauces vero Ciliciæ erant plauſtris perviæ, arduæ, munitæ, & quas exercitus intrare non poſſet, ſi quis prohiberet.*

---

[1] Ἀμαλθείας κέρας] De notiſſimo hoc proverbio vide Parœmiographos.

[2] Ἀμάμυξις σταφυλῆς γ.] Lege ἀμαμάμαξυς. Sic enim apud alios Grammaticos vox hæc ſcripta reperitur. Scholiaſta Ariſtophanis ad *Veſpas* pag. 451. Εἶδος ἀμπέλου ὁ ἀμαμάμαξυς, ἣν λέγουσιν ἀναδενδράδα. Euſtathius ad Odyſſ. E. p. 524. Ἀμαμάμαξυς, σταφυλῆς γένος. οἱ δέ, ἀναδενδράδα φασίν.

[3] Ἀμάν. οὗτος προεστ.] Hiſtoria hæc de Amano legitur in libro *Eſth.* cap. VII. itemque apud Joſephum *Antiq. Judaic.* lib. XI. c. VI.

[4] Νῦν ἐστὶν ὄντως παιδ.] Ad quam fabulam fragmentum hoc Babrii referendum ſit, ignorare non poſſunt, qui Æſopum legerunt.

[5] Σημαίνει δὲ καὶ τοὺς μύκητας] Vide Scholiaſt. Nicandri ad *Alexiph.* pag. 63.

[6] Ὀρέστης ἀπὸ Ταύρων σὺν Ἰφ.] Eandem de Oreſte fabulam refert Stephanus *de Urbibus* v. Ἄμανον, ex quo Suidas ſua deprompſiſſe videtur.

[7] Ὅτ' ἐπριάμην σοι Διασ.] Apud Ariſtoph. in *Nubib.* pag. 104. locus hic ita legitur:

Ὃν πρῶτον ὀβολὸν ἔλαβον ἡλιαστικὸν
Τούτου πριάμην σοι Διασίοις ἁμαξίδα. P.

Ἀμαξουργοί: [1] ἁμαξουργοὺς λέγουσι τοὺς ἀγγειοπηγούς. εἶδος δὲ οἱ ἀγγειοπηγοὶ τεκτόνων, οἳ τὰς ἁμάξας κατασκευάζουσι, καὶ πάντων τῶν ἀγγείων ξύλων εἰσὶν ἐργάται.

Ἀμάρη. ἡ ὑδρορρόα.

Ἁμαρτάδας. ἀπὸ τῆς ἁμαρτὰς εὐθείας. Προκόπιος· [2] Αἱ τῶν γυναικῶν ἁμαρτάδες οὐκ ἐπὶ τοὺς ἄνδρας ἵενται μόνον, ἀλλὰ καὶ παίδων ἅπτονται μᾶλλον, οὕς γε καὶ δόξαν τινὰ φέρεσθαι ἐκ τοῦ ἐπὶ πλεῖστον συμβήσεται, ὡς φύσει τρόπῳ ταῖς γειναμέναις ἐοίκασιν.

Ἁμαρτεῖν. ἀποτυχεῖν.

Ἁμαρτία. ἡ τοῦ ἀγαθοῦ ἀποτυχία. παρὰ τὸ μάρπτω, τὸ καταλαμβάνω· ἀμαρπτία τις οὖσα.

Ἁμαρτίαν. οἱ Ἀττικοί· ἁμαρτάδα, Ἡρόδοτος, καὶ οἱ ἄλλοι Ἴωνες.

Ἁμαρτωλοί. οἱ παρανομίᾳ συζῆν προαιρούμενοι, καὶ βίον διεφθαρμένον ἀσπαζόμενοι.

Ἁμαρτεῖν εἴρηκε τὸ ἁμάρτοιμι Κρατῖνος Δραπέτισι. Ποδαποὺς ὑμᾶς εἶναι φάσκων, ὦ μείρακες, οὐκ ἂν ἁμαρτεῖν. καὶ ὅλως σύνηθες αὐτοῖς τὸ τοιοῦτο.

Ἀμαρτυρήτους. ἀντὶ τοῦ, ἀμαρτύρους. οὕτως Ἀντιφάνης.

Ἀμαρυγάς. ὄψεις. οἱ δὲ, ἀκτῖνας ὄψεως. καὶ Ἀμαρυγὴ, λαμπηδών. καὶ παρὰ Ἀριστοφάνει, ἡ κίνησις. [3] Ὡς ὠκεῖα Μουσάων φάτις, οἷα περ ἵππων ἀμαρυγά. τουτέστιν, ἡ τῶν Μουσῶν φάτις ταχεῖά ἐστιν, ὡς ἵππος ὠκεῖα, ἐπεὶ πτερόεντες οἱ λόγοι.

Ἀμαρυγκεύς. [4] ὄνομα κύριον. καὶ Ἀμαρυγκείδης.

Ἀμάρυγμα. φόρημα. εἴδωλον. κίνησις. οἱ δὲ, λαμπηδόνα.

Ἄμας [5] ἀπῄτουν, οἱ δ᾽ ἀπηρνοῦντο σκάφας. παροιμία [6] ἐπὶ τῶν ἄλλα μὲν αἰτούντων, ἄλλα δὲ τῶν αἰτουμένων ἔχειν ἀπαρνουμένων.

Ἀμάσεια. πόλις Ποντική. ὁ πολίτης, Ἀμασεύς.

Ἄμασις. ὄνομα κύριον. [7] ὃς εἷλε Κύπρον πρῶτος ἀνθρώπων, καὶ κατεστρέψατο ἐς φόρου ἀπαγωγήν. ἔστι δὲ καὶ Ἄμαστρις πόλις ἐν Πόντῳ, κληθεῖσα ἀπὸ γυναικὸς Περσίδος Ἀμάστριδος. τὸ ἐθνικὸν, Ἀμαστριανός.

Ἀμάστης. [8] Πείθουσιν ἄνδρα γενναῖόν τε καὶ [9] ἀμάστην εἰσελθόντα ἀποπνῖξαι τὸν Κόμμοδον, ὄνομα Νάρκισσον.

Ἀμαξουργοί. Ἀμαξουργοὺς Attici vocant ἀγγειοπηγούς. Sunt autem ἀγγειοπηγοὶ fabri lignarii, qui plauſtra, aliaque lignea inſtrumenta ruſtica conficiunt.

Ἀμάρη. Canalis, per quem aqua fluit.

Ἁμαρτάδας. [Peccata.] A recto ἁμαρτάς. Procopius : *Mulierum flagitia non ſolum in maritos redundant, ſed etiam multo magis ad liberos pertingunt, quippe de quibus alii hanc opinionem plerumque concipiunt, eos moribus & ingenio matrum ſimiles eſſe.*

Ἁμαρτεῖν. Aberrare.

Ἁμαρτία. Dicitur de eo, qui bono aliquo non potitur, ſed eo excidit. A μάρπτω, apprehendo; quaſi dicas ἀμαρπτία.

Ἁμαρτίαν. Attici ſic appellant peccatum. Herodotus vero & alii Iones ἁμαρτάδα.

Ἁμαρτωλοί. Qui iniquitati ſtudent, vitamque flagitioſam vivunt.

Ἁμαρτεῖν. Cratinus in *Fugitivis* ἁμαρτεῖν dixit pro ἁμάρτοιμι. *Cujates vos eſſe, adoleſcentes, ſi dixero, non errem.* Omnino autem hoc [loquendi genus] illis familiare eſt.

Ἀμαρτυρήτους, pro ἀμαρτύρους, dixit Antiphanes. Id eſt, teſtimonii expertes.

Ἀμαρυγάς. Viſum. Alii vero ſic appellant oculorum radios. Ἀμαρυγὴ etiam vocatur ſplendor; & apud Ariſtophanem, motus. *Quam velox eſt Muſarum fama, ut equi velociter currentes.* Hoc eſt, Muſarum fama velox eſt, ut equus velox, quia verba ſunt alata.

Ἀμαρυγκεύς. Nomen proprium. Et Ἀμαρυγκείδης, [Amaryncei filius.]

Ἀμάρυγμα. Geſtamen. Simulacrum. Motus. Alii vero ſplendorem [ita vocant.]

Ἄμας ἀπῄτ. Falces petebam; at illi ſe ligones habere negabant. Proverbium, quod dicitur de illis, qui alia ſe habere negant, quam quæ ab ipſis poſtulantur.

Ἀμάσεια. Urbs Ponti, cujus civis dicitur Ἀμασεύς.

Ἄμασις. Nomen proprium viri, qui primus omnium Cyprum cepit, & ſubactam tributum pendere coegit. Amaſtris autem eſt in Ponto, ſic nominata a Perſica muliere Amaſtride. Gentile nomen eſt Ἀμαστριανός.

Ἀμάστης. *Perſuadent viro ſtrenuo & robuſto, nomine Narciſſo, ut ingreſſus Commodum ſtrangulet.*

---

[1] Ἀμαξουργοὺς λέγουσι τοὺς ἀγγειοπ.] Hanc notam deſcripſit Suidas ex Scholiaſta Ariſtoph. ad *Equit.* pag. 315. (vel. 216. Ed. Baſ.) ut Portus etiam obſervavit. Legendum autem eſt apud Suidam Ἀμαξουργοὺς Ἀττικοὶ λέγουσιν, ut apud Scholiaſtam.

[2] Αἱ τῶν γυναικῶν ἁμαρτ.] Fragmentum hoc depromptum eſt ex Procop. *Hiſtor. Arcan.* cap. 2.

[3] Ὡς ὠκεῖα Μουσ.] Apud Ariſtoph. in *Avibus*, pag. 405. Ed. Baſ. locus hic ita legitur & diſtinguitur :

> Ἀλλά τις ὠκεῖα Μουσάων φάτις
> Οἷα περ ἵππων ἀμαρυγά.

Vide ibi veterem enarratorem.

[4] Ἀμαρυγκεύς] De eo vide Pauſaniam lib. v. cap. 1. in fine.

[5] Ἄμας ἀπῄτουν. οἱ δ᾽ ἀπ.] Vide Schottum ad Zenob. Adag. LXXXIII.

[6] Ἐπὶ τῶν ἄλλα μὲν αἰτ.] Rectius & planius apud Zenobium legitur, ἐπὶ τῶν ἄλλα μὲν ἀπαιτουμένων, ἄλλα δ᾽ ἔχειν ἀρνουμένων; quam lectionem in verſione ſecutus ſum. Vide etiam infra v. Ἄμη.

[7] Ὃς εἷλε Κύπρον πρῶτος ἀνθρώπων, καὶ κατεστρ. ἐς φόρου ἀπαγ.] Hæc ſunt verba Herodoti in fine *Euterpes*.

[8] Πείθουσιν ἄνδρα γενναῖόν τε καὶ ἀμάστην] Fragmentum hoc de Narciſſo, percuſſore Commodi, legitur apud Herodianum hiſtoricum, in fine libri 1. unde id Suidas deſcripſit.

[9] Ἀμάστην] Apud Herodianum recte legitur ἀκμαστήν, (i. e. robuſtum, valentem, vel ætate florentem) quæ vox huic loco reſtituenda eſt, ut jamdudum ante monuerunt Stephanus in Lexico Græco, & Reineſius *Var. Lect.* L. III. pag. 474. Hinc ergo patet, quam longe Portus a vero aberraverit, exiſtimans, ἀμάστην eſſe nomen proprium viri: quem tamen errorem facile ei ignoſco, quod neſciret locum auctoris, ex quo Suidas hæc excerpſiſſet.

Ἄμαστος. ὁ ἀμάσητος. Ὡς ἄπαστος, ὁ ἄγευστος.

Ἀματροχία. [1] ἡ [2] ἁρματοτροχία.

Ἄμματα. ἐπὶ τῶν σκολιῶν τοὺς τρόπους. ἀπὸ τῶν ἐν Κασίῳ Πηλουσιωτῶν, οἳ φυσικῇ τέχνῃ ἅμματα ἔπλεκον, δοκοὺς ἐπὶ δοκοῖς συνάπτοντες. καὶ Ἅμματα, δεσμά. ἐν Ἐπιγράμμασι·

Χρύσεος [3] ἀψαύστοιο διέτμαγεν ἅμμα κορείας
Ζεύς, διαδὺς Δανάας χαλκελάτους θαλάμους.

Καὶ αὖθις.

Ἁβρῶν καὶ στρεπτῶν ἅμμασι κεκρυφάλων.

Καὶ Πισίδης περὶ Χοσρόου·

Ἐπεὶ δὲ λοιπὸν ἐντὸς ἦν τῶν ἀμμάτων,
Δεσμοῦσιν αὐτὸν ἀσφαλεστέρᾳ δέσει.

Ἀμαυρά. σκοτεινά. ὅθεν καὶ Ἀμαυρόν, τὸ μὴ διαφανές. καὶ Ἀρριανός· Ἐξ ὧν καὶ τὰ ὑπόλοιπα δι' ἐλπίδος ἔχω οὐκ ἀμαυρᾶς, ὅτι καλῶς μοι ἕξει.

Ἀμαχεί. ἀμάχως.

Ἀμάχιος. [4] οὗτος ἐπὶ Ἰουλιανοῦ τοῦ Παραβάτου ἄρχων ἦν μικρᾶς πόλεως Φρυγίας, Ἕλλην γοργός. τῶν ἱερῶν ἀνοιγομένων, Μακεδόνιός τις καὶ Θεόδουλος καὶ Τατιανός, ζήλῳ τοῦ Χριστιανισμοῦ, νυκτὸς εἰσπηδήσαντες συντρίβουσι τὰ ἀγάλματα. [5] οἳ πολλὰς αἰκίας καὶ τιμωρίας διὰ τοῦτο ὑπομείναντες, ἐσχάραις τε ἐπιτεθέντες, καὶ πυρὶ ἐτιμωροῦντο. τὴν δὲ ἀνδρείαν ὑπέδειξαν τοιαῦτα εἰπόντες· Εἰ ἐπεθύμησας, ὦ Ἀμάχιε, ὀπτῶν κρεῶν ἀπογεύσασθαι, στρέψον ἡμᾶς καὶ εἰς ἑτέρας πλευράς, ἵνα μὴ εἰς τὴν γεῦσιν ἡμίοπτοι ὀφθῶμέν σοι. καὶ οὕτως ἐτελειώθησαν.

Ἄμαχον. δυσκαταμάχητον. Πίνδαρος· Ἄμαχον δὲ κρύψαι τὸ συγγενὲς ἦθος. Αἰλιανός· Ἰχθύων δὲ

Ἄμαστος. Qui non manducavit: ut ἄπαστος, qui non guſtavit.

Ἀματροχία. Rotarum, vel curruum, concurſio & colliſio.

Ἄμματα. [Nexus. Nodi.] Dicitur de illis, qui ingenio non ſunt recto, ſed curvo & obliquo. A Peluſiotis, in urbe Caſio degentibus, qui arte naturali nodos nodis connectebant. Et Ἅμματα, vincula. In Epigrammate:

Aureus intactæ dirupit vinculum virginitatis,
Jupiter penetrans Danaes æreos in thalamos.

Et rurſus.

Mollium & tortorum nexu reticulorum.

Et Piſides de Choſroe:

Poſtquam vero nodis conſtrictus erat,
Vinxerunt ipſum firmiore vinculo.

Ἀμαυρά. Obſcura. Unde & ἀμαυρὸν, id, quod non eſt clarum, nec perſpicuum. Et Arrianus: *Quamobrem non dubia ſpes animum meum tenet, fore, ut & reliqua bene mihi ſuccedant.*

Ἀμαχεί. Sine pugna.

Ἀμάχιος. Amachius. Hic ſub Juliano Apoſtata parvæ urbis Phrygiæ præfectus erat, Ethnicæ religionis acris defenſor. Cum igitur Templa aperirentur, Macedonius quidam & Theodulus & Tatianus, Zelo Chriſtianæ religionis flagrantes, noctu in ea ingreſſi, ſtatuas confregerunt. Multis igitur cruciatibus ideo excarnificati, & craticulis impoſiti, ignis ſupplicio affecti ſunt. Tunc autem animi ſui conſtantiam & fortitudinem oſtenderunt, dicentes: Si, Amachi, carnes aſſas concupiſcis, in alterum etiam latus nos converte, ne guſtanti tibi ſemiaſſi videamur. Et ſic [martyrio] conſummati ſunt.

Ἄμαχον. Quod difficulter expugnari poteſt. [Vel, quod difficulter fieri poteſt.] Pindarus:

---

[1] Ἀματροχία. ἡ ἁρματοτρ.] Hic duæ voces diverſæ ſignificationis confunduntur. Ἀματροχία enim, vel, uti ab aliis ſcribitur, ἁματροχιά, cum accentu in ultima, ſignificat concurſionem rotarum vel curruum: ἁρματοτροχία vero, ſive ἁρματροχία orbitam, ſive veſtigium rotæ. Ammonius: Ἀματροχία, καὶ ἁρματροχία διαφέρει. Ἀματροχία μὲν γάρ ἐστιν, ἡ εἰς ταυτὸ συνδρομὴ τῶν ἁρμάτων. Ἁρματροχία δὲ, ὁ τύπος καὶ ἡ ἐγχάραξις τοῦ τροχοῦ ἡ ἐπὶ τῆς γῆς. Homerus Il. Ψ. v. 422.

Τῇ ῥ' εἶχεν Μενέλαος ἁματροχιὰς ἀλεείνων.

Ad quem locum brevis Scholiaſta ait: Ἁματροχιάς, τὰς τῶν τροχῶν συγκρούσεις, τὰς ἀπὸ τῶν ἄλλων ἁρμάτων. Euſtathius ad eundem locum Poetæ: Ἁματροχιαὶ δὲ, αἱ ὁμοδρομίαι, ἢ μᾶλλον αἱ ὁμοῦ συμβολαὶ τῶν τροχῶν. εἰπεῖν δὲ καὶ κατὰ τοὺς παλαιούς, αἱ εἰς ταυτὸ σύνοδοι τῶν τροχῶν. Idem pag. 1313. Ἁρματροχιὰ ἄλλο ἐστὶ παρὰ τὴν ἁματροχιάν. ἐκείνη μὲν γάρ τι δηλοῖ, ὡς προείρηται· αὕτη δὲ ἴχνος δηλοῖ τροχῶν ἅρματος. Nicander in *Theriacis*, v. 262.

Ἢ καὶ ἁματροχιῇσι παρὰ στίβον ἐνδυκὲς αὔει.

Ad quem locum Scholiaſta: Ἁματροχιῇσιν· ἀντὶ τοῦ ἁμαξοτροχιαῖς, κατὰ συγκοπήν· λέγει δὲ τὰς ἐγχαράξεις τοῦ τροχοῦ, τὰς γινομένας εἰς τὴν γῆν. Inſignis eſt etiam hanc in rem locus apud Porphyrium in *Quæſtionibus Homericis*, cujus hæc ſunt verba: Οὐ δεῖ δυσχεραίνειν, εἰ τοὺς πολλοὺς τῶν νῦν παιδευόντων λανθάνει τινὰ τῶν Ὁμηρικῶν, ὅπου καὶ τὸν δοκοῦντα ἀκριβέστατον καὶ πολυμαθέστατον Καλλίμαχον ἔλαθεν ἡ διαφορὰ τῆς ἁρματροχίας, ἣν ἔχει πρὸς τὴν χωρὶς τοῦ ρ λεγομένην ἁματροχίαν. Ἔστι δὲ ΑΜΑΤΡΟΧΙ'Α, τὸ ἅμα τρέχειν, καὶ μὴ ἀπολείπεσθαι, οἷον ὁμοδρομία τις οὖσα· τροχοὺς γὰρ (lego, τρόχους) τοὺς δρόμους ἔλεγον. ἉΡΜΑΤΡΟΧΙ'Α δὲ, τῶν τροχῶν τὸ ἴχνος. Ἀγνοήσας δὲ ταῦτα ὁ Καλλίμαχός φησιν·

- - - - - - Ἀλλὰ θεόντων
Ὡς ἀνέμων οὐδεὶς εἶδεν ἁματροχιάς.

Βούλεται μὲν γὰρ εἰπεῖν, ὡς οὐδεὶς εἶδεν ἴχνος, διὰ τὸ θεῖν ὡς ἀνέμους. i. e. *Non oportet ægre ferre, ſi quidam eorum, qui nunc literas docent, nonnulla apud Homerum non intelligant, cum Callimachum, qui accuratiſſimus & eruditiſſimus creditur, latuerit differentia, quæ inter vocem ἁρματροχία, & alteram, quæ abſque ρ ſcribitur, ἁματροχία, intercedit. Eſt autem ἁματροχία, cum quidam ſimul & pari velocitate currunt, ita ut alter alterum non prætereat, quaſi dicas ὁμοδρομία. Curſus enim vocabant δρόμους. Ἁρματροχία vero eſt rotarum veſtigium. Hæc ignorans Callimachus inquit:*

- - - - - - *Sed currentium*
Ventorum inſtar, nemo vidit ἁματροχιάς.

Voluit enim dicere, neminem vidiſſe veſtigia, quod ventorum inſtar currerent. Non ſolus autem Callimachus peccavit, quod ἁματροχία pro ἁρματροχία dixerit, ut Porphyrius hic obſervat; ſed etiam Nicander, qui loco paulo ante laudato itidem voce ἁματροχία pro ἁρματροχία uſus eſt. Si ergo Suidas quoque duas illas voces ejuſdem ſignificationis eſſe exiſtimavit, habet ſaltem magnos viros, quorum exemplo errorem ſuum excuſare poſſit.

[2] Ἁρματοτροχία] Scribendum potius eſt ἁρματροχία, ut ex locis auctorum, in nota ſuperiori adductis, patet.

[3] Χρύσεος ἀψαύστοιο διέτμ.] Diſtichum hoc eſt pars elegantis Epigrammatis, quod in Antholog. lib. VII. pag. 588. Pauli Silentiarii nomen præfert.

[4] Ἀμάχιος. οὗτος ἐπὶ Ἰουλ.] Totum hunc locum de Amachio a Suida depromptum eſſe puto ex Malcho, ex quo non pauca alia loca in Lexicum hoc tranſlata ſunt.

[5] Οἳ πολλὰς αἰκίας καὶ τιμωρ.] Eandem hiſtoriam de admirabili trium horum martyrum in perferendis cruciatibus conſtantia narrat Sozomenus in Hiſtor. Eccl. lib. v. cap. XI. his verbis: Ὁ ἄρχων πολλαῖς αὐτοὺς ᾐκίσατο τρόποις. τελευτῶν δὲ ἐσχάραις ἐπιθεὶς πῦρ ὑφῆψεν. οἱ δὲ καιόμενοι, εἰ κρεῶν ὀπτῶν, ἔφασαν, ἐπιθυμεῖς, ὦ Ἀμάχιε, τοῦτο γὰρ ὄνομα ἦν τῷ ἄρχοντι, καὶ ἐπὶ τὰς ἑτέρας πλευρὰς πρὸς τὸ πῦρ ἡμᾶς στρέψον, ἵνα μή σοι γευομένῳ ἡμίοπτοι γενόμενοι ἀηδεῖς φαινώμεθα. καὶ οἱ μὲν ὧδε γενναίως διαγωνισάμενοι ἐν ταῖς τιμωρίαις τὸν βίον ἀπέθεντο. i. e. interprete Henrico Valeſio: *Præſes eos multis modis excruciavit. Ad extremum vero craticulis impoſuit, ignemque ſubjecit. Illi, dum cremarentur, ſi carnes aſſas, ajebant, concupiſcis, o Amachi, id enim nomen erat Præſidis, alterum nobis latus ad ignem obverte, ne guſtanti tibi inſuaves videamur, ſi ſemiaſſi ſimus.* Et

ἀπηνέγκαντο πλῆθος ἄμαχον, (ἤγουν μέγα) καὶ ἀνέστησαν τρόπαιον, καὶ βωμοὺς ὤρθωσαν. Καὶ αὖθις· Ἐτίθετο ἕκαστος τὸ ἔργον ἑαυτοῦ ἀποδεῖξαι. ἑώρων γὰρ τὸν βασιλέα σπεύδοντα τοῦτο ἀμάχως. Καὶ αὖθις· Ἦν δὲ ἱέρεια τοῦ θεοῦ κάλλος ἄμαχος. Καὶ αὖθις· Ἀδοκήτως χειμῶνος καταῤῥήγνυται πλῆθος ἄμαχον. Καὶ αὖθις· [1] Οὐ δυναστεία ἄμαχος. Καὶ αὖθις· Ἐς ὑπεροψίαν δὲ ἐξαφθεὶς ἄμαχον, τοῦ μὲν ἔπ᾽ ἄνθρωπος εἶναι κατεφρόνει.

Ἄμαχος. ἀντὶ τοῦ, μὴ μαχόμενος. [2] Ξενοφῶν. καὶ Ἀμάχητοι, οἱ μή πω μεμαχημένοι.

Ἀμβακούμ. ζήτει ἐν τῷ Ἀββακούμ, εἰς τὴν ἀρχὴν τοῦ βιβλίου.

Ἄμβασις. ἀνάβασις. Καὶ ἄμβασις οὔ νύ τις ἦεν.

Ἀμβάτας. ἀναβάτας. Οἱ δὲ ἵπποι θνήσκοντες οὐκ ἐλύπουν τοὺς ἀμβάτας· ἤσθιον γὰρ αὐτούς. Καὶ αὖθις· Οἱ δὲ τοὺς ἀμβάτας δι᾽ ἔκπληξιν ἀποσεισάμενοι.

Ἄμβενα. ὄνομα πόλεως.

Ἄμβη. [3] ἡ τῆς πέτρας ὀφρύς.

Ἀμβλήδην [4] βοῶσα. ἀντὶ τοῦ, μεγάλως.

Ἀμβλίσιον. [5] τὸ μάννα.

Ἀμβλίσκουσιν. ἀποβάλλουσιν. ὃ συμβαίνει ταῖς διαφθειρούσαις καὶ προβαλλούσαις τὰ κυήματα. Πλάτων [6] Θεαιτήτῳ. καὶ Ἀμβλίσκειν, καὶ Ἐξαμβλοῦν, τὸ διαφθείρειν καὶ ἀφανίζειν.

Ἀμβλωθρίδια. [7] ἐκτρώματα. τὰ ἐξημβλωμένα ἔμβρυα. καὶ Ἀμβλωθρίδιον, αὐτό τε τὸ φθόριον φάρμακον, καὶ δὴ καὶ τὸ διαφθαρέν.

Ἀμβλώσκειν. τὸ ἀμβλῶσαι, καὶ ἐξαμβλῶσαι, τὸ ἀτελὲς γεννῆσαι, τὸ φθεῖραι βρέφος.

Ἀμβλύ. ἀσθενές. [8] ἐν Ἐπιγράμμασι·

——— Ἀλλὰ καὶ αὖθις
Ἐκ καλαμητομίης ἀμβλὺ φέροι δρέπανον.

Ἀμβλυωπίας, καὶ Ἀμβλυωπός. ὁ ἀμυδρῶς ὁρῶν.

Ἀμβλύνω. τὸ ἐκλύω. Ὁ δὲ ἐπιπολὺ διῆγε τὸν πόλεμον, ἀμβλύνων [9] τὴν τοῦ [10] πολέμου ὀξύτητα χρονίαις τε καὶ μακραῖς τοῦ ἔργου τριβαῖς. καὶ Ἀμβλύνεσθαι. [11] Μήθ᾽ ὑπὸ νεότητος θρασύνεσθαι, μήθ᾽ ὑπὸ γήρως ἀμβλύνεσθαι.

Ἀμβλυώττει. τυφλώττει.

Ἀμβλύς. ὁ μὴ ὀξύς. σκοτεινός.

Natura insiti mores difficulter occultari possunt. Ælianus: *Piscium copiam attulerunt ingentem, & tropæum statuerunt, arasque erexerunt.* [Hic ἄμαχον significat *ingens.*] Et iterum: *Quisque pro viribus in hoc incumbebat, quoniam Regem vehementer ei rei studere videbant.* Et iterum: *Erat autem illa Dei sacerdos pulchritudine incredibili prædita.* Et rursus: *Tempestas vehemens subito & inopinato ingruit.* Et iterum: *Non invicta potentia.* Et iterum: *Fastu immodico elatus humana conditione majora affectabat.*

Ἄμαχος. Qui non pugnat. Xenophon. Et Ἀμάχητοι, pugnæ expertes.

Ἀμβακούμ. Quære in Ἀββακούμ, in principio libri.

Ἄμβασις. Pro ἀνάβασις, ascensus. *Et ascensus nullus erat.*

Ἀμβάτας. Pro ἀναβάτας. Sessores. Equites. *Equi vero mortui nulla molestia afficiebant sessores, quippe qui eos comederent.* Et iterum: *Illi vero territi sessores excusserunt.*

Ἄμβενα. Nomen urbis.

Ἄμβη. Petræ supercilium, sive cacumen.

Ἀμβλήδην βοῶσα. Magnum clamorem tollens.

Ἀμβλίσιον. Manna.

Ἀμβλίσκουσιν. Ejiciunt. [Abortum faciunt.] Quod accidit mulieribus, fœtum corrumpentibus, & [ante tempus] projicientibus. Plato in *Theæteto.* Et Ἀμβλίσκειν, & Ἐξαμβλοῦν, perdere & delere.

Ἀμβλωθρίδια. Fœtus abortivi. Fœtus immaturi. Et Ἀμβλωθρίδιον, tam ipsum pharmacum fœtura corrumpens, quam fœtus corruptus.

Ἀμβλώσκειν. Idem quod ἀμβλῶσαι & ἐξαμβλῶσαι, i. e. fœtum imperfectum gignere, vel corrumpere.

Ἀμβλύ. [Obtusum.] Iafirmum. In Epigrammate:

——— ——— *Sed & iterum,*
Culmorum sectione obtusam ferat falcem.

Ἀμβλυωπίας, & ἀμβλυωπός. Qui oculorum aciem obtusam habet.

Ἀμβλύνω. Dissolvo. [Hebeto.] *Ille vero bellum in longum protraxit, hostis impetum lenta & diuturna mora frangens.* Et Ἀμβλύνεσθαι, [obtundi. *Ita comparatus erat,*] *ut nec ob juventutem ferocem se ostenderet, nec ob senectutem vigor ejus obtunderetur.*

Ἀμβλυώττει. Cæcutit.

Ἀμβλύς. Non acutus. Obscurus.

---

hi quidem, cum ad hunc modum fortiter perstitissent, in tormentis animam exhalarunt.

[1] Οὐ δυναστεία ἄμαχος] Integrum locum Damascii, ex quo hæc decerpta sunt, affert Suidas infra v. Ἐναγής.

[2] Ξενοφῶν] *Cyropæd.* lib. IV. p. 90. *P.*

[3] Ἄμβη. ἡ τῆς πέτρας ὀφρύς] De hac voce legendus est Erotianus, qui omnium diligentissime eam exposuit.

[4] Ἀμβλήδην βοῶσα] Recte Pearsonius in margine Codicis sui notaverat, legendum esse ἀμβλήδην γοόωσα, ex Homero Il. X. v. 476. Vide etiam Etymologum.

[5] Ἀμβλίσιον] Hanc vocem in summa Barbarie inquirendam puto.

[6] Πλάτων Θεαιτήτῳ] Locus Platonis, quo Suidas hic respexit, exstat pag. 117.

[7] Ἀμβλωθρίδια] Vide Harpocrationem v. Ἀμβλωθρίδιον, & ibi Maussacum.

[8] Ἐν Ἐπιγράμμασι] Anthol. lib. VI. cap. VII. p. 553.

[9] Τὴν τοῦ πολέμου ὀξ.] Infra v. Διῆγε, ubi fragmentum hoc repetitur, legitur τὴν τοῦ Ἀννίβου.

[10] Πολέμου] Scribe πολεμίου.

[11] Μήθ᾽ ὑπὸ νεότητος θρ.] Hæc sunt verba Dionis de Trajano Imperatore, ut monemus infra v. Ἤκμαζεν, ubi fragmentum hoc repetitur.

Ἀμβολάδην.[1] ἀναβάλλων. Ἡρόδοτος, καθ' ὑπερβολήν.

Ἀμβολὰς γῆ. ἀπὸ τοῦ ὀρύγματος ὑψωθεῖσα. Ξενοφῶν[2]· Ὁ δὲ Κῦρος πύργους ἐποίει ἐπὶ τῆς ἀμβολάδος γῆς, ὅπως ὅτι πλεῖστα φυλακτήρια εἴη. Ἔστιν ἐν τῷ Δακνόμενος, ὅτι τὸ οἰκοδομεῖν, καὶ ἵππους τρέφειν, καὶ ἀμβολὰς ποιεῖν, ἔδοξε τοῖς Λάκωσι δαπανηρὰ εἶναι.

Ἀμβολία. ἡ ὑπέρθεσις. ἐν Ἐπιγράμμασι·

Ἠθάδος ἀμβολίης αἰὲν ἀεξομένης.

καὶ Ἀμβολιεργὸς ἀνὴρ, ὁ τὸ ἔργον ἀναβαλλόμενος.

Ἀμβούλιος. ὄνομα κύριον.

Ἀμβωμοῖσι.[3] περὶ τοὺς βωμούς.

Ἀμβρακία.[4] πόλις ἐστὶν ἐν τῷ [5] Ἀμβρακικῷ κόλπῳ, ἄποικος Κορινθίων.

Ἀμβροσία. ξηρὰ τροφή.

Ἀλλὰ[6] τόδ' Ἀμβροσίης καὶ Νέκταρός ἐστιν ἀπορρώξ.

Νέκταρ δὲ, τουτέστι νεόκταρ, τὸ νέους ποιοῦν τοὺς πίνοντας.

Ἀμβρόσιαι. ἃς οὐδεὶς δύναται βροτῶν ἔχειν.[7] Ὅμηρος·

Ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος
Κρατὸς ἀπ' ἀθανάτοιο.

Ἀμβρόσιον. θεῖον, ἢ ἀθάνατον, ἢ θαυμαστὸν, ἢ ἀκήρατον, ἢ ἄφθαρτον.

Ἦν[8] γὰρ Ἐρώτων
Καὶ Χαρίτων ἁ παῖς ἀμβρόσιόν τι θάλος.

Ἄμβροτα. θεῖα. ἄφθαρτα.

Ἀμαία.[9] ἡ Δημήτηρ. Ἀζησία δὲ, ἡ Κόρη. καὶ παροιμία· Ἡ Ἀμαία τὴν Ἀζησίαν μετῆλθεν. ἐπὶ τῶν πολυχρονίαις ζητήσεσι χρωμένων.

Ἀμαιμακέτου. ἀκαταπονήτου. ἐν [10] Ἐπιγράμμασι·

Οὐ δίχα βύρσας
Θῆκεν ἀμαιμακέτου κρατὸς ἔρεισμα κέρας.

Ἀμεβώνη. ὄνομα κύριον.

Ἀμέλγειν. αἰτιατικῇ.[11] ἰδίως λέγεται ἀμέλγειν, τὸ παρὰ τὸν προσήκοντα καιρὸν ἀώρους τοὺς καρποὺς ἀποσπᾷν, ὅπερ οἱ κλέπτοντες ποιοῦσιν. Ἀριστοφάνης. Ἀμέλγεις τῶν ξένων τοὺς καρπίμους.

Ἀμελεϊστί.[12] χωρὶς βραδυτῆτος.[13] Διαμελεϊστὶ δὲ, μεληδὸν, κατὰ μέλος.

Ἀμβολάδην. Surſum jaciendo. Apud Herodotum hæc vox ſignificat, ſupra modum.

Ἀμβολὰς γῆ. Agger ex terra effoſſa excitatus. Xenophon: *Cyrus vero fecit turres ſupra terram egeſtam, ut quam plurima eſſent excubiarum loca.* In voce Δακνόμενος dictum eſt, ædificare, & equos alere, & aggeres excitare, Laconibus ſumptuoſa videri.

Ἀμβολία. Dilatio. Procraſtinatio. In Epigrammate:

Cum aſſuetæ procraſtinationi magis magiſque indulgeret.

Et Ἀμβολιεργὸς ἀνὴρ, qui negotium ſemper procraſtinat.

Ἀμβούλιος. Nomen proprium.

Ἀμβωμοῖσι. Circum aras.

Ἀμβρακία. Urbs eſt in Ambracico ſinu, Corinthiorum colonia.

Ἀμβροσία. Siccus cibus.

Sed hoc eſt ambroſiæ & nectaris latex.

Νέκταρ vero dictum eſt, quaſi νεόκταρ, i. e. quod juvenes reddit bibentes.

Ἀμβρόσιαι. Quæ mortalibus negatæ ſunt. Homerus:

Ambroſiæ autem comæ concuſſæ ſunt Regis
Capite ex immortali.

Ἀμβρόσιον. Divinum, vel immortale, vel admirandum, vel expers interitus, vel incorruptum.

Erat enim Amorum,
Et Gratiarum illa puella divinum quoddam germen.

Ἄμβροτα. Divina. Incorrupta. Immortalia.

Ἀμαία. Ceres. Ἀζησία vero, Proſerpina. Et proverbium: Ceres Proſerpinam quærit. In eos, qui res aliquas diu quærunt.

Ἀμαιμακέτου. Invicti. Indomiti. In Epigrammate:

Non ſine pelle
Dedicavit indomiti capitis tutamen cornu.

Ἀμεβώνη. Nomen proprium.

Ἀμέλγειν. Gaudet accuſativo. Proprie ἀμέλγειν dicitur, immaturos fructus intempeſtive avellere, quod fures faciunt. Ariſtophanes: *Emulges opulentiores inter peregrinos.*

Ἀμελεϊστί. Sine mora. Διαμελεϊστὶ δὲ, membratim.

---

[1] Ἀμβολάδην. ἀναβ.] Vide de hac voce Euſtathium ad Il. Φ. pag. 1241.

[2] Ξενοφῶν] *Cyropæd.* lib. VII. p. 190. P.

[3] Ἀμβωμοῖσι] Homerus Il. Θ. v. 441. Ἅρματα δ' ἀμβωμοῖσι τίθει. ubi Scholiaſta: Ἀμβωμοῖσι, περὶ τοῖς βωμοῖς.

[4] Ἀμβρακία. πόλις ἐστὶν ἐν τῷ Ἀμβρ.] Ex Harpocratione.

[5] Ἀμβρακικῷ κόλπῳ] Luculentam ſinus hujus deſcriptionem habes apud Polybium lib. IV. cap. LXIII.

[6] Ἀλλὰ τόδ' ἀμβροσίης καὶ ν.] Eſt verſus Homericus Od. I. v. 359.

[7] Ὅμηρος] Il. A. v. 529.

[8] Ἦν γὰρ Ἐρώτων καὶ Χαρ.] Hæc ſunt pars Epigrammatis, quod integrum legitur Anthol. lib. VI. cap. VIII. pag. 559. Vide etiam infra v. Θαλέεσσι, ubi eadem repetuntur.

[9] Ἀμαία. ἡ Δημήτηρ] Didymus apud Zenobium Adag. CDXX. Ὅτι Ἀμαία μὲν ἡ Δημήτηρ παρὰ Τροιζηνίοις προσαγορεύεται· Ἀζησία δὲ, ἡ Κόρη.

[10] Ἐν Ἐπιγράμμασι] Antholog. lib. VI. cap. XV. p. 569.

[11] Ἰδίως λέγεται ἀμέλγειν τὸ παρὰ τὸν κ.] Hæc excerpta ſunt ex Schol. Ariſtoph. ad *Equit.* pag. 306. (207. Ed. Baſ.)

[12] Ἀμελεϊστί. χωρ. βρ.] Peſſime. Legendum enim eſt Ἀμελλητί.

[13] Διαμελεϊστί] Alius error. Dicere enim debuiſſet Suidas μελεϊστὶ, qua voce uſus eſt Homerus Odyſſ. I. v. 291.

Τοὺς δὲ διὰ μελεϊστὶ ταμὼν ὡπλίσσατο δόρπον. i. e.
Hos autem membratim diſſecans apparavit cœnam.

In hoc verſu præpoſitio διὰ non pertinet ad vocem μελεϊστὶ, ut Suidas putavit, (quem ad hunc locum Poetæ, vel alterum ei ſimilem Odyſſ. Σ. v. 338. reſpexiſſe non dubito) ſed jungenda eſt verbo ταμὼν, a quo per Tmeſin, Poetis familiarem, interjecta voce

'Αμέλει.[1] τοιγαροῦν. ἀντὶ τοῦ, μή σοι μελέτω τούτου.

'Αμέλεια, καὶ ἀμελία. ἀμφότερα Ἑλληνικά. καὶ γὰρ διὰ διφθόγγου, καὶ διὰ τοῦ ι γράφεται.

'Αμελητί.[2] ἀνυπερθέτως. ταχέως. καὶ ἀμελητέα γυνή.

'Αμέλιος,[3] 'Απαμεύς, φιλόσοφος, μαθητὴς Πλωτίνου, διδάσκαλος Πορφυρίου, συγχρονίσας 'Αμμωνίῳ, καὶ 'Ωριγένῃ.

'Αμελῶ σοῦ.

'Αμενηνός. ἀσθενής. [4] Ὅμηρος· 'Αμενηνῶν ὀνείρων. καὶ ὁ καπνὸς ἀμενηνός. καὶ παροιμία· Καπνὸν εἶναι ἡγούμην. ἐπὶ τῶν οὐδαμινῶν, καὶ οὐδενὸς ἀξίων.

'Αμενήνωσεν. ἀσθενῆ ἐποίησεν.

'Αμενητί. χωρὶς τοῦ ἐπιμεῖναι.

'Αμερβές.[5] τὸ μεσονύκτιον. παρὰ τὴν ὀρφνήν, ἀμορφνής, καὶ ἐκλείψει τοῦ ν, καὶ τροπῇ τοῦ φ εἰς β, ἀμερβές.

'Αμεριμνία. ἡ ἄνεσις.

'Αμεριμνεί. χωρὶς φροντίδος.

'Αμετάκλητον. [6] 'Αμετάκλητον ὁρμὴν εἶχε τὸ πλῆθος, εἰς τὸ μὴ μόνον ἀλλότρια φρονεῖν τοῦ βασιλέως, ἀλλὰ καὶ τιμωρίαν βούλεσθαι παρ' αὐτοῦ λαμβάνειν.

'Αμετάπτωτον. κυρίως ἐπὶ σωμάτων λέγεται, τῶν δι' ἰσχὺν μὴ τρεπομένων, ἢ διὰ ἰδιότητα μὴ μεταβαλλόντων. κατὰ μεταφορὰν δὲ λέγεται ἡ ἐπιστήμη ἀμετάπτωτος.

'Αμεταποίητον. ἀμετάθετον.

'Αμεταστρεπτί. ἀμελητί. μὴ ἐπιστρεφόμενον εἰς τοὐπίσω. ζήτει ἐν τῷ 'Απονητί.

'Αμετρεί. χωρὶς μέτρου. καὶ [7] παροιμία· 'Αμετρεὶ μάζαν ἔδοντες.

'Αμετροκάκου. πλεῖστον πληθυνούσης περὶ κακίαν. Ἐς τοσοῦτον δὲ ἐχώρησεν ἀμετροκάκου πλεονεξίας, ὥστε καὶ ἀνδράποδα δημόσια ἀπημπόλει.

'Αμείβεσθαι. αἰτιατικῇ, ἀποκρίνεσθαι. καταβάλλεσθαι. [8] Λεόντιος μὲν τοσαῦτα εἶπε. Θευδίβαλδος δὲ ἀμείβεται ὧδε. ἀντὶ τοῦ, ἀποκρίνεται.

'Αμείβομαί σε τοῦδε. Τούτους ὥσπερ τῆς εὐσεβείας ὁ θεὸς ἀμειβόμενος.

'Αμείβων. ἀλλάσσων. καὶ 'Αμοιβή, ἡ ἀντέκτισις.

'Αμοιβηδίς. ὁ ἀντικαταλλάσσων.

'Αμέλει. Scilicet. Videlicet. Item, ne hanc rem cures.

'Αμέλεια, & ἀμελία. Utrunque Græcum eſt. Nam & per diphthongum ει, & per ι ſcribitur.

'Αμελητί. Sine dilatione. Cito. Et mulier negligenda.

'Αμέλιος. Amelius, Apamenſis, Philoſophus, magiſter Porphyrii, æqualis fuit Ammonii & Origenis.

'Αμελῶ σου. Non curo te.

'Αμενηνός. Infirmus. [Vanus.] Homerus: *Vanorum ſomniorum*. Et, *Fumus inanis*. Et proverbium: *Fumum eſſe putabam*: quod in homines nullius pretii dicitur.

'Αμενήνωσεν. Infirmum reddidit.

'Αμενητί. Cum quis non manet, vel expectat aliquid.

'Αμερβές. Media nox. A nomine ὀρφνὴ, fit ἀμορφνὴς, & abjecto ν, mutatoque φ in β, ἀμερβές.

'Αμεριμνία. [Animi] remiſſio.

'Αμεριμνεί. Sine cura. Sine ſolicitudine.

'Αμετάκλητον. [Quod revocari reprimique nequit.] *Multitudo impetu effuſo non ſolum ad defectionem, ſed etiam ad pœnas de Rege ſumendas ferebatur.*

'Αμετάπτωτον. Proprie dicitur de corporibus, quæ propter firmitatem non [facile] vertuntur; vel propter proprietatem aliquam non mutantur. Per tranſlationem vero ſcientia dicitur ἀμετάπτωτος, [i. e. immutabilis & certa.]

'Αμεταποίητον. Quod mutari, vel revocari nequit.

'Αμεταστρεπτί. Sine cura. Negligenter. Quære in v. 'Απονητί.

'Αμετρεί. Immoderate. Et proverbium: *Immoderate placentam edentes.*

'Αμετροκάκου. Supra modum improbi. *Eo autem immoderata ejus avaritia progreſſa eſt, ut & mancipia publice venderet.*

'Αμείβεσθαι. Accuſativo jungitur. Reſpondere. Perſolvere. *Leontius cum hæc dixiſſet, Theodibaldus ei ſic reſpondit.* [Hic τὸ ἀμείβεται poſitum eſt] pro ἀποκρίνεται.

'Αμείβομαί σε τοῦδε. [Hujus rei gratiam tibi refero.] *Deus pietatis mercedem illis rependens.*

'Αμείβων. Mutans. Et 'Αμοιβὴ, gratiæ relatio, [compenſatio.]

'Αμοιβηδίς. Qui permutat.

μελεϊτί, dividitur. Hinc Scholiaſta ad eum locum recte ſic ait: Μελεϊτί. κατὰ μέλος.

[1] Τοιγαροῦν. ἀντὶ τοῦ, μή σοι μ.] Excidit hic vox ἤ, *aut*. Legendum enim eſt, τοιγαροῦν. ἢ ἀντὶ τοῦ, μή &c.

[2] 'Αμελητί. ἀνυπ.] Lege, ἀμελλητί: a μέλλω, cunctor. 'Αμελητὶ autem ſignificat, ſine cura, negligenter, ab ἀμελέω.

[3] 'Απαμεύς] Magis credendum eſt Porphyrio in *Vita Plotini*, qui Amelium Tuſcum fuiſſe tradit his verbis: Ἔσχε δὲ ἀκροατὰς μὲν πλείους, ζηλωτὰς δὲ, καὶ διὰ φιλοσοφίαν συνόντας, 'Αμέλιόν τε ἀπὸ τῆς Τουσκίας, οὗ τὸ ὄνομα ἦν Γεντιλιανός. Meurſius in *Bibliotheca Græca* exiſtimat, Suidam, cum Amelium Apamenſem ſcriberet, reſpexiſſe ad verba iſta Porphyrii eodem opere oſcitanter nimis lecta: Τελευτῶντι δὲ αὐτῷ, ἐγὼ μὲν ὁ Πορφύριος ἐτύγχανον ἐν Λιλυβαίῳ διατρίβων, 'Αμέλιος δὲ ἐν 'Απαμείᾳ τῆς Συρίας. i. e. *Illo autem moriente, ego quidem Porphyrius in Lilybæo commorabar, Amelius autem in Apamea Syria.* De ſcriptis hujus Amelii vide Meurſium ibidem.

[4] Ὅμηρος] Odyſſ. Τ. v. 562.

[5] 'Αμερβές. τὸ μεσ.] Scribendum potius eſt ἀμορβές, vel ἀμορβόν. Scholiaſta Nicandri ad *Ther.* pag. 7. 'Αμορβόν, τὸ σκοτεινόν. παρὰ τὴν ὀρφνήν, ἐκλείψει τοῦ ν, καὶ τροπῇ τοῦ φ εἰς β.

[6] 'Αμετάκλητον ὁρμὴν εἶχε τὸ πλ.] Hæc, & quæ ſequuntur, ſunt verba Polybii apud Conſtantinum Porphyrog. in Excerptis, a Valeſio editis, p. 147. unde Suidas ea deprompſit.

[7] Παροιμία. 'Αμετρεὶ μάζαν ἔδοντες] Integrum proverbium, ejuſque originem, Suidas refert infra v. Μέτρῳ ὕδωρ, ubi legitur ἀμέτρως; uti etiam apud Zenobium.

[8] Λεόντιος μὲν τοσαῦτα εἶπε. Θευδ.] Fragmentum hoc excerptum eſt ex Procopio *de Bello Goth.* lib. IV. cap. XXIV.

'Αμειδές. στυγνόν. σκυθρωπόν. καὶ 'Αμειδές. σκοτεινόν. καὶ κλίνεται εἰς ους.

'Οργὴν[1] οὖν πρήϋνον ἀμειδέα, μηδ' ἀπολείπειν
Κακόν.[2]

'Αμείδητος. σκυθρωπός. καὶ 'Αμειδήτων, σκυθρωπῶν, ἀγελάστων. ἐν 'Επιγράμμασι·

Εἰ[3] καὶ ἀμειδήτων νεκύων ὑπὸ γαῖαν ἀνάσσεις,
Περσεφόνη.

'Αμείλικτον. ἀπηνῆ. ἀκαμπῆ. καὶ 'Αμείλικτος, ἀπάνθρωπος. Εὐνάπιος· [4]Οὕτως ἀμείλικτοι ἦσαν ἄμφω κατὰ τὴν ἀλήθειαν, καὶ τὸ ἔργον ἐχώρει περιφανέστερον.

'Αμείλιχος. σκληρός. ἀκολάκευτος.

'Αμεινίας. ὄνομα κύριον.

'Αμειψίας,[5] 'Αθηναῖος, Κωμικός.

'Αμειψιρυσμεῖν.[6] μεταμορφοῦσθαι.

'Αμειψόμεθα ἀνταποδώσομεν.

"Αμη.[7] τεκτονικὸν ἐργαλεῖον, ὃ ἡμεῖς πυράμην λέγομεν οὐκ ὀρθῶς. καὶ παροιμία· [8]"Αμας ἀπῄτουν, οἱ δ' ἀπηρνοῦντο σκάφας. ἐπὶ τῶν ἄλλα μὲν ἀπαιτουμένων, ἕτερα δὲ μὴ ἔχειν ἰσχυριζομένων.

'Αμηγέπη. ὁπωσδήποτε. καθ' ὁποῖον. λέγεται δὲ καὶ ἀμωσγέπως, καὶ ἀμόθεν, καὶ ἀμωγέπου, καὶ ἀμηγέποι, καὶ ἀμωσγέποι. [9]'Αριστοφάνης·

'Υμᾶς μὲν αἰεὶ μισθοφορεῖν ἀμηγέποι.

'Αντὶ τοῦ, ἁπανταχοῦ, ὅπως ἂν τύχοι, καθ' οἷον δήποτε τρόπον. Καὶ αὖθις· 'Αλλ' ἀμηγέπη τῶν παρατεθέντων ἀπογευσάμενος ἀωρὶ νύκτωρ περιήρχετο τὴν βασιλικὴν αὐλήν. καὶ 'Αμηγέπη 'Αγαθίας φησίν· [10]'Αλύοντι δὲ, καὶ ἕκαστα γνωματεύοντι, ἔδοξέν οἱ ἀμηγέπη ἀποπειρᾶσθαι τοῦ φρουρίου.

'Αμήν. πεπιστωμένως. ἀληθῶς.

'Αμήριον. πόλις 'Ιταλίας. τὸ ἐθνικὸν, 'Αμηρῖνος.

'Αμήρυτον.[11] πολύ. ἐκτεταμένον. ἀτέλεστον. τουτέστι, διηνεκῶς ἐπιμένον, ἀπέραντον.

'Αμησάμενος. ἀνορύξας. 'Ο δὲ τὸ χῶμα σείσας, καὶ τὴν γῆν ἀμησάμενος, ἐζήτει τὸν νεκρόν. Καὶ ἀντὶ τοῦ, χερσὶ σωρεύσας.

'Πολλὰ[12] τιθηνητὴρ ὀλοφύρατο, χερσὶν ἀμήσας

'Αμειδής. Triſte. Tetricum. Item, obſcurum. Declinatur autem in genitivo per ους.

Iram igitur leni triſtem, nec auge
Malum.

'Αμείδητος. Tetricus. Et 'Αμειδήτων, tetricorum, a riſu alienorum. In Epigrammate:

Quamvis in mortuos riſus expertes regnum obtineas,
Proſerpina.

'Αμείλικτον. Implacabilem. Inexorabilem. Inhumanum. Eunapius. *Adeo crudeles erant ambo re vera: & facinus evadebat illuſtrius.*

'Αμείλιχος. Durus. Qui nullis blanditiis flectitur.

'Αμεινίας. Nomen proprium.

'Αμειψίας. Athenienſis, Comicus.

'Αμειψιρυσμεῖν. In aliam formam mutari.

'Αμειψόμεθα. Gratiam referemus.

"Αμη. Fabrile inſtrumentum, quod nos non recte πυράμην vocamus. Et proverbium: Falces repetebam, illi vero ligones ſe habere negabant. Dicitur hoc in eos, qui alia ſe habere negant, quam quæ ab ipſis petuntur.

'Αμηγέπη. Quomodocunque. Quacunque ratione. Dicitur etiam ἀμωσγέπως, & ἀμόθεν, & ἀμωγέπου, & ἀμηγέποι, & ἀμωσγέποι. Ariſtophanes: *Cauſa vero quænam eſt, cur ubique ſtipendia mereamini?* Hic τὸ ἀμηγέπου ſignificat ubicunque, quomodocunque. Et iterum: *Sed cum appoſitos cibos utcunque & leviter deguſtaſſet, intempeſta nocte regiam aulam circumibat.* Et 'Αμηγέπη dixit Agathias. *Fluctuanti vero illi, & ſingula perpendenti, viſum eſt expugnationem caſtelli quomodocunque tentare.*

'Αμήν. Fideliter. Vere.

'Αμήριον. Urbs Italiæ. Gentile nomen eſt, Amerinus.

'Αμήρυτον. Multum. Extenſum. Imperfectum. Perpetuo permanens. Infinitum.

'Αμησάμενος. Qui effodit. *Ille autem, aggere quaſſato, & terra effoſſa, mortuum quærebat.* Item, qui manibus coacervavit, vel accumulavit.

Multum nutritius luxit, manibuſque for-

---

[1] 'Οργὴν οὖν πρήϋνον ἀμειδ.] Verſus hic eſt pars Oraculi, Diogeni cuidam olim redditi, quod integrum recitatur infra v. Διογένης.

[2] Κακόν] Vide infra, loco citato, ubi aliter legitur.

[3] Εἰ καὶ ἀμειδήτων νεκ.] Verba hæc ſunt pars Epigrammatis in Democritum, quod integrum legitur Anthol. lib. III. cap. XXXIII. pag. 419.

[4] Οὕτως ἀμείλικτοι ἦσαν ἀμφ.] Senſus hujus fragmenti eſt obſcurus & mutilus, quem illuſtrare & ſupplere non poſſumus, quoniam opus Eunapii, ex quo hæc deprompta ſunt, hodie non amplius exſtat.

[5] 'Αμειψίας, 'Αθ.] De hoc Comico, ejuſque fabulis, vide Meurſium in *Bibliotheca Attica*; qui tamen omiſit fabulam ejus Κωμασταὶ, cujus meminit Scholiaſta Ariſtophanis in Argumento *Avium*, his verbis: 'Εδιδάχθη ἐπὶ Χαβρίου ἄρχοντος εἰς ἄστυ, διὰ Καλλιστράτου· ὃς ἦν δεύτερος τοῖς "Ορνισι· πρῶτος, 'Αμειψίας ΚΩΜΑΣΤΑΙΣ· τρίτος, Φρύνιχος Μονοτρόπῳ. i. e. *Acta eſt autem* [*fabula* Aves] *ſub Archonte Chabria in Urbe, per Calliſtratum, qui ſecundam palmam reportavit* Avibus; *primam, Amipſias COMASTIS; tertiam, Phrynichus* Monotropo.

[6] 'Αμειψιρυσμεῖν] Idem eſt, ac ſi dicas, ἀμείβειν ῥυσμὸν, i. e. mutare formam. 'Ρυσμὸς enim erat vox Democrito ejuſque ſectatoribus propria, ſignificans formam, vel figuram; ut Suidas docet infra v. 'Ρυσμὸς, ubi plura de hac voce notamus. Hinc ergo patet, quam parum vocabuli hujus vim intellexerit Portus, qui id reddidit, *mutationem ſecum trahere.*

[7] Τεκτονικὸν ἐργαλεῖον] Salmaſius ad Trebellii Pollionis *Claudium*, pag. 392. legendum contendit ὀρυκτικὸν ἐργαλεῖον, i. e. foſſorium inſtrumentum; ad quem Lectorem remitto, quoniam nonnulla ibi adfert, quæ locum hunc egregie illuſtrant.

[8] "Αμας ἀπῄτουν, οἱ δ' ἀπηρν.] Vide ſupra v. "Αμας.

[9] 'Αριστοφάνης] In *Acharnenſ.* p. 286. P.

[10] 'Αλύοντι δὲ, καὶ ἕκαστα γνωμ.] Hæc ſunt verba Agathiæ lib. I. pag. 20. Vide ſupra v. 'Αλύοντι. ubi idem fragmentum legitur.

[11] 'Αμήρυτον. πολύ. ἐκτ.] Hæc nota referenda eſt ad locum illum Apollonii Rhodii *Argonaut.* lib. II. v. 221.

——Καὶ γῆρας ἀμήρυτον ἐς τέλος ἕλκω.

Ubi eruditus enarrator ait: 'Αμήρυτον. γράφεται καὶ ἀμήρυον· τουτέστιν, ἀτέλεστον, καὶ διηνεκῶς ἐπιμένον, ἀπέραντον, ἢ τὸ τέλος μὴ ἔχον. λέγει δὲ τὸ θάνατον μὴ ἔχειν. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν μηρυομένων ἐρίων. Hæc nota Scholiaſtæ Suidam egregie illuſtrat, quoniam ipſiſſimis pene verbis rem eandem docet.

[12] Πολλὰ τιθηνητὴρ ὀλοφ.] Diſtichum hoc eſt pars Epigrammatis in Regem Ptolemæum, quod integrum legitur Antholog. lib. III. cap. VII. p. 319.

Ἀνδρομάχης[1] δνοφερὴν[2] κρατὸς ὕπερθε κόνιν.

Ἀμήσαντες.[3] ἀντὶ τοῦ, μὴ ἀποτεμόντες. καὶ Ἀμήσαντε, θερίσαντε. ἐν Ἐπιγράμματι·

Οὐδέ[4] ποτ' ἀμήσαντε Κορινθικὸν, οὔποτε πικρᾶς
Γευσαμένῳ πενίης.

Ἀμησὸς,[5] καὶ Ἀμινσός. Ἀμενσὸς δὲ, Ἀμινσηνός.

Ἄμητα. Ἄμης, εἶδος πλακοῦντος γαλακτώδους. Ἀριστοφάνης[6] Πλούτῳ·

Ἄμητά τε προσέπεμψεν ἡμῖν τουτονί.

Οὐ μόνον ὅτι οὐκ ἐδέξατο τὰ δῶρά μου, ἀλλὰ καὶ οἴκοθεν ἔπεμψέ μοι ἄλλο πλακούντιον πρὸς τούτῳ. ὡσανεὶ λέγων, μηκέτι πατῆσαι ἐκεῖ με. Ἄμης οὖν, ὁ πλακοῦς· οὐχ ὁ ἰπνός.

Ἀμητῆρες. θερισταί.

Ἀμητός. αὐτὰ τὰ τεθερισμένα, ὀξυτόνως· οἷον ὁ στάχυς. καὶ τρυγητὸς βότρυς, ὁ τρυγώμενος. προπαροξυτόνως δὲ Ἄμητος, ὁ καιρὸς τοῦ θέρους, ἐν ᾧ δεῖ ἀμᾷν. ὡς καὶ τρύγητος, ὁ καιρὸς τοῦ τρυγᾷν.

Ἀμήτωρ. ἀμήτορος. ἄνευ μητρός. μητρὸς ἐστερημένος. Ὅτι Φρονίμη, ἡ θυγάτηρ Ἐτεάρχου, ἀμήτωρ ἐλέγετο. καὶ ζήτει ἐν τῷ Βάττος.

Ἀμήχανα. [7] Οἱ δὲ, ἐπεὶ τὰ ἀμήχανα τοῦ λιμοῦ ἔπαθον, ἐκεχειρίαν ὀλίγων τινῶν ἡμερῶν [8] ἤτουν διαπράξασθαι.

Ἀμηχάνηλοι.[9] ἀντὶ τοῦ, πολλοί. Ξενοφῶν.

Ἀμηχανία. ἀπορία.

Ἀμήχανον. ὑπὲρ λόγον. ἢ ἀνεπιχείρητον, ἀδύνατον. Τοῖς δὲ Ῥωμαίοις ἀμήχανος ἡ χαρὰ παρέστη πρὸς τὸ πάθος. καὶ Ἀμήχανος, πρὸς ὃν οὐκ ἔστι μηχανήσασθαι. Δαμάσκιος· [10] Πόθῳ τε ἀμηχάνῳ τοῦ περὶ τὸ θεῖον βακχείας, οἷον ἀπομαντευομένῳ ἐῴκει τὴν τῆς ἀληθείας εὕρεσιν.

Ἄμμιγα. ἀναμεμιγμένως.

Εἵνεκεν[11] εὐμαθίης πινυτόφρονος, ἣν ὁ μελίχρους
Ἤσκησεν, Μουσῶν ἄμμιγα καὶ Χαρίτων.

Ἀμίδα. οὐρητρίδα. οὐρηρὸν ἀγγεῖον. καὶ Ἀμίδας, τὰ ὑπηρέσια.

Σοφόν γε τουτὶ, καὶ γέροντι πρόσφορον
Ἐφεῦρες ἀτεχνῶς φάρμακον στραγγουρίας.

Ἀριστοφάνης.[12]

Ἀμὶς μὲν ἢν οὐρητιάσῃς, αὐτηὶ
Παρὰ σοὶ κρεμήσετ' ἐγγὺς ἐπὶ τοῦ παττάλου.

tibus accumulavit atrum ſuper caput pulverem.

Ἀμήσαντες. Qui reſecuerunt. Et, Ἀμήσαντε, qui meſſuit. In Epigrammate:

Illi, qui nunquam meſſuit [in agro] Corinthiaco, nec unquam amaram
Guſtavit paupertatem.

Ἀμησός. Ameſus, [urbs,] quæ etiam dicitur Aminſus & Amenſus. [Gentile eſt] Aminſenus.

Ἄμητα. Ἄμης, genus placentæ ex lacte confectæ. Ariſtophanes in *Pluto*:

Placentamque præterea miſit nobis iſtam.

Id eſt, non ſolum non accepit mea dona, ſed etiam ex ſuo penu miſit mihi aliam placentam præter iſtam: quaſi diceret, ne amplius illuc venirem. Ἄμης igitur eſt placenta, non autem caminus.

Ἀμητῆρες. Meſſores.

Ἀμητός. Ipſæ fruges demeſſæ, ut ſpicæ: cum acuto in ultima. Et τρυγητὸς, racemus, qui vindemiatur. Sed ἄμητος, cum acuto in antepenultima, ſignificat tempus æſtatis, quo metere oportet: ut τρύγητος, tempus vindemiandi.

Ἀμήτωρ. Matre carens, vel orbatus. Phronime, Etearchi filia, dicebatur ἀμήτωρ. Quære in v. Βάττος.

Ἀμήχανα. *Illi vero fame in ſummas anguſtias redacti, paucorum dierum inducias petierunt.*

Ἀμηχάνηλοι. Significat *multi* apud Xenophontem.

Ἀμηχανία. Difficultas ineluctabilis, ſive ex qua nos expedire non poſſumus.

Ἀμήχανον. Quod majus eſt, quam ut verbis explicari poſſit. Quod nemo aggredi poteſt. Quod fieri non poteſt. *Romani vero propter illam cladem incredibili lætitia perfuſi ſunt.* Et Ἀμήχανος, qui nullis machinis, vel artibus, ſuperari poteſt. Damaſcius: *Præ deſiderio incredibili divina perveſtigandi, veritatem inventam quaſi ex tripode pronuntiabat.*

Ἄμμιγα. Mixte.

Propter doctrinam, cum judicio conjunctam,
quam ſuavis ille [Sophocles]
Exercuit, tam Muſis, quam Gratiis litans.

Ἀμίδα. Matulam. Vas, in quod mingimus. Et Ἀμίδας, matulas. Ariſtophanes:

Matula quidem (ſi micturis) hæc
Juxta te ſuſpendetur ad ligneum clavum.
Prudens hoc & ſeni commodum
Excogitaſti profecto remedium ſtranguriæ.

---

[1] Ἀνδρομάχης] Scribe ἀνδρομάχοις, ut in Antholog. loco laudato. Eſt enim epithetum vocis χερσὶ, non autem nomen proprium.

[2] Δνοφερὴν] Hæc repetuntur infra v. Δνοφερός.

[3] Ἀντὶ τοῦ, μὴ ἀποτεμόντες] Tolle peccantem voculam μὴ, & locus recte ſe habebit.

[4] Οὐδέ ποτ' ἀμήσαντε Κορ.] Senſus hujus loci obſcurus eſt, quem illuſtrare nequeo, quoniam non recordor, unde Suidas Epigramma hoc deprompſerit.

[5] Ἀμησὸς] A Stephani mutilatore, & Strabone, hæc urbs vocatur Amiſus. Vide etiam paulo inferius v. Ἀμινσός.

[6] Ἀριστοφάνης Πλούτῳ] Pag. 47. ubi vide Scholiaſtam, ex quo Suidas ſua deſcripſit. *P.*

[7] Οἱ δὲ ἐπεὶ τὰ ἀμήχ.] Hoc fragmentum depromptum eſt ex Procopio *de Bello Gothico* lib. III. cap. XVI.

[8] Ἤτουν διαπράξασθαι] Apud Procopium legitur, πείθουσι τὸν Πελάγιον παρὰ Τωτίλαν τε ἰέναι, καὶ ἡμερῶν ὀλίγων τινῶν ἐκεχειρίαν διαπράξασθαι σφίσιν. i. e. *Perſuadent Pelagio, ut Totilam adeat, & paucorum dierum inducias paciſcatur.*

[9] Ἀμηχάνηλοι] Scribendum eſt ἀμήχανοι. Apud Xenophontem enim in *Inſtitut. Cyri* lib. VII. pag 193. legitur ἄνθρωποι τὸ πλῆθος ἀμήχανοι, quem locum fortaſſe Suidas reſpexit.

[10] Πόθῳ τε ἀμηχάνῳ τῆς περὶ τὸ θ.] Fragmentum hoc legitur apud Photium in Excerptis ex Damaſcio pag. 1036. ut Pearſonius obſervavit.

[11] Εἵνεκεν εὐμαθίης πινυτόφρ.] Diſtichum hoc eſt pars Epigrammatis in Sophoclem, quod integrum legitur Anthol. lib. III. cap. XXV. p. 274. *P.*

[12] Ἀριστοφάνης] In *Veſpis*, pag. 339. *P.*

Ἀμίδης. ὄνομα κύριον.

Ἀμιθρῆσαι.[1] μετρῆσαι, ἀριθμῆσαι. παρὰ Καλλιμάχῳ.

Ἄμικτος. ὁ μὴ μιγνύμενος.

Ἅμιλλα. ἀνταγώνισμα. φιλονεικία. ἐξίσωσις. Καί ποτε ἀγῶνα ἐπιτελοῦντες τούτω τὼ μειρακίω, ἐς ἅμιλλαν ἀκοντίσεως ἀποδυσαμένω, εἶτα μέντοι τῆς σπουδῆς θερμότερον ὑπεπλήσθησαν· καί πως ὁ Ἀργέου υἱὸς ἀλλαχόσε βουλόμενος βαλεῖν, τἀδελφοῦ δυστυχῶς τῶν στέρνων τυγχάνει, καὶ ἀναιρεῖ αὐτόν.

Ἁμιλλητήριον. τόπος ἐν ᾧ ἁμιλλῶνται.

Ἀμίλκας, ὁ καὶ Φαβέας, Καρχηδονίων στρατηγὸς, ὃς ὑπῆρχε κατὰ μὲν τὴν ἡλικίαν ἀκμάζων, καὶ κατὰ τὴν ἕξιν ἐρρωμένος, τὸ δὲ μέγιστον ἐφόδιον πρὸς πολεμικὴν χρείαν, ἱππεὺς ἄγαν ἀγαθὸς καὶ τολμηρός. Τούτου τοῦ Ἀμίλκου παῖδα γεγενῆσθαί φασιν Ἀννίβαν, τὸν χρόνοις ὕστερον μακρῷ πολέμῳ τὴν Ἰταλίαν κακώσαντα, Ῥωμαίοις τε φοβερὸν ἐς τὰ μάλιστα γενόμενον.

Ἁμιλλῶμαί σοι. ἀνταγωνίζομαί σοι.

Ἀμιναδάμ. ὄνομα κύριον.

Ἀμινσός. ὄνομα πόλεως. οἱ δὲ, Ἀμησὸς διὰ τοῦ η. καὶ Ἀμησηνός.

Ἅμιπποι.[2] ξυνωρίς, φασι, κατὰ τὸ παλαιὸν ἐλέγετο·[3] δύο ἵπποι συνεζευγμένοι τῶν τραχήλων. ὧν δ' ἐπὶ μὲν ἑνὸς, ἡνίοχος· ἐπὶ δὲ τοῦ ἑτέρου, ὁπλίτης. καὶ νῦν δὲ χρῶνται περὶ ἀρχῆς οἱ Λίβυες, οἱ προσαγορευόμενοι Ζευγνῖται. τὸ δὲ αὐτὸ καὶ Ἄμιππον καλεῖται. οὕτω Θουκυδίδης.

Ἅμιπποι.[4] κατὰ τὸν Ἰσαῖον, οἱ σὺν ἵπποις στρατευόμενοι. οἱ δέ φασιν ὅτι ζεύγνυνται μέν τινες ἵπποι· καὶ ὁ ἐπελαύνων αὐτοὺς, τοῦ μὲν ἐποχεῖται, τὸν δὲ παρέλκεται. καὶ καλοῦνται οὗτοι Ἄμιπποι. πεζοὺς δὲ τοὺς ἁμίππους Θουκυδίδης, καὶ Ξενοφῶν ὑποδηλοῦσι. καὶ μή ποτε πρόδρομοί τινές εἰσιν, οἱ ἅμα τοῖς ἱππεῦσι τεταγμένοι.

Ἀμισηνός. ἀπὸ τόπου.

Ἀμίσγαλος.[5] ὁ δυσάρεστος. ὁ μὴ ἄλλῳ μισγόμενος. καὶ Ἀμίσαλος. οἷον, [6]Ἀμίσαλλοί τε γέ-

Ἀμίδης. Nomen proprium.

Ἀμιθρῆσαι. Metiri. Numerare. Apud Callimachum.

Ἄμικτος. Qui non miſcetur.

Ἅμιλλα. Certamen. Contentio. Æmulatio. *Cum autem aliquando hi duo adoleſcentes certamen inſtituiſſent, & jaculando inter ſe contendere cœpiſſent, ſtudioque rei magis magiſque accenderentur, forte contigit, ut Argei filius, alio jaculari volens, pectus fratris infeliciter feriret, eumque interficeret.*

Ἁμιλλητήριον. Locus, in quo certatur.

Ἀμίλκας. Amilcar, (qui & Phabeas,) Carthaginenſium Imperator, non ſolum ætate & viribus florebat, firmoque corporis habitu erat præditus: ſed idem etiam eques erat valde ſtrenuus, & audax, quod ad bellicos uſus maximum eſt ſubſidium. Hujus Amilcaris filium fuiſſe tradunt Annibalem, qui aliquot annis poſt Italiam longo bello vexavit, Romaniſque maxime formidabilis fuit.

Ἁμιλλῶμαί σοι. Tecum contendo. Tecum certo.

Ἀμιναδάμ. Nomen proprium.

Ἀμινσός. Nomen urbis. Alii vero ſcribunt Ἀμησὸς, per η. Et Ἀμησηνὸς, Ameſenus.

Ἅμιπποι. Sic olim vocabantur bini equi juncti [abſque curru,] quorum alteri inſidebat rector, alteri vero, miles armatus. Et nunc etiam his utuntur Libyes, Zeugnitæ vocati. Idem etiam vocatur ἅμιππον. Sic Thucydides [hac voce uſus eſt.]

Ἅμιπποι. Secundum Iſæum [ſic vocantur,] qui cum equis militant. Alii vero dicunt, ſic vocari equos celetes ſimul junctos, quorum altero ſeſſor vehitur, alterum vero alligatum trahit. Ex Thucydide autem & Xenophonte colligitur, Ἁμίππους etiam fuiſſe pedites. Videndum tamen, ne Ἅμιπποι ſint præcurſores quidam, equitibus adjuncti.

Ἀμισηνός. Nomen a loco deductum.

Ἀμίσγαλος. Moroſus. Qui cum nemine converſatur. Dicitur etiam Ἀμίσαλος, abſque γοντες, κατ' ἔνδειαν τοῦ γ.

---

[1] Ἀμιθρῆσαι. μετρῆσαι, ἀριθμῆσαι] Euſtath. ad Odyſſ. Π. pag. 1801. Καινολόγος τις ποιητὴς μεταθεὶς ἀμιθρεῖν λέγει τὸ ἀριθμεῖν. Poeta ille καινολόγος vel videtur eſſe Callimachus, vel Phœnix Colophonius. Priorem enim voce ἀμιθρῆσαι pro ἀριθμῆσαι uſum eſſe, teſtatur hoc loco Suidas. Poſterior vero eadem voce uſus eſt in fragmento, quod exſtat apud Athen. lib. XII. cap. VII. p. 530.

[2] Ἅμιπποι. ξυνωρίς, φασι, κατὰ τὸ παλ. ἐλ.] Clarius Pauſanias apud Euſtath. in Odyſſ. Ε. pag. 1539. Ἅμιπποι, ἵπποι ἐζευγμένοι χωρὶς δίφρου, κληθέντες οὕτως, ἐπεί, φησι, ἐπὶ δύο κέλητας ἀνέβαινον, ὁ μὲν ἡνιοχῶν, ὁ δὲ ὁπλίτης. ἀπὸ τοίνυν τοῦ ἅμα ἀμφοτέρους καθέζεσθαι, οἱ καὶ ἰδίᾳ φησὶν ἑκατέρους, ἅμιπποι οἱ τοιοῦτοι ἐλέγοντο.

[3] Δύο ἵπποι συνεζευγμ.] Hæc, & quæ ſequuntur, leguntur etiam ſupra v. Ἀλίβυες, ubi pro τῶν τραχήλων rectius ſcriptum eſt τῷ τραχήλῳ.

[4] Ἅμιπποι. κατὰ τὸν Ἰσαῖον, οἱ σὺν ἵππ. στρ.] Vox ἅμιπποι diverſas habet ſignificationes. Interdum enim ſic vocantur equi celetes ſimul juncti, quorum altero vehitur rector, altero vero, miles armatus, ut Suidas in præcedenti nota docuit. Interdum vero ſic appellantur equi deſultorii, ex quorum altero in alterum ſeſſor tranſilit: quo pertinent verba illa Harpocrationis: Ἔνιοι δέ φασιν, ὅτι ζεύγνυνταί τινες πρὸς ἀλλήλους ἵπποι κέλητες, ὁ δὲ ἐλαύνων αὐτοὺς, τὸν ἕτερον μὲν παρέλκεται, ἐπὶ δὲ τοῦ ἑτέρου ὀχεῖται. οὗτοι ἅμιπποι λέγονται. τοῦτ' ἔστι τὸ παρ' Ὁμήρῳ· Θρώσκων ἄλλοτ' ἐπ' ἄλλον. Clare hic docet Harpocration, ἁμίππους etiam equos deſultorios dici. Interdum vero ſic vocantur dimachæ, ſive milites, nunc ex equis, nunc pedibus, pugnantes. Optime Heſychius: Διμάχαι, οἱ λεγόμενοι ἅμιπποι, οἵτινες ὁτὲ μὲν πεζῇ, ὁτὲ δὲ ἀφ' ἵππων μάχονται. Hoc ſenſu accipitur a Thucydide & Xenophonte, ſed apud quos, culpa imperitorum librariorum, pro ἅμιπποι non paucis in locis hodie legitur ἄνιπποι. Xenophon *Hiſtor. Græc.* lib. VII. p. 646. Ὁ δ' Ἐπαμινώνδας αὖ καὶ τὸ ἱππικὸν ἔμβολον ἰσχυρὸν ἐποιήσατο, καὶ ἀνίππους πεζοὺς συνέταξεν αὐτοῖς. Male ibi legitur ἀνίππους πεζοὺς, pro quo reponendum eſſe ἁμίππους πεζοὺς vel ex Harpocratione patet, qui expreſſe ait, apud Xenophontem in *Hiſtoriis Græcis* τὸ ἅμιπποι ſignificare genus peditum. Verba ejus hæc ſunt: Πεζοὶ δ' εἰσὶν οἱ ἅμιπποι, ὡς δῆλόν ἐστιν ἐκ τῆς Θουκυδίδου, καὶ Ξενοφῶντος, ἐκ τῆς τῶν Ἑλληνικῶν. Verba Harpocrationis ſic intelligenda ſunt, ἁμίππους eſſe pedites, non ſimpliciter tales, ſed qui aliquando pedibus, aliquando vero ex equis pugnent, ut jam ante dictum eſt. Apud Xenophontem bis præterea eadem pagina pro ἅμιπποι male legitur ἄνιπποι. Idem mendum occurrit apud Thucydidem lib. v. cap. XXVII. ubi pro ἄνιπποι ἴσοι, legendum eſt ἅμιπποι ἴσοι, ut recte ibi vir egregiæ induſtriæ & eruditionis Joannes Hudſonus monuit.

[5] Ἀμίσγαλος. ὁ μὴ ἄλ. μισγ.] Hic articulus deeſt in MSS. Pariſ.

[6] Ἀμίσαλλοί τε γέροντες] Sic locum hunc ex Etymologo emendavi. In prioribus enim Edit. corrupte legitur ἀμίσαλές τοι γέροντες.

Ἀμισθί. χωρὶς μισθοῦ.

Ἀμισώδαρος. ὄνομα κύριον.

Ἀμιτροχίτων. ὁ μὴ χρώμενος μίτρᾳ.

Ἄμναμος.[1] ἀπόγονος. κυρίως ἐπὶ τῶν προβάτων. παρὰ τὸ ἀμνός.

Ἀμνειός. ὁ ποταμός καὶ ὁ ἀμνός.

Ἀμνημονῶ σου. γενικῇ.

Ἀμνησός. ὄνομα ὄρους.

Ἀμνηστεῖ. ἀμνημονεῖ. [2]Σοφοκλῆς· Οὐ γάρ ποτ' ἀμνηστεῖ γ' ὁ φύσας, Ἑλλήνων ἄναξ.

Ἀμνηστία. ἡ λήθη. καὶ ὄνομα κύριον.

Ἀμνίον.[3] τὸ αἱμοδόχον ἀγγεῖον.

Ἀμνισός.[4] ποταμὸς Κρήτης· διὰ τοῦ ι. Τὰ εἰς ος τρισύλλαβα, ἐπὶ ποταμῶν ὀξύτονα, εἰ μὲν καθαρεύουσι, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον Ἀλφειός, Ἀλμειός. εἰ δὲ μή, διὰ τοῦ ι· οἷον, Ἀμνισός, Κηφισός, Ἰλισός.

Ἀμνοκῶν.[5] προβατώδης. μωρός. εὐήθης. τοιαῦτα γὰρ καὶ τὰ πρόβατα. Ἀριστοφάνης·

> Καὶ σκοπεῖς γε τῶν πολιτῶν ὅστις ἐστὶν ἀμνοκῶν,
> Πλούσιος, καὶ μὴ πονηρός, καὶ τρέμων τὰ πράγματα.

Τουτέστιν, εὐλαβούμενος, καὶ φοβούμενος καταστῆναι εἰς πράγματα. πολλοὶ γὰρ διὰ δειλίαν, καὶ τρόπων ἐπιείκειαν, αἱροῦνται ζημιωθῆναι μᾶλλον, ἢ συγχωρῆσαι[6] διὰ δίκης. καὶ τοιούτους, φησί, [7]συνεπιλεγόμενος ὁ Κλέων, καταστήσας εἰς φόβον τοῦ παρέξειν πράγματα, ἐπηρέαζε ῥᾳδίως.

Ἀμνόν.[8] τὸν ἐνιαύσιον ἄρνα. Ἴστρος ἐν ταῖς Ἀττικαῖς. Ἄρνα, εἶτα ἀμνόν, εἶτα ἀρνειόν, εἶτα λιπογνώμονα. Μοσχίωνα δέ, τὸν πρῶτον. καὶ Ἀμνὸς ἀρσενικῶς, πρόβατον τὸ μέσον τὴν ἡλικίαν. καὶ Ἀμνή, τὸ θῆλυ. τρεῖς γὰρ ἡλικίαι· ἀρνός, ἀμνός, ἀρνειός. καὶ Ἀμνώς, Ἀμνώ, Ἀττικῶς, ὄνομα κύριον.

Ἀμνοὶ[9] τοὺς τρόπους. ἀντὶ τοῦ πρᾳεῖς, εὐήθεις, ἁπλοῖ, ὡς οἱ κριοί, ἢ μαλακοί. τὸ γὰρ ἄρρεν πρόβατον, ὅταν ἔχῃ τὴν μέσην ἡλικίαν, ἀμνὸς καλεῖται. οἱ δὲ τὸν ἐνιαύσιον ἄρνα ἀμνὸν καλοῦσιν.

Ἀμμοάπιν.[10] εἶδος ὄφεως.

Ἀμογητί. ἀκόπως.

Ἀμόθεν. ποθέν.

Ἀμολγός.[11] τὸ μεσονύκτιον, ἤτοι καθ' ἣν ὥραν ζῷα οὐκ ἀμέλγονται. ἢ ἀφαιρέσει τοῦ γ, καθ' ἣν

γ: ut, Ἀμίσαλλοί τε γέροντες, i. e. *Moroſi ſenes.*

Ἀμισθί. Sine mercede.

Ἀμισώδαρος. Nomen proprium.

Ἀμιτροχίτων. Qui non utitur zona.

Ἄμναμος. Nepos. Proprie dicitur de ovibus, a nomine ἀμνὸς, i. agnus.

Ἀμνειός. Fluvius. Item, agnus.

Ἀμνημονῶ σου. Immemor ſum tui.

Ἀμνησός. Nomen montis.

Ἀμνηστεῖ. Immemor eſt. Sophocles: *Non enim immemor eſt pater, Rex Græcorum.*

Ἀμνηστία. Oblivio. Item, nomen proprium.

Ἀμνίον. Vas, quo victimarum ſanguis excipitur.

Ἀμνισός. Cretæ fluvius, per ι ſcribitur. Nomina fluviorum triſyllaba in ος deſinentia, & acutum in ultima habentia, ſi per ος purum efferantur, per diphthongum ει ſcribuntur; ut, Ἀλφειός, Ἀλμειός. Sin ſecus, per ι: ut, Ἀμνισός, Κηφισός, Ἰλισός.

Ἀμνοκῶν. Ovino ingenio præditus. Stultus. Fatuus. Tales enim ſunt oves. Ariſtophanes:

> *Et obſervas, quiſquam civium ſit ovino ingenio,*
> *Dives, non malus, & formidans* [*litium*] *moleſtias.*

Hoc eſt, qui cavet & metuit ne in moleſtias incidat. Multi enim propter timiditatem, & naturæ bonitatem, damnum pati malunt, quam jus ſuum judicio perſequi. Hujuſmodi igitur homines (inquit Poeta) Cleon aggrediens, & litis intentandæ metu perterrefaciens, facile calumniis vexabat.

Ἀμνόν. Unius anni agnum. Iſter in *Atticis* [*Vocibus.*] [Gradus ætatis in ovibus ſic diſtingue.] Ἄρνα; deinde ἀμνόν; inde ἀρνειόν; & denique λειπογνώμονα. Μοσχίωνα vero etiam vocant ἄρνα. Et Ἀμνὸς, maſculinum, ovis mediæ ætatis: cujus fœmininum eſt Ἀμνή. Tres enim ſunt [ovium] ætates, ἀρνὸς, ἀμνὸς, & ἀρνειός. Et Ἀμνώς, Ἀμνώ, Attice, eſt nomen proprium.

Ἀμνοὶ τοὺς τρόπους. Agnino ingenio præditi. Id eſt, placidi, ſtupidi, ſimplices, ut agni: vel molles. Nam ovis mas, cum mediæ eſt ætatis, vocatur ἀμνός. Alii vero agnum unius anni vocant ἀμνόν.

Ἀμμοάπιν. Genus ſerpentis.

Ἀμογητί. Sine labore.

Ἀμόθεν. Alicunde.

Ἀμολγός. Media nox; videlicet illud tempus, quo animalia non mulgentur. Vel per aphæreſin τοῦ γ [ἀμολγὸς dictum eſt quaſi ἀμολός: temοὐδεὶς μολεῖ. ἢ ἀφαιρέσει τοῦ λ, καθ' ἣν οὐδεὶς μογεῖ.

---

[1] Ἄμναμος. ἀπ.] Vide Etymologum. Apud Heſychium male legitur, Ἀμνησμός, υἱός. Scribendum enim eſt ἀμναμός.

[2] Σοφοκλῆς] In *Electra*, pag. 104. ut Pearſonius monuit.

[3] Ἀμνίον] Vide Euſtath. ad Homer. p. 1476.

[4] Ἀμνισός. ποταμὸς Κρ.] Vide Stephanum, Strabonem, & Euſtath. ad Homer. p. 1861.

[5] Ἀμνοκῶν. προβατ.] Ex Scholiaſta Ariſtoph. ad *Equit.* p. 302.

[6] Συγχωρῆσαι διὰ δίκης] Apud Scholiaſtam Ariſtoph. recte legitur χωρῆσαι διὰ δίκης, ut Portus etiam monuit.

[7] Συνεπιλεγόμενος] Scholiaſta Ariſtoph. habet ἐπιλεγόμενος.

[8] Ἀμνόν. τὸν ἐνιαύσ.] Euſtath. ad Odyſſ. I. pag. 1627. Φασὶ γοῦν οἱ παλαιοί, ὅτι οὐ μόνον τρεῖς ἡλικίαι ἀρνῶν· ἀμνός, ἀρνειός· καὶ ὅτι τοῦ ἀμνοῦ καὶ θηλυκὸν ἡ ἀμνή, προβάτων αὐτὸ μέσον τῇ ἡλικίᾳ· καὶ ὅτι ἀμνὴ ἐνιαύσιον ἄρνα δηλοῖ. ἀλλὰ καὶ ὅτι Ἴστρος ἐν Ἀττικαῖς Λέξεσιν, Ἄρνα φησίν· εἶτα ἀμνόν· εἶτα ἀρνειόν· εἶτα λειπογνώμονα. ἐλέγετο δὲ καὶ μοσχίας ὁ τριέτης κριός.

[9] Ἀμνοὶ τοὺς τρόπους. ἀντὶ τοῦ πρ.] Hæc deſcripta ſunt ex Schol. Ariſtoph. ad *Pacem*, pag. 694. ut Portus etiam monuit.

[10] Ἀμμοάπιν. εἶδος ὄφεως] Idem eſt ſerpentis genus, quod vocabulo magis communi vocatur διψάς. Vide infra v. Διψάς.

[11] Ἀμολγός. τὸ μεσον.] Homerus Il. Λ. v. 173.

———Μολὼν τ' ἐν νυκτὸς ἀμολγῷ.

Ubi Scholiaſta inquit: Νυκτὸς ἀμολγῷ. τῷ καιρῷ, ἐν ᾧ συμβέβηκεν ἀμέλγεσθαι τὰ θρέμματα. Τινὲς δὲ τὸ μεσονύκτιον, ὅταν οὐδεὶς μολίσκει, οὐδὲ πρόεισι. Vide etiam Etymologum.

Ἄμμον μετρεῖν. ἐπὶ τῶν ἀδυνάτων καὶ ἀνηνύτων.

Ἁμορβός.[1] ὁ ἅμα τινὶ ὁρμῶν· ἁμορμός.

Ἀμόργεια.[2] χρώματος εἶδος· ἀπὸ νήσου Ἀμοργοῦντος· ὡς Θήρεια, ἀπὸ Θήρας νήσου.

Ἀμόργη. ἡ τρυγία.

Ἀμόργινον. ὅμοιον βύσσῳ, καὶ πολυτελές. λέγεται καὶ Ἀμοργίνα, θηλυκῶς.

Ἀμοργίς.[3] κυρίως ἡ λινοκαλάμη, ἐξ ἧς γίνεται ἐνδύματα ἀμόργινα λεγόμενα.[4] ἢ ἡ τοῦ ἐλαίου ὑποστάθμη, καὶ ἡ τρὺξ τοῦ οἴνου.[5] ἔστι δὲ ἡ Ἀμοργὶς ὅμοιον ἀλεπίστῳ λίνῳ. περιλεπίζουσι δὲ αὐτὸ, καὶ ἐργάζονται. ἔστι δὲ σφόδρα λεπτὸν ὑπὸ τὴν βύσσον, ἢ τὴν κάρπασον.

Ἀμοργοί.[6] πόλεως ὄλεθρος. Κρατῖνος Σεριφίοις. Καλοῦσι δὲ καὶ μοργοὺς, τὸ α ἀφαιροῦντες· ὥσπερ καὶ ἐπ' ἄλλων. μαυρὸν γὰρ, τὸ ἀμαυρόν· καὶ σφόδελον, τὸ ἀσφόδελον καλοῦσιν.

Ἀμορραῖος. τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων.[7] Ἀμώρειον δὲ, καὶ ὁ ἐκεῖθεν Ἀμωραῖος, διὰ τοῦ ω μεγάλου.

Ἀμορῖτις. θηλυκόν. ὄνομα πόλεως.

Ἄμμορος. ὁ κακόμορος.

Ἄμοτον. ἀμότως. ἀκορέστως.

Ἀμοῦς[8] Αἰγύπτιος. Οὗτος νέος ὢν παρῃτεῖτο τὸν γάμον. ὡς δέ τινες τῶν προσηκόντων παρῄνουν μὴ καθυβρίζειν τὸν γάμον, ἀλλὰ γυναῖκα ἄγεσθαι, πείθεται, καὶ ἔρχεται ἐπὶ γάμον. καὶ πολλὰ παραινέσας τῇ παρθένῳ, πείθει αὐτὴν πρὸ τοῦ συνελθεῖν ἀποτάξασθαι τῷ βίῳ τῷ κοσμικῷ. καὶ ἀποταξάμενοι ἄμφω, ἐπὶ τὸ ὄρος τῆς Νιτρίας χωροῦσι, καὶ βραχὺν χρόνον συνασκοῦντες, ἰδίᾳ τὴν ἄσκησιν ἐποιήσαντο. τούτου τοῦ Ἀμοῦ τὴν ψυχὴν ἀναλαμβανομένην ὁ Ἀντώνιος ἐθεάσατο. οὗτός ποτε ἑαυτὸν γυμνὸν οὐκ ἐθεάσατο, λέγων, ἀπρεπὲς εἶναι τῷ μοναχῷ καὶ τὸ ἑαυτοῦ σῶμα γυμνὸν θεάσασθαι. Ἐγένετο δὲ καὶ Δίδυμος ἄλλος μοναχὸς, ὃς ἐνενήκοντα ἔτη βιοὺς, οὐδενὶ ἀνθρώπων συνέμεινεν ἄχρι τῆς τελευτῆς.

Ἀμουργοί. λαμπτῆρες.

Ἄμουσα. ἀτερπῆ. ἀηδῆ. ἀπαίδευτα.[9] Ἀριστο-

pus nimirum,] quo nemo ambulat. Vel per aphæreſin τοῦ λ, [quaſi ἀμογός,] quo nemo laborat.

Ἄμμον μετρεῖν. [Arenam metiri. Proverbium] de rebus, quæ fieri nequeunt, & fruſtra tentantur.

Ἁμορβός. Qui aliquem comitatur, quaſi ἁμορμός: [ab ἅμα & ὁρμᾶν.]

Ἀμόργεια. Coloris genus, ab Inſula Amorgunte dictum: ut Therea, ab Inſula Thera.

Ἀμόργη. Amurca. Fæx olei.

Ἀμόργινον. [Ex amorgide factum, vel] linum ſimile byſſo, & pretioſum. Dicitur etiam in fœminino Ἀμοργίνα.

Ἀμοργίς. Proprie ſic vocatur linum, ex quo fiunt veſtes, quæ amorginæ dicuntur. Item, fæx olei, vel vini. Eſt autem Amorgis lino non decorticato ſimilis, cui corticem detrahunt, & ſic veſtes ex ea conficiunt. Eſt autem valde tenuis, minus tamen quam byſſus, aut carbaſus.

Ἀμοργοί. Reipublicæ pernicies. Cratinus *Seriphiis*. Eoſdem etiam vocant μοργοὺς, ſublato α: quod & in aliis [vocibus fieri videmus.] Nam μαυρὸν dicitur pro ἀμαυρὸν, & σφόδελος pro ἀσφόδελος.

Ἀμορραῖος. Seon Regem Amorrhæorum. Ἀμώρειον vero, & inde dictus Ἀμωραῖος, per ω ſcribitur.

Ἀμορῖτις. Fœmininum. Nomen urbis.

Ἄμμορος. Infelix.

Ἄμοτον. Avidiſſime. Inſatiabiliter.

Ἀμοῦς Αἰγύπτιος. Amus Ægyptius. Hic cum eſſet adoleſcens, nuptias averſabatur. Sed cum nonnulli ex propinquis eum hortarentur, ne conjugium contemneret, ſed uxorem duceret, paruit ille, & nuptias celebravit. Virginem autem multis verbis hortatus, ei perſuadet, ut ante congreſſum vitæ ſeculari renuntiaret. Cum igitur ambo renuntiaſſent, in montem Nitriæ ſeceſſerunt; cumque exiguo tempore vitam monaſticam & auſteram una egiſſent, poſtea ſeorſim eandem vitam vixerunt. Hujus Ami animam, dum in cœlum reciperetur, Antonius vidit. Idem nunquam ſe nudum vidit: indecorum eſſe monacho dicens, vel ſuum ipſius corpus nudum conſpicere. Fuit & alius monachus Didymus, qui, cum annos xc. vixiſſet, ad obitum uſque nullius hominis contubernio uſus eſt.

Ἀμουργοί. Faces. Lucernæ.

Ἄμουσα. Injucunda. Inſuavia. A literis

---

[1] Ἁμορβός. ὁ ἅμα ὁρμ.] Scholiaſta Nicandri ad *Ther*. pag. 19. Ἀμορβεύειν, τὸ ἀκολουθεῖν καὶ ὑπηρετεῖν.

[2] Ἀμόργεια. χρώματος εἶδος] Locus hic apud Scholiaſtam ineditum in *Lyſiſtratam* Ariſtophanis, unde Suidas eum deſcripſit, ſic legitur: Οἱ μὲν χρώματος εἶδος τὴν Ἀμόργην· οἱ δὲ ἀπὸ νήσου Ἀμοργοῦντος τοὺς Ἀμοργινοὺς χιτῶνας· ὡς τὰ Θήρεια, ἀπὸ Θήρας νήσου. Præter Scholiaſtam hunc alii etiam ſcriptores τὸ Ἀμόργινον genus coloris eſſe dixerunt. Stephani mutilator v. Ἀμοργίς· Τὸ δὲ Ἀμόργινος χιτὼν, χρώματος εἶδος. Sic enim ibi lego, pro ἴδιον. Euſtath. in Comment. ad Dionyſ. Perieg. v. 526. Ἀμόργινος, χιτῶνος ἐπίθετον, ἀπὸ χρώματος, ἴσως ἐλαιοχρόου τινός. Salmaſius tamen ad Solinum, pag. 793. colorem hac voce denotari negat.

[3] Ἀμοργίς. κυρίως ἡ λινοκ.] Euſtathius ad Dionyſ. Perieg. v. 526. Παυσανίας δὲ, οὗ τὸ Ἀττικὸν Λεξικὸν, ἄλλο τι ἐμφαίνει, λέγων· Ἀμοργὶς ὅμοιον βύσσῳ· καὶ ὅτι Ἀμοργὶς κυρίως ἡ λινοκαλάμη, ἐξ ἧς ἐνδύματα ἀμοργίδια καλούμενα, ὡς ὁ Κωμικὸς ἐν Λυσιστράτῃ δηλοῖ. Vide etiam Salmaſ. ad Solinum, pag. 659. & 793.

[4] Ἢ ἡ τοῦ ἐλαίου ὑπόστ.] Confundit hic Suidas duas voces, ἀμόργη & ἀμοργίς. Illa enim, non hæc, fæcem olei ſignificat.

[5] Ἔστι δὲ ἡ ἀμοργὶς ὅμοιον ἀλεπίστῳ λ.] Hæc nota referenda eſt ad verſum illum Ariſtoph. in *Lyſiſtrata* pag. 883.

Ἐπὶ τὴν ἀμοργὶν τὴν ἄλοπον ἐξέρχεται.

Ἀνήφθη. ἐξήφθη. ἐκρεμάσθη. ἢ ἀνεφλέχθη ὑπὸ πυρός.

Ἀνήχθημεν. ἀνεπλεύσαμεν.

Ἀνῆψεν. ἀνεκρέμασε τοῖς θεοῖς. Εὐνάπιος.

Ἀνία. λύπη. τὸ νι μακρόν.

> Αἴας [11] γὰρ αὐτοῖς οὐκέτ' ἔστιν, ἀλλ' ἐμοὶ
> Λιπὼν ἀνίας καὶ γόους διοίχεται.

Ἀνιαθείς. λυπηθείς.

Ἀνιακχάς. [12] ᾠδῆς ὄνομα. ὁ Πεελμανὼς καὶ Μα-

Ille vero militum animos & iras acuebat.

Ἀνήρετο. Suſcepit. Interrogavit.

Ἀνὴρ ἔοικε ναῦς ἱκ. *Tanquam navis ſcopulo ſupplicare videtur.* Proverbium in ſtupidos: per tranſlationem ductam a navi, quæ in ſcopulum impingit.

Ἀνηρείψαντο. Abripuerunt.

Ἀνήρηκεν. De medio ſuſtulit. Demoſthenes. Item, Interfecit.

Ἀνῃρημένος. Interfectus. Qui ſuſcepit. Qui reportavit. Adeptus. *Rex vero tantam victoriam abſque lacrymis & ſanguine adeptus Sardes rediit.* Et iterum: *Ille vero cum fœda facinora contra jus & fas aggreſſus eſſet.*

Ἀνήρρησεν. Rediit. Rurſus intravit. * * * * * * * *

Ἀνῃρῆσθαι. Cæſum eſſe.

Ἀνήριθμος. Qui nullo loco habetur. Cujus nulla ratio habetur.

Ἀνὴρ Κόπρειος. Vir Coprius: quaſi ab aliquo populo denominatus. Intelligit autem [Ariſtophanes] eum, qui ſtercora legit: vel hortulanum. A nomine κόπρος.

Ἀνήροτον. Inaratum. Incultum.

Ἀνηρώτιζεν. Interrogabat. Teleclides.

Ἀνηρτημένοι. Elati. *Illi vero animis elati communia ſupplicum jura contempſerunt, & nihili fecerunt pietatem erga ſimulacra & Deos cognatos.*

Ἀνήρτησαν. Refecerunt. Renovarunt.

Ἀνήσει. Miſſum faciet. Dimittet.

Ἄνηστις. Qui cibum guſtavit. Qui non eſt jejunus. Apud Cratinum vero in *Dionyſalexandro* Ἄνηστις dicitur qui valde jejunus eſt, vel famelicus.

> *Ecce enim tu primus invocatus & famelicus ad cœnam accedis.*

Ἀνήφθη. Suſpenſus eſt. Vel, ab igne accenſus eſt.

Ἀνήχθημεν. In altum mare provecti ſumus.

Ἀνῆψεν. Diis ſuſpendit. Eunapius.

Ἀνία. Dolor. Syllaba νι longa eſt.

> *Ajax enim non amplius ſuperſtes eſt. Sed mihi*
> *Relictis doloribus & lamentis interiit.*

Ἀνιαθείς. Dolore affectus.

Ἀνιακχάς. Cantilenæ nomen eſt Πεελμανὼς

---

[1] Ὁ δὲ πά τι φρονήματα καὶ τοὺς θ.] Supplementum hujus fragmenti habes infra v. Διαυχενίζεσθαι.

[2] Ἀνὴρ ἔοικε ναῦς ἱκ.] Vide Diogenianum Adag. DLXXIX.

[3] Ἀνηρείψαντο. ἀνήρπασαν] Ex Scholiaſta Homeri ad Il. Υ. v. 234.

[4] Ἀνεφθάρη] Vide Suidam infra v. Εἰσήρρησεν, & v. Εἰσφθαρείς.

[5] Ἀνήριθμος] Apud Græcos ἀνάριθμοι, vel ἀναρίθμοι eleganter dicuntur illi, qui tantum numerus ſunt, ut Latini ajunt, & quorum nulla ratio habetur. Contra ἀριθμητοί, vel ἐν ἀριθμῷ εἶναι dicuntur, qui aliquo loco habentur, & quibus ſua eſt dignitas & auctoritas. Theocritus *Idyll.* XIV. v. 48.

> Ἄμμες δ' οὔτε λόγω τινὸς ἄξιοι, οὔτ' ΑΡΙΘΜΗΤΟΙ.

Id eſt, *noſtrorum vero nulla habetur ratio.* In notiſſimo Oraculo, Megarenſibus olim reddito, (quod legitur apud Suidam infra v. Ὑμεῖς δ' ὦ Μεγ.) Megarenſes οὔτ' ἐν λόγῳ, οὔτ' ἐν ΑΡΙΘΜΩι. i. e. contempti & nullius pretii homines dicuntur. Vide etiam Anthol. lib. VII. pag. 624.

[6] Ἀνὴρ Κόπρειος] Ariſtoph. *Equit.* pag. 342.

[7] Ἐπηρμένοι] Sic recte in 2 MSS. Pariſ. exaratum eſt. Priores vero Edit. habent ἐπηρτημένοι.

[8] Οἱ δὲ ταῖς ψυχαῖς ἀνηρτημένοι κατεφρ.] Hæc Polybio tribuunt Fulv. Urſinus, & Caſaubonus: ſed ſunt verba Diodori in Excerpt. Leg. cap. XXIX. ut optime obſervavit Jacobus Gronovius.

[9] Καὶ ἄνηστις, ὁ νῆστις λίαν παρὰ Κρατίνῳ ἐν Διον.] Hanc notam ex Athenæo deſcripſit Suidas; ejuſque veſtigia hodie adhuc ſuperſunt in Excerptis ex libro II. pag. 47.

[10] Ἰοὺ γὰρ σὺ πρῶτος ἄκλ.] Eſt verſus Anapæſticus.

[11] Αἴας γὰρ αὐτοῖς οὐκέτ' ἔστιν, ἀλλ' ἐμοὶ λιπ.] Hæc ſunt verba Sophoclis in *Ajace*, pag. 56. P.

[12] Ἀνιακχάς] De hoc vocabulo nihil me legiſſe memini. Quæ vero ſequuntur, ᾠδῆς ὄνομα ὁ Πεελμανὼς &c. a voce Ἀνιακχάς aliena ſunt, quæ ſuo loco repetuntur infra v. Πεελμανὼς & Μανέρως.

νέρως. Εὔβουλος Καμπυλίωνι.

Ἀνιαρόν. λυπηρόν. καὶ Ἀνιαρώτερον. λέγεται καὶ Ἀνιηρόν.

Ἀννίβας ὁ Καρχηδόνιος. οὕτως ἐκαλεῖτο. [1] οἱ γὰρ Καρχηδόνιοι στρατηγὸν ἀπέφηναν Ἀσδρούβαν, τὸν τοῦ Βάρκα κηδεστήν. ὁ δὲ Ἀννίβαν τὸν οὐ πολὺ ὕστερον ἀοίδιμον ἐπὶ στρατηγίαις, παῖδά τε ὄντα τοῦ Βάρκα, καὶ τῆς γυναικός οἱ γενόμενον ἀδελφόν, ἔχων ἐν Ἰβηρίᾳ νέον ὄντα καὶ φιλοπόλεμον καὶ ἀρέσκοντα τῷ στρατῷ, ὑποστράτηγον ἀπέφηνε· καὶ τῆς τε Ἰβηρίας τὰ [2] πολλὰ προσηγάγετο, πιθανὸς ὢν ὁμιλῆσαι, ἔς τε τὰ βίας δεόμενα τῷ μειρακίῳ χρώμενος. Φύσει δὲ φιλοπόλεμος ἦν ὁ Ἀννίβας, καὶ οὔ ποτε ἀργίαν ἔφερεν. ὕστερον δὲ [3] ἐπὶ τρυφῆς ἦν οὐ συνήθους, ἐρωμένην τε εἶχεν ἄγριος ἀνήρ, καὶ εὐθὺς αὐτῷ κατ' ὀλίγον ἐτρέπετο πάντα. Φησὶ δὲ καὶ Πολύβιος, ὡς Ἀννίβας νέος μὲν ἦν, πλήρης δὲ πολεμικῆς ὁρμῆς, ἐπιτυχὴς δὲ ἐν ταῖς βουλαῖς, πάλαι δὲ παρωρμημένος πρὸς τὴν κατὰ τῶν Ῥωμαίων ἔχθραν. [4] Ὅτι Ἀννίβᾳ τῷ Καρχηδονίων στρατηγῷ ἐδηλώθη παρὰ Ἄμμωνος, ὡς ἀποθανὼν γῇ καλυφθήσεται Λιβύσσῃ. καὶ ὁ μὲν ἤλπισεν ἀρχὴν τὴν Ῥωμαίων καθαιρήσειν, καὶ ἐν Λιβύῃ τελευτήσειν. Φλαμινίου δὲ τοῦ Ῥωμαίων στρατηγοῦ σπουδὴν ποιουμένου λαβεῖν αὐτὸν ζῶντα, ἀφίκετο παρὰ Προυσίαν ἱκέτης, καὶ ἀπωσθεὶς ὑπ' αὐτοῦ ἀνεπήδα τε ἐπὶ τὸν ἵππον, καὶ γυμνωθέντος τοῦ ξίφους τιτρώσκεται τὸν δάκτυλον. [5] προελθόντι δὲ οὐ στάδια πολλὰ πυρετὸς ἀπὸ τοῦ τραύματος, καὶ ἡ τελευτὴ τοῦ βίου συνέβη. τὸ δὲ χωρίον, ἔνθα συνέβη ἀποθανεῖν, ἐκάλουν οἱ Νικομηδεῖς Λίβυσσαν. Καὶ Ἀθηναίοις δὲ μάντευμα ἦλθεν ἐκ Δωδώνης, Σικελίαν οἰκίζειν. [6] καὶ οὐ πόρρω τῆσδε λόφος ἐστὶν ἡ Σικελία οὐ μέγας. οἱ δὲ οὐ συμφρονήσαντες τὸ εἰρημένον, ἔς τε ὑπερορίους στρατιὰς προήχθησαν, καὶ ἐς τὸν Συρακουσίων πόλεμον. † Ὅτι [7] θαυμαστόν ἐστι καὶ μέγιστον σημεῖον γεγονέναι τῇ φύσει τὸν ἄνδρα τοῦτον ἡγεμονικὸν, καὶ πολύ τι διαφέροντα τῶν ἄλλων πρὸς τὸν πραγματικὸν τρόπον. ιζ' γὰρ ἔτη μείνας ἐν τοῖς ὑπαίθροις, πλεῖστά τε ἔθνη καὶ βάρβαρα διεξελθὼν, καὶ πλείστοις ἀνδράσιν ἀλλοφύλοις χρησάμενος συνεργοῖς πρὸς ἀπηλπισμένας καὶ παραδόξους ἐπιβολὰς, ὑπ' οὐδενὸς ἑκουσίως ἐγκατελείφθη τῶν ἅπαξ αὐτῷ κοινωνησάντων, καὶ δόντων ἑαυτοὺς εἰς χεῖρας. [8] ὅπερ καὶ τανῦν ἐμπολιτεύεται. † Ὅτι τὸ μέγεθος τῆς τοῦ Ἀννίβου νίκης τῆς πρὸς Ῥωμαίους, καὶ

& Μανέρως. Eubulus *Campylione.*

Ἀνιαρόν. Moleſtum. Et Ἀνιαρώτερον, moleſtius. Dicitur & Ἀνιηρόν.

Ἀννίβας. Annibal Carthaginenſis. Nam ita vocabatur. Carthaginenſes Imperatorem crearunt Aſdrubalem, Barcæ generum. Ille vero Annibalem, qui paulo poſt Imperator clariſſimus evaſit, Barcæ filium, & uxoris ſuæ fratrem, quem in Hiſpania ſecum habebebat, adoleſcentem admodum & bellicoſum, exercituique charum, legatum ſuum creavit, magnamque Iberiæ partem ad ſe traduxit, quod & eloquentia apud homines valeret, & hoc adoleſcente ad ea, quæ vim poſtulabant, uteretur. Annibal autem natura bellicoſus erat, nec unquam otium ferebat. Poſtea vero deliciis non conſuetis indulgere cœpit, & amicam adſcivit vir ferus: quæ cauſa fuit, quare ſtatim in pejus omnia ipſius paulatim ruerent. Polybius etiam ait, Annibalem adoleſcentem adhuc bellandi fuiſſe cupidiſſimum, & in conſiliis ad exitum perducendis felicem, & jam olim animo ad inimicitias contra Romanos ſuſcipiendas prono. † Annibali Carthaginenſium Imperatori ab Ammone prædictum fuit, fore, ut mortuus homo Libyſſa tegeretur. Quamobrem ille quidem ſperabat, futurum, ut Romanorum imperium everteret, & in Libya decederet. Sed cum Flaminius Romanorum Imperator ipſum vivum capere ſtuderet, ſupplex ad Pruſiam confugit: a quo rejectus equum conſcendit, & enſe nudato vulnus in digito accepit. Hinc igitur, cum ſtadia haud multa progreſſus eſſet, febris ex vulnere, & tandem mors conſecuta eſt. Illum autem locum, in quo deceſſerat, Nicomedienſes Libyſſam vocabant. Athenienſibus etiam Oraculum Dodonæum reſpondit, in Siciliam coloniam deducendam eſſe. Erat autem prope urbem exiguus terræ tumulus, qui Sicilia vocabatur. Illi vero Oraculi mentem non intelligentes, longinquis expeditionibus ſuſceptis bellum Syracuſanis intulerunt. † Mirabili quodam & ad imperandum nato eum virum fuiſſe ingenio, & in gerendis rebus multum aliis præſtitiſſe, illud argumento maximo eſt, quod, cum XVII. annos in caſtris & acie verſatus eſſet, plurimaſque gentes eaſque barbaras peragraſſet, & multis auxiliis peregrinis uſus eſſet ad res arduas & prope deſperatas, a nemine ultro proditus ſit eorum, qui ſemel partibus ejus ſe adjunxerant, & ipſius fidei ſe permiſerant. † Idem Annibal, cum ſuæ de Romanis victoriæ, & cladis hoτῆς τῶν ἐναντίων συμφορᾶς ὑπ' ὄψιν ἀγαγεῖν τοῖς Καρχηδονίοις μηχανώμενος, τρεῖς μεδίμνους Ἀττικοὺς πλήρεις χρυσῶν δακτυλίων εἰς τὴν Λιβύην ἀπέπεμψεν, οὓς ἄρα τοὺς ἱππικοὺς καὶ βουλευτικοὺς ἄνδρας σκυλεύσας ἀνήρητο. † Ὅτι ἄνδρες τινὲς Καρχηδονίων, ἐπὶ κατασκοπῇ τῶν ἐναντίων σταλέντες ὑπὸ Ἀννίβου, τοῖς Ῥωμαίοις περιέπεσον. οὓς ἀχθέντας εἰς αὐτὸν ὁ Πόπλιος κακὸν μὲν οὐδὲν εἰργάσατο, περινοστῆσαι δὲ κελεύει τὸ στρατόπεδον, καὶ δεῖπνον ἑλομένους ἀποχωρεῖν σώους, ἀπαγγελοῦντας Ἀννίβᾳ τὰ περὶ τὴν στρατιὰν ὡς ἔχει Ῥωμαίοις.

---

[1] Οἱ γὰρ Καρχηδόνιοι στρατηγὸν κτλ.] Hæc, & quæ ſequuntur uſque ad verba illa, τῷ μειρακίῳ χρώμενος, leguntur apud Appianum in *Ibericis* pag. 429. (258. Edit. Henr. Steph.)

[2] Τὰ πολλὰ προσηγάγετο] Excidit hic vox πειθοῖ, quæ revocanda eſt ex Appiano, apud quem ſic legitur, τὰ πολλὰ πειθοῖ προσηγάγετο.

[3] Ἐπὶ τρυφῆς ἦν οὐ συνήθους, ἐρωμένην τε εἶχεν ἄγριος ἀνήρ, καὶ εὐθὺς αὐτῷ κατ' ὀλίγον ἐτρ. πάντα] Hæc ſunt verba Appiani in *Annibalicis* pag. 583. (338. Edit. Henr. St.)

[4] Ὅτι Ἀννίβᾳ, τῷ Καρχηδονίων στρατ. ἐδηλ.] Hæc, & quæ ſequuntur uſque ad verba illa, ἐς τὸν Συρακουσίων πόλεμον, deprompta ſunt ex Pauſaniæ *Arcadicis* cap. XI. pag. 623.

[5] Προελθόντι δὲ οὐ στάδια πολλὰ πυρ.] Locus hic apud Pauſaniam ita legitur: προελθόντι δὲ οἱ στάδια οὐ πολλὰ πυρετός τε ἀπὸ τοῦ τραύματος, καὶ ἡ τελευτὴ τριταίῳ συνέβη.

[6] Καὶ οὐ πόρρω τῆσδε λόφος ἐστὶν ἡ Σικ.] Apud Pauſaniam rectius legitur. ἡ δὲ οὐ πόρρω τῆς πόλεως Σικελία λόφος ἐστὶν οὐ μέγας. i. e. *Erat autem prope urbem (Athenas) tumulus exiguus, qui Sicilia vocabatur.* Fallitur igitur Portus, qui in verſione ſua tumulum hunc ex Attica in Bithyniam transfert, & Libyſſæ vicinum facit; quem errorem notavit etiam Kuhnius ad Pauſaniam.

[7] Ὅτι θαυμαστόν ἐστι καὶ μέγιστον σημ. γεγ.] Hæc, & quæ ſequuntur uſque ad verba illa δόντων ἑαυτοὺς εἰς χεῖρας. deſcripta eſſe ex Polybii libris deperditis, patet ex iis, quæ leguntur in Excerptis ex Polybio, a Valeſio editis, pag. 121.

[8] Ὅπερ καὶ τανῦν ἐμπολιτεύεται] Quis ſit horum verborum ſenſus, aut quomodo ea loco huic conveniant, non video.

Ἀνιγρός.[1] ὁ φαῦλος λέγεται. καὶ Ἀνιγρόν, τὸ ἀνιαρόν.

Ἀνιδιτί. καὶ ἀνιδρωτί. χωρὶς ἱδρῶτος. Οὐ γὰρ ἀνιδρωτὶ καὶ ἀπεριμερίμνως τάδε παρεστήσαντο τὰ πολίσματα. Καὶ αὖθις· Ἀνιδρωτὶ πρὸς τὸ ἄριστον οὐκ ἤρχοντο οἱ τοῦ Κύρου στρατιῶται, διὰ τὸ ἡδέως ἐσθίειν καὶ ὑγιαίνειν. καὶ ἄλλα πλεῖστα.

Ἀνίδρυτοι. ἀστήρικτοι. [2] Δημοσθένης ἐν τῷ κατὰ Ἀριστογείτονος· ἀντὶ τοῦ, ἀνεξίλαστοι.

Ἀνιεμένη[3] κόλπον. ἀνέλκουσα καὶ ἀναχαλῶσα τὸν πέπλον, ἀπογυμνοῦσα τὸ κατὰ τοὺς μαστοὺς κόλπωμα. καί, [4] Αἶγας ἀνιεμένους.

Ἀνιέντα. ἐνδόντα.

Ἀνίερειος. ᾧ ἱερεῖα μὴ θύεται. καὶ Ἀνίερος, ὁ ἱερῶν μὴ μετέχων.

Ἀνιερώσαντες. ἀναθέντες.

Ἀνίει. ἀφίει. ἐνεδίδου. ἐχαυνοῦτο. Οὐδὲν τι πλέον ἀνίει ὁ νεανίας. Καὶ αὖθις· Ὁ δὲ οὐκ ἀνίει τοῦ δρόμου. καὶ ἀντὶ τοῦ, ἔληγεν. Ὁ δὲ ἱκετεύων ὑπὲρ πάντων οὐκέτι ἀνίει. Καὶ αὖθις· Ὁ δὲ ζητῶν οὐκ ἀνίει, καὶ λαμβάνων οὐκ ἐνεπίμπλατο. Καὶ αὖθις· Οἱ δὲ τὸ πολὺ τῆς τόλμης [5] παρεληλύθεισαν. οὐ μὴν ἀνίεσάν γε, ἀλλὰ παρακελευόμενοι σφίσιν αὐτοῖς πάσῃ δυνάμει προσέκειντο τῇ πολιορκίᾳ. Καὶ αὖθις· Μήτε νύκτωρ, μήτε μεθ' ἡμέραν ἀνιέντι τοῦ πλοῦ.

Ἀνιείς. ἀφιείς. ἢ παρορμῶν.

Ἀνιηθέντα. λυπηθέντα.

Ἀνιηρέστερος. λυπηρότερος.

Ἀνίησι. καταλιμπάνει.

Ἀννίκερις,[6] Κυρηναῖος, Φιλόσοφος, ὃς Ἐπικούρειος ἐγένετο, καίτοι ὢν [7] Παραβάτου γνώριμος, τοῦ Ἀριστίππου ἀκηκοότος. ἦν δὲ τῷ Ἀννικέριδι καὶ ἀδελφὸς Νικοτέλης ὄνομα, Φιλόσοφος. μαθητὴς δὲ αὐτοῦ ἐπιφανὴς Ποσειδώνιος. ἐκ τούτου αἵρεσις ἡ κα-

ſtibus illatæ magnitudinem Carthaginenſibus ob oculos ponere vellet, tres Atticos medimnos aureis annulis plenos in Libyam miſit, quos equeſtris & Senatorii ordinis viris a ſe ſpoliatis detraxerat. † Quidam Carthaginenſes ad hoſtium copias explorandas ab Annibale miſſi in Romanos inciderunt: quos ad ſe deductos Publius nullo malo affecit; ſed eos caſtra circumire juſſit, & cœnatos dimiſit incolumes, Annibali renuntiaturos, quis eſſet exercitus Romani ſtatus.

Ἀνιγρός. Malus. Et Ἀνιγρόν. Moleſtum.

Ἀνιδιτί, & Ἀνιδρωτί. Sine ſudore. *Haud enim ſine ſudore & moleſtia hæc oppida in ſuam poteſtatem redegerunt.* Et rurſus: *Cyri milites ad prandium ſine ſudore non accedebant, ut & cum voluptate ederent, & valetudini ſuæ conſulerent.*

Ἀνίδρυτοι. Non firmati. Apud Demoſthenem contra Ariſtogitonem ſignificat Implacabiles.

Ἀνιεμένη κόλπον. *Nudans ſinum, peplumque ſubducens & laxans.* [Ἀνιεμένη enim hic ſignificat] ἀπογυμνοῦσα. Et, Αἶγας ἀνιεμένους, *capras excoriantes.*

Ἀνιέντα. Remittentem. Cedentem.

Ἀνίερειος. Cui nullæ victimæ immolantur. Et Ἀνίερος, nullorum ſacrorum particeps.

Ἀνιερώσαντες. Qui conſecrarunt. Qui dedicarunt.

Ἀνίει. Cedebat. Remittebat. Remiſſior fiebat. *Adoleſcens nihil prorſus* [*de ſua pertinacia*] *remittebat.* Et iterum: *Ille vero de curſu nihil remittebat.* Item accipitur pro ἔληγεν, ceſſabat. *Ille vero pro omnibus ſuppliciter orare non ceſſabat.* Et rurſus: *Ille vero quærere non ceſſabat, & accipiens non replebatur.* Et rurſus: *Illi vero de audacia ſua multum remiſerunt: non tamen ab incœpto deſtiterunt, ſed ſe mutuo adhortantes totis viribus in obſidionem incubuerunt.* Et iterum: *Neque noctu, neque interdiu navigationem intermittenti.*

Ἀνιείς. Dimittens. Vel Incitans.

Ἀνιηθέντα. Dolore affectum.

Ἀνιηρέστερος. Moleſtior.

Ἀνίησι. Dimittit. Relinquit.

Ἀννίκερις. Anniceris, Cyrenæus, Philoſophus, qui fuit Epicureus, quamvis eſſet diſcipulus Parabatæ, qui Ariſtippum audivit. Erat Anniceridi frater, nomine Nicoteles, Philoſophus. Ipſius vero diſcipulus illuſtris fuit Poſidonius. Ab hoc ſecta, quæ vocatur λυμένη Ἀννικέρειος. ἦν δὲ ἐπὶ Ἀλεξάνδρου.

---

[1] Ἀνιγρός. ὁ φαῦλος] Heſychius vocem iſtam per δυσώδης etiam exponit: cujus notæ illuſtrandæ gratia obiter moneo, fuiſſe in Peloponneſo fluvium quendam fœdi & tetri odoris, Ἄνιγρον vocatum, ut teſtatur Pauſanias *Eliac. Poſter.* cap. v. his verbis: Ὁ δὲ Ἄνιγρος οὗτος ἐξ Ἀρκαδικοῦ μὲν κάτεισιν ὄρους Λαπίθου, παρέχεται δὲ εὐθὺς ἀπὸ τῶν πηγῶν ὕδωρ οὐκ εὐῶδες ἀλλὰ καὶ δύσοσμον δεινῶς. i. e. *Aniger vero hic ex Lapitho monte Arcadia oritur, & ſtatim a fontibus minime grati teterrimique odoris aquam fundit.* Hic locus interpretationem Heſychii confirmat, eamque veram eſſe probat, ſive a fluvio hoc omnia graviter olentia appellata fuerint ἀνιγρά; ſive, quod potius crediderim, a fœdo odore nomen fluvio huic inditum fuerit.

[2] Δημοσθένης ἐν τῷ κατὰ Ἀριστογ. ἀντὶ τοῦ, ἀνεξ.] Ex Harpocratione, ad quem vide Valeſium.

[3] Ἀνιεμένη κόλπον, ἀνέλκ.] Vide Heſychium hac voce.

[4] Αἶγας ἀνιεμένους] Hæc ſunt verba Homeri Odyſſ. Β. v. 300. ubi vide Scholiaſtam.

[5] Παρεληλύθεισαν] Vox eſt ſuſpecta, & a ſenſu hujus loci aliena.

[6] Ἀννίκερις, Κυρηναῖος, Φιλ.] De hoc Anniceride vide quæ congeſſit Menagius ad Laert. lib. II. Segm. LXXXVI.

[7] Παραβάτου] Hujus *Parabatæ* meminit Laertius in *Ariſtippo*, Segm. LXXXVI.

Ἄνιθι. ἄνελθε.

Ἀνιλλομένη. καθυποκρινομένη. κυρίως δὲ Ἀνίλλεσθαι, τὸ ἀπαξιοῦν.

Ἀνιλυσπῶ.[1] ἀνέβαινες.

Ἀνιμᾶσθαι. ἀντλεῖν. ἀρύεσθαι. ἀναφέρειν. καὶ Ἀνιμώμενος, ἀντλῶν, ἀνέλκων. ἱμωνιὰ γὰρ τὸ ἀντλητήριον, ἀπὸ τοῦ ἱμάς. καὶ ἱμητὸν, τὸ ἀντλητόν. καὶ Ἀνιμῆσθαι, διὰ τοῦ η.

Ἀνίμων[2] τοῖς δόρασιν. ἀντὶ τοῦ ἀνεῖλκον.

Ἀνιώμενος. λυπούμενος.

Ἀνιππασία,[3] καὶ διϊππασία. ἡ τῶν [4] ἵππων ἅμιλλα. ὥσπερ διωμοσία καὶ ἀντωμοσία τὸ αὐτὸ ἄμφω δηλοῦσιν.

Ἀνιωχμός.[5] ἡ μάχη.

Ἄνιππος. ἵππων ἐστερημένος. [6] Ἀριστοφάνης Νεφέλαις· Ἀλλ' οὐ περιόψεταί μ' ὁ θεῖος Μεγακλέης ἄνιππον.

Ἀνίπτοις ποσίν. ἀντὶ τοῦ ἀνετοίμοις, καὶ χωρὶς τινος παρασκευῆς. παροιμία· Ἀνίπτοις ποσὶν ἀναβαίνων ἐπὶ τὸ τέγος. ἐπὶ τῶν ἀμαθῶς ἐπί τινα ἔργα καὶ πράξεις ἀφικνουμένων. [7] Ὅμηρος· Ἀνιπτόποδες, χαμαιεῦναι.

Ἀνίεισιν. ἐνδίδωσιν.

Ἄνισον. τὸ μὴ ὂν ἴσον. σημαίνει δὲ καὶ εἶδος βοτάνης. καὶ Ἀνισοφυὲς, ἀνόμοιον. Ἰστέον ὡς ἔνια τῶν ἐναντίων στερήσει θατέρου λέγεται· οἷον ἄνισον, ἐναντίον μέν ἐστι τῷ ἴσῳ, στερητικὸν δὲ ὄνομα. οὐ γὰρ οἰκείαν τινὰ φύσιν σημαίνει, ὥσπερ τὸ κακὸν τὸ ἐναντίον τῷ ἀγαθῷ ὄν· ἀλλὰ σημαίνει ἀπόφασιν τοῦ ἐναντίου ἐν τῷ πεφυκότι δέχεσθαι ἀμφότερα. τὸ γὰρ ἄνισον οὐκ ἴσον ἐστὶν ἐν τοῖς ποσοῖς, ἃ πέφυκε δέχεσθαι καὶ ἰσότητα. ὁμοίως καὶ τὸ ἀνόμοιον οὐχ ὅμοιον ἐν τοῖς ὁμοιότητος δεκτικοῖς. τοιοῦτον δὴ στέρησις. ἀπόφασις γάρ ἐστιν ἐν τοῖς τὴν ἕξιν πεφυκόσι δέχεσθαι. [8] οὐ μὴν ἄντικρυς στέρησις καὶ τὸ ἀνόμοιον· ἀλλ' ἐναντία. τὸ μὲν, τῷ ἴσῳ· τὸ δὲ, τῷ ὁμοίῳ. διαφορὰ δ' αὐτῶν πρὸς τὰς κυρίως στερήσεις, ὅτι ἀπὸ μὲν τῆς στερήσεως οὐκ ἔστιν ἐπάνοδος πρὸς τὴν ἕξιν· ταῦτα δὲ μεταβάλλεται οἷά τε ἐπὶ τὰ ἀντικείμενα. καὶ γὰρ τὸ ἄνισον ἴσον ἂν γένοιτο, καὶ τὸ ἀνόμοιον ὅμοιον.

Ἀνιστάμεναι. αἰχμαλωτιζόμεναι.

Ἀνίστη. ἀντὶ τοῦ ἐφίστη. καὶ Ἀνίστω, ἀντὶ τοῦ ἀνίστασο. Ἀμειψίας.

Ἀνίσχαδον.[9] τὸ ἄτοκον, καὶ ἀθήλαστον.

Ἀνίσχων. ἀνατέλλων. καὶ Ἀνίσχουσα, ἀναδύουσα.

Anniceria, orta eſt. Vixit autem Alexandri tempore.

Ἄνιθι. Aſcende.

Ἀνιλλομένη. Hiſtrionem agens. Proprie autem Ἀνίλλεσθαι ſignificat, indignum judicare.

Ἀνιλυσπῶ. Aſcendebas.

Ἀνιμᾶσθαι. Haurire. Surſum trahere. Attollere. Et Ἀνιμώμενος, hauriens, ſurſum trahens. Ἱμωνιὰ enim appellatur hauſtrum, ab ἱμάς. Et Ἱμητὸν, hauſtum. Dicitur etiam Ἀνιμῆσθαι, per η.

Ἀνίμων τοῖς δόρασιν. Haſtis ſurſum trahebant.

Ἀνιώμενος. Dolore affectus.

Ἀνιππασία, & διϊππασία. Certamen equeſtre. Sic etiam διωμοσία & ἀντωμοσία idem ſignificant.

Ἀνιωχμός. Prælium. Pugna.

Ἄνιππος. Equis carens. Ariſtophanes *Nubibus: At avunculus Megacles non patietur me equis carere.*

Ἀνίπτοις ποσίν. Illotis pedibus. Proverbium: *Illotis pedibus in tectum aſcendens.* In eos, qui inſcite ad opera & actiones ſe accingunt. Homerus: *Illotis pedibus incedentes, & humi cubantes.*

Ἀνίεισιν. Cedit. Remittit.

Ἄνισον. Inæquale. Significat & herbæ genus. Et Ἀνισοφυὲς, diſſimile. Sciendum, quædam contraria per privationem alterius dici. Velut Ἄνισον, (*Inæquale*) contrarium eſt *Æquali*, & privationem tantum ſignificat. Neque enim eſt nomen rei, propriam naturam habentis, ut malum, quod eſt bono contrarium: ſed ſignificat contrarii negationem in re, cui utrumque ineſſe poteſt. *Inæquale* enim eſt *Non-æquale* in *Quantis*, quæ ita comparata ſunt, ut etiam *Æqualitatem* recipere poſſint. Pariter etiam *Diſſimile* eſt *Non-ſimile* in rebus, in quas *Similitudo* cadit. Privatio igitur eſt negatio in iis, quæ habitum natura admittunt. Haud tamen τὸ *Inæquale* & *Diſſimile* prorſus ſunt privatio; ſed contraria: illud quidem, τῷ *Æquali*; hoc vero τῷ *Simili*. Differunt autem a privationibus, proprie ita dictis, quod a privatione non datur tranſitus ad habitum: hæc vero in oppoſita mutari poſſunt. Nam & *Inæquale* fieri poteſt *Æquale*; & *Diſſimile*, *Simile*.

Ἀνιστάμεναι. In captivitatem redactæ.

Ἀνίστη. Pro ἐφίστη. Et Ἀνίστω, pro ἀνίστασο. Amipſias.

Ἀνίσχαδον. Sterile. Non lactans.

Ἀνίσχων. Oriens. Et Ἀνίσχουσα. Exoriens. Emergens.

---

[1] Ἀνιλυσπῶ] Scribe ἀνειλυσπῶ, ut ſupra.

[2] Ἀνίμων τοῖς δόρασιν] Hæc ſunt verba Xenophontis, ut monuimus ſupra v. Ἀνείμων.

[3] Ἀνιππασία, καὶ διϊπ.] Portus recte monuit legendum eſſe ἀνθιππασία. Vide Heſychium v. Ἀνθιππασίαν.

[4] Τῶν ἵππων] Lege τῶν ἱππείων, ut apud Heſychium.

[5] Ἀνιωχμός] Duæ voces hic in unam conflatæ ſunt. Scribendum enim eſt, Ἀν' ἰωχμὸν, ut habet Heſychius; idque interpretandum, κατὰ τὴν μάχην. Homerus Il. Θ. v. 89. Ἦλθον ἀν' ἰωχμόν. ubi brevis Scholiaſta: Ἀν' ἰωχμόν. κατὰ τὸν θόρυβον, ὅ ἐστι, τὴν δίωξιν.

[6] Ἀριστοφάνης Νεφέλαις] Pag. 66. P.

[7] Ὅμηρος] Il. Π. v. 235.

[8] Οὐ μὴν ἄντικρυς στέρησις καὶ τὸ ἀνόμοιον] Sic quidem omnes Edit. habent. Sed ſenſus loci aperte oſtendit, excidiſſe hic aliquid, & legendum eſſe, οὐ μὴν ἄντικρυς στέρησις [τὸ ἄνισον] καὶ τὸ ἀνόμοιον; quod in verſione ſecutus ſum.

[9] Ἀνίσχαδον] Etymologus habet ἀνίσχαλον. Sed lectionem Suidæ præferendam eſſe vel ex ipſo Etymologo patet, apud quem v. Σχαδόνες recte ſcriptum eſt ἀνίσχαδον, ut hic apud Suidam.

Ἀνίτω. ἀναδιδόσθω.

Ἀνθεμίδων.

Ἄλσος[1] δ' Ἄρτεμι, τοῦτο, καὶ εἰ Χαρίτεσσι
θεαίσαις
Εἴη, ἐπ' ἀνθεμίδων σύμβολα κοῦφα βαλεῖν.

ἀντὶ τοῦ ἀνθέων. καὶ Ἀνθεμίδης, πατρωνυμικόν.

Ἀνθέμιον. τὸ [2]ἐκλεκτὸν χρυσίον. καὶ Ἀνθέμιος, ὄνομα κύριον.

Ἀνθεμόεντα. ἀνθηματικόν. διηνθισμένον. ποικίλον. καὶ [3]Ἀνθεμόεις λειμών, ὁ ἔχων ἄνθη. καὶ Ἀνθεμοείσιος, ὄνομα κύριον.

Ἀνθεμόκριτος,[4] Ἀθηναῖος μὲν ἦν κῆρυξ, ἀπεσφάγη δὲ ὑπὸ Μεγαρέων, ἀπαγορεύων αὐτοῖς τὴν ἱερὰν ὀργάδα μὴ ἐργάζεσθαι.

Ἀνθεμοῦς. πόλις ἐστὶ Μακεδονική. καὶ Ἀνθεμουσία γῆ. Ὁ δὲ [5]Τραϊανὸς ἐξελαύνει ὡς ἐπὶ τὴν Ἀνθεμουσίαν γῆν. ἐπὶ ταύτην γὰρ καὶ Αὔγαρος ὑφηγεῖτο ἰέναι.

Ἀνθέμων. ῥόδων. [6]Ἀριστοφάνης· Πῶς ἂν ἐμὲ καὶ σέ τις ἔρως ξυναγάγῃ λαβών, ὥσπερ ὁ γεγραμμένος φησί. Ζεῦξις ὁ ζωγράφος ἐν τῷ ναῷ τῆς Ἀφροδίτης ἔγραψεν Ἔρωτα ὡραιότατον, ἐστεμμένον ῥόδοις.

Ἀνθεμωνίδης. πατρωνυμικόν.

Ἀνθέων.[7] τὴν γενικὴν ὁμοίως τοῖς Ἴωσιν οἱ Ἀττικοί. Ἕρμιππος Ἀθηνᾶς Γοναῖς· Κηροσπάθητον ἀνθέων ὕφασμα καινὸν ὁρῶν. καὶ ἐν τοῖς ἑξῆς· Λεπτοὺς διαψαίρουσα πέπλους ἀνθέων γέμοντας. καὶ Ἀρισταγόρας Μαμμακύθῳ. οὕτως δὲ καὶ βελέων, καὶ ὀρέων, καὶ ἕτερα πλείονα Ξενοφῶν διαιρεῖ.

Ἀνθέξεται. ἀντιλήψεται. Καὶ [8]ἀνθέξεται κρίματος ἡ χείρ μου.

Ἀνθερεών. ὁ ὑπὸ τὸ γένειον τόπος. λάρυγξ.

Ἀνθέρικες. αἱ τῶν σταχύων προβολαί. τὰ ἄκρα. Ἡρόδοτος[9] δὲ τοὺς καυλούς φησι τῶν ἀσφοδέλων. εἰσὶ δὲ ἄθραυστοι. ἢ Ἀνθερίκων, ἀνθηρῶν, ἢ λαμπρῶν.

Ἀνθ' [10]ἕρματος πολλὰς καταπεπωκὼς δίκας. ἀντὶ λίθου. ἐπεὶ αἱ γέρανοι πετόμεναι ἐν τῷ στόματι ψήφους φέρουσι στηρίγματος ἕνεκα, πρὸς τὸ μὴ παραφέρεσθαι ἀνέμοις.

Ἀνθ' Ἑρμίωνος. [11]ἐπὶ τῶν ὁμοίως ἱερὰ διασωζόντων. Ἑρμιόνη γὰρ ἐν Πελοποννήσῳ πόλις Κόρης καὶ

Ἀνίτω. Reddatur.

Ἀνθεμίδων. Florum. * * * * * * * * * * * * * * * * Et Anthemides, patronymicum.

Ἀνθέμιον. Aurum optimum. Et Anthemius, nomen proprium.

Ἀνθεμόεντα. Floridum. Variis coloribus ornatum. Verſicolor. Et Ἀνθεμόεις λειμών, pratum habens flores. Et Anthemoiſius, nomen proprium.

Ἀνθεμόκριτος. Anthemocritus, Athenienſis præco, quem Megarenſes interfecerunt, quod eos agrum ſacrum colere vetuiſſet.

Ἀνθεμοῦς. Urbs eſt Macedoniæ. Inde dicta eſt terra Anthemuſia. *Trajanus vero in terram Anthemuſiam cum exercitu profectus eſt. Illuc enim & Abgarus ſuadebat ut iret.*

Ἀνθέμων. Roſarum. Ariſtophanes: *Quomodo me tibi aliquis Amor jugaverit, ut ille quem roſis coronatum pinxerunt.* Zeuxis pictor in Veneris templo Amorem formoſiſſimum & roſis coronatum pinxit.

Ἀνθεμωνίδης. Anthemonides. Patronymicum.

Ἀνθέων. Florum. Attici hunc genitivum æque ac Iones uſurpant. Hermippus in *Minervæ Natalibus: Novam florum telam cera textam cernens.* Et in ſequentibus: *Tenues agitans peplos floribus refertos.* Item Ariſtagoras *Mammacytho.* Sic etiam βελέων, & ὀρέων, & alia plura abſque contractione Xenophon effert.

Ἀνθέξεται. Sibi vendicabit. Apprehendet. *Et manus mea judicium apprehendet.*

Ἀνθερεών. Locus, qui eſt ſub mento. Mentum.

Ἀνθέρικες. Spicarum ſummæ partes. Herodotus vero aſphodelorum caules ſic appellat. Ii autem haud facile franguntur. Vel Ἀνθερίκων ſignificat Floridorum, vel Splendidorum.

Ἀνθ' ἕρματος. *Poſtquam firmamenti loco multas deglutivi lites.* [Ἀνθ' ἕρματος,] i. e. loco lapidis. Grues enim volantes ſaburræ loco lapides in ore ferunt, ne a ventis tranſverſæ auferantur.

Ἀνθ' Ἑρμίωνος. In eos, qui ſupplices ſervant. Hermione enim urbs in Peloponneſo, Proſerpinæ & Cereri ſacra, aſylum habebat, quod

---

[1] Ἄλσος δ', Ἄρτεμι, τοῦτο, καὶ χαρ.] Diſtichum hoc nec in Anthologia edita, nec inedita, me legiſſe memini, ejuſque verſionem prætermiſi, quoniam ſenſus ejus eſt obſcurus & imperfectus, qui non niſi ex ipſo Epigrammate, ex quo Suidas iſta decerpſit, illuſtrari & ſuppleri poteſt.

[2] Τὸ ἐκλεκτὸν χρυσίον] Sic etiam Heſychius. Salmaſius tamen ad Solinum pag. 761. legendum contendit τὸ ἤλεκτρον χρυσίον; quem vide.

[3] Ἀνθεμόεις λειμών. ὁ ἔχων ἄνθη] Vide Scholiaſtam Homeri ad Il. B. v. 467.

[4] Ἀνθεμόκριτος, Ἀθην. μὲν ἦν κῆρυξ] Ex Harpocratione: ad quem vide Valeſium.

[5] Ὁ δὲ Τραϊανὸς ἐξελαύνει ὡς ἐπὶ τὴν Ἀνθ.] Hoc fragmentum repetitur infra v. Ὑφηγήσονται.

[6] Ἀριστοφάνης] Apud Ariſtophanem in *Acharnenſ.* p. 418. (300. Edit. Baſ. ut Portus obſervavit) locus hic ita legitur:

Πῶς ἂν ἐμὲ, καὶ σέ τις Ἔρως ξυναγάγοι λαβών,
Ὥσπερ ὁ γεγραμμένος ἔχων στέφανον ἀνθέμων.

Vide ibi Scholiaſtam, cujus verba Suidas deſcripſit.

[7] Ἀνθέων. τὴν γενικὴν ὁμ.] Hanc notam Suidæ confirmat Thomas Magiſter in *Eclog. Attic.* Ἀνθέων, οὐκ ἀνθῶν. Φιλόστρατος ἐν Εἰκόσιν· Ἡ γὰρ τῶν ἀνθέων ἐλευθερία.

[8] Καὶ ἀνθέξεται κρίματος ἡ χείρ μου] Hæc ſunt verba Davidis in Pſalmo aliquo, qui nunc non ſuccurrit.

[9] Ἡρόδοτος δὲ τοὺς κ.] An Suidas reſpexit locum Herodoti, qui exſtat lib. IV. pag. 179? Vide Portum in Lexico Ionico.

[10] Ἀνθ' ἕρματος πολλὰς καταπ.] Hæc ſunt verba Ariſtophanis in *Avibus* pag. 422. ubi conſule Scholiaſtam. *P.*

[11] Ἐπὶ τῶν ὁμοίως ἱερὰ διασ.] Apud Zenobium rectius ſcriptum eſt, ἐπὶ τῶν σωζόντων τοὺς ἱκέτας, quam lectionem in verſione ſecutus ſum. Sequitur apud Zenobium: Ἐπειδὴ ἐν Ἑρμιόνῃ τῆς Πελοποννήσου ἱερὸν ἦν Κόρης καὶ Δήμητρος, ἀσφάλειαν παρέχων τοῖς καταφεύγουσιν.

Δήμητρος ἄσυλος, ὥστε σκέπην παρέχειν τοῖς ἱκετεύουσιν.

Ἀνθεστηριών.[1] ὄγδοος μὴν ἐστὶ παρ' Ἀθηναίοις, ἱερὸς Διονύσου. κεκλῆσθαι δὲ αὐτὸν οὕτω, διὰ τὸ πλεῖστα τῶν ἐκ γῆς ἀνθεῖν τότε.

Ἄνθεια. πόλις. καὶ [2] ὄνομα ἑταίρας. τινὲς δὲ ἀντὶ τοῦ θῆτα διὰ τοῦ τ Ἄντεια γράφουσιν.

Ἀνθείλοντο. προέκριναν.

Ἀνθεινός. ὁ ἐξ ἀνθέων. καὶ ὁ καιρός.

Ἄνθεια. ἐπίθετον Ἥρας.

Ἄνθη. μία τῶν Ἀλκυονίδων. καὶ ζήτει ἐν τῷ Ἀλκυονίδες.

Ἀνθηδόνιος.[3] ἀπὸ Ἀνθηδόνος οἶνος.

Ἀνθηδών. ὄνομα πόλεως Βοιωτίας. [4] Ὅμηρος· Ἀνθηδόνα τ' ἐσχατόωσαν.

Ἀνθήλιος. ἡ σελήνη. καὶ τὸ ἀποσκίασμα τῆς τοῦ ἡλίου ἀνταυγείας. ἐνίοτε δὲ καὶ τὸ μίμημα, ἢ [5] ἀντάλλαγμα, ὡς Θεόπομπος. σημαίνει δὲ καὶ τὰ ἐπισκοτοῦντα τῷ ἡλίῳ νέφη, ἃ καὶ Ἀνθήλια καλεῖται.

Ἀνθηρά. Ξενοφῶν. Ὥσπερ ἐν τοῖς μουσικοῖς τὰ νέα καὶ τὰ ἀνθηρὰ εὐδοκιμεῖ. [6] Τῶν ὀρνέων τὰ μὲν χρήσιμα καὶ ἀνθηρὰ κατὰ τοὺς οἴκους ἀνατρεφόμεθα· τὰ δὲ μὴ ἀνθηρὰ ἐσθίομεν. Ἀριστοφάνης Ἀχαρνεῦσιν· Εἶδες, [7] ὦ πᾶσα πόλι, τὸν Φρόνιμον ἄνδρα, τὸν ὑπέρσοφον, οἷον ἔχει σπεισάμενος ἐμπορικὰ χρήματα διεμπολᾶν· ὧν τὰ μὲν ἐν οἰκίᾳ χρήσιμα, τὰ δ' αὖ πρέπει χλιαρὰ κατεσθίειν.

Ἀνθῃρημένος. ἀντιλαμβανόμενος, ἢ προκεκριμένος.

Ἄνθης.[8] ἀνθήσεως.

Ἀνθίας. ὄνομα ἰχθύος.

Ἀνθίνη. πόλις. καὶ ἡ ἐπωμίς. καὶ [9] Ἄνθινον, ἀνθηρόν, βαπτόν. καὶ Ἄνθινος χιτών.

Ἀνθιππασία, ὁ ἱππικὸς ἀγών.

Ἀνθίσασθαι [10] μουσικῆς. καὶ ἠνθισμένοι μουσικῆς, οἱ ἠθροικότες τὰ ἄνθη τῆς μουσικῆς.

Ἀνθομολογησόμεθα. ἀντὶ τοῦ εὐχαριστήσομεν. [11] Δαβίδ· Ἀνθομολογησόμεθά σοι ὁ Θεός. [12] Ὑπὲρ τῆς εὐεργεσίας ὁμολογοῦμεν χάριτας, καὶ ἀναγράπτους ταύτας

ſupplices eo confugientes ab injuria tutos præſtabat.

Ἀνθεστηριών. Antheſterion, eſt octavus menſis apud Athenienſes, Baccho ſacer. Sic autem ipſum vocatum tradunt, quod pleraque eorum, quæ ex terra naſcuntur, tunc floreant.

Ἄνθεια. Anthea, urbs: & nomen meretricis. Quidam vero pro θ ſcribunt τ, Ἄντεια.

Ἀνθείλοντο. Antepoſuerunt.

Ἀνθεινός. Floridus. Sic etiam vocatur tempus, [quo flores florent.]

Ἄνθεια. Junonis epithetum.

Ἄνθη. Anthe. Una Alcyonidum. Quære in Ἀλκυονίδες.

Ἀνθηδόνιος οἶνος. Vinum Anthedonium.

Ἀνθηδών. Anthedon. Nomen urbis Bœotiæ. Homerus: *Et Anthedonem extremam.*

Ἀνθήλιος. [Adverſus vel oppoſitus Soli.] Sic Luna vocatur, cum eſt oppoſita Soli. Item, repercuſſus Solis ſplendor. Interdum etiam imitatio, aut permutatio: ut Theopompus. Ἀνθήλια etiam vocantur nubes, quæ Solis lucem nobis eripiunt.

Ἀνθηρά. Florida. Xenophon: *Quemadmodum in Muſicis nova & florida valde probantur.* Aves utiles & pulchra colorum varietate præditas in ædibus alimus; eas vero, quæ tales non ſunt, comedimus. Ariſtophanes Acharnenſibus: *Vidiſti, tota civitas, prudentem illum & ſapientiſſimum virum, qui fœdus nobiſcum ſancivit, merces ſuas divendere: quarum aliæ quidem domi ſunt utiles, alias vero tepidas comedere oportet.*

Ἀνθῃρημένος. Alterius loco electus. Item, antepoſitus.

Ἄνθης. Idem ſignificat quod ἀνθήσεως.

Ἀνθίας. Anthias. Nomen piſcis.

Ἀνθίνη. Anthine, urbs. Item, humerale. Et Ἄνθινον, floridum, [variis coloribus] imbutum. Et Ἄνθινος χιτών, tunica variis coloribus ornata.

Ἀνθιππασία. Certamen equitum.

Ἀνθίσασθαι μουσικῆς. Muſicæ flores legere. Et ἠνθισμένοι μουσικῆς, qui Muſicæ flores collegerunt.

Ἀνθομολογησόμεθα. Gratias agemus. David: *Gratias agemus tibi, o Deus.* Id eſt, pro beneficio in nos collato gratias agemus, haſque ſcriptis mandabimus. Et Ἀνθωμολογεῖτο, narποιήσομεν. καὶ Ἀνθωμολογεῖτο. διηγεῖτο. Ὁ δὲ [1] ἀνθωμολογεῖτο πρός τινας τῶν ἐν Ῥώμῃ μετὰ ταῦτα μηδὲν ἑωρακέναι φοβερώτερον καὶ δεινότερον φάλαγγος τῆς Μακεδονικῆς. Καὶ αὖθις· Ταῦτα μὲν οὖν ἀνθωμολογήσαντο πρὸς ἀλλήλους. ἀντὶ τοῦ συνέθεντο, συνεφώνησαν. Καὶ αὖθις· Περὶ Σωκράτους τάδε ἐγράψατο καὶ ἀνθωμολογήσατο Μέλιτος.

---

[1] Ἀνθεστηριών. ὄγδ.] Ex Harpocratione.

[2] Καὶ ὄνομα ἑταίρας. τινὲς δὲ ἀντὶ τοῦ θ.] Athenæus lib. XIII. p. 586. varias meretrices recenſens, etiam Antheæ hujus mentionem facit; & deinde addit: Μήποτε δὲ δεῖ γράφειν ἀντὶ τῆς Ἀνθείας Ἄντειαν. οὐ γὰρ εὑρίσκομεν παρ' οὐδενὶ Ἄνθειαν ἀναγεγραμμένην ἑταίραν. *Forte autem pro* Ἄνθεια *ſcribendum eſt* Ἄντεια. *Apud nullum enim ſcriptorem Antheam meretricis nomen eſſe reperio.* Ex hoc loco Athenæi Suidas notam ſuam deprompſit. Vide etiam Harpocrationem v. Ἄνθεια, qui itidem Athenæi veſtigia ſecutus eſt.

[3] Ἀνθηδόνιος. ἀπὸ Ἀνθ.] Vide Athenæum lib. I. pag. 31. & ſupra v. Ἀλθηφιάς.

[4] Ὅμηρος] Il B. v. 508.

[5] Ἀντάλλαγμα] Quem ſenſum vox iſta hoc loco habere poſſit non video. Quare puto mendum ei ineſſe, & ſcribi debere ἀνταύγημα, vel ἀνταύγασμα, i. e. repercuſſio lucis; quod multo melius loci hujus ſenſui quadrat.

[6] Τῶν ὀρνέων τὰ μὲν χρ. καὶ ἀνθ. κατὰ τοὺς οἴκους ἀνατρ. τὰ δὲ μὴ ἀνθ. ἐσθ.] Hæc ſunt verba Scholiaſtæ Ariſtoph. ad *Acharn.* pag. 299. (Ed. Baſ.) ut Portus obſervavit.

[7] Εἶδες, ὦ πᾶσα πόλι, τὸν φρ.] Metrum hujus loci in integrum reſtituendum eſt ex Ariſtophane, quem vide.

[8] Ἄνθης. ἀνθήσεως] Male Portus pro ἄνθης hoc loco ſcribendum cenſebat ἄνθησις. Eſt enim τὸ ἄνθης genitivus, a recto ἄνθη, quod Attici dicunt pro ἄνθησις, ut αὔξη pro αὔξησις, σύλη pro σύλησις, multaque alia hujus generis. Thomas Magiſter: Αὔξην καὶ ἄνθην Ἀττικοί. οὐκ αὔξησιν, οὐδὲ ἄνθησιν.

[9] Ἄνθινον, ἀνθηρόν,] Vide Salmaſium ad Trebell. Poll. p. 328.

[10] Ἀνθίσασθαι μουσικῆς] Videtur aliquid deeſſe, & legendum Ἀνθίσασθαι τὰ τῆς μουσικῆς.

[11] Δαβίδ] Pſalm. LXXIX. v. 13.

[12] Ὑπὲρ τῆς εὐεργεσίας ὁμολ. χάριτας, καὶ ἀναγρ. ταύτας ποιήσομεν] Hæc ſunt verba Theodoreti ad Pſalmum modo laudatum, ſed mutila, quæ proinde integra hic deſcribam, ut, quis ſit hujus loci ſenſus, Lector clarius intelligat. Ἡμεῖς ὁ λαός σου χρηματίσαντες, καὶ ποίμνιον ὀνομαζόμενοι σόν, ἐνδελεχῶς σοι τοὺς ὕμνους προσοίσομεν· καὶ τὰς ὑπὲρ τῆς εὐεργεσίας ὁμολογήσομεν χάριτας, καὶ ἀναγράπτους ταύτας πεποιηκότες τοῖς ἐσομένοις ἀνθρώποις προσοίσομεν τὴν τούτων διήγησιν. i. e. *Nos, qui populus tuus vocamur, tuusque grex nominamur, ſemper hymnos tibi offeremus, & gratias pro beneficiis agemus; cumque literis ea mandaverimus, poſteris eorum narrationem trademus.*

Ἀνθοσμίας.[2] εὐώδης οἶνος. εὔοσμος. ἀπὸ τόπου Ἀνθοσμίου· ἢ ὡς ἀπὸ εἴδους ἀμπέλου, ἢ ὁ ἡδὺς, καὶ περίοσμος, καὶ ἀνθηρός. [3] Ἀνθοσμίας, εὐώδης οἶνος, ἐγκειμένου τοῦ ἄνθους καὶ τῆς ὀσμῆς. παραγώγως Ἀνθόσμιος, Ἀνθοσμίας. τὸν δὲ χυδαῖον οἶνον καρηβαρείτην ἔλεγον. Ἀριστοφάνης Βατράχοις·

Διόνυσε πίνεις οἶνον οὐκ ἀνθοσμίαν.

ἀντὶ τοῦ μεθύεις, κραιπαλᾷς, σκληρὸν οἶνον πίνων. Ἄνθος λέγεται καὶ ἡ λευκὴ θρίξ· ἔνθεν καὶ Φάλανθος, ὁ φαλακρός.

Ἀνθ' ὅτου. ἀνθ' οὗ τινος.

Ἀνθῶ ἀεί.

Ἄνθρακες[4] ὁ θησαυρὸς ἦσαν. παροιμία ἐπὶ τῶν ἐλπιζόντων μὲν ἀγαθὰ, κακουμένων δὲ ἀφ' ὧν ἦν αὐτοῖς ἡ τῶν ἀγαθῶν ἐλπίς.

Ἄνθραξι[5] βαίνειν ἐχθρικὴν δηλοῖ βλάβην.

Ἀνθρακιά. πεπυρακτωμένοι ἄνθρακες. [6] Ὅμηρος·

Ἀνθρακιὴν στορέσας, ὀβελοὺς ἐφύπερθε τάνυσσε.

Καὶ [7] ἐν Ἐπιγράμμασι·

Τρίγλαν ἀπ' ἀνθρακιῆς, καὶ φυκίδα σοὶ λιμενίτην
Ἄρτεμι δωρεῦμαι.

Καὶ [8] Ἀνθρακίδες, λεπτοὶ ἰχθύες ὀπτοί· καὶ πάντα τὰ ἐπ' ἀνθράκων ὀπτώμενα οὕτω λέγονται. καὶ Ἀνθράκιον, βραχὺ τριποδίσκιον παρὰ Ἀλέξιδι.

Ἀνθρήνη. εἶδος σφηκὸς ἡ ἀνθρήνη. [9] καταχρῶνται δὲ οἱ ποιηταὶ καὶ ἐπὶ μελισσῶν. καὶ Ἀνθρήνια. [10] Ἐξελεῖν ἡμῶν πρὸς βίαν τἀνθρήνια. τὰς μελίσσας δηλονότι. Τὼ [11] ὀφθαλμὼ κεντούμενος ὥσπερ ὑπ' ἀνθρηνῶν, ὑπὸ τῶν γνωμῶν ἀπολεῖται. συγγενὴς ἐστι τῇ μελίσσῃ ἡ ἀνθρήνη, σφηκὶ παραπλησία. καὶ τὸ πλάσμα, ἀνθρήνιον.

Ἀνθρωπαρέσκεια.[12] ἡ πρὸς ἀνθρώπους σπουδή.

Ἀνθρωπεία φύσις.

Ἀνθρωπίζω. τὰ τῶν ἀνθρώπων φρονῶ.

Ἀνθρώπινον δῆθεν. Διωκομένην ὑπό τινων τὴν ἑ-

rabat. *Ille vero Romæ apud quoſdam poſtea confeſſus eſt, ſe nihil formidabilius & terribilius phalange Macedonica vidiſſe.* Et Ἀνθωμολογήσαντο ponitur pro συνέθεντο, pacti ſunt. *Hæc ipſi pacti ſunt inter ſe.* Et iterum: *De Socrate Melitus hæc ſcripſit & aperte confeſſus eſt.*

Ἀνθοσμίας. Vinum grati odoris. Vinum odoratum. Vel ab Anthoſmio loco ſic dictum: vel ut a vitis genere ſic appellatum, vel ſuave, & gratum habens odorem, & generoſum. Ἀνθοσμίας eſt vox compoſita ex ἄνθος & ὀσμὴ, ſignificans vinum grati odoris. Vinum vero vulgare appellabant καρηβαρείτην, i. e. caput gravans. Ariſtophanes in Ranis: *Bacche, non bibis vinum Anthoſmium.* Id eſt, ebrietati & crapulæ indulges, quia vinum forte & auſterum bibis. Ἄνθος etiam vocatur albus capillus: unde Φάλανθος, calvus.

Ἀνθ' ὅτου. Cujus rei cauſa. Quamobrem.

Ἀνθῶ ἀεί. Semper floreo.

Ἄνθρακες ὁ θησ. *Pro theſauro carbones.* Proverbium in eos, qui bona quidem ſperant, ſed malis afficiuntur ab illis, unde bona ſperabant.

Ἄνθραξι βαίνειν ἐχθρ. *Per carbones incedere portendit malum ab inimicis inferendum.*

Ἀνθρακιά. Carbones ardentes. Prunarum cumulus. Homerus: *Cum prunarum cumulum complanaſſet, verua deſuper extendit.* Et in Epigrammate: *Triglam aſſatam, & phycidem piſcem in portu captum tibi, Diana, dono.* Et Ἀνθρακίδες, piſciculi aſſati; itemque omnia, quæ ſupra carbones aſſata ſunt, ſic appellantur. Et Ἀνθράκιον, exiguus tripus apud Alexidem.

Ἀνθρήνη. Genus veſpæ. Poetæ vero pro apibus etiam hoc nomine abutuntur. Et Ἀνθρήνια, [apum favi. Item, ipſæ apes.] *Adimere nobis cupiens per vim apes.* Τἀνθρήνια enim hic ſignificat μελίσσας. *Faciem atque oculos ſententiarum mearum aculeis, tanquam apum, compunctus peribit.* Ἀνθρήνη eſt api cognata, & veſpæ ſimilis. Favus vero, quem fingit, appellatur ἀνθρήνιον.

Ἀνθρωπαρέσκεια. Studium hominibus placendi.

Ἀνθρωπεία φύσις. Humana natura.

Ἀνθρωπίζω. Non affecto ea, quæ ſunt ſupra ſortem humanam. Aliorum hominum more me gero.

Ἀνθρώπινον. Humanitas. *Meretricem, quam* ταίραν καταφυγεῖν εἰς τὸ οἰκίδιον· τὸν δὲ ἕνεκα τοῦ ἀνθρωπίνου εἰσδέξασθαι αὐτήν.

---

[1] Ὁ δὲ ἀνθωμολογεῖτο πρός τινας τ.] Fragmentum hoc repetitur infra v. Φάλαγξ.

[2] Ἀνθοσμίας. εὐώδης οἶνος. εὔοσμος. ἀπὸ τόπου Ἀνθ.] Hanc notam deſcripſit Suidas ex Schol. Ariſtoph. ad *Plutum*, pag. 82. Vide etiam Athen. lib. 1. pag. 32. & Galenum in Exegeſi Gloſſarum Hippocratis, v. Ἀνθίνην οἶνον.

[3] Ἀνθοσμίας, εὐώδης οἶνος, ἐγκ.] Hæc, & quæ ſequuntur, leguntur apud Schol. Ariſtoph. ad *Ranas*, pag. 266.

[4] Ἄνθρακες ὁ θησ.] Vide Zenobium Adag. c1.

[5] Ἄνθραξι βαίνειν ἐχθρικὴν δηλοῖ βλ.] Eſt ſenarius oneirocriticus, qui legitur apud Aſtrampſychum.

[6] Ὅμηρος] Il. I. v. 213.

[7] Ἐν Ἐπιγράμμασι] Antholog. lib. VI. cap. III. pag. 550. (415. Ed. Henr. Steph. ut Portus obſervavit.)

[8] Ἀνθρακίδες, λεπτοὶ ἰχθ. ὀπτοί· καὶ πάντα τὰ ἐπ' ἀνθρ. ὀπτ.] Ex Scholiaſta Ariſtoph. ad *Acharnenſ.* pag. 403. Vide eundem Scholiaſtam ad *Aves* pag. 612. & Heſych. v. Ἀπανθρακίδες & Ἐπανθρακίδες.

[9] Καταχρῶνται δὲ οἱ ποιηταὶ καὶ ἐπὶ μελ.] Huc ſpectant verba Scholiaſtæ Ariſtophanis ad *Nubes* pag. 177. Ἀνθρήνας οἱ ποιηταὶ τὰς μελίσσας συνεχῶς. Ὁ δὲ Ἀριστοτέλης συγγενῆ τῇ μελίσσῃ τὴν ἀνθρήνην φησί. κοινότερον δὲ ἐπὶ τῶν μελισσῶν τὰς ἀνθρήνας λέγουσιν.

[10] Ἐξελεῖν ἡμῶν πρὸς βίαν τἀνθρήνια] Apud Ariſtophanem in *Veſpis* pag. 508. verſus integer ſic legitur:

Ἐξελεῖν ἡμῶν μενοινῶν πρὸς βίαν τἀνθρήνια.

[11] Τὼ ὀφθαλμὼ κεντούμενος ὥσπερ ὑπ' ἀνθρ.] Hæc ſunt verba Ariſtophanis in *Nubibus* pag. 177. (107. Ed. Baſ. ut Portus obſervavit.)

[12] Ἀνθρωπαρέσκεια] Vide Suicerum in Theſauro Eccleſ. v. Ἀνθρωπαρέσκεια.

Ἀνθρωπίνως.[1] ἀντὶ τοῦ συμμέτρως. παρὰ Ἀριστοφάνει ἐν Βατράχοις. καὶ Ἀνθρωπίνως, ἀντὶ τοῦ καρτερικῶς, ὑπομονητικῶς. [2] Πολύβιος· Καὶ συμβέβηκε τοὺς μὲν ἐν ταῖς ἐπιτυχίαις ἐξουσίας μὴ δύνασθαι φέρειν ἀνθρωπίνως· ἐν δὲ ταῖς περιπετείαις εὐλαβῶς ἵστασθαι καὶ νουνεχῶς.

Ἀνθρωποδαίμονες. [3] Δαίμονες ὄντες ἀνθρώπειόν τε ἠμπέσχοντο σῶμα, καὶ ἀνθρωποδαίμονες γεγενημένοι τῷ τρόπῳ τούτῳ ξύμπασαν κατέσεισαν τὴν οἰκουμένην.

Ἀνθρωπόλεθρος. ὁ φονεύς.

Ἄνθρωπος. τὸ προσηγορικόν. καὶ Ἄνθρωπος, ἴδιον ὄνομα τοῦ ὀλυμπιονίκου πύκτου, οὗ ἐν Ἠθικοῖς Ἀριστοτέλης μνημονεύει. Ἀλλ' ἔγωγε, ἔφην, ταύτης μόνης ἐπιδεῖσθαι νομίζω τῆς μαντικῆς τοὺς ἀνθρώπους εἶναι βουλομένους, καὶ μὴ δίκην θηρίων ἔξω κεχηνέναι ἐς προνομὰς ἀπεράντους. οὕτω φησὶ Δαμάσκιος ὁ φιλόσοφος.

Ἄνθρωπος ἀνθρώπου δαιμόνιον. παροιμία, ἐπὶ τῶν ἀπροσδοκήτως ὑπὸ ἀνθρώπου σωζομένων, καὶ δι' αὐτοῦ [4] εὐδοκιμούντων. καὶ, Ἄνθρωπος Εὔριπος· τύχη Εὔριπος· διάνοια Εὔριπος. ἐπὶ τῶν ῥᾳστα μεταβαλλομένων καὶ ἀσταθμήτων ἀνθρώπων.

Ἄνθρωπος λυπησολόγος. σημαίνει μὲν ὁ λυπῶν διὰ τὸ λέγειν κακῶς τοὺς πέλας. Κρατῖνος.

Ἄνθρωπος πρόδοξος. ὁ πρὶν ἢ σαφῶς ἐξετάσαι δοξάζων.

Ἄνθρωπος φιλοπραγματίας. ἐπὶ πολυπράγμονος.

Ἄνθρωπος [5] αὐτὸς ἑαυτοῦ βελτίων γίνεται [6] κατὰ τρεῖς τρόπους. πρῶτον μὲν ὁμιλίᾳ τῇ πρὸς Θεόν. ἀνάγκη γὰρ τὸν προσιόντα αὐτῷ κατ' ἐκεῖνο καιροῦ χωρίζεσθαι πάσης κακίας, εἰς δύναμιν ὁμοιοῦντα ἑαυτὸν τῷ Θεῷ. δεύτερον, ἐν τῷ εὖ ποιεῖν. Θεοῦ γὰρ τοῦτο, καὶ θείας μιμήσεως. τρίτον, ἐν τῷ ἀποθνήσκειν. εἰ γὰρ κατὰ ποσόν τι ἡ ψυχὴ τοῦ σώματος ἐν τῷ ζῆν τὸ ζῶον χωριζομένη βελτίον γίνεται ἑαυτῆς, ἔν τε τοῖς ὕπνοις κατὰ τοὺς ὀνείρους καὶ ἐν ταῖς ἐκστάσεσι τῶν νόσων μαντικὴ γίνεται, πολλῷ μᾶλλον βελτιοῦται, ὅταν τέλειον χωρισθῇ ἀπὸ τοῦ σώματος.

Ἄνθρωπος [7] οὐκ ἔχων εἰπεῖν ὄνομα πάππου, ἀλλ' οὐδὲ πατρὸς, πλὴν ὅσον εἰκάσαι, ἀπὸ θυννοσκοπείου ἐπὶ τὴν ἡγεμονικὴν ἀπήνην ἀλάμενος.

Ἄνθρωπος. [8] Τὸ τῶν ἀνθρώπων γένος δοκοῦν πανουρ-

quidam perſequebantur, in ædes illius fuga ſe recepiſſe: illum vero humanitatis cauſa eam excepiſſe.

Ἀνθρωπίνως. More humano. Moderate. Apud Ariſtophanem in *Ranis*. Et Ἀνθρωπίνως, toleranter, patienter. Polybius: *Et accidit, ut rebus lætis potentiam moderate ferre nequirent; in adverſis vero caute & prudenter ſe gererent.*

Ἀνθρωποδαίμονες. Dæmones ſub humana ſpecie latentes. *Cum Dæmones eſſent, corpus humanum induerunt, & ſic ſemi-homines Dæmones facti, univerſum terrarum Orbem concuſſerunt.*

Ἀνθρωπόλεθρος. Hominum pernicies.

Ἄνθρωπος. Homo. Nomen appellativum. Item nomen proprium pugilis Olympionicæ, cujus mentionem facit Ariſtoteles in *Ethicis*. *At ego quidem hac ſola vaticinandi arte indigere puto illos, qui homines eſſe volunt, nec ferarum inſtar pabulis quaſi inexplebili cupiditate inhiare.* Sic Damaſcius philoſophus inquit.

Ἄνθρωπος ἀνθρ. *Homo homini Deus.* Proverbium, quod dicitur de illis, qui præter ſpem ab aliquo ſervantur & beati redduntur. Et, *Homo Euripus: Fortuna Euripus: Animus Euripus.* In homines leves & inconſtantes.

Ἄνθρωπος λυπησολόγος. Homo, qui calumniis & maledicendo alios lædit. Cratinus.

Ἄνθρωπος πρόδοξος. Homo, qui ante quam attente rem examinarit, opinionem aliquam amplectitur.

Ἄνθρωπος φιλ. Homo intempeſtive curioſus.

Ἄνθρωπος αὐτὸς ἑαυτ. Homo tribus modis ſe ipſo melior fit. Primum quidem colloquendo cum Deo. Neceſſe enim eſt eum, qui accedit ad ipſum, illo tempore ab omni vitio abſtinere, & ad Dei ſimilitudinem ſe pro viribus conformare. Deinde benefaciendo. Dei enim hoc eſt proprium, in eoque Deum imitamur. Tertio, moriendo. Si enim animus, dum animal vivit, aliquantulum a corpore ſeparatus ſe ipſo melior fit, & in ſomnis per inſomnia & in ecſtaſibus morborum notitiam futurorum habet; multo ſane præſtantior ſe ipſo fit, cum prorſus a corpore ſeparatur.

Ἄνθρωπος οὐκ ἔχ. *Homo, qui ne avi quidem nomen, imo nec patris edere poteſt, niſi quantum conjectura aſſequi ei licet, a thynnorum piſcatione ad Præfecti dignitatem evectus.*

Ἄνθρωπος. Quum genus hominum verſutia

---

[1] Ἀνθρωπίνως. ἀντὶ τοῦ συμμ.] Vide Caſaub. ad Athen. lib. IX. cap. VII.

[2] Πολύβιος· Καὶ συμβέβηκε τοὺς μ.] Fragmentum hoc legitur apud Polyb. lib. XVII. cap. XXIX.

[3] Δαίμονες ὄντες ἀνθρώπειόν τε ἠμπ.] Hæc & quæ ſequuntur ſunt verba Procopii *Hiſtor. Arc.* cap. XII.

[4] Εὐδοκιμούντων] Lege εὐδαιμονούντων, ut apud Zenobium Adag. XCI.

[5] Ἄνθρωπος αὐτὸν ἑαυτοῦ βελτ.] Totus hic articulus αὐτολεξεὶ etiam legitur apud Photium in Excerptis ex Vita Pythagoræ, Cod. CCXLIX. pag. 1313. unde Suidas eum deſcripſit: quod & a Pearſonio obſervatum fuit.

[6] Κατὰ τρεῖς τρόπους] Cum tres tantum modi hic recenſeantur, quibus homo ſe ipſo melior fit, male in prioribus Edit. excuſum eſt κατὰ πέντε τρόπους; cujus loco proinde κατὰ τρεῖς τρόπους reponere non dubitavi, præſertim cum & apud Photium expreſſe ſic legatur.

[7] Ἄνθρωπος οὐκ ἔχων εἰπεῖν ὄνομα π.] Hæc & quæ ſequuntur ſunt verba Syneſii Epiſt. LVII. pag. 197. eademque leguntur infra v. Θυννοσκοπεῖν.

[8] Τὸ τῶν ἀνθρώπων γένος δοκ.] Hæc & quæ ſequuntur ſunt verba Polybii lib. XVII. cap. XIII. eademque leguntur in Excerptis ex Polybio, a Valeſio editis, pag. 67. Vide etiam v. Δεδεξιωμένοι, & v. Ἀλογιστία.

γότατον εἶναι τῶν ζώων πολὺν ἔχει λόγον τοῦ φαυλότατον ὑπάρχειν. τὰ μὲν γὰρ ἄλλα ζῷα ταῖς τοῦ σώματος αὐτῶν ἐπιθυμίαις δουλεύοντα διὰ μόνας ταύτας σφάλλεται· τὸ δὲ τῶν ἀνθρώπων γένος καὶ προσδοξοπεποιημένον οὐχ ἧττον διὰ τὴν ἀλογιστίαν, ἢ διὰ τὴν φύσιν ἁμαρτάνει.

Ἄνθροισκα.[1] τὰ ἄγρια λάχανα παραπλήσια ἀνήθοις· οἷα καὶ τὰ μάραθρα.

Ἀνθυπωμοσία. ἀντὶ τοῦ [2] ὑπειπεῖν τῇ ὑπωμοσίᾳ. οὕτω [3] Δημοσθένης κατ' Ὀλυμπιοδώρου.

Ἀνθυπουργῆσαι χάριν. τὸ ἀνταποδοῦναι. Σοφοκλῆς Κολχίσιν· Ἦ φῂς ὑπομνὺς ἀνθυπουργῆσαι χάριν; † Ὅτι ὁ Ἀριστοτέλης τὴν ἀνθυφαίρεσιν ἀνταναίρεσιν εἴρηκεν.

Ἂν μὴ παρῇ κρέα, ταρίχῳ στερκτέον. παρεγγυᾷ ἡ παροιμία, ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι.

Ἀνοδίᾳ. ἐπίρρημα τοπικόν. [4] Οἱ δὲ πλείους ἀνοδίᾳ καὶ κατὰ τὰς νήσους διεσπάρησαν.

Ἄνοδον. ἀδιέξοδον. [5] Ξενοφῶν· Τῇ μὲν γὰρ ἄνοδον, τῇ δὲ εὔοδον εὑρήσομεν τὸ ὄρος. καὶ Ἄνοδον, τὴν ἀνέλευσιν.

Ἀνόδοντος. Κοριάνοις Φερεκράτης. Ἀνὴρ γέρων ἀνόδοντος ἀλήθει.

Ἀνόητα.[6] τὰ ἀφροδίσια, καὶ ἡ λαγνεία. τουτέστι μωρά. μωραίνειν γὰρ τὸ ἀφροδισιάζειν ἔλεγον. [7] Ἀριστοφάνης·

Οἴνου τ' ἀπέχῃ, καὶ γυμνασίων, καὶ τῶν ἄλλων ἀνοήτων.

τουτέστι μωρῶν, ἢ ἀνοήτων, ἀνεπιστημόνων.

Ἀνόθευτον. γνήσιον. ἀπαραποίητον. καθαρόν.

Ἀνώγεων. τὸ ὑπερῷον οἴκημα. [8] Ξενοφῶν ἐν Κύρου Ἀναβάσει. καὶ τῶν κωμῳδοποιῶν οἱ περὶ Ἀριστοφάνην.

Ἀνομβρῆσαι. ἀναβλύζουσαι.

Ἀνομένης.[9] παυομένης. ἀνυομένης.

Ἀνομείτω. παρανομείτω.

Ἀν' ὅμιλον. κατὰ τὸ πλῆθος.

& calliditate cætera animalia ſuperare videatur, multa dici poſſunt, cur peſſimum ſit. Nam cæteræ animantes, quæ ſolis cupiditatibus corporis ſerviunt, per has duntaxat labuntur & peccant: at humanum genus hoc amplius variis opinionibus imbutum, non pauciora per imprudentiam & pravam ratiocinationem, quam naturæ vitio peccat.

Ἄνθροισκα. Sylveſtria olea, anethis ſimilia; qualia etiam ſunt marathra.

Ἀνθυπωμοσία. Demoſthenes in oratione contra Olympiodorum. Sic autem vocatur juſjurandum, quo actor negans reum juſtam ob cauſam abeſſe, judicium non eſſe differendum contendit.

Ἀνθυπουργῆσαι χάριν. Gratiam referre. Sophocles *Colchidibus: An jurejurando affirmas, te mihi retuliſſe gratiam?* † Ariſtoteles eam quam Græci ἀνθυφαίρεσιν vocat, ἀνταναίρεσιν appellavit.

Ἂν μὴ παρῇ κρ. *Si non adſint carnes, in ſalſamentis eſt acquieſcendum.* Hoc proverbium monet, nos rebus præſentibus contentos eſſe debere.

Ἀνοδίᾳ. Adverbium loci. *Plures vero aviis itineribus per inſulam diſperſi ſunt.*

Ἄνοδον. Aditu vel tranſitu carens. Xenophon: *Nam alibi quidem montem aditu carentem, alibi vero acceſſu facilem reperiemus.* Et Ἄνοδον, reditum.

Ἀνόδοντος. Dentium expers. Pherecrates *Coriannis: Homo ſenex dentibus carens molit.*

Ἀνόητα. Res Venereæ. Venerea libido. Quaſi dicas ſtulta. Μωραίνειν enim Græci vocabant rei Venereæ indulgere. Ariſtophanes: *Et a vino abſtinet, & exercitiis, & re Venerea.*

Ἀνόθευτον. Legitimum. Non fictum. Sincerum.

Ἀνώγεων. Conclave ſive cœnaculum in ſuperiore domus parte. Xenophon *de Expeditione Cyri*, & inter Comicos Ariſtophanes.

Ἀνομβρῆσαι. Scaturientes.

Ἀνομένης. Ejus, quæ ceſſat, quæ conficitur.

Ἀνομείτω. Iniquitati ſtudeat.

Ἀν' ὅμιλον. In turba. Per turbam.

---

[1] Ἄνθροισκα] Puto legendum Ἄνθρισκα, vel, ut apud Heſychium, Ἀνθερίσκια.

[2] Ὑπειπεῖν] Sic in 2 MSS. Pariſ. exaratum eſt; eamque lectionem confirmat etiam Harpocratio. In prioribus Edit. vero minus recte excuſum eſt εἰπεῖν.

[3] Οὕτω Δημοσθένης κατὰ Ὀλ.] Locus Demoſthenis, ad quem Suidas reſpexit, exſtat pag. 693. ubi ſic legitur: Ἐπειδὴ δὲ ἐκάλει ὁ ἄρχων εἰς τὸ δικαστήριον ἅπαντας τοὺς ἀμφισβητοῦντας κατὰ τὸν νόμον, ὑπωμοσάμεθα ἡμεῖς, τουτονὶ Ὀλυμπιόδωρον δημοσίᾳ ἀπεῖναι στρατευόμενον. ὑπομοσθέντος δὲ τούτου, ΑΝΘΥΠΩΜΟΣΑΝΤΟ οἱ ἀντίδικοι, καὶ διαβάλλοντες Ὀλυμπιόδωρον τουτονὶ, ὕστερον ἡμῶν λέγοντες, ἔπεισαν τοὺς δικαστὰς ψηφίσασθαι, τῆς δίκης ἕνεκα ἀπεῖναι τουτονὶ, καὶ οὐ δημοσίᾳ. i. e. interprete Hier. Wolfio: *Cum igitur Prætor juſſu legis omnes adverſarios in forum citaret, juravimus nos, Olympiodorum publice abeſſe militantem. Quo jurejurando de iſto dato, viciſſim jurarunt adverſarii, & Olympiodorum calumniando, eum poſt nos dicerent, judicibus perſuaſerunt, ut decernerent, ejus judicii cauſa abeſſe ipſum, non publico nomine.* Ex hoc loco diſcimus, quid apud veteres Græcos ὑπωμόσασθαι & ἀνθυπωμόσασθαι ſignificaverit. Nimirum, ὑπωμόσασθαι dicebantur illi, qui jure jurando affirmantes reum juſtam ob cauſam abeſſe, judicium differendum eſſe petebant. Contra ἀνθυπωμόσασθαι dicebantur adverſarii, qui contrario juramento reum juſtam ob cauſam abeſſe negabant. Hinc ergo patet Heſychium minus recte τὸ ἀνθυπόμνυσθαι exponere per τὸ ἀναβάλλεσθαι δίκην ἢ χειροτονίαν μεθ' ὅρκου; quoniam illa interpretatio voci ὑπόμνυσθαι potius convenit, ut ex iis, quæ dicta ſunt, liquet.

[4] Οἱ δὲ πλείους ἀνοδίᾳ καὶ κ.] Hæc ſunt verba Polybii lib. III. cap. XIX. ubi rectius legitur, ἀνοδίᾳ κατὰ τὴν νῆσον διεσπάρησαν.

[5] Ξενοφῶν] *De Expedit. Cyri* lib. IV. pag. 340. ut a Porto obſervatum fuit.

[6] Ἀνόητα. τὰ Ἀφροδίσια] Hoc ſenſu vox iſta capitur a Philoſtrato *de Vit. Apoll. Tyan.* lib. VI. cap. XIII. ubi de Satyro inquit: πέπαυται γὰρ τῶν ἀνοήτων: i. e. *Deſiit enim libidinoſo amore mulieres proſequi.* Interpres male: *Jam enim moleſtiam vobis afferre deſinet.* Huc ſpectat locus ille Euripidis in *Troadibus*, v. 989. a Porto quoque obſervatus:

Τὰ μῶρα γὰρ πάντ' ἐστὶν Ἀφροδίτη βροτοῖς,
Καὶ τοὔνομ' ὀρθῶς ἀφροσύνης ἄρχει θεᾶς. i. e.
Venus enim omnis ſtultitiæ mortalibus cauſa eſt,
Et nomen Deæ Veneris recte a ſtultitia incipit.

[7] Ἀριστοφάνης] In *Nubibus*, pag. 84. *P.*

[8] Ξενοφῶν ἐν Κύρου Ἀναβάσει] Lib. V. pag. 354. ſed ubi ἀνώγαιον per diphthongum αι ſcriptum eſt.

[9] Ἀνομένης. παυομ.] Vide paulo poſt v. Ἄνοντος.

Ἄνομος. ὁ παράνομος. Ἄνωμος δὲ διὰ τοῦ ω μεγάλου, ὁ μὴ ἔχων ὦμον. ἐξ οὗ καὶ ἄνωμοι Πελοπίδαι ἔπω καλούμενοι.

Ἀνόνητα. ἀνωφελῆ.

Τὰ [1] γὰρ περιττὰ κἀνόνητα σώματα
Πίπτειν βαρείαις πρὸς Θεῶν δυσπραξίαις. οἷον
ὁ Αἴας.

Ἀνονόμαστος.[2] ὁ μὴ ἔχων ὄνομα.

Ἄνοντος.[3] ἀνύοντος.

Ἀνόπαια. εἶδος ὄρνιθος.

Ἀν' ὄπιν. εἰς πρόσωπον.

Ἄνοπτοι. ἀθέατοι. Οἱ δὲ Ἕλληνες ἐπὶ θάτερα τῆς νήσου ὥρμησαν ἄνοπτοι τοῖς πολεμίοις.

Ἀνοργίας. ἀμυησίας. ὄργια γὰρ τὰ μυστήρια. καὶ Ἀνοργιάστοις, τῶν μυστηρίων ἀπείροις. [4] Τὰ τῆς Ἀφροδίτης ἀνοργίαστά σοι ἐστίν. ἀντὶ τοῦ, οὐκ ὠργίασας τῇ Ἀφροδίτῃ· ἀτέλεστά σοι ἐστίν.

Ἄνοργοι. ἀντὶ τοῦ ἄνευ ὀργῆς. Κρατῖνος.

Ἀνόρεκτος. ὁ μὴ ὀρεγόμενός τινος. ὁ πρὸς τὰ προσφερόμενα βρώματα ἀηδῶς διακείμενος.

Ἄνορον. τὸ ὀξύ.

Ἀνορωρυγμένον λέγουσιν, οὐχὶ ἀνωρυγμένον. Μένανδρος Ὑδρείᾳ·

Εὐθὺς [5] καταχρήσασθαι τὸν ἀνορωρυγμένον
Ταύτην ἰδόντα.

Ἀνορταλίζειν. καὶ [6] Ἀνωρτάλιζες. κούφως ὠρχοῦ, ἐπῄρου, καὶ ταχέως ἐπίστευες πρὶν δοκιμάσαι. Ὀρταλίζειν δὲ λέγεται ἐπὶ τῶν ἀρχομένων [7] ἀναπτερεῦσθαι ὀρνέων. Ἀριστοφάνης·

Τούτοις ὁπότε χρήσαιτό τις προοιμίοις,
Ἀνωρτάλιζες κἀκερούτιας.

ἀντὶ τοῦ ἐμετεωρίζου, καὶ μέγα ἐφρόνεις. ἀπὸ δὲ τῶν κεραλοφορούντων ἡ λέξις.

Ἀνόσιον. βέβηλον. ἀνίερον. ἄθυτον. Αἰλιανός· Ὁ δὲ τἆλλα ὢν ἀνόσιος τοῦτο γοῦν πείθεται τῷ Θεῷ. καὶ Ἀνοσιώτατος, ὁμοίως.

Ἄννος [8] κρίβανον. παροιμία ἐπὶ τῶν καινόν τι ἐφευρηκότων. Ἄννος γὰρ Αἰγύπτιος ἐς τὴν τῶν ἄρτων ὄπτησιν ἐπενόησε τὸν κρίβανον.

Ἀννῶνα. Ῥωμαϊκὴ λέξις.

Ἀνόστους. ἀνυποστρέπτους. νόστος γὰρ ἡ εἰς τὰ οἰκεῖα ἐπάνοδος, παρὰ τὸ τῆς πατρίδος ἡδύ. Αἰλιανός· Ὁ δὲ τοὺς θεοσύλας ἀπέκτεινε, καὶ ἔθηκεν ἀνόστους, [9] τοῦτο δὴ τὸ Ὁμηρικόν.

Ἄνομος. Iniquus. Injuſtus. At Ἄνωμος, per ω, qui humeris caret. Unde etiam Pelopidæ vocantur ἄνωμοι.

Ἀνόνητα. Inutilia. *Nam ingentia & vaſtæ molis corpora gravi caſu ruere, cum a Diis evertuntur.* Ut Ajax.

Ἀνονόμαστος. Qui nullum habet nomen.

Ἄνοντος. Perficientis. Conficientis.

Ἀνόπαια. Anopæa. Genus avis.

Ἀν' ὄπιν. In faciem.

Ἄνοπτοι. Qui non cernuntur. Qui videri non poſſunt. *Græci vero alteram Inſulæ partem aggreſſi ſunt, hoſtibus eos non videntibus.*

Ἀνοργίας. Dicitur de iis, qui non initiantur myſteriis. Ὄργια enim appellantur μυστήρια. Et Ἀνοργιάστοις, myſteriorum expertibus. *Sacra Veneris non celebraſti.* Sive, orgia Veneris non peregiſti.

Ἄνοργοι. Ira carentes. Cratinus.

Ἀνόρεκτος. Qui nihil appetit. Qui cibos appoſitos faſtidit.

Ἄνορον. Acutum.

Ἀνορωρυγμένον. Sic dicendum eſt, non autem ἀνωρυγμένον. Menander *Hydria* * * * * * * * * * * *

Ἀνορταλίζειν. [Unde Imperfectum] Ἀνωρτάλιζες, leviter ſaltabas, efferebaris, & celeriter credebas, priuſquam rem examinaſſes. Ὀρταλίζειν autem dicitur de avibus, cum primum volare conantur, & alis ſe levare incipiunt. Ariſtophanes: *Quoties quis talibus proœmiis utebatur, efferebaris, & cornua tollebas.* Id eſt, magnos ſpiritus animo concipiebas: per metaphoram a cornutis animalibus ductam.

Ἀνόσιον. Profanum. Impium. Irreligioſum. Ælianus: *Ille vero, quamvis cæteris in rebus eſſet impius, hac tamen in re Deo paruit.*

Ἄννος κρίβανον. Annus clibanum. Proverbium de iis, qui aliquid novi inveniunt. Annus enim Ægyptius clibanum, quo panes coquebantur, invenit.

Ἀννῶνα. Romanum vocabulum. Annona.

Ἀνόστους. Reditus expertes. Νόστος enim vocatur reditus ad ſuos, propter patriæ dulcedinem. Ælianus: *Ille vero ſacrilegos interfecit, &, ut Homerus ait,* (ἔθηκεν ἀνόστους,) *reditu in patriam privavit.*

---

[1] Τὰ γὰρ περιττὰ κἀνόνητα σώμ.] Hæc ſunt verba Sophoclis in *Ajace* pag. 45. ut Portus obſervavit.

[2] Ἀνονόμαστος] Sic 2 MSS. Pariſ. In prioribus vero Edit. excuſum eſt ἀνωνόμαστος per ω, cui ſcripturæ ordo literarum repugnat.

[3] Ἄνοντος. ἀνύοντος] Ex Scholiaſta Ariſtoph. ad *Veſpas*, pag. 455. ut Pearſonius obſervavit.

[4] Τὰ τῆς Ἀφροδίτης ἀνοργίαστά σοι ἐστίν] Ariſtophanes in *Lyſiſtrata*, pag. 561.

Τὰ τῆς Ἀφροδίτης ἱερ' ἀνοργίαστά σοι |
Χρόνον τοσοῦτόν ἐστιν. οὐ βαδιεῖ πάλιν; P.

[5] Εὐθὺς καταχρήσασθαι τὸν ἀνορωρυγ.] Hoc fragmentum ἀνερμήνευτον reliqui, quia ex tam laceris reliquiis nullum ſenſum elicere potui.

[6] Ἀνωρτάλιζες. κούφως ὠρχοῦ, ἐπ.] Ex Scholiaſta Ariſtoph. ad *Equites* pag. 362. (256. Edit. Baſil. ut Portus obſervavit.)

[7] Ἀναπτερεῦσθαι] Scholiaſta Ariſtophanis habet ἀναπτερύσσεσθαι.

[8] Ἄννος κρίβανον. παροιμία ἐπὶ τ.] Ex Scholiaſta Ariſtoph. ad *Acharnenſ.* pag. 374. (264. Ed. Baſ. *P.*)

[9] Τοῦτο δὴ τὸ Ὁμηρικόν] Homerus Odyſſ. Ω. v. 537.

Καί νύ κε δὴ πάντας τ' ὄλεσσαν, καὶ ἔθηκαν ἀνόστους.

Huc Ælianus reſpexit.

Ἀνουβείδιον. τόπος τίς. [1] Βενδίδειον δέ.

Ἀννουμῶνος.[2] ἀπογραφὴ ὀνομάτων παρὰ Ῥωμαίοις. οἱ δὲ Ἀδνούμιόν φασιν.

Ἀν' οὖς ἔχων. ἀντὶ τοῦ ἄνω τὸ οὖς ἔχων. καὶ Σοφοκλῆς· Τὸν οἰνωπ' ἀνέχουσα κισσόν. ἀντὶ τοῦ, ἄνω ἔχουσα.

Ἀνουτητί. ἄνευ τρώσεως.

Ἀνοχή. ἡ ὑπομονή. Ἀνακωχὴ δέ.

Ἀνοχλήσας. ἀνακινήσας.

Ἀνοψία. σπάνις τῶν ὄψων.

Ἄνω. ἀντὶ τοῦ ἀνά. [3] Ὅμηρος·

Ἠδ' ὅσα Λέσβος ἄνω μακάρων ἐντὸς ἐέργει.

καὶ τὴν πρόθεσιν κολλητέον τῷ ἐέργει, ἵνα ᾖ ἀνείργει, ἀναστέλλει· ὃ καταστρέφει εἰς τὸ περιορίζει.

Ἄνω κάτω. τὸ πάντα λίθον κινεῖν.

Ἄνωγε. παρεκελεύσατο.

Ἀνώγεον. οἴκημα. Ἀνώγειον δέ. ὅτι [4] Καλλισθένης τὸ δεσμωτήριον ἀνώγεων εἶπεν. Ἀνάγαιον καὶ κατάγαιον διὰ διφθόγγου καὶ ο μικροῦ. τὸ δὲ ἀνώγεων εἰ τάχα καὶ κανόνες διὰ τοῦ ω μεγάλου καὶ ε ψιλοῦ γράφουσιν· ἀλλ' οὖν ὁ τῶν λέξεων θηρατὴς καὶ τῶν τύπων ἀντιστοίχων ἀκριβὴς ὀρθογράφος [5] Κοπρογένειος ὁ Μαΐστωρ διὰ τοῦ ε ψιλοῦ καὶ ο μικροῦ ἐξέδοτο ταῦτα γράφεσθαι. τὸ δὲ μεσόγαιον μόνον διὰ διφθόγγου εἴασεν· ἐπειδὴ εὕρηται μεσογεία γῆ, καὶ μεσόγειος γῆ.

Ἀνωγή. παρακέλευσις.

Ἀνωδύρετο. ἐθρήνει. ἔκλαιεν. Ὁ δὲ ἀνωδύρετο τὴν συμφορὰν, ἐπιδακρύων τῷ πάθει.

Ἄνωθεν.[6] ἐκ τόπου, ἢ χρόνου. Βάβριος· Τί τοὺς ἄνωθεν φρονιμωτάτους οἰωνοὺς ἐσορώμενοι τροφῆς κηδομένους ἀφ' ὧντε βλαστῶσιν, ἀφ' ὧντ' ὄνησιν εὕρωσι, τάδ' οὐκ ἐπίσης τελοῦμεν; τουτέστιν ἄνωθεν ἐκ φύσεως, ἢ τοὺς ἐν τῷ ἀέρι.

Ἀνωθῆσαι. ἐπὶ τὰ ἄνω κινῆσαι. Ἀνωθῆσαι δὲ ἑαυτὸ τὸ θηρίον, καὶ ἔξαλον γενόμενον, ἀπεσείσατο ἐς τὴν νῆξιν ἀπολῦσαι τὸν ἄνθρωπον.

Ἀνώϊστος.[7] ὁ ἀνυπονόητος. καὶ Ἀνωΐστι, ἀντὶ τοῦ ἀνυπονοήτως.

Ἀνῳκισμένος.[8] ἐν τοῖς ἀνωτάτω γενηθεὶς, ἢ ἄνω ὤν.

Ἀνωμαλία. ἡ τραχύτης.

Ἀνουβείδιον. Anubidium. Locus quidam. Bendidium vero [templum quoddam Athenis.]

Ἀννουμῶνος. Apud Romanos nominum deſcriptio ſic vocatur. Alii vero Ἀδνούμιον dicunt.

Ἀν' οὖς ἔχων. Aurem arrigens. Et Sophocles: *Nigram ſuſtollens hederam.* Ἀνέχουσα enim hic poſitum eſt pro ἄνω ἔχουσα.

Ἀνουτητί. Sine vulnere.

Ἀνοχή. Patientia. Tolerantia. At Ἀνακωχή, [Induciæ.]

Ἀνοχλήσας. Qui vectibus aliquid emovit, vel ſubmovit.

Ἀνοψία. Penuria piſcium.

Ἄνω. Pro ἀνά. Homerus:

Et quæcunque Leſbus ſedes Macaris continet.

Præpoſitio ἀνὰ eſt jungenda verbo ἐέργει, ut ſit ἀνείργει, quod ſignificat, continet, complectitur.

Ἄνω κάτω. Surſum, deorſum. [Idem ſignificat quod,] omnem movere lapidem.

Ἄνωγε. Adhortatus eſt. Juſſit. Imperavit.

Ἀνώγεον. Cœnaculum vel conclave in ſuperiore domus parte. Dicitur etiam ἀνώγειον. Calliſthenes autem carcerem vocavit ἀνώγεων. Ἀνάγαιον & κατάγαιον per diphthongum αι & ο parvum ſcribuntur. Vocabulum vero ἀνώγεων quamvis forſan regulæ per ω & ε ſcribi jubeant; ille tamen vocum auceps, & (quod ad literas affines, quas ἀντιστοίχους Græci vocant, adtinet) accuratus recte ſcribendi artifex Magiſter Coprogenius, per ε tenue & ο parvum ſcribi debere tradit. Solam vero vocem μεσόγαιον per diphthongum ſcribendam eſſe concedit, quia reperitur μεσογεία γῆ, & μεσόγειος γῆ.

Ἀνωγή. Adhortatio. Mandatum.

Ἀνωδύρετο. Lugebat. Flebat. *Ille vero calamitatem & infortunium ſuum lamentis & lacrymis proſequebatur.*

Ἄνωθεν. Tam ſignificat ex loco ſuperiore, quam a longo retro tempore. Babrius: *Cur, cum aves prudentiſſimas, quæ in ſublimi verſantur, videamus ſolicitas eſſe de alendis iis, qui ipſas progenuerunt, & ex quibus utilitatem aliquam perceperunt, nos idem non facimus?* Hic τὸ ἄνωθεν ſignificat vel, inde a primo ortu, vel, quæ in ſublimi verſantur.

Ἀνωθῆσαι. Quod ſurſum protruſit. *Cum autem fera ſe ſurſum cum impetu moviſſet, & ex mari emerſiſſet, hominem excuſſit & natatui permiſit.*

Ἀνώϊστος. Non ſuſpectus. Et Ἀνωΐστι, abſque ſuſpicione.

Ἀνῳκισμένος. In loco ſuperiore degens.

Ἀνωμαλία. Inæqualitas. Aſperitas.

---

[1] Βενδίδειον] Bendidii meminit Xenophon Ἑλλην. lib. II. pag. 472. ut Portus monuit.

[2] Ἀννουμῶνος] Vide ſupra v. Ἀδνούμιον.

[3] Ὅμηρος· Ἠδ' ὅσα Λέσβος ἄνω μακ.] Apud Homerum Il. Ω. v. 544. verſus hic ita legitur:

Ὅσσον Λέσβος ἄνω Μάκαρος ἕδος ἐντὸς ἐέργει.

Sic etiam apud Suidam ſcribendum eſt. Vocatur autem a Poeta Lesbus Μάκαρος ἕδος, *Macaris ſedes*, quia Macar eam condiderat, & in ea regnaverat, ut docet Scholiaſta ad eum locum.

[4] Καλλισθένης] Reineſius *Var. Lect.* lib. III. pag. 366. legendum putat Καλλίστρατος, quem vide.

[5] Κοπρογένειος] In 2 MSS. Pariſ. exaratum eſt Καπνογένειος; in uno vero Καπρογένειος.

[6] Ἄνωθεν. ἐκ τόπου, ἢ χρόνου] Vide Thomam Magiſtrum v. Ἄνωθεν.

[7] Ἀνώϊστος. ὁ ἀνυπονόητος] Hoc ſenſu vox iſta accipitur ab Herodoto lib. VI. pag. 224. 26.

[8] Ἀνῳκισμένος] Vox hæc legitur apud Ariſtophanem in *Pace*, pag. 636.

Ἄνωμος. ὁ μὴ ἔχων ὦμον. ἐξ οὗ καὶ Ἄνωμοι Πελοπίδαι οὕτω καλούμενοι.

Ἀνώμοτος. χωρὶς ὅρκου. Ὁ δὲ ἀνὴρ καὶ ἀνώμοτος πιστεύειν ἄξιος. Καὶ αὖθις· [1]Ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.

Ἀνῴμωξεν. ἐστέναξεν.

Ἀνωνόμαστος. ὁ μὴ ἔχων ὄνομα.

Ἀννωνῶν μετακομιδή. ἡ δὲ λέξις Ῥωμαϊκή.

Ἄνω [2] ποταμῶν χωροῦσι πηγαί. ἐπὶ τῶν ὑπεναντίως γινομένων ἢ λεγομένων. οἷον ὁ πόρνος τὸν σώφρονα εἰ λέγει πόρνον. ἐπειδὴ οἱ ποταμοὶ ἄνωθεν κάτω ῥέουσι. τουτέστιν, ἐπὶ τῶν τὰ ἑαυτοῖς προσόντα ἐλαττώματα ἑτέροις προσαναπιθεμένων.

Ἀνωρθιασμένον. [3] τὸ ὀρθότατον. καὶ Ἀνωρθωσάμην. τὸ [4] Ἀνωρθίαζον [5] Ἀνδοκίδης ἀντὶ τοῦ ὄρθιον βοῶντες ἔλεγεν.

Ἀνώφλιον. τὸ ὑπέρθυρον.

Ἄνωχθι. κέλευσον.

Ἀντ' [6] ἀγαθῶν ἀγαθίδες. παροιμία, ἐπὶ τῶν εὖ πασχόντων ἀνθ' ὧν εὐηργέτησαν πρότερον.

Ἀνταγωνιστής. πολέμῳ καὶ μάχῃ ἰσοστάδην. [7]Ἀφ' οὗ δὴ καὶ ἀνταγωνιστὴς ἀξιόμαχος ἐπιπολὺ τοῖς Ῥωμαίοις ἐγένετο.

Ἀντάλλαγμα. [8]Οἱ κατὰ σάρκα πρόγονοι τοῦ Χριστοῦ, οὓς [9]ἴχνη καὶ ἀντάλλαγμα ἐκάλεσαν οἱ ἑβδομήκοντα ἑρμηνευταί.

Ἀντάλλαγον καλοῦσι τὸν ἀντὶ ἄλλου ἠλλαγμένον· οὐχὶ ἄνταλλον. Μένανδρος Κανηφόρῳ· Ἐδεῖτο χρῆσαι τὴν σεαυτῆς θυγατέρα ἀντάλλαγον χήραν. † Ἔχουσα [10] ἡ ἀδελφὴ ποιήσαι τούτοις οἱ ἀντάλλαγον τέξεις ὁ τούτῳ δεδομένην. Καὶ ἐν Ἁλιεῖ· Ἐκλελάκικεν ὁ χρηστὸς ἡμῖν μοιχὸς, ἀλλ' ἀντάλλαγος.

Ἀντ' ἄλλης ἀρχῆς ἔστι τοῦτο δρᾶν. τουτέστιν, ἀντὶ τοῦ ἄρχειν τὸ καινοτομεῖν· τῶν δὲ ἀρχαίων ἀμελεῖν.

Ἀντανάκλασιν. [11] κατ' ἀνάκλασιν ἀπό τινος μεταγομένην. γίνεται δὲ τοῦτο ἐπὶ φωνῆς, ὅταν ἀντηχῇ. καὶ ἐπὶ φωτὸς ἡλιακοῦ, ὅταν λείῳ τινὶ ἢ λαμπροτάτῳ ὕδατι προσπέσοι.

Ἀνταμείψιν. ἀνταπόδοσιν.

Ἀνταναιρεῖται. κτείνεται. καὶ Ἀντανῃρέθη, ἀντεφονεύθη.

Ἄνωμος. Qui [alterum] humerum non habet. Unde etiam Pelopidæ Ἄνωμοι appellati fuerunt.

Ἀνώμοτος. Injuratus. *Ille vero dignus erat, cui vel injurato crederetur.* Et rurſus: *Lingua juravit; at mens injurata eſt.*

Ἀνῴμωξεν. Ingemuit.

Ἀνωνόμαστος. Qui nullum habet nomen.

Ἀννωνῶν μετακομιδή. Annonæ tranſportatio. Vocabulum eſt Romanum.

Ἄνω ποταμῶν χωρ. *Flumina ad fontes relabuntur.* Dicitur de iis, quæ ordine contrario fiunt aut dicuntur: ut, ſi homo impudicus virum caſtum appellet impudicum. Fluvii enim a fontibus ad mare labuntur: non contra. Dici ergo poteſt de illis, qui vitia, quæ ipſis inſunt, aliis attribuunt.

Ἀνωρθιασμένον. Intenſum. Elatum. Et Ἀνωρθωσάμην, erexi. Et Ἀνωρθίαζον apud Andocidem pro, alta voce dixerunt, vel clamarunt.

Ἀνώφλιον. Limen ſuperius.

Ἄνωχθι. Jube. Impera.

Ἀντ' ἀγαθῶν ἀγ. *Bona pro bonis.* Proverbium de iis, quibus pro beneficiis, ante in aliquem collatis, gratia refertur.

Ἀνταγωνιστής. Adverſarius in certamine. *Unde diu Romanis ſtrenue reſtitit, illiſque multum in bello negotii faceſſivit.*

Ἀντάλλαγμα. Chriſti majores ſecundum carnem LXX. Interpretes vocarunt ἴχνη καὶ ἀντάλλαγμα.

Ἀντάλλαγον. Sic vocant eum, qui pro alio permutatione facta datur: non vero ἄνταλλον. Menander *Caniſtrifera*: *Rogavit, ut filiam tuam viduam pro altera permutatam illis commodares.* * * * * * * * * * * * * * * * *

Ἀντ' ἄλλης ἀρχ. *Pro alio principatu licet hoc facere.* Id eſt, pro principatu, quem obtinere cupis, res novas moliri licet, & inſtituta legeſque antiquas negligere.

Ἀντανάκλασιν. Repercuſſionem, per quam aliquid a corpore, in quod inciderat, reſilit. Hoc autem fit in voce, quum ſonus ad aures reſultat: itemque in lumine Solis, cum in aliquod [corpus] læve, vel aquam valde limpidam incidit.

Ἀνταμείψιν. Retributionẽ. Compenſationem.

Ἀνταναιρεῖται. Viciſſim interficitur. Et Ἀντανηρέθη, viciſſim interfectus eſt.

---

[1] Ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀν.] Eſt notiſſimus verſus Euripidis in *Hippolyto* v. 612.

[2] Ἄνω ποταμῶν χωροῦσι πηγαί] Eſt notiſſima ῥῆσις Euripidis in *Medea* v. 410.

[3] Τὸ ὀρθότατον. καὶ Ἀνωρθωσάμην] Cum Porto legere malim, τὸ ὀρθιότατον. καὶ Ἀνωρθιασάμην. Vide infra v. Ὀρθιασμάτων.

[4] Τὸ Ἀνωρθίαζον Ἀνδοκίδης ἀντὶ τοῦ ὄρθιον βοῶντες ἔλεγεν] Hunc locum, qui in prioribus Edit. corruptus circumfertur, ex Harpocratione emendavi.

[5] Ἀνδοκίδης] Verba Andocidis ἐν τῷ περὶ τῶν Μυστηρίων pag. 5. hæc ſunt: Καὶ γὰρ οἱ λόγοι τῶν κατηγόρων ταῦτα τὰ δεινὰ καὶ φρικώδη ἀνωρθίαζον, καὶ λόγους εἶπον, ὡς οὐδέποτε ἑτέρων ἁμαρτόντων &c.

[6] Ἀντ' ἀγαθῶν ἀγ.] Vide ſupra v. Ἀγαθῶν ἀγαθίδες.

[7] Ἀφ' οὗ δὴ καὶ ἀνταγων. ἀξ.] Hæc ſunt verba Dionis de Decebalo, Dacorum Rege, pag. 331. eademque leguntur infra v. Δεινός.

[8] Οἱ κατὰ σάρκα πρόγονοι τοῦ Χριστοῦ, οὓς ἴχνη καὶ ἀντ.] Recte obſervavit Pearſonius, hanc notam excerptam eſſe ex Theodoreto ad Pſalm. LXXXVIII. v. 52. ubi David inquit: Οὗ ὠνείδισαν οἱ ἐχθροί σου Κύριε· οὗ ὠνείδισαν τὸ ἀντάλλαγμα τοῦ Χριστοῦ σου. Theodoretus ad illum locum, pag. 759. Ὁ δὲ Σύμμαχος καὶ ὁ Θεοδοτίων οὕτως. Ὠνείδισαν τὰ ἴχνη τοῦ Χριστοῦ σου. Ἴχνη δὲ Χριστοῦ προσηγόρευσε τοὺς κατ' ἐκεῖνον τὸν καιρὸν βασιλέας, δι' ὧν ὥδευσεν ὁ περὶ τῆς Χριστοῦ βασιλείας λόγος. Καὶ οἱ Ἑβδομήκοντα δὲ ἀντάλλαγμα αὐτοὺς προσηγόρευσαν, ὡς κατὰ σάρκα αὐτοῦ γεγενημένους προγόνους, καὶ ὡς ἐν σκοπιᾷ τινὶ τὴν βασιλείαν ἰθύνοντας.

[9] Ἴχνη] Male Suidas hanc interpretationem LXX Interpretibus tribuit, quæ erat Symmachi & Theodotionis, ut ex citato loco Theodoreti apparet.

[10] Ἔχουσα ἡ ἀδελφὴ π.] Ex lacero hoc & corrupto fragmento ſenſum nullum elicere potui.

[11] Ἀντανάκλασιν] Ex ipſa interpretatione Suidæ patet, legendum hic eſſe Ἀντανακλωμένην; quod etiam a Pearſonio obſervatum fuit.

Ἀντανήγοντο.[1] ἀντιπαρετάσσοντο. ἀντεφέροντο. Ἀντανήγοντο οὖν καὶ οἱ Βάρβαροι, καὶ τὴν τοῦ Παχύνου παρέπλεον ἀκτήν, κατὰ β' στοιχηδὸν ταξάμενοι τὰς ναῦς. Καὶ αὖθις· Οἱ γὰρ ἐνταῦθα ὑπὲρ ἐλευθερίας ἀποθανόντες ἀντανήγοντο τῇ Οἴτῃ.

Ἀντανίσχομεν. προβαλλόμεθα. καὶ Ἀντανίσχοντο, ἀντιπαρετάσσοντο.

Ἀνταπαιτῆσαι. Θουκυδίδης τρίτῃ καὶ τετάρτῃ. καὶ ἀνταποδοῦναι, καὶ ἀνταπολαμβάνειν. Δημοσθένης ἐν τῷ κατὰ Λεπτίνου.

Ἀντάρης[2] νυκτερεὶς ὄψεσι. Φησὶ Σοφοκλῆς.

Ἀνταυγεῖς κόρας. [3] Στρέψον ἀνταυγεῖς κόρας. ἀντὶ τοῦ τὰς κόρας σου ἀντιπροσώπους μοι στρέψον. † Καὶ δι' ἀνταύγειαν χιόνος καὶ σκληρότητα τῆς ἀναβαλλομένης ἀνακλάσεως ἐφθείροντο.

Ἀνταία.[4] ἡ Ῥέα. καὶ Ἀνταῖος, ὄνομα κύριον.

Ἀνταίρω. Φιλονεικῶ.

Ἀνταίας. ὄνομα κύριον.

Ἀντεγκλήμασι. Ταύτῃ καὶ τοῖς ἀντεγκλήμασι τοῖς περὶ τῶν δώρων οὐκ ἀπεκρινάμην. καὶ [5] Ἀντεγκλημένων, τῶν ἀνθελκῶν στάσεων.

Ἀντελαμβάνοντο. ἀντὶ τοῦ διεδέχοντο. Ὕπνοι τε αὐτῆς ἀεὶ μακρότεροι ἀντελαμβάνοντο, ἡμερινοὶ μὲν ἄχρι πρώτων νυκτῶν· νυκτερινοὶ δὲ ἄχρι τοῦ ἡλίου ἀνίσχοντος.

Ἀντεμήνισεν. ἀντωργίσθη. Ὁ δὲ παθὼν ἀνήκεστα, καὶ τῆς πατρῴας ἑστίας διωχθεὶς παρὰ τὴν δίκην, ὅμως οὐκ ἀντεμήνισεν.

Ἀντεμπλήσαντες. ἀνταποδόντες. [6] Ξενοφῶν· Οἱ δὲ θαῤῥεῖν ἐκέλευον, λέγοντες, ὅτι οὔτε τέκνων στερήσοιτο, τήν τε οἰκίαν αὐτοῦ ἀντεμπλήσαντες τῶν ἐπιτηδείων.

Ἀντεξάγειν. ἀντιπαρατάσσεσθαι. ἀντεπιέναι.

Ἀντεπῄει. ἀντεπήρχετο.

Ἀντεπεξελθεῖν. δοτικῇ. καὶ Ἀντεπεξέρχομαι.

Ἀντεπιτίθησι.[7] ἀντὶ τοῦ, ἀντεπιστέλλει. Ἰσαῖος.

Ἀντεπιχειρεῖν. παρὰ Ἀριστοτέλει ἀντεπιχειρεῖν λέγεται. Ἔστι δὲ ἀντεπιχειρεῖν, τὸ πρὸς τὰ λεγόμενα μὲν μὴ φέρειν ἔνστασιν, ἐπιχειρεῖν δὲ δι' ἄλλων τινῶν καὶ αὐτὸν πάλιν συλλογίζεσθαι, ὅτι μὴ ἀληθὲς τὸ δεικνύμενον. ὁ γὰρ πρὸς μὲν τὸ δεικνύναι λόγος, ὅτι ἡ ψυχὴ οὐκ ἀθάνατος, διὰ τὸ εἶδος αὐτὴν ἔνυλον εἶναι, μηδὲν δ' ἔνυλον εἶδος χωριστὸν εἶναι τῆς ὕλης, μὴ ἐνιστάμενος, δεικνύναι πειρώμενος δι' ἄλλων τινῶν

Ἀντανήγοντο. Acie inſtructa, vel claſſe inſtructa obviam iverunt. *Barbari igitur claſſe inſtructa obviam proceſſerunt, & littus Pachyni prætervecti ſunt, navibus binis ſecundum ſeriem collocatis.* Et iterum: *Qui enim pro libertate hic obierunt, claſſe inſtructa ad Oetam [montem hoſti obviam proceſſerunt.]*

Ἀντανίσχομεν. Contra tollimus. Objicimus. Et Ἀντανίσχοντο. Aciem adverſam inſtruxerunt.

Ἀνταπαιτῆσαι. Repetere. Thucydides libro tertio & quarto. Et ἀνταποδοῦναι, reddere: & ἀνταπολαμβάνειν, recipere. Demoſthenes in oratione contra Leptinen.

Ἀντάρης νυκτ. Sophocles inquit, Ἀντάρης νυκτερεὶς ὄψεσι.

Ἀνταυγεῖς κόρας. [Oculos in aliquem converſos.] *Oculis adverſis me intuere.* [Et Ἀνταύγεια, ſplendoris reflexio.] *Propter ſplendorem a nive repercuſſum & vehementiam reflexionis [multi] perierunt.*

Ἀνταία. Rhea. Et Antæus, nomen proprium.

Ἀνταίρω. Contendo. Rixor.

Ἀνταίας. Antæas. Nomen proprium.

Ἀντεγκλήμασι. Criminibus viciſſim objectis. *Hinc & crimini viciſſim mihi objecto de muneribus acceptis non reſpondi.* Et Ἀντεγκλημένων, criminum, quæ litigantes ſibi in judicio invicem objiciunt.

Ἀντελαμβάνοντο. Excipiebant. *Somni longiores ipſam ſemper excipiebant; diurni quidem, uſque ad primam noctem; nocturni vero, uſque ad ſolem orientem.*

Ἀντεμήνισεν. Alicui iratus eſt. *Ille vero, quamvis graviſſima mala paſſus, & ex paterna domo præter jus pulſus fuiſſet, tamen non eſt iratus.*

Ἀντεμπλήσαντες. Compenſantes. Tantundem reddentes. Xenophon: *Illi vero bono animo eum eſſe juſſerunt, dicentes, eum nec liberos amiſſurum, & ſe domum ejus omnibus rebus neceſſariis viciſſim repleturos eſſe.*

Ἀντεξάγειν. Copias contra aliquem ducere. Aciem adverſus aliquem inſtruere.

Ἀντεπῄει. Exercitum contra aliquem duxit.

Ἀντεπεξελθεῖν. Dativo jungitur. In hoſtem ire.

Ἀντεπιτίθησι. Reſcribit. Viciſſim literas mittit. Iſæus.

Ἀντεπιχειρεῖν. Apud Ariſtotelem ſic vocatur, non quidem ea, quæ objecta ſunt, directis argumentis refutare, ſed aliis argumentationibus uti, ad oſtendendum, non eſſe verum id, quod ab altero dictum eſt. Nam ſi, exempli gratia, contra animæ immortalitatem afferatur illa ratio, quod anima ſit forma cum materia conjuncta; nulla vero forma cum materia conjuncta a materia ſit ſeparabilis: qui argumentum illud non quidem argumento πάλιν αὐτὴν ὅτι ἐστὶν ἄφθαρτος, ἤτοι διὰ τοῦ λαμβάνειν, ὅτι αἱ μαθήσεις ἀναμνήσεις, ἢ ὅτι αὐτοκίνητος, ἀντεπιχειρεῖ, οὐκ ἐνίσταται.

---

[1] Ἀντιπαρετάσσοντο. ἀντεφέροντο. Ἀντανήγοντο οὖν καὶ οἱ Βάρβ.] Hæc omnia & quæ ſequuntur uſque ad verba illa καὶ αὖθις, deſunt in prioribus Edit. quæ cum in optimo MS. Pariſ. A. invenerim, ea hic inſerere non dubitavi.

[2] Ἀντάρης νυκτερεὶς ὄψεσι] Quis ſit horum verborum ſenſus ignorare me fateor, nec integer locus Sophoclis, ex quo hæc decerpta ſunt, nunc ad manus eſt.

[3] Στρέψον ἀνταυγεῖς κόρας] Hæc ſunt verba Ariſtophanis in *Theſmophor*. pag. 815.

[4] Ἀνταία. ἡ Ῥέα] Vide Heſych. v. Ἀνταία.

[5] Καὶ ἀντεγκλημένων, τῶν ἀνθελ.] Scribendum eſt ἀντεγκλημάτων, ut patet ex Hermogene ἐν τῷ περὶ Στάσεων pag. 84. unde loci hujus illuſtratio petenda eſt. *P.*

[6] Ξενοφῶν] Locum hunc Suidas interpolavit & mutilavit, qui apud Xenophontem *de Expedit. Cyri* lib. IV. pag. 332. ſic legitur: Ὁ δὲ Ξενοφῶν τὸν μὲν ἄρχοντα τῆς κώμης ταύτης σύνδειπνον ἐποιήσατο, καὶ θαῤῥεῖν ἐκέλευεν αὐτόν, λέγων, ὅτι οὔτε τῶν τέκνων στερήσοιτο, τήν τε οἰκίαν αὐτοῦ ἀντεμπλήσαντες τῶν ἐπιτηδείων ἀπίασιν &c.

[7] Ἀντεπιτίθησι. ἀντὶ τοῦ, ἀντεπ.] Ex Harpocratione.

Ἀντερεῖ. ἀντιλέξει.

Ἀντερείδει. ἀντὶ τοῦ οὐχ ὑπείκει.

Ἀντερώμενος. ἀντεπιθυμῶν.

Ἀντέρως, ὁ καὶ Ἀπολλώνιος, Ἀλεξανδρεὺς, γραμματικὸς, παιδεύσας ἐν Ῥώμῃ ἐπὶ Κλαυδίου, τοῦ μετὰ Γάϊον βασιλεύσαντος (ἐφ' οὗπερ καὶ Ἡρακλείδης ὁ Ποντικὸς γέγονεν) ἀκουστὴς δὲ ἦν Ἀπίωνος τοῦ Μόχθου. Φέρονται αὐτοῦ βιβλία περὶ γραμματικῆς δύο. † Καὶ τοῦτο δὴ τὸ ὑμνούμενον ὄνομα ἀντέρως ἐν τοῖσδε τοῖς γενναίοις ἐσώζετο. [1] Χαρίτων γὰρ καὶ Μελάνιππος εἰς ἔρωτα ἀλλήλοιν συνεπεσέτην· καὶ ὁ μὲν Χαρίτων ἐραστὴς ἦν· Μελάνιππος δὲ τὴν ψυχὴν ὁ ἐρώμενος ἐς τὸν φίλον τὸν ἔνθεον ἀναφλεχθεὶς, ἰσότιμον τὸ τοῦ πόθου κέντρον ἐνεδείκνυτο.

Ἀντέσχε. γενναίως ἔφερεν. Καὶ πρότερον ληφθείς τις ὑπὸ τῶν Ἰουδαίων, πρὸς πᾶσαν αἰκίαν βασάνων ἀντέσχεν.

Ἀντετόρησεν.[2] εἰς τὸ ἐναντίον ἦλθε τιτρώσκων. διεπέρασε. τορῶ γὰρ, τὸ τρυπῶ.

Ἀντ' [3] εὐεργεσίης Ἀγαμέμνονα τῖσαν Ἀχαιοί. ἡ παροιμία ἐπὶ τῶν τοὺς εὐεργέτας προπηλακιζόντων, ἢ ὑβριζόντων.

Ἀντεύφρασμα. τὸ ἐναντίον τῇ εὐφροσύνῃ ἀγαθόν.

Ἀντεφέροντο. ἠναντιοῦντο.

Ἀντεφιλοτιμοῦντο. ἀντὶ τοῦ ἡμιλλῶντο, καὶ ἤριζον, καὶ ἀντηγωνίζοντο. τοῦτο δὲ τὸ ἀντιφιλοτιμεῖσθαι πρώτης ἐστὶ συζυγίας τῶν περισπωμένων, καὶ μόνον. ἔστι δέ τινα ῥήματα, ἃ δύο συζυγιῶν εὑρέθη· οἷον σκηνῶ, σκηνεῖς, καὶ σκηνᾷς· καὶ ἀτολμῶ, ἀτολμεῖς, καὶ ἀτολμᾷς.

Ἀντεφοδεύω. Ἀντεφώδευκα, ἀντὶ τοῦ ἀντεπέτρεχον.

Ἀντέχει. ἀντὶ τοῦ ἐξαρκεῖ. Δείναρχος δὲ ἀντὶ τοῦ σώζεται. Δημοσθένης καὶ Ὑπερείδης ἀντὶ τοῦ ἀντιλαμβάνεται. Καὶ οἱ ἵπποι αὐτοῖς μηδὲ πρὸς τὸ φεύγειν ὑπὸ τοῦ πηλοῦ ἔτι ἀντεῖχον. Καὶ αὖθις· Ἀμελετήτους ὄντας κρύει ἀντέχειν. ἀντὶ τοῦ ὑπομονητικῶς ἔχειν. Καὶ αὖθις· Ταῖς ἐπιθυμίαις ἀντέχων. Καὶ αὖθις· Ἡ [4] Σύγκλητος ὑπολαβοῦσα τοὺς Αἰτωλοὺς ἀντέχειν ταῖς κατὰ τὸν Ἀντίοχον ἐλπίσιν, ἀπράκτους ἀπέστειλεν εἰς τὴν Ἑλλάδα. καὶ Ἀντεχόμενος, ἀντιλαμβανόμενος.

Ἀντεχειροτόνησεν. ἀντέλεγεν. [5] Εἰ δὲ κἀκεῖνα προσέθηκεν, οὐδεὶς ἀντεχειροτόνησεν ἄν.

contrario evertere conatur, ſed aliis rationibus probare nititur, eam eſſe immortalem, veluti ſi aſſerat, omnes ſcientias eſſe recordationes, vel, animam per ſe ipſam moveri, is ἀντεπιχειρεῖν dicitur, non vero ἐνίστασθαι.

Ἀντερεῖ. Contradicet.

Ἀντερείδει. Contra nititur. Non cedit.

Ἀντερώμενος. Viciſſim amans.

Ἀντέρως. Anteros, qui & Apollonius, Alexandrinus, Grammaticus, Romæ docuit tempore Claudii, Caii in imperio ſucceſſoris (ſub quo etiam Heraclides Ponticus vixit) idemque Apionis Mochthi auditor fuit. Feruntur ipſius libri de Grammatica duo. † *Et celebratum illud nomen* ἀντέρως *in duobus his generoſi animi adoleſcentibus conſervatum fuit. Chariton enim & Melanippus ſe mutuo amore amabant. Et Chariton quidem erat amator: Melanippus vero amatus; qui erga amicum Numine Amoris afflatum animo accenſus, parem amoris ſtimulum ſe ſentire oſtendebat.*

Ἀντέσχε. Reſtitit. Fortiter tulit. *Et ante quidam a Judæis captus omnem tormentorum crudelitatem fortiter tulit.*

Ἀντετόρησεν. [Dicitur de telo, quod tam valide in corpus adigitur,] ut ad alteram uſque partem penetret. Τορῶ enim ſignificat perforo, trajicio.

Ἀντ' εὐεργεσίης Ἀγαμ. *Pro beneficio Agamemnonem male tractarunt Achivi.* Proverbium in eos, qui bene de ſe meritos contumelia vel injuria afficiunt.

Ἀντεύφρασμα. Contrarium lætitiæ.

Ἀντεφέροντο. Contra ferebantur. Adverſabantur.

Ἀντεφιλοτιμοῦντο. Contendebant. Certabant. Verbum autem ἀντιφιλοτιμεῖσθαι eſt primæ conjugationis circumflexorum, ejuſque ſolum. Quædam enim verba duarum conjugationum ſunt; ut σκηνῶ, σκηνεῖς, & σκηνᾷς: ἀτολμῶ, ἀτολμεῖς, & ἀτολμᾷς.

Ἀντεφοδεύω. In aliquem eo. Et Ἀντεφώδευκα, in aliquem ivi.

Ἀντέχει. Sufficit. Dinarchus vero ſumpſit pro σώζεται, ſervatur. Demoſthenes & Hyperides pro ἀντιλαμβάνεται, ſibi vendicat, apprehendit. † *Equi vero illorum propter lutum fugere amplius non poterant.* Et iterum: *Cum frigori tolerando non eſſent aſſueti.* Et iterum: *Cupiditatibus reſiſtens.* Item: *Senatus ſuſpicatus Ætolos auxilium ab Antiocho ſperare,* [*legatos eorum*] *re infecta in Græciam dimiſit.* Et Ἀντεχόμενος, apprehendens.

Ἀντεχειροτόνησεν. Contradixit. *Si enim & illa addidiſſet, nemo contradixiſſet.*

---

[1] Χαρίτων γὰρ καὶ Μελάνιππος] Vide quæ notavimus ſupra v. Ἀναβολή.

[2] Ἀντιτόρησεν] Homerus Il. E. v. 337. Εἶθαρ δὲ δόρυ χροὸς ἀντιτόρησεν. Ubi Scholiaſta: Ἀντιτόρησε. διῆλθε, διέτρησεν.

[3] Ἀντ' εὐεργεσίης Ἀγαμ. τῖσαν Ἀχ.] Hujus proverbii meminerunt etiam Diogenianus Centur. I. 99. & Harpocratio v. Ἑρμαῖ; apud quos pro τῖσαν legitur δῆσαν, i. e. vinxerunt.

[4] Ἡ Σύγκλητος ὑπολαβοῦσα τοὺς Αἰτ. ἀντ.] Hæc ſunt verba Diodori in Excerpt. Legat. ab Hœſchelio editis, cap. VIII. ut Pearſonius obſervavit.

[5] Εἰ δὲ κἀκεῖνα προσέθηκεν, οὐδ.] Apud Ariſtoph. *Ecclеſ.* pag. 736. unde iſta deſcripſit Suidas, locus hic ita legitur & diſtinguitur:

Ἄντεια. ὄνομα κύριον ἑταίρας. τινὲς δὲ Ἄνθεια γράφουσιν.

Ἀντήλιος, ἐν τῷ η, καὶ Ἀπηλιώτης, καὶ πάντα τὰ ὅμοια, ψιλῶς.

Ἀντήνωρ. ὄνομα κύριον. καὶ συστέλλει ἐπὶ γενικῆς. καὶ Ἀντηνορίδης, ὁ τοῦ Ἀντήνορος παῖς.

Ἀντήρεις.[1] Ἀντιθέτους. ἀντὶ τοῦ ἴσας τοῖς θρήνοις. μετῆκται δὲ ἀπὸ τῶν ἐρεσσόντων, ὅταν κατ' ἴσον ἐρέσσωσι, καὶ μὴ εἰς θάτερον περιωθῆται ἡ ναῦς. Ἀντήρεις οὖν, ἀντικτυπούσας τοῖς θρήνοις. θρηνοῦσα γὰρ ἔτυπτε τὸ στῆθος πρὸς ἕκαστον Ἠλέκτρα. Πολλὰς δ' ἀντήρεις ᾔσθου στέρνων πληγὰς αἱμασσομένων. Ἀντῆρις δὲ, ἀντήριδος, καὶ σημαίνει τὴν θυρίδα.

Ἀντήρκουν. ἐξίσχυον. ἠδύναντο. Πρὸς τὰς παρατάξεις ἀντήρκουν μόλις.

Ἀντιάζει. ἐναντιοῦται.

Ἀντιάνειραι.[2] ἴσανδροι. ἐναντιούμεναι τοῖς ἀνδράσιν.

Ἀντιάσας. μεταχών. ἐν Ἐπιγράμμασι·

> Δῶρα[3] φέρει τρομεροῦ γήρως ἀντιάσας.

Σοφοκλῆς·

> Ἀλλ'[4] ἀντιάζω, πρὶν πανωλέθρους τὸ πᾶν
> Ἡμᾶς τ' ὀλέσθαι, κἀξερημῶσαι γένος.

Ἀντιάτας. τοὺς ἀπὸ Ἀντίου πόλεως, ἣ ἀπέχει Ῥώμης τ' σταδίους.

Ἀντιβληθέντος.[5] ἀντὶ τοῦ ὑπαγορευθέντος Δείναρχος λέγει.

Ἀντιβόλησις, καὶ Ἀντιβολία. παράκλησις,[6] ἱκετηρία. [7] Θουκυδίδης· Πρὸς γὰρ ἀντιβολίαν καὶ ὀλοφυρμὸν τρεπόμενοι, ἐς ἀπορίαν καθιστᾶσιν ἄγειν τε σφᾶς ἀξιοῦντες. καὶ Ἀντιβολῆσαι. ἀπαντῆσαι, μετασχεῖν. καὶ Ἀντιβολῶ, τὸ ἱκετεύω. πεποίηται δὲ παρὰ τὸ ἄντομαι καὶ βάλλω.

Ἀντιβολῶ. δοτικῇ. Φωναὶ δὲ παρὰ πάντων οἰκτραὶ ἀντιβολοῦσαι καὶ ἀντηχοῦσαι αὐτοῖς. αἰτιατικῇ δέ. Ὑμεῖς δὲ τοὺς νόμους ἔχοντά με πλησίον ἡγεῖσθε παρεστάναι, καὶ τὸν ὅρκον, ὃν ὀμωμόκατε, τοὺς ἀξιοῦντας καὶ ἀντιβολοῦντας ἕκαστον ὑμῶν.

Ἀντιγενίδης,[8] Σατύρου, Θηβαῖος, μουσικὸς, αὐλῳδὸς Φιλοξένου. οὗτος ὑποδήμασι Μιλησίοις πρῶτος ἐχρήσατο, καὶ κροκωτὸν [9] ἐν τῷ Κωμαστῇ περιεβάλλετο ἱμάτιον. ἔγραψε μέλη.

Ἀντιγόνη. ὄνομα κύριον. καὶ Ἀντιγόνειος. καὶ Ἀν-

Ἄντεια. Antia. Nomen proprium meretricis. Nonnulli vero ſcribunt Anthia.

Ἀντήλιος, & Ἀπηλιώτης, & omnia ſimilia, litera tenui ſcribuntur.

Ἀντήνωρ. Antenor. Nomen proprium. Corripitur in genitivo. Et Antenorides, Antenoris filius.

Ἀντήρεις. Oppoſitos. Contrarios. [Sophocles:] *Multis & validis ictibus pectus tuum ſanguine manans percuſſiſti.* Hic ἀντήρεις ſignificat, lamentis pares: per metaphoram ductam a remigantibus, cum æquali contentione remigant, & in neutram partem navis impellitur. Vel ἀντήρεις exponi poteſt, ſimul cum lamentis reſonantes. Electra enim, cum lamenta ederet, pectus etiam percutiebat. Ἀντῆρις vero, ἀντήριδος, ſignificat feneſtram.

Ἀντήρκουν. Sufficiebant. Valebant. Poterant. *Vix aciei reſiſtere poterant.*

Ἀντιάζει. Adverſatur. [Occurrit.]

Ἀντιάνειραι. Fœminæ pares viris. Vel, viris adverſantes.

Ἀντιάσας. Particeps factus. [Aſſecutus.] In Epigrammate:

> *Dona fert, poſtquam tremula ſenectus eum*
> *occupavit.*

Sophocles:

> *Sed oro, prius quam omnes ad internecionem*
> *Intereamus, & genus noſtrum penitus deleatur.*

Ἀντιάτας. Antiatas, cives urbis Antii, quæ ccc. ſtadia Roma diſtat.

Ἀντιβληθέντος. Dinarchus dixit pro ὑπαγορευθέντος, i. e. dictati.

Ἀντιβόλησις, & Ἀντιβολία. Adhortatio. Preces ſupplices. Thucydides: *Ad preces & lamentationes converſi incertos conſilii alios reddebant, quod eos orarent, ut ſe aſportarent.* Et Ἀντιβολῆσαι, occurrere, participem fieri. Et Ἀντιβολῶ, ſuppliciter oro. Compoſitum eſt autem hoc verbum ex ἄντομαι & βάλλω.

Ἀντιβολῶ. Occurro. Dativo jungitur. *Vocibus vero miſerabilibus aures eorum undique circumſonabant.* Item, accuſativo. *Vos vero ſic exiſtimate, me prope vos adſtare, tenentem leges & jusjurandum, quod juraſtis, eaque ſingulos veſtrum orare & rogare.*

Ἀντιγενίδης. Antigenides, Satyri F. Thebanus, Muſicus, tibicen Philoxeni. Hic calceis Mileſiis primus uſus eſt, & in *Comaſta* crocotum pallium induit. Scripſit carmina melica.

Ἀντιγόνη. Antigone. Nomen proprium. Et

> Νὴ τὸν Διόνυσον, χρηστά γ'· εἰ δὲ κἀκεῖνά γε
> Προσέθηκεν, οὐδεὶς ἀντεχειροτόνησεν ἄν.

[1] Ἀντήρεις. ἀντὶ τοῦ ἴσας τοῖς θρ.] Hæc deſcripta ſunt ex Scholiaſta Sophoclis ad *Electr.* pag. 84. ut Portus etiam monuit.

[2] Ἀντιάνειραι] Hæc vox eſt epithetum Amazonum apud Homerum Il. Γ. v. 189. quam brevis Scholiaſta ſic exponit: Αἱ ἴσαι κατὰ δύναμιν ἀνδράσιν, ἢ αἱ ἐναντιούμεναι ἀνδράσιν. ἐξ οὗ πολεμικαί.

[3] Δῶρα φέρει τρομεροῦ γήρως ἀντιάσας] Epigramma integrum, cujus hic Pentameter pars eſt, legitur Anthol. lib. VI. pag. 549.

[4] Ἀλλ' ἀντιάζω, πρὶν π.] Duo hi ſenarii ſic legendi videntur:

> Ἀλλ' ἀντιάζω, πρὶν πανωλέθρους τὸ πᾶν
> Ἡμῶν τ' ὀλέσθαι, κἀξερημῶσαι γένος.

Hanc lectionem in verſione ſecutus ſum.

[5] Ἀντιβληθέντος] Sic habent MSS. Pariſ. & Harpocratio. In prioribus vero Edit. male excuſum eſt ἀντιβοληθέντος. Portus & interpres Harpocrationis vocem hanc non intellexerunt, ut ex illorum verſione apparet. Non enim τὸ ἀντιβάλλειν hic ſignificat ſermonem vel orationem excipere, ſed idem quod ὑπαγορεύειν, i. e. *dictare*. Hinc in veteribus Gloſſis Græco-Latinis Ἀντιβολεὺς exponitur *dictator*: & viciſſim in aliis Gloſſis Latino-Græcis, *Dictator* redditur, μόναρχος, ΑΝΤΙΒΟΛΕΥΣ, τιμητής.

[6] Ἱκετηρία] Scribere malim ἱκετεία, vel ἱκεσία, ut apud Scholiaſtam Thucyd. ad lib. VII. pag. 460. cujus veſtigia Suidas hic ſecutus eſt.

[7] Θουκυδίδης] Lib. VII. cap. LXXV.

[8] Ἀντιγενίδης, Σατύρου, Θηβ.] Vide Harpocrationem v. Ἀντιγενίδας, qui eum Dionyſii filium facit, & αὐλητὴν ἐνδοξότατον, *tibicinem clariſſimum* fuiſſe ſcribit.

[9] Ἐν τῷ Κωμαστῇ] Id eſt, cum ageretur drama Philoxeni, cui *Comaſtes* nomen erat.

γόνειος κλίνη, τοῦ Ἀντιγόνου.

Ἀντίγονος. οὗτος ἐκλήθη Εὐεργέτης καὶ [1] Σωτὴρ παρὰ πᾶσι τοῖς Ἕλλησι. [2] νικήσας γὰρ μάχῃ Κλεομένην, τὸν τῶν Λακεδαιμονίων βασιλέα, ἐγκρατὴς ἐγένετο καὶ τῆς Σπάρτης. αὐτός τε ὢν κύριος ὅ βούλοιτο χρῆσθαι καὶ τῇ πόλει, καὶ τοῖς ἐμπολιτευομένοις, τοσοῦτον ἀπεῖχε τοῦ κακῶς ποιεῖν τοὺς γεγονότας ὑποχειρίους, ὡς ἐκ τῶν ἐναντίων ἀποδοὺς τὸ πάτριον πολίτευμα καὶ τὴν ἐλευθερίαν, καὶ τῶν μεγίστων ἀγαθῶν αἴτιος γενόμενος καὶ κοινῇ [3] καὶ κατ' ἰδίαν Λακεδαιμονίοις· καὶ οὐ μόνον ἐκρίθη παρ' αὐτὸν τὸν καιρὸν εὐεργέτης, ἀλλὰ καὶ μεταλλάξας, σωτήρ.

Ἀντιγόχνοιαι. οἱ τροχοὶ τοῦ ἅρματος.

Ἀντιγραφεύς. [4] ὁ καθιστάμενος ἐπὶ τῶν καταβαλλόντων τινὰ τῇ πόλει χρήματα, ὥστε ἀντιγράφεσθαι αὐτά. οὕτω Δημοσθένης ἐν τῷ κατ' Ἀνδροτίωνος. ἀλλὰ καὶ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. δύο δὲ ἦσαν· ὁ μὲν τῆς διοικήσεως· ὁ δὲ τῆς βουλῆς.

Ἀντιγραφή. [5] ἰδίως μὲν ἐπὶ ταῖς τῶν κλήρων δικασίαις, ὅταν τις, ὡς ἄπαιδος ὄντος τοῦ τετελευτηκότος, ἑαυτῷ φάσκῃ προσήκειν τὸν κλῆρον. ἐπὶ τῶν τοιούτων γὰρ λέγεται ἀντιγραφή. [6] κοινῶς δὲ τὰ ἐν ταῖς δημοσίαις δίκαις τῶν δικαζομένων γράμματα. καὶ λέγεται ὁμοίως τά τε τοῦ διώκοντος, καὶ τὰ τοῦ φεύγοντος ἀντιγραφή. λέγεται δὲ οὕτω καὶ τὰ μαρτύρια. Πλάτων μέν τοι ἐν τῇ Σωκράτους Ἀπολογίᾳ ἀντωμοσίαν καὶ ἀντιγραφὴν τὸ αὐτὸ λέγει.

Ἀντιδιαστέλλεται. ἀντιδιΐστησιν, ἢ χωρίζεται.

Ἀντίδορον. τὸ τοῦ δέρματος δέρμα. ἐν Ἐπιγράμματι·

Καὶ [7] κάρυον [8] χλωρῆς ἀντίδορον λεπίδος.

Ἀντίδοσις. [9] τοὺς εἰς λειτουργίαν τινὰ χειροτονουμένους καὶ μὴ βουλομένους λειτουργεῖν ἐπὶ προφάσει πενίας, ἀντεδίδουν ἕτεροι τὰς ἑαυτῶν οὐσίας, λέγοντες, εἰ λάβωσι τὰς ἐκείνων, λειτουργεῖν. ἐξ ὧν ἠναγκάζοντο ἢ διδόναι τὰς οὐσίας οἱ προσταττόμενοι, ἢ λειτουργεῖν. τὸ οὖν ἀντιδιδόναι τινὰς τὰς ἑαυτῶν οὐσίας, καὶ λαμβάνειν τὰς ἑτέρων τῶν προσταττομένων λειτουργεῖν, ἐλέγετο ἀντίδοσις.

Ἀντίθεσις. [10] σχῆμα λέξεώς ἐστι, καθ' ἣν ἀντιτιθέασιν ἀλλήλοις τὰ ἐναντία, ἢ κατὰ μέρος, ἢ ἀθρόως. οὕτως Ἰσοκράτης ἐν τῷ Παναθηναϊκῷ.

Ἀντικάθηται. [11] ἀντὶ τοῦ ἐναντιοῦται. καὶ Ἀντικαθίστα-

Ἀντιγόνειος, ad Antigonem, vel Antigonum pertinens. Et Ἀντιγόνειος κλίνη, Antigoni lectus.

Ἀντίγονος. Antigonus. Hic ab omnibus Græcis Euergeta & Soter appellatus fuit. Cum enim Cleomenem Lacedæmoniorum Regem prælio ſuperaſſet, ipſamque Spartam in poteſtatem ſuam redegiſſet, & arbitratu ſuo tam de urbe, quam civibus ejus ſtatuere poſſet, tantum abfuit, ut victos ullo maleficio affecerit, ut contra patrias ipſis leges & libertatem reſtituerit, maximaque in Lacedæmonios beneficia qua publice qua privatim contulerit. Nec illo tantum tempore ut maximorum beneficiorum auctor, ſed etiam poſt obitum ut Servator judicio omnium laudatus eſt.

Ἀντιγόχνοιαι. Currus rotæ.

Ἀντιγραφεύς. Qui præpoſitus eſt illis, qui civitati pecuniam ſolvunt, ut eam contraſcribat. Sic Demoſthenes in oratione contra Androtionem; & Æſchines contra Cteſiphontem. Erant autem duo [Ἀντιγραφεῖς;] unus adminiſtrationis; & alter Senatus.

Ἀντιγραφή. In Judiciis hæreditatum [Ἀντιγραφὴ] proprie appellatur, cum quis hæreditatem defuncti, ut ſine liberis mortui, ad ſe pertinere dicit. Communiter vero in Judiciis publicis ſic appellantur litigantium, tam actoris quam rei, libelli. Eodem etiam nomine vocantur teſtimonia. Plato in Apologia Socratis ἀντωμοσίαν & ἀντιγραφὴν pro eodem accepit.

Ἀντιδιαστέλλεται. Opponitur, aut diſtinguitur.

Ἀντίδορον. Cuticula, quæ pelli ſubjicitur. In Epigrammate:

Et nucem, quæ præter tenuem pelliculam,
putamen etiam habet.

Ἀντίδοσις. Bonorum permutatio. Si qui publico aliquo munere, ad quod obeundum electi fuerant, fungi recuſarent, paupertatem excuſantes, alii facultates ſuas cum illis permutabant, dicentes, ſe, ſi bona ſua accipere vellent, publico munere functuros eſſe. Illi igitur, quibus publicum munus mandatum erat, vel bona ſua aliis tradere, vel munus illud obire cogebantur. Quum igitur aliqui facultates ſuas cum illis permutabant, quibus publicum aliquod munus mandatum erat, id ἀντίδοσις dicebatur.

Ἀντίθεσις. Eſt figura orationis, per quam oratores contraria, vel ſingula, vel plura ſimul, inter ſe opponunt. Sic Iſocrates in *Panathenaico*.

Ἀντικάθηται. Reſiſtit. Adverſatur. Et Ἀντι-

---

[1] Καὶ Σωτὴρ] Hæc duæ voces deſunt in prioribus Edit. quas ex MSS. Pariſ. revocavi.

[2] Νικήσας γὰρ μάχῃ Κλεομ.] Hæc & quæ ſequuntur ſunt verba Polybii lib. v. cap. ix.

[3] Καὶ κατ' ἰδίαν Λακεδαιμονίοις] Addendum eſt ex Polybio, οὕτως εἰς τὴν οἰκείαν ἀπηλλάγη. Abſque his enim verbis ſenſus pendet.

[4] Ἀντιγραφεύς. ὁ καθιστάμενος ἐπὶ τῶν καταβ.] Ex Harpocratione.

[5] Ἀντιγραφή] In prioribus Edit. hæc vox deſideratur, & quæ ſequuntur cum præcedenti articulo abſque ulla nota diſtinctionis cohærent, quæ inde ſeparanda eſſe & ſenſus & Harpocratio manifeſto docent.

[6] Κοινῶς δὲ τὰ ἐν ταῖς δημοσίαις δ.] Vide Petitum in Commentar. ad Leges Attic. pag. 320.

[7] Καὶ κάρυον χλωρῆς ἀντ. λεπ.] Hæc decerpta ſunt ex Epigrammate Zonæ, quod integrum legitur Anthol. lib. vi. pag. 564.

[8] Χλωρῆς] In Anthologia hodie legitur λεπτῆς ἀντίδορον λεπίδος; quod magis placet.

[9] Ἀντίδοσις. τοὺς εἰς λειτ.] Vide orationem Iſocratis, quæ περὶ Ἀντιδόσεως inſcribitur, & Sam. Petitum in Comment. ad Leg. Attic. p. 282. ubi de hoc ἀντιδόσεως more prolixe agit.

[10] Ἀντίθεσις. σχῆμα λέξ.] Ex Harpocratione.

[11] Ἀντικάθηται. ἐναντ.] Sic locum hunc ex 2 MSS. Pariſ. correxi, qui in prioribus Edit. aliter legitur.

καθίστασθαι ὁμοίως. Οὐ δυνάμενος τῷ πλήθει ἀντικαθίστασθαι.

Ἀντὶ κακοῦ κυνὸς σῦν ἀπαιτεῖς. παροιμία [1]ἐπὶ τῶν καλὰ ἀντὶ κακῶν ἀπαιτούντων.

Ἀντικαταλλαττόμενος. οὐ μόνον ὅταν σπένδηταί τις, ἢ εἰς φιλίαν ἔρχηται πρὸς ὃν γέγονεν αὐτῷ διαφορά, τῷ καταλλαττόμενος ἐχρήσαντο οἱ Ῥήτορες· ἀλλὰ καὶ ἐπὶ τοῦ ἀμείβοντος χρυσίον ἐν τῷ δήμῳ πολλάκις. Δημοσθένης. [2]Ἀλλὰ καὶ ἐδείκνυεν ὑμᾶς τυροπωλῶν, οἰκοδομῶν, βαδιεῖσθαι φάσκων, κἂν μὴ χειροτονῆτε ὑμεῖς, ξυληγῶν, τὸ χρυσίον ἀντικαταλλαττόμενος ἐπὶ ταῖς τραπέζαις.

Ἀντικατέστησαν. ἠναντιώθησαν. Διόδωρος· Οἱ δὲ ὑπολειφθέντες ἀντικατέστησαν ἀλλήλοις.

Ἀντικατηγορεῖσθαι. τὸ ἴδιον ἀντικατηγορεῖται τοῦ πράγματος, ὃ καὶ μόνῳ ὑπάρχει, καὶ ἀεί· ὡς τοῦ ἀνθρώπου τὸ γελαστικόν. καὶ τοῦτό ἐστιν ἀντικατηγορεῖσθαι, τὸ μόνῳ καὶ παντὶ ὑπάρχειν.

Ἀντικείμενα. τὸ ἀντικείμενον τετραχῶς ἀντίκειται. ἢ γὰρ ὡς κατάφασις καὶ ἀπόφασις· ἢ ὡς τὰ ἐναντία· ἢ ὡς ἕξις καὶ στέρησις· ἢ ὡς τὰ πρός τι. καὶ καθ' ἑκάστην ἀντίθεσιν οἰκεία τις ἀκολουθία· ἀφ' ἧς ἀκολουθίας ὑπογράφει πῶς οἷόντε ὁρμωμένους κατασκευάζειν τί καὶ ἀνασκευάζειν. ἀλλ' οὐκ ἐπὶ πασῶν τῶν ἀντιθέσεων ἡ ἀκολούθησις ὁμοίως. ἀλλ' ἐπὶ μὲν τῆς ἀντιφάσεως ἀνάπαλιν ἡ γινομένη ἀκολούθησις ἔχει. εἰ γὰρ τὸ καλὸν ἡδὺ, τὸ οὐχ ἡδὺ οὐ καλόν· ἀλλ' οὐχὶ τὸ οὐ καλὸν οὐχ ἡδύ. καὶ τὰ λοιπὰ ἐπὶ τοῖς τόποις.

Ἀντικλείδης. [3]Οὗτος ἔγραψε περὶ Νόστων. [4]Αἰτοῦντος γὰρ τοῦ Πυθίου ἀναθεῖναι τὴν ἄρνα τὴν χρυσῆν, καὶ ἕτερα παρέχοντος κειμήλια, εἰπεῖν τὴν Πυθίαν·

> Ὃ βούλομαι, δὸς, μὴ δίδου δ' ὃ μὴ θέλω.

Ἀντίκρισις. ἀντὶ τοῦ ἀπόκρισις. οὕτως Ἀναξίλας.

Ἀντικρύ. κατέναντι. ἐξ ἐναντίας. Ἀντικρὺς δὲ, διόλου, ἢ παντελῶς, ἢ φανερῶς, δι' ἐναντίας. ὁ δὲ Ποιητὴς ἐκτεταμένως λέγει, καὶ δίχα τοῦ σ.

> Ἀντικρὺ [5] δὲ παραὶ λαπάρην διέτμησε χιτῶνα.

ἢ Ἄντικρυς, αὐτίκα. ἀντὶ τοῦ αὐτίκα, φανερῶς. Ὑποβλήτους ἂν εἶπέ τις αὐτοὺς εἶναι, καὶ νόθους ἄντικρυς. ἀντὶ τοῦ, ἀληθῶς. Εἶδον δὲ καὶ τὴν εἰκόνα αὐτοῦ, ἄντικρυς ἀπαγγέλλουσαν τὴν τοῦ ἀνδρὸς ὄψιν, οἷος ἦν τὴν φύσιν. Καὶ ὁ κανών. Τὰ εἰς υς ἐπιρρήματα, εἰ λέγοιτο ἄνευ τοῦ σ, ἰσοχρονεῖν θέλει· μεσηγὺς, μεσηγύ. τὸ μέντοι ἀντικρὺ μεταβαλὸν τὸν τόνον, μετέβαλε καὶ τὸν χρόνον.

Ἄντικρυς. κατέναντι. ἐξ ἐναντίας. οἱ δὲ Γλωσσογράφοι, καὶ Ἀπολλόδωρος ὁ Κυρηναῖος, καὶ ἕτε-

καθίστασθαι similiter. *Cum non poſſet multitudini reſiſtere.*

Ἀντὶ κακοῦ κυνὸς σῦν ἀπ. *Pro malo cane ſuem repetis.* Proverbium in eos, qui bona pro malis repetunt.

Ἀντικαταλλαττόμενος. Non ſolum de eo, qui amicitiam cum aliquo jungit, vel in gratiam redit cum altero, cum quo diſſidium ipſi interceſſerat, hac voce utuntur Oratores: ſed etiam de eo, qui aurum in populo permutat. Demoſthenes. *Sed etiam oſtendebat vobis [rem ita ſe habere,] caſeos vendens, ædificans, ſe iturum dicens,* * * * * * * * * * * * *& aurum ad menſas permutans.*

Ἀντικατέστησαν. Adverſati ſunt. Diodorus: *Qui vero relicti fuerant, alii aliis adverſati ſunt.*

Ἀντικατηγορεῖσθαι. Proprium illud, quod rei alicui ſoli & ſemper ineſt, ἀντικατηγορεῖσθαι dicitur. Hinc de facultate ridendi, quæ homini ſoli & ſemper ineſt, Græci dicunt ἀντικατηγορεῖσθαι.

Ἀντικείμενα. Oppoſita. Res quadrifariam ſibi invicem opponuntur. Aut ut affirmatio & negatio; aut ut contraria; aut ut habitus & privatio; aut ut relata. Singulæ harum oppoſitionum ſuas habent conſequentias: quibus quomodo ad aliquid confirmandum vel refellendum uti oporteat docet. Sed non omnium oppoſitionum eædem ſunt conſequentiæ. Nam in contradictione conſequentia converti poteſt. Si enim honeſtum eſt ſuave, quod non eſt ſuave, non eſt honeſtum: at non etiam, quod non eſt honeſtum, non eſt ſuave. Reliqua in Topicis.

Ἀντικλείδης. Anticlides. Hic Νόστους ſcripſit. † Cum Apollo peteret, ut auream agnam ſibi dicaret; ille vero alia cimelia ipſi offerret, dixiſſe ferunt Pythiam:

> *Quod volo, des: ne des vero quod nolo.*

Ἀντίκρισις. Pro ἀπόκρισις. Reſponſio. Reſponſum. Sic Anaxilas.

Ἀντικρύ. Ex adverſo. E regione. Contra. Ἀντικρὺς vero, penitus, omnino, vel manifeſte. Homerus vero producta ultima ſyllaba, & abſque σ dixit ἀντικρύ.

> *Penitus vero juxta ile diſcidit tunicam.*

Vel Ἄντικρυς, ſtatim, palam. *Dixiſſet quis ipſos eſſe vere ſuppoſititios & nothos.* Ἄντικρυς enim hic pro ἀληθῶς ponitur. *Vidi autem & ipſius imaginem, vultum viri accurate repræſentantem, ut, qualis eſſet, cerni poſſet.* Regula: Adverbia in υς deſinentia, ſi abſque σ proferantur, eandem quantitatem retinent, ut μεσηγὺς, μεσηγύ. Sed ἀντικρὺ, quia mutat accentum, mutat etiam quantitatem.

Ἄντικρυς. E regione. Ex adverſo. At Gloſſographi & Apollodorus Cyrenæus ajunt, ρά φασι δηλοῦν. καὶ γὰρ διαμπερὲς, καὶ ἰθὺς, καὶ εὐθὺς, καὶ ἐπ' εὐθείας, καὶ ἰσχυρῶς, καὶ σαφῶς, καὶ ἀκριβῶς, καὶ ἁπλῶς. οἱ δὲ φασιν ἀκριβέστερον, οἶμαι, λέγοντες, ὅτι μετὰ τοῦ σίγμα λεγόμενον τὰ εἰρημένα δηλοῖ· ἄνευ δὲ τοῦ σ', οἷον ἀντικρὺ, τὸ κατέναντι μόνον, καὶ ἐξ ἐναντίας.

---

[1] Ἐπὶ τῶν καλὰ ἀντὶ κακῶν] Sic habent MSS. Pariſienſes. Male vero in prioribus Edit. excuſum eſt, ἐπὶ τῶν κακὰ ἀντὶ καλῶν.

[2] Ἀλλὰ καὶ ἐδείκνυεν ὑμᾶς τυρ.] Senſus hujus fragmenti maxime obſcurus eſt, cui lucem afferre non potuimus, quoniam non meminimus, ubi integer locus auctoris, ex quo hæc deprompta ſunt, legatur.

[3] Οὗτος ἔγραψε περὶ Νόστων] *Noſtos* Anticlidis hujus laudat Clemens Alex. in *Admonit. ad Gentes* pag. 20. & Athen. lib. IV. cap. XIV. ubi vide quæ de Νόστων ſcriptoribus notavit Caſaubonus.

[4] Αἰτοῦντος γὰρ τοῦ Πυθίου ἀναθ.] Eadem leguntur ſupra v. Ἀνάθημα, ubi vide quæ notavimus.

[5] Ἀντικρὺ δὲ παραὶ λαπ.] Vide Homerum Il. Γ. v. 359.

Ἀντίκυρα. ὄνομα χωρίου τινός.

Ἀντικυρείας[1] σοι δεῖ· ἀντὶ [2] τοῦ ἐξουσίας.

Ἀντιλαμβανόμενοι. κρατοῦντες. ἐξεχόμενοι. Μεῖναί τε αὐτὸν ἠξίουν, καὶ κατέχειν ἀντιλαμβανόμενοι ἐτόλμων.

Ἀντιλέγειν. ἀντὶ τοῦ, ἴσα λέγειν. Πλάτων.

Ἀντίληψις. ἀντὶ τοῦ ἐπίληψις. Πλάτων. Ἀντιλήπτωρ δὲ, ὁ ἀντιλαμβανόμενος.

Ἀντιλογιῶν. Θουκυδίδης ά. καὶ Ἀντιλογῆσαι. Νεφέλαις Ἀριστοφάνης.

Ἀντίμαχος,[3] Κολοφώνιος, υἱὸς Ὑπάρχου, γραμματικὸς καὶ ποιητής. τινὲς δὲ καὶ οἰκέτην αὐτὸν ἀνέγραψαν Πανυάσιδος τοῦ ποιητοῦ, πάνυ ψευσάμενοι. ἦν γὰρ αὐτοῦ ἀκουστὴς καὶ Στησιμβρότου. [4] γέγονε δὲ πρὸ Πλάτωνος.

Ἀντίμαχος ἕτερος, Ἡλιοπολίτης, ἀπ' Αἰγύπτου, ὃς ἔγραψε Κοσμοποιΐαν [5] ἐν ἔπεσιν Ἡρωϊκοῖς γψπ.

Ἀντίμαχος,[6] ὁ Ψεκάς. οὗτος μελῶν ἦν ποιητής. Ψεκὰς δὲ ἐκλήθη, ἐπειδὴ προσέρραινε τοὺς ὁμιλοῦντας διαλεγόμενος. ἦν δέ τις καὶ Ὀλυμπικὸς καλούμενος Ψεκὰς διὰ τοῦτο. [7] ἐδόκει δὲ ὁ Ἀντίμαχος οὗτος ψήφισμα πεποιηκέναι, ὅτι μὴ δεῖ κωμῳδεῖν ἐξ ὀνόματος. καὶ ἐπὶ τούτῳ πολλοὶ τῶν

hoc vocabulum etiam alia ſignificare: ut, penitus, recta, ſtatim, vehementer, manifeſte, accurate, & ſimpliciter. Alii vero accuratius (ut opinor) dicunt, vocabulum illud, ſi cum σ ſcribatur, ſignificare ea quæ dicta ſunt: at ſine σ, ut ἀντικρὺ, tantum ſignificare e regione & ex adverſo.

Ἀντίκυρα. Anticyra. Nomen loci cujuſdam.

Ἀντικυρείας σοι δεῖ. Tutela tibi opus eſt.

Ἀντιλαμβανόμενοι. Apprehendentes. Retinentes. *Et orabant ipſum, ut maneret, & prehenſa veſte eum retinere non dubitabant.*

Ἀντιλέγειν. Paria dicere. Plato.

Ἀντίληψις. Apprehenſio. Comprehenſio. Plato. Ἀντιλήπτωρ vero, defenſor, adjutor.

Ἀντιλογιῶν. Contradictionum. Thucydides lib. I. Et Ἀντιλογῆσαι. Contradicere. Ariſtophanes *Nubibus*.

Ἀντίμαχος. Antimachus, Colophonius, Hyparchi filius, Grammaticus & Poeta. Quidam etiam ipſum Panyaſidis Poetæ ſervum fuiſſe ſcripſerunt: quod minime verum eſt. Fuit enim ipſius & Steſimbroti auditor. Vixit ante Platonem.

Ἀντίμαχος. Antimachus alius, Heliopolitanus, Ægyptius, qui ſcripſit *Coſmopœiam* verſibus 3780.

Ἀντίμαχος, ὁ Ψεκάς. Antimachus Pſecas, poeta Melicus. *Pſecas* vero cognominatus fuit, quod diſcipulos ſuos, cum diſſereret, verbis quaſi aſpergeret & rigaret. Fuit & quidam Olympicus, eandem ob cauſam *Pſecas* nominatus. Putabatur autem hic Antimachus decretum feciſſe, neminem in ſcena nominatim a Comicis perſtringendum eſſe:

---

[1] Ἀντικυρείας σοι δεῖ] Quis dubitet ſcribendum eſſe Ἀντικύρας σοι δεῖ? Notiſſimum enim eſt proverbium *Anticyra dignus*, vel *Anticyram naviget*: quod in homines ſtultos & ſana mente deſtitutos dicitur.

[2] Ἀντὶ τοῦ, ἐξουσίας] Ἐξουσία hic ſignificat *tutelam*. Secundum leges Romanas enim mente capti & furioſi non erant ſui juris, nec ipſi bona ſua adminiſtrabant, ſed proximi agnati eorum tutelam gerebant. Huc reſpicit Horatius *Sermon.* lib. II. *Sat.* III.

——Interdicto huic omne adimat jus
Prætor, & ad ſanos abeat tutela propinquos.

Loquitur enim ibi Poeta de homine dementi & ſtulto. Hinc ergo patet, quare Suidas proverbium illud Ἀντικύρας σοι δεῖ per ἐξουσίας σοι δεῖ hic expoſuerit.

[3] Ἀντίμαχος, Κολοφ.] Hujus Antimachi multi ſcriptorum veterum mentionem faciunt. Porphyrius apud Euſebium *de Præp. Evang.* lib. x. cap. III. pag. 467. cum illorum numero accenſet, qui Homero multa ſuffurati fuerunt. Dionyſius Halicarn. Περὶ συνθέσεως ὀνομ. pag. 22. cum inter ſcriptores illos recenſet, qui auſtera compoſitione uſi fuerunt. Quintilianus ei *vim & gravitatem & minime vulgare eloquendi genus* tribuit. Antipater Theſſalonicenſis in Epigrammate, quod edidit Salmaſius ad Æl. Spart. *Adriano*, pag. 154. cum inter Poetas ſecundum ab Homero locum tenere judicat. Crates Grammaticus in alio Epigrammate, quod Salmaſius eodem loco publicavit, Antimachum hunc Chœrilo poetæ, quem nonnulli veterum magni faciebant, longe præferendum eſſe cenſet. Adrianus Imperator ejus adeo ſtudioſus fuit, ut Homerum ex manibus hominum excutere, ejuſque loco Antimachum introducere conaretur, teſte Dione in *Adriano*, pag. 353. & Suida v. Ἀδριανὸς, qui ibi Dionis verba deſcripſit. Scripſerat Antimachus poemata varia, inter quæ principem locum tenebat *Thebais*, cujus præter alios auctores mentionem etiam faciunt, Apollonius Grammaticus, Athenæus, Priſcianus, Tzetzes ad Lycophronem, Stephanus Byzantius, Etymologus, & Pauſanias in *Arcadicis* cap. xxv. Interdum ſcriptores veteres *Thebaidis* mentionem faciunt abſque nomine auctoris: veluti Schol. Sophocl. *Oed. Colon.* pag. 315. ὁ τὴν Κυκλικὴν Θηβαΐδα ποιήσας. Schol. Apoll. Rh. lib. I. v. 208. οἱ τὴν Θηβαΐδα γεγραφότες. Athen. lib. XI. pag. 465. ὁ τὴν Κυκλικὴν Θηβαΐδα πεποιηκώς. Sed hæc *Thebais Cyclica* diverſa fuit a *Thebaide* Antimachi, ut docet Salmaſius ad Solinum, pag. 598. Præter *Thebaidem* laudatur etiam Antimachi Λυδὴ, vel Λύδη; cujus poematis quodnam fuerit argumentum egregie nos docet Plutarchus in *Conſolat. ad Apollon.* p. 106. his verbis: Ἐχρήσατο δὲ τῇ τοιαύτῃ ἀγωγῇ καὶ Ἀντίμαχος ὁ ποιητής. ἀποθανούσης γὰρ τῆς γυναικὸς αὐτοῦ Λύδης, πρὸς ἣν φιλοστόργως εἶχε, παραμύθιον τῆς λύπης αὐτῷ ἐποίησε τὴν ἐλεγείαν τὴν καλουμένην Λύδην, ἐξαριθμησάμενος τὰς ἡρωϊκὰς συμφορὰς, τοῖς ἀλλοτρίοις κακοῖς ἐλάττω τὴν ἑαυτοῦ ποιῶν λύπην. i. e. *Hoc genere conſolationis uſus eſt etiam Antimachus* Poeta. *Is enim cum morte amiſiſſet Lyden uxorem ſuam, quam admodum caram habuerat, leniendi doloris cauſa elegiam ſcripſit, Lyden nomine, in qua enumeratis calamitatibus heroum, alienorum malorum commemoratione ſuum mœrorem minuit.* Hujus poematis mentionem faciunt Schol. Apoll. Rhod. ad lib. I. v. 1289. lib. II. v. 297. lib. III. v. 409 lib. IV. v. 259. & 1153. Schol. Pindari ad *Pyth.* Od. IV. v. 398. Scholiaſta Euripidis ad *Phœniſſas*: Suidas infra v. Ὀργιῶνες; & Photius in Bibliotheca Cod. CCXIII. pag 548. Præterea, Ἄρτεμις ejus laudatur a Stephano Byzantio v. Κοτύλαιον: & Ἐπίγονοι, a Schol. Ariſtoph. ad *Pacem*, pag. 718. Idem etiam de Homero ſcripſerat, ut diſcimus ex Tatiano Orat. πρὸς Ἕλληνας, §. XLVIII. & ex vita Homeri, quæ vulgo Plutarcho tribui ſolet: cujus auctor ipſo ſtatim initio teſtatur, Antimachum & Nicandrum memoriæ prodidiſſe, Homerum fuiſſe Colophonium. Utrum vero Antimachus peculiari aliquo opere de Homero ſcripſerit, an vero obiter tantum in aliis ſuis ſcriptis Homerum Colophonium fuiſſe dixerit, propter ſilentium veterum non conſtat.

[4] Γέγονε δὲ πρὸ Πλάτωνος] Plato juvenis Antimachum ſenem vidit, ut diſcimus ex Plutarcho in *Lyſandro*, pag. 443. Hoc ideo moneo, ne quis forte verbis Suidæ deceptus exiſtimet, Platonem poſt mortem Antimachi demum natum fuiſſe.

[5] Ἐν ἔπεσιν ἡρωϊκοῖς γψπ.] Sic omnes Edit. habent. Sed in duobus MSS. Pariſ. exaratum eſt, ἐν ἔπ. ἡρωϊκ. τρισχιλίοις ἑπτακοσίοις; quam lectionem etiam agnoſcit Codex Vaticanus, ut Pearſonius ad marginem Suidæ ſui monuit.

[6] Ἀντίμαχος, ὁ Ψεκάς] Totum hunc articulum deſcripſit Suidas ex Schol. Ariſtoph. ad *Acharn.* pag. 425.

[7] Ἐδόκει δὲ ὁ Ἀντίμαχος οὗτος ψήφισμα πεπ. ὅτι μὴ δεῖ κωμ.] Vide Petitum in Commentar. ad Leges Attic. pag. 79. 80.

ποιητῶν οὐ παρεισῆλθον λαμβανόμενοι τὸν χορόν· καὶ δῆλον ὅτι πολλοὶ τῶν χορευτῶν ἐπείνων. οἱ [1] δὲ λέγουσιν, ὅτι ποιητὴς ὢν, καλὸς ὢν χορηγὸς, μικρολόγως τοῖς χορηγοῖς ἐχρήσατο.

'Αντιμάχου [2] καταπυγοσύνης ἀναπλήσει. ἀντὶ τοῦ μαλακίας, ἀναισχυντίας. οὗτος γὰρ εἰς θηλύτητα καὶ εὐμορφίαν ἐκωμῳδεῖτο. ἔστι δὲ καὶ ἕτερος ἐπὶ πονηρίᾳ κωμῳδούμενος. καὶ τρίτος, ὁ Ψεκὰς λεγόμενος. καὶ τέταρτος, τραπεζίτης, οὗ μνημονεύει καὶ Εὔπολις ἐν Δήμοις. πέμπτος ἱστοριογράφος.

'Αντιμίσιον. [3] παρὰ 'Ρωμαίοις τράπεζα, πρὸ τοῦ δικαστηρίου κειμένη.

'Αντί [4] νυ πολλῶν
Λαῶν ἐστὶν ἀνὴρ, ὅν τε Ζεὺς κῆρι φιλήσει.
Ἴσος ἐστὶν εἷς ἀνὴρ πολλοῖς, ὅταν ᾖ θεοφιλής.

'Αντίξοον. ἐναντίον. πολέμιον. [5] 'Ηρόδοτος· Καὶ στρατὸν συλλέγειν ἀντίξοον Πέρσῃσι. καὶ 'Αντίξουν, ἐναντίον. [6] 'Αγαθίας· 'Ο δὲ ἐχώρει, οὐδὲν ἀντίξουν ἔσεσθαι ὑποτοπήσας.

'Αντιόπη. [7] θυγάτηρ Νυκτέως, ἣν ἔφθειρέ τις τῶν πολιτῶν. ὁ δὲ πατὴρ πέμπει αὐτὴν τῷ ἀδελφῷ κολάσαι. ὁ δὲ ἔγκυον αὐτὴν θεασάμενος, ᾤκτειρεν. ὁ δὲ γεννᾷ Ζῆθον καὶ 'Αμφίονα, οὓς εἰς ὄρος ἔρριψαν ὁ θεῖος. εἶχε δὲ γυναῖκα, ὀνόματι Δίρκην, ἥτις ὑπονοήσασα τὸν ἑαυτῆς ἄνδρα Λύκον φιλεῖν τὴν 'Αντιόπην, ἀνάγει αὐτὴν εἰς ὄρος, καὶ δήσασα αὐτὴν ἀπὸ τραχήλου ταύρου, καὶ ἀνάψασα δᾷδας ἀπὸ τῶν αὐτοῦ κεράτων, ἔμελλεν αὐτὴν ἀπολλύειν. ἡ δὲ ἐθρήνει, καὶ θορύβου γενομένου ἠθροίσθη πλῆθος γεωργῶν· σὺν οἷς καὶ Ζῆθος καὶ 'Αμφίων. καὶ γνωρίσαντες τὴν μητέρα, ἐρρύσαντο αὐτήν· τὴν δὲ Δίρκην τῇ προκειμένῃ παρέδωκαν τιμωρείᾳ. Ζῆθος δὲ καὶ 'Αμφίων κτίζουσι Θήβας, καὶ βασιλεύουσι καὶ τούτων οἱ ἀπόγονοι μέχρι Λαΐου καὶ 'Ιοκάστου, τοῦ μετακληθέντος Οἰδίποδος.

'Αντίος. ὁ κατέναντι. Ἦκε δ' αὐτοῦ ἀντίος.

'Αντίον. πόλις, ἥτις ἀπέχει 'Ρώμης τ' σταδίους.

'Αντιόχεια, ἡ πόλις. πεποίηται μὲν ὑπὸ Σελεύκου· ὠνόμασται δὲ ἀπὸ τοῦ παιδὸς 'Αντιόχου. καὶ 'Αντιοχὶς, ὄνομα φυλῆς.

'Αντίοχος [8] ὁ βασιλεύς. Οὗτος ἐδόκει κατὰ τὰς ἀρχὰς γεγονέναι μεγαλεπίβολος, καὶ τολμηρὸς, καὶ τοῦ προτεθέντος ἐξεργαστικός· προβαίνων δὲ κατὰ τὴν ἡλικίαν ἐφάνη πολὺ καταδεέστερος αὐτοῦ, καὶ τῆς τῶν

quæ cauſa fuit, quare multi Poetæ fabulas ſuas abſque Choro agerent, & ideo multi choreutæ ad egeſtatem redigerentur. Alii vero dicunt, eum bonum quidem fuiſſe Poetam, ſed, cum aliquando Choragus eſſet, erga choreutas nimis parcum ſe præbuiſſe.

'Αντιμάχου καταπ. *Antimachi mollitie & impudentia replebit.* Hic enim ob animum effœminatum & elegantiam formæ a Comicis vellicabatur. Fuit & alius Antimachus, qui ob nequitiam a Comicis vapulabat. Fuit & tertius, *Pſecas* dictus: & quartus, trapezita, cujus meminit Eupolis in *Demis*. Item quintus, hiſtoriographus.

'Αντιμίσιον. Menſa apud Romanos, quæ ante dicaſterium poſita erat.

'Αντί νυ πολλῶν λ. *Vir ille, qui Jovi charus eſt, multis populis æquiparandus eſt.*

'Αντίξοον. Contrarium. Hoſtile. Herodotus: *Et exercitum contra Perſas conſcribere.* Et 'Αντίξουν, idem. Agathias: *Ille vero ibat, nihil adverſi ſibi eventurum ſuſpicatus.*

'Αντιόπη. Antiope, Nyctei filia. Hanc a quodam civium vitiatam pater ad fratrem miſit, ut eam puniret. Ille vero gravidam eam conſpicatus, ejus miſertus eſt. Poſtea igitur Zethum & Amphionem peperit, quos patruus in monte expoſuit. Habuit autem uxorem nomine Dircen, quæ ſuſpicans maritum ſuum Lycum amare Antiopen, eam in montem abductam, & tauri collo alligatam, ardentibus facibus ad tauri cornua additis, occidere ſtatuit. Illa vero flente, tumultuque orto, concurſus eſt factus agricolarum: inter quos Zethus & Amphion matrem agnitam liberarunt, & Dircen eodem ſupplicio, quo Antiopen perdere decreverat, affecerunt. Iidem Thebas condiderunt, ubi ipſi & eorum poſteri regnum tenuerunt uſque ad Laium, & Jocaſtum, qui nomine mutato dictus eſt Oedipus.

'Αντίος. Adverſus. Obvius. *Obvius autem ipſi venit.*

'Αντίον. Antium urbs, quæ ccc ſtadiis Roma diſtat.

'Αντιόχεια. Antiochia urbs condita eſt a Seleuco, nominata vero ab ipſius filio Antiocho. Et Antiochis, nomen Tribus.

'Αντίοχος. Antiochus Rex. Hic initio quidem ad res magnas gerendas natus videbatur, & audax, & in perficiendis iis, quæ ſemel ſuſcepiſſet, ſtrenuus: ſed progreſſu ætatis ſui diſſimilis evaſit, & aliorum hominum ex-

---

[1] Οἱ δὲ λέγουσιν, ὅτι ποιητ. ὢν, καλὸς ὢν χορ. μικρ. τοῖς χορ.] Emenda ex Scholiaſta Ariſtophanis: Οἱ δὲ λέγουσιν. ὅτι ποιητὴς ὢν καλὸς, χορηγῶν ποτὲ, μικρολ. τοῖς χορευταῖς ἐχρήσατο. Hanc lectionem in verſione ſecutus ſum.

[2] 'Αντιμάχου καταπυγοσύνης ἀναπλ.] Hæc ſunt verba Ariſtophanis *Nubibus* p. 181. ubi vide Scholiaſtam, cujus verba Suidas hic deſcripſit.

[3] 'Αντιμίσιον. παρὰ 'Ρωμ. τρ.] Vide Ducangium in Gloſſario Græco.

[4] 'Αντί νυ πολλῶν λαῶν ἐς.] Hæc ſunt verba Homeri Il. I. v. 117.

[5] 'Ηρόδοτος] Lib. vi. pag. 212. ut Portus obſervavit.

[6] 'Αγαθίας] Lib. 1. pag. 25.

[7] 'Αντιόπη. θυγάτηρ Νυκτέως, ἣν ἔφθ.] Vide Cedrenum p. 24. & Joann. Malal. in Chronographia p. 54, 55.

[8] 'Αντίοχος ὁ βασ. οὗτος ἐδόκει κατὰ τὰς ἀρχ.] Hæc & quæ ſequuntur uſque ad ἐκτὸς προσδοκίας, ſunt verba Polybii apud Conſtantinum in Collectaneis a Valeſio editis p. 66.

ἐκτὸς προσδοκίας. † Ἐκ γὰρ τῶν παίδων τοῦ Ἀλεξάνδρου τοῦ Μακεδόνος ἐξῆλθε ῥίζα ἁμαρτωλὸς, οὗτος ὁ Ἐπιφανὴς, υἱὸς Σελεύκου τοῦ Φιλοπάτορος· ὃς ὑπάρχων δεινὸς ἀνὴρ, καὶ πλεονέκτης, καὶ πολλὰς ἁρπαγὰς καὶ λεηλασίας ποιήσας, συνῆξε χρήματα πολλὰ, καὶ ἐκ πολλῆς ἀκολασίας καὶ οἰστρηλασίας εἰς μίμους ἑαυτὸν καθεὶς, ἐν ὄψει πάντων ταῖς γυναιξὶν ἐπεμαίνετο. καὶ [1] καταλαβὼν τὴν Αἴγυπτον ἐν ὄχλῳ βαρεῖ καὶ ἅρμασι καὶ ἐλέφασι καὶ στόλῳ μεγάλῳ, ταύτης ἐκράτησεν. ὑποστρέψας δὲ μετ᾽ ἀπονοίας εἷλε [2] τὴν Ἱερουσαλὴμ δορυάλωτον, καὶ κατέσφαξε μυριάδας ιη΄. κατατολμήσας οὖν, καὶ εἰς τὸ ἁγίασμα εἰσελθὼν, καὶ στήσας βωμὸν καὶ εἴδωλον βδέλυγμα ἐρημώσεως, καὶ τὸν ναὸν μιάνας δι᾽ ἀκαθάρτων θυσιῶν, ἱερὸν Διὸς Ὀλυμπίου προσηγόρευσεν. οὕτω τε ἐφ᾽ ὑψηλοῦ καθίσας, καὶ τῶν στρατιωτῶν αὐτοῦ κύκλῳ παρεστηκότων ἐνόπλων, ἐκέλευσε τοῖς δορυφόροις ἕνα ἕκαστον Ἑβραῖον ἐπισπάσασθαι, καὶ κρεῶν χοιρείων καὶ εἰδωλοθύτων ἀναγκάζειν ἀπογεύεσθαι· εἰ δὲ μὴ θέλοιεν μιαροφαγῆσαι, ἀναιρεῖσθαι τροχισθέντας. πολλῶν οὖν συναρπαχθέντων, καὶ Ἐλεάζαρ τις τῶν πρώτων γραμματέων, ἤδη προβεβηκὼς τὴν ἡλικίαν, μὴ μιαροφαγήσας, μαστιγωθεὶς ἀναιρεῖται σὺν ἑπτὰ παισὶ μετὰ μητρὸς Σολομωνίδος· περὶ ὧν καὶ ὁ [3] Θεολόγος ἐν τῷ, Τί δὲ οἱ Μακκαβαῖοι, μνημονεύει. ἐκπλαγεὶς δὲ ὁ τύραννος, καὶ μᾶλλον ἐκμανεὶς, καὶ τὰ ἱερὰ σκεύη πάντα λαβὼν, πᾶσαν τὴν πόλιν λαφυραγωγήσας, καὶ τὰ κτήνη κρεουργήσας, καὶ φονοκτονίαν ποιήσας, καὶ μεγαληγορήσας, ἀνεχώρησεν εἰς Ἀντιόχειαν. καὶ μετὰ δύο ἔτη κατὰ Περσῶν ἐπιστρατεύσας, ἀπέστειλεν ἄρχοντα φορολογῆσαι τὰς πόλεις Ἱερουσαλήμ. ὃς παραγενόμενος, καὶ λαλήσας εἰρηνικοὺς λόγους πρὸς τὴν Ἱερουσαλὴμ, καὶ εἰσελθὼν ἐπάταξεν αὐτὴν πληγῇ μεγάλῃ, καὶ καθελὼν τὰ τείχη πᾶσαν αὐτὴν ἐνέπρησε, καὶ τὸ ἱερὸν ἐκμιάνας, καὶ πολλοὺς ἀνελὼν καὶ αἰχμαλωτεύσας, ἀπῆλθε, ἄρχοντα καταλιπὼν εἰς τὸ βασανίζειν τοὺς Ἰουδαίους. Ματθίας δέ τις ἱερεὺς, ἔχων υἱοὺς πέντε, ἀφ᾽ ὧν Ἰούδας ὁ Μακκαβαῖος ἐτύγχανε, ζήλου πλησθεὶς, καὶ ὁρμήσας κατὰ τοῦ ἄρχοντος ἀνεῖλεν αὐτὸν, καὶ σκάπτει τοὺς τῶν Ἑλλήνων βωμούς. ἐπέρχεται οὖν αὐτῷ Ἀντίοχος μετὰ πολλῆς δυνάμεως. ὡς δὲ ἐπέτεινεν ὁ πόλεμος, Ἐλεάζαρ ἀδελφὸς Ἰούδα ἀριστεύσας συντρίβεται ὑπὸ ἐλέφαντος. ὑπεισῆλθε γὰρ τὸν ἐλέφαντα, καὶ ξίφει τὴν γαστέρα αὐτοῦ ἔτυψεν, ἐλπίσας ἐπάνω αὐτοῦ τὸν τύραννον φέρεσθαι. Ἐκστρατεύσας οὖν ὁ Ἀντίοχος κατὰ Περσῶν ὑπέστρεψεν ἡττημένος, καὶ κακῶς τὸν βίον ἀπαλλάττει. Ὅτι αὐτὸς Ἀντίοχος τὸ τῶν Ἰουδαίων ἔθνος στασιάσαν πρὸς τὴν συνήθη φόρον αὖθις κατεδούλωσε· συλήσας τε τὰ τοῦ ἱεροῦ ἀναθήματα, καὶ διερευνήσας ἅπαντα, εὗρεν ἀγαλμάτιον, βιβλίον

pectationi de ſe minime reſpondit. † Ex genere Alexandri Macedonis orta eſt radix peccati, Epiphanes, filius Seleuci Philopatoris. Hic cum eſſet homo callidus & avarus, multaſque rapinas feciſſet, & prædas egiſſet; magnam pecuniæ vim corraſit, & præ nimia intemperantia libidiniſque inſtinctu mimis ſe adjungens in omnium conſpectu inſanis mulierum amoribus indulſit. Idem Ægyptum magno cum exercitu, multiſque curribus & elephantis, & ingenti claſſe invaſit & ſubegit. Unde revertens homo vecors, Hieroſolymis vi expugnatis, in ea interfecit centum & octoginta hominum millia. Poſtea ſanctuarium quoque ingredi auſus eſt, erectoque altari & Idolo, quod capta urbs abominabatur, Templum impuris ſacrificiis pollutum Jovis Olympii ædem appellavit. Præterea in excelſo ſolio ſedens, & militibus armatis ſtipatus, juſſit Hebræos ſingulatim comprehenſos cogi, ut carnes ſuillas & Idolis immolatas guſtarent; eoſque, qui ſe eſu illarum polluere recuſarent, tormentis cruciatos necari. Multis igitur comprehenſis, Eleazar etiam, quidam e primariis ſcribis, homo provecta ætate, quod pollutos cibos edere noluiſſet, flagris cæſus, cum ſeptem liberis & matre Solomonide interfectus eſt. Horum & Theologus in ſermone de Maccabæis meminit. Tyrannus vero obſtupefactus, majoreque furore percitus, & omnibus ſacris vaſis captis, totaque urbe ſpoliata, & jumentis in fruſta conciſis, ingentique hominũ cæde facta, ſuperbe locutus, Antiochiam rediit. Idem poſt biennium, bello contra Perſas ſuſcepto, præfectum miſit, qui ab urbibus Hieroſolymitanis tributum exigeret. Is igitur cum [in Judæam] veniſſet, Hieroſolymitanos verbis benignis allocutus, & in urbem ingreſſus, magna eam clade affecit, muriſque dirutis totam incendit, & templo polluto, multiſque cæſis & captis diſceſſit, præſide ad Judæos excarnificandos relicto. Matthias vero quidam ſacerdos, qui quinque filios habebat, inter quos erat Judas Maccabæus, zelo plenus, impetu in præſidem facto eum interfecit, & Græcorum aras ſubvertit. Antiochus igitur magnis cum copiis eum invaſit. Cum autem bellum invaleſceret, Eleazar, Judæ frater, præclaris facinoribus editis ab elephante opprimitur. Belluam enim ſubierat, ejuſque ventrem enſe percuſſerat, quod tyrannum ea vehi exiſtimaret. Antiochus autem, bello Perſis illato, victus rediit, vitamque male finivit. † Antiochus Judæorum gentem, quæ propter inſolita tributa ſeditionem moverat, iterum ſubegit: cumque Templum donariis ſpoliaſſet, omniaque perveſtigaſſet, invenit ſigillum, librum manibus tenens, & promiſſam barbam habens, cui lucernula auro diſtincta adſtabat. Hæc ſuillo ſanguine polluta in Templo reli-

---

[1] Καὶ καταλαβὼν τὴν Αἴγυπτον ἐν ὄχλῳ β.] Vide 1 Maccab. c. 1.

[2] Εἷλε καὶ τὴν Ἱερουσαλὴμ δορυάλωτον, καὶ κατέσφ.] Hæc, & quæ ſequuntur, αὐτολεξεὶ pene leguntur apud Cedrenum p. 163.

[3] Ὁ Θεολόγος ἐν τῷ, Τί δὲ οἱ Μακκ.] Orat. xxii. quæ in laudem Maccabæorum conſcripta eſt.

ἐν ταῖς χερσὶ κατέχον, πώγωνά τε ἐπιφερόμενον βαθύν· ᾧ δὴ καὶ λυχνίδιον παρειστήκει διάχρυσον. ταῦτα χοιρείοις αἵμασιν ἀναλαβὼν ἐν τῷ ἱερῷ κατέλιπε· καὶ πολλοῖς ταλάντοις ζημιώσας πρὸς ὑπαγωγὴν φόρου τοὺς ἐνοικοῦντας Ἰουδαίους, ἐπὶ τὴν Συρίαν ἐπανῆλθεν.

Ἀντίοχος ὁ Πραιπόσιτος. οὗτος [1] διαβληθεὶς Θεοδοσίῳ τῷ μικρῷ, καθῃρέθη τῆς τιμῆς, καὶ δημοσιωθεὶς ἐν τοῖς ἱερεῦσι κατετάγη, διατάξεως ἐκφωνηθείσης παρὰ τοῦ βασιλέως, εὐνοῦχον ἐν τοῖς πατρικίοις μὴ τελεῖν.

Ἀντίοχος [2] ὁ Αὐτόμολος, Κίλιξ μὲν ἦν τὸ γένος, ὃς φιλοσοφεῖν κυνηδὸν τὰ πρῶτα ἐπλάττετο, καὶ πλεῖστά γε ἐκ τούτου τοὺς στρατιώτας ἐν τῷ πολέμῳ ὠφέλησεν. ἀπαλγοῦντας γὰρ αὐτοὺς ὑπὸ τοῦ πολλοῦ ῥίγους ἐπεῤῥώννυεν ἔς τε τὴν χιόνα ῥιπτῶν, καὶ ἐν αὐτῇ καλινδούμενος· ὅθεν περ καὶ χρημάτων καὶ τιμῶν παρὰ τοῦ Σεβήρου καὶ Ἀντωνίνου ἔτυχεν. ἐπαρθεὶς δὲ ἐπὶ τούτοις τῷ Τηριδάτῃ συνεξητάσθη, καὶ μετ᾽ αὐτοῦ πρὸς Πάρθους ηὐτομόλησεν.

Ἀντιόντων. ἀπαντώντων.

Ἀντίπαλον. τρία σημαίνει· τὸ ἐναντίον, καὶ τὸ ἰσόπαλον, καὶ τὸ ἰσόστροφον. Οὐ γὰρ ἐξ ἀντιπάλου τῆς δυνάμεως ὁ ἀγὼν ἔσται.

Ἀντιπαράκλησις. Εἰς [3] τοιαύτην προθυμίαν παρέστη τὸ πλῆθος, ὥστε παραπλησίαν ἐνθουσιασμῷ τὴν ἀντιπαράκλησιν γενέσθαι τῶν δυνάμεων.

Ἀντιπαράτορα. ἡ ἀντικόσμησις, ἡ ἄλλη εὐπρέπεια. Παράτον γὰρ ἡ παρασκευὴ παρὰ Ῥωμαίοις.

Ἀντιπαρέξειν. [4] ἀντιδοῦναι. ἀντιτάσσειν.

Ἀντίπατρος, Ἰολάου, πόλεως δὲ Παλιούρας τῆς Μακεδονίας, στρατηγὸς Φιλίππου, εἶτα Ἀλεξάνδρου, καὶ διάδοχος βασιλείας· μαθητὴς Ἀριστοτέλους. κατέλιπεν Ἐπιστολῶν σύγγραμμα ἐν βιβλίοις δυσί· καὶ Ἱστορίαν, τὰς Περδίκκου πράξεις Ἰλλυρικάς. καὶ ἐπετρόπευσε καὶ τὸν υἱὸν Ἀλεξάνδρου, τὸν Ἡρακλέα κληθέντα. μόνος δὲ τῶν διαδόχων Θεὸν καλέσαι Ἀλέξανδρον οὐχ εἵλετο, ἀσεβὲς τοῦτο κρίνας. ἐβίω δὲ ἔτη οθʹ, καὶ κατέλιπεν υἱὸν διάδοχον Κάσσανδρον, τὸν τὴν μητέρα Ἀλεξάνδρου ἀνελόντα Ὀλυμπιάδα. † Ὅτι τῶν Ἀθηναίων τὰς Ἀθήνας Ἀντιπάτρῳ τῷ Μακεδόνι παραδόντων, ἐν δέει ὄντες οἱ δημαγωγοί, πρὸς τὴν ἐπανάστασιν τοὺς Ἀθηναίους ἐπάραντες, μὴ τὴν αἰτίαν ἐπ᾽ αὐτοὺς ἐνέγκωσιν, ἔφυγον. οἱ δὲ Ἀθηναῖοι θανάτῳ ἐρήμην τούτους κατεδίκασαν (ὧν ἦν Δημοσθένης ὁ ῥήτωρ, καὶ Ὑπερίδης, καὶ Ἱμεραῖος) τὴν τοῦ θανάτου εἰσήγησιν εἰσενεγκόντες. [5] Ἐγεγόνει γὰρ εἰς οὐδὲν μετριώτερος τῇ γνώμῃ· διότι μηδὲ ἔστι φύσεως μεταβολὴ κακίᾳ συνελθούσης· ἡττᾶται δὲ αὐτῆς καὶ νόμου

quit: cumque Judæos multa talenta tributi nomine pendere juſſiſſet, in Syriam rediit.

Ἀντίοχος ὁ Πραιπ. Antiochus Præpoſitus. Hic, cum quidam eum apud Theodoſium Juniorem criminati eſſent, dignitate privatus, boniſque publicatis ſacerdotum ordini adſcriptus eſt; edicto ab Imperatore promulgato, Ne eunuchus inter Patricios cenſeretur.

Ἀντίοχος ὁ αὐτ. Antiochus Transfuga, natione Cilix, primo philoſophum Cynicum ſe eſſe ſimulans, militibus in bello maxime profuit; quod eos frigore torpentes confirmaret, in nivem ſe abjiciens, & in ea ſe volutans. Hanc igitur ob cauſam opes & honores a Severo & Antonino conſecutus, eoque nomine elatus, cum Teridate ſe conjunxit, & cum eo ad Parthos transfugit.

Ἀντιόντων. Occurrentium.

Ἀντίπαλον. Tria ſignificat: contrarium, æquale, & quod circa eandem rem verſatur. *Haud enim paribus viribus certamen committetur.*

Ἀντιπαράκλησις. Adhortatio, qua quis alterum viciſſim hortatur. *Tanta alacritate militum animi repleti ſunt, ut, velut divino furore perciti, Imperatorem vice verſa cohortarentur.*

Ἀντιπαράτορα. Apparatus par. Ornatus ſimilis. Παράτον enim apud Romanos apparatus vocatur.

Ἀντιπαρέξειν. Par pari reddere. Opponere.

Ἀντίπατρος. Antipater, Iolai filius, ex Paliura, Macedoniæ urbe, dux Philippi & deinde Alexandri, ſucceſſor regni, & diſcipulus Ariſtotelis. Reliquit Epiſtolarum libros duos, & Hiſtoriam rerum a Perdicca in Illyrio geſtarum. Idem tutor fuit filii Alexandri, qui vocabatur Hercules; ſoluſque ex Alexandri ſucceſſoribus Alexandrum Deum vocare noluit, impium id eſſe ratus. Vixit annos LXXIX. Caſſandro filio ſucceſſore relicto, qui Olympiadem Alexandri matrem ſuſtulit. † Cum Athenienſes Antipatro Macedoni Athenas dedidiſſent, Demagogi, qui populum ad ſeditionem concitaverant, metuentes, ne culpa in ſe conferretur, fuga ſibi conſuluerunt. Athenienſes vero eos abſentes capite damnarunt (inter quos fuit & Demoſtenes orator, & Hyperides, & Himeræus) capitali ſententia in eos lata. Nulla autem in re animo fuit moderatiore, quia ingenium improbitati aſſuetum mutari nequit, ſed ab ea vincitur ipſum legis edictum, niſi ultimo ſupplicio malos coerceat. Invictæ enim ei

---

[1] Οὗτος διαβληθεὶς Θεοδοσίῳ τῷ μικρ.] Hæc repetuntur infra v. Θεοδόσιος ὁ μικρός.

[2] Ἀντίοχος ὁ αὐτόμολος, Κίλιξ μὲν ἦν τὸ γένος, ὃς φιλοσ. κυν.] Hæc & quæ ſequuntur ſunt verba Dionis in Antonin. Caracal. p. 433.

[3] Εἰς τοιαύτην προθυμίαν παρέστη τὸ πλ.] Hæc ſunt verba Polybii lib. XI. cap. X.

[4] Ἀντιπαρέξειν] Sic habent MSS. Pariſ. & Edit. Mediol. In aliis vero Edit. male excuſum eſt ἀντιπαρεξάνειν; cujus loco Portus legendum putabat ἀντιπαρεξάγειν.

[5] Ἐγεγόνει γὰρ εἰς οὐδὲν μετριώτερος τῇ γν.] Hæc ex alio auctore, quam præcedentia, a Suida deprompta eſſe videntur, nec video, quomodo illa cum ſuperioribus cohærere poſſint.

ἐπίταξις μὴ παντελῶς κολάζουσα, καὶ ἰσχὺς αὕτη ἀνανταγώνιστος ἐφ' ὅπερ ἂν ῥέψῃ· καὶ οὔτε φόβῳ ἀποτρέπεται τοῦ θρασύνεσθαι, οὔτε αἰδὼς ἐξείργουσα παραπεῖσαι ἱκανή ἐστιν ἐς τὸ τῷ νόμῳ ὑπήκοον.

Ἀντίπατρος. οὗτος, ἐπεὶ διεδέξατο τὴν ἀρχὴν τῶν Μακεδόνων, ἐπολιορκήθη μὲν ἐν Λαμίᾳ τῆς Θεσσαλίας ὑφ' Ἑλλήνων. ἀναχωρησάντων δὲ τῶν Αἰτωλῶν, εἶτα τῶν ἄλλων, ἐσώθη. [1] νικήσας δὲ ᾔτει [2] τοὺς δέκα Ῥήτορας, οὓς ἐξέδοσαν Ἀθηναῖοι, Δημοσθένην, Ὑπερίδην, Λυκοῦργον, Πολύευκτον, Ἐφιάλτην, Θρασύβουλον, Χάρητα, Χαρίδημον, Διότιμον, [3] Πατροκλέα, Κάσανδρον.

Ἀντίπατρος, [4] Νικολάου τοῦ Δαμασκηνοῦ πατὴρ τοῦ ἱστορικοῦ, ὃς ἔσχε Στρατονίκην γυναῖκα, τὴν μητέρα Νικολάου, οἳ διαφανεῖς ἦσαν ἐν Δαμασκῷ κατά τε σωφροσύνην, καὶ ἄλλην λαμπρότητα. πλούτῳ τε γὰρ πολλῷ διαφέροντες ἥκιστα ἐπ' αὐτῷ ἐμεγαλύνοντο· εὐδοξίας τε οὐ τὰ δεύτερα φερόμενοι, βραχὺ τοῦτο ἐλογίζοντο. ὁ δὲ δὴ Ἀντίπατρος, καὶ λόγου δεινότητι προὔχων, ἔβλαψε μὲν οὐδ' ὁντινοῦν· ὤνησε δὲ μυρία τούτῳ οὐ τῶν [5] κοινῶν μόνον, ἀλλὰ καὶ τῶν ἀστῶν συχνούς. δικαιοσύνην γὰρ ἀσκῶν, εἴπερ τις ἕτερος, πλεῖστα μὲν διῄτησε νείκη τοῖς πολίταις πρὸς ἀλλήλους, πλεῖστα δὲ τῇ πατρίδι πρὸς τοὺς ἐν κύκλῳ δυνάστας· καὶ ἐτιμᾶτο ὑπὸ πάντων διὰ τοῦτο. πλείστας δὲ ἐπιστεύθη πρεσβείας καὶ ἐπιτροπάς, ἀρχάς τε πάσας διεξῆλθε τὰς ἐγχωρίους· τελευτῶν τε τὸν βίον οὐκ ἔστιν ὅ, τι ἐπέσκηψε Νικολάῳ τῷ υἱεῖ, καὶ Πτολεμαίῳ τῷ τούτου ἀδελφῷ, ἢ τῷ Διῒ θυμιατήριον, ὅπερ ἔφθη αὐτὸς προϋπεσχημένος τῷ Θεῷ, κατασκευάσαι, ἐπειδὰν τελευτήσῃ· δηλῶν οἶμαι, ὅτι τὸ πρὸς Θεοὺς ὅσιον δεῖ καὶ τελευτῶντας φυλάττειν, καὶ μηδὲν ἔτι ἀπολαύσεσθαι τοῦ βίου μέλλοντας.

Ἀντίπαις. ὁ ἐγγὺς ὢν τοῦ ἴουλος γενέσθαι. ὁ τὸν πώγωνα ἐκφύων. ὁ δὲ Ἀριστοφάνης τὸν πρόσηβον καὶ ἀνδρόπαιδα εἶπεν.

Ἀντιπελαργεῖν. [6] παροιμία ἐπὶ τῶν τὰς χάριτας ἀντιδιδόντον. καὶ Ἀντιπελάργωσις. [7] Φησὶν [8] Ἀριστοτέλης ἀληθῆ εἶναι τὸν περὶ τῶν πελαργῶν λόγον· ὁμοίως δὲ αὐτοῖς ποιεῖν φησι καὶ [9] τοὺς ἀερόποδας. διὸ ἐν τοῖς σκήπτροις ἀνωτέρω μὲν πελαργὸν τυποῦσι, κατωτέρω δὲ ποτάμιον ἵππον, δηλοῦντες, ὡς ὑποτέτακται ἡ βία τῇ δικαιοπραγίᾳ. οἱ γὰρ πελαργοὶ δικαιοπραγεῖς ὄντες, ἐπὶ τῶν πτερύγων βαστάζουσι τοὺς

vires ſunt, in quamcunque partem inclinarit: neque metu deterretur ab audacia, neque verecundia, quæ malos refrænare ſolet, adduci poteſt, ut legibus obediat.

Ἀντίπατρος. Antipater, ſuſcepto Macedoniæ regno, Lamiæ in Theſſalia a Græcis obſeſſus eſt. Sed Ætolis primum, & deinde cæteris digreſſis, evaſit: ac victor x oratores poſtulavit, quos ei dediderunt Athenienſes, Demoſthenem, Hyperidem, Lycurgum, Polyeuctum, Ephialtem, Thraſibulum, Charetem, Charidemum, Diotimum, Patroclem, Caſſandrum.

Ἀντίπατρος. Antipater, Nicolai Damaſceni hiſtorici pater, uxorem habuit Stratonicen, Nicolai matrem, qui cum ob modeſtiam, tum reliquum vitæ ſplendorem Damaſci clari fuerunt. Nam cum opibus eminerent, minime ideo efferebantur: cumque virtutis gloria nulli ſecundi eſſent, parvi id faciebant. Cæterum, Antipater eloquentia pollebat, qua tamen neminem unquam læſit; quinimo potius & patriam & ſingulos cives plurimis beneficiis affecit. Etenim, cum juſtitiam in primis coleret, cives privatim inter ſe diſſidentes conciliavit ſæpiſſime, & patriæ cum finitimis regulis controverſias compoſuit: quam ob cauſam ab omnibus colebatur. Legationes quoque plurimas obiit, & munera magiſtratuſque omnes in patria geſſit. Tandem moriturus Nicolao filio, ejuſque fratri Ptolemæo, nihil aliud mandavit, quam ut thuribulum, quod Jovi ante voverat, ſe defuncto confici curarent: ſignificans, ut opinor, pietatem erga Deos etiam a morientibus, quibus nulla ſpes vitæ ſuperſit, ſervandam eſſe.

Ἀντίπαις. Cujus genas lanugo veſtire incipit. Qui barbam emittit. Ariſtophanes vero pubertati proximum ἀνδρόπαιδα etiam vocavit.

Ἀντιπελαργεῖν. Proverbium de iis, qui gratiam referunt. Et Ἀντιπελάργωσις, [gratiæ relatio.] Ariſtoteles ea, quæ de ciconiis feruntur, vera eſſe affirmat: idemque facere aeropodas. Quamobrem in ſceptris ſuperne ciconiam effingunt; inferne vero hippopotamum: ſignificantes, vim ſubjectam eſſe juſtitiæ. Ciconiæ enim, juſtitiam amantes, [parentes] ſenio confectos in alis ge-

---

[1] Νικήσας δὲ ᾔτει τοὺς δέκα Ῥήτ.] Idem de Antipatro Suidas tradit infra v. Δημοσθένης. Secundum alios tamen ſcriptores, ut Diodorum Siculum, Plutarchum, & Arrianum, Alexander, non vero Antipater, Oratores Athenienſium ſibi dedi poſtulavit. De numero porro oratorum non conſentiunt ſcriptores. Suidas enim hoc loco decem quidem oratores poſtulatos fuiſſe refert, ſed undecim recenſet. De decem fidem faciunt Diodorus Siculus, & Duris apud Plutarchum in *Demoſthene*. Arrianus de Exped. Alex. lib. 1. pag. 28. novem oratores recenſet, quos Alexander ſibi dedi poſtulaverit. Verba ejus hæc ſunt: Ἐπιστολὴν δὲ γράψας πρὸς τὸν δῆμον (Ἀλέξανδρος) ἐξῄτει τοὺς ἀμφὶ Δημοσθένην, καὶ Λυκοῦργον. καὶ Ὑπερείδην δὲ ἐξῄτει, καὶ Πολύευκτον, καὶ Χάρητα, καὶ Χαρίδημον, καὶ Ἐφιάλτην, καὶ Διότιμον, καὶ Μοιροκλέα. Secundum alios vero ſcriptores Alexander octo tantum oratores ſibi dedi poſtulavit, ut teſtis eſt Plutarchus in *Demoſthene*, pag. 856. quem vide.

[2] Τοὺς δέκα Ῥήτορας] Quoniam Suidas undecim oratores recenſet, quos Antipater ſibi dedi poſtulaverit, vel ἕνδεκα hic ſcribendum eſt, vel τὸ δέκα inducendum, quod, teſte Schotto, codex MS. Suidæ confirmat.

[3] Πατροκλέα] Hunc Plutarchus Μυροκλέα, & Arrianus Μοιροκλέα vocat.

[4] Ἀντίπατρος, Νικολάου τοῦ Δαμασκ.] Scripſerat Nicolaus Damaſcenus περὶ τοῦ ἰδίου βίου καὶ τῆς ἑαυτοῦ ἀγωγῆς, ut teſtis eſt Suidas infra v. Νικόλαος. Ex hoc opere ea, quæ Suidas hic habet, deprompta eſſe non dubitat Valeſius in notis ad Collectan. Conſtant. p. 62.

[5] Τῶν κοινῶν] Portus monet, legendum potius eſſe τὸ κοινόν: cui aſſentior.

[6] Ἀντιπελαργεῖν] Vide Zenobium Adag. xciv. & ibi Schottum: itemque Bochartum *Hieroz.* Part 11. Lib. 11. pag. 327.

[7] Φησὶν Ἀριστοτέλης ἀληθ.] Hæc & quæ ſequuntur ſunt verba Scholiaſtæ Ariſtoph. ad *Aves*, p. 604.

[8] Ἀριστοτέλης] *Hiſtor. Animal.* lib. ix. cap. xiii.

[9] Τοὺς ἀερόποδας] Scholiaſta Ariſtophanis loco laudato habet τοὺς αἰέροπας. Apud ipſum vero Ariſtotelem hodie legitur τοὺς μέροπας.

γεγηρακότας· οἱ δὲ ἱπποπόταμοι ζῶον ἀδικώτατον.

᾿Αντιπεπονθότως. ἀντικειμένως. ἐναντίως.

᾿Αντιπεποιημένοι. Οἱ δὲ [1] ῾Ρωμαῖοι, ἀντιπεποιημένοι τῆς κατὰ θάλατταν ἐλπίδος, διπλασίως ταῖς ὁρμαῖς πρὸς τὸν πόλεμον ἐχρῶντο.

᾿Αντιπέρας. παροξυτόνως ἀναγνωστέον. ὄνομα γάρ ἐστι θηλυκὸν, γενικῆς πτώσεως, σύνθετον. ᾿Αντιπέρας Θάσου μέταλλά ἐστι χρυσοῦ.

᾿Αντιπερίσπασμα. ἐμπόδιον. [2] ᾿Εξαπέστειλαν στρατηγὸν, βουλόμενοι ἀντιπερίσπασμα ποιεῖν τοῖς Κελτοῖς τοῖς μετὰ ᾿Αννίβου.

᾿Αντὶ [3] πέρκης σκορπίον. παροιμία, ἐπὶ τῶν τὰ χείρω αἱρουμένων ἀντὶ τῶν βελτιόνων.

᾿Αντιπέτρια. ὄνομα πόλεως.

᾿Αντιπέτρου [4] βήματος. ἀντὶ γὰρ πέτρας ἦν χαλκὸς ἡ ὕλη. [5] χαλκοῦς δὲ ἀνδριὰς τὸ μετουσιαστικόν· ὡς χρύσεος, χρυσοῦς. ἢ ἰσοπέτρου βήματος, τοῦ κατ' ἴσον βεβηκότος τῷ πέτρῳ. χαλκὸς δὲ ἦν ὁ οὐδός. Σοφοκλῆς· Μηκέτι τοῦ δ' ἀντιπέτρου βήματος ἔξω πόδα κλίνης.

᾿Αντίπηξ. τὸ κιβώτιον. παρὰ τὴν ἀντὶ πρόθεσιν, καὶ τὸ πήσσω, τὸ πηγνύω.

᾿Αντιπροσκλήσεις. ἀντιλογίας. ἀντεγκλήματα.

᾿Αντίπροικα. [6] ὅμοια. ᾿Αντίπροικα ὁ δῆμος ἠγανάκτησε, καὶ θόρυβος ὑπεξήφθη.

᾿Αντιποιηθέντα. φιλονεικήσαντα. Δεῖ γὰρ ἀντιποιηθέντας, οὐ πρότερον χαρίσασθαι θελήσαντι. καὶ ᾿Αντιποιούμενον. ἐπιμελῶς διακείμενον. [7] Πολύβιος· ῾Ο δὲ ῎Αρατος κατανοῶν τὸν ᾿Αντίγονον πρᾶξιν ἔχοντα καὶ σύνεσιν, καὶ πίστεως ἀντιποιούμενον· τοὺς δὲ βασιλεῖς φύσει μὲν οὐδένα νομίζοντας, οὔτ' ἐχθρὸν, οὔτε πολέμιον, ἐπεβάλλετο λαλεῖν πρὸς τὸν εἰρημένον βασιλέα, καὶ συμπλέκειν τὰς χεῖρας. ᾿Αντιποιούμενοι τῆς ἀρχῆς τῷ βασιλεῖ. Ξενοφῶν. Καὶ αὖθις· Οὐδὲν ἀντιποιησάμενοι τῆς ἐκείνου δεήσεως.

᾿Αντίρροπον. ἰσόρροπον. Τῇ τε γὰρ Κράσσου καὶ τῶν ἀμφ' αὐτὸν φθορᾷ ἀντίρροπον γενέσθαι τὴν Πακόρου καὶ τῆς ξὺν αὐτῷ δυνάμεως ἀπώλειαν.

᾿Αντισήκωσις. ἡ ἀνταπόδοσις.

᾿Αντισηκοῦντα. ἐξισάζοντα, ζυγοστατοῦντα.

᾿Αντισθένης, [8] ᾿Αθηναῖος, ἀπὸ ῥητόρων φιλόσοφος

ſtant. Hippopotamus vero eſt animal injuſtiſſimum.

᾿Αντιπεπονθότως. Ex adverſo. Oppoſite.

᾿Αντιπεποιημένοι. [Capeſſentes. Aggredientes.] *Romani vero, cum mari quoque belli fortunam experiri decreviſſent, ad bellum perſequendum duplo animoſiores ſunt redditi.*

᾿Αντιπέρας. [E regione.] Acutum habet in penultima. Eſt enim vox compoſita, generis fœminini, & genitivi caſus. *E regione Thaſſi ſunt auri metalla.*

᾿Αντιπερίσπασμα. Impedimentum. *Ducem miſerunt, ut Gallos, qui cum Annibale erant, metu periculi ab altera parte intentati in patriam revocarent.*

Ἀντὶ πέρκης σκ. *Pro perca ſcorpionem.* Proverbium in eos, qui deteriora melioribus præferunt.

᾿Αντιπέτρια. Antipetria. Nomen urbis.

᾿Αντιπέτρου βήμ. Sophocles: *Ne amplius ex hoc edito loco, qui ære ſaxi vice ſtratus eſt, pedem moveas.* Hunc enim ſenſum habet vox ἀντιπέτρου. Vel, qui æreum limen habet. Vox vero χαλκοῦς materiam ſignificat, ex qua aliquid factum eſt, ut χαλκοῦς ἀνδριὰς, ærea ſtatua: eodem modo, quo χρύσεος, χρυσοῦς, aureus.

᾿Αντίπηξ. Arca lignea. Nomen compoſitum ex præpoſitione ἀντὶ, & verbo πήσσω, compingo.

᾿Αντιπροσκλήσεις. Contradictiones. Criminationes mutuæ.

᾿Αντίπροικα. Similia. *Populo ſimiliter indignante tumultus excitatus eſt.*

᾿Αντιποιηθέντα. Qui aliqua re cum altero contendit. * * * * Et ᾿Αντιποιούμενον, qui rei alicui ſtudet, vel eam curat. Polybius: *Aratus vero animadvertens Antigonum rerum agendarum peritia & prudentia præditum, fideique ſervandæ ſtudioſum eſſe; & ſciens, Reges natura neminem vel inimicum vel amicũ ducere, viſum ipſi eſt cum dicto Rege colloqui, & ſocietatem cum eo jungere.* † *Regi imperium vendicantes.* Xenophon. Et iterum: *Illius preces nihil curantes.*

᾿Αντίρροπον. Parem. Æqualem. [*Dicebant*] *enim Craſſi & ipſius legionum cladi parem fuiſſe Pacori & copiarum, quæ cum ipſo erant, interitum.*

᾿Αντισήκωσις. Retributio. Compenſatio.

Ἀντισηκοῦντα. Rependentem. Exæquantem. Librantem.

᾿Αντισθένης. Antiſthenes, Athenienſis, ex o-

---

[1] ῾Οι δὲ ῾Ρωμαῖοι ἀντιπεπ.] Hæc ſunt verba Polybii lib. I. cap. XXIV. ut Jac. Gronovius recte obſervavit.

[2] ᾿Εξαπέστειλαν στρατηγὸν, βουλ.] Locus hic apud Polybium lib. III. cap. CVI. ſic legitur: Αὐτοὶ δὲ Λεύκιον μὲν Ποστούμιον ἑξαπέλεκυν ὄντα στρατηγὸν στρατόπεδον δόντες εἰς Γαλατίαν ἐξαπέστειλαν, βουλόμενοι ποιεῖν ἀντιπερίσπασμα τοῖς Κελτοῖς, τοῖς μετ' ᾿Αννίβου στρατευομένοις. i. e. interprete Caſaubono: *Lucium quoque Poſtumium Prætorem in Galliam Patres eo conſilio miſerunt, ut Gallos, qui Hannibali militabant, in ſuam retraherent patriam.* ᾿Αντιπερίσπασμα eleganter a Polybio hic dicitur, quod Galli lingua ſua vocant *une diverſion.*

[3] ᾿Αντὶ πέρκης σκορπίον. παροιμία ἐπὶ τῶν τὰ χ.] Eadem habent Zenobius & Diogenianus.

[4] ᾿Αντιπέτρου βήματος. ἀντὶ γὰρ π.] Ex Scholiaſta Sophocl. ad *Oedip. Colon.* pag. 277. ut Portus monuit.

[5] Χαλκοῦς δὲ ἀνδριὰς τὸ μετουσ. ὡς χρύσεος, χρυσοῦς.] Hæc ex textu ejicienda ſunt, quoniam nec apud Scholiaſtam Sophoclis leguntur, nec ſenſui loci hujus congruunt.

[6] ῞Ομοια.] Hæc interpretatio non leviter mihi ſuſpecta eſt, quoniam vocem ἀντίπροικα longe aliud ſignificare, & de rebus, quæ vili pretio veneunt, dici conſtat. Quare amplius de hoc loco cogitandum cenſeo.

[7] Πολύβιος.] Lib. II. cap. XLVII. ut Jacobus Gronovius obſervavit.

[8] ᾿Αντισθένης, ᾿Αθην.] De hoc Antiſthene plura lege apud Laertium.

Σωκρατικός, ὅστις Περιπατητικὸς ἐκλήθη πρῶτον, εἶτα ἐκύνισεν· υἱὸς δὲ ὢν [1] ὁμωνύμου πατρὸς, μητρὸς δὲ τὸ γένος Θρᾴσσης. οὗτος συνέγραψε τόμους δέκα· πρῶτον Μαγικόν. ἀφηγεῖται δὲ περὶ Ζωροάστρου τινὸς μάγου, εὑρόντος τὴν σοφίαν. τοῦτο δέ τινες Ἀριστοτέλει· οἱ δὲ, Ῥόδωνι ἀνατιθέασι. οὗτος οὖν καὶ τῆς Κυνικῆς κατήρξατο φιλοσοφίας, ἥτις οὕτως ἐκλήθη, διὰ τὸ ἐν Κυνοσάργει τῷ γυμνασίῳ διδάξαι αὐτόν. καὶ Διογένους δὲ καθηγητὴς γέγονε τοῦ Κυνὸς, καὶ τῶν λοιπῶν. Ὅτι [2] ἀῤῥωστοῦντι Ἀντισθένει μακρὰν καὶ [3] δυσανάκλητον ἀῤῥωστίαν ὁ Διογένης ξιφείδιον ἐπιδέδωκεν, εἰπών· εἰ φίλου χρήζεις ὑπουργίας. [4] οὕτως ᾤετο ἐκεῖνος οὐδὲν ἀλγεινὸν τὸν θάνατον, [5] ὥστε γίνεσθαι τὴν ἀῤῥωστίαν τρυφὴν αὐτόχρημα.

Ἀντιστηρίζει. ἀντιλαμβάνεται.

Ἀντισπᾷν, ἐναντιοῦσθαι.

Ἄντισσα. μία πόλις ἐν Λέσβῳ.

Ἀντιστρόφους. ἀντὶ τοῦ ἰσοστρόφους. καὶ [6] Ἀριστοτέλης τὴν Διαλεκτικὴν ἀντίστροφόν φησιν εἶναι ἐν τῇ Ῥητορικῇ· ἐπειδὴ κἀκείνη περὶ τὰ πιθανὰ, ἃ τῷ ἔνδοξα εἶναι καὶ αὐτά ἐστι τοιαῦτα. τὸ γὰρ ἀντίστροφον ἀντὶ τοῦ ἰσόστροφον, καὶ περὶ τὰ αὐτὰ στρεφομένην καὶ καταγινομένην λέγει.

Ἀντιστοιχοῦντες. Ἔστησαν ὥσπερ μάλιστα χοροὶ ἀντιστοιχοῦντες ἀλλήλοις, [7] ἔχοντες γέῤῥα πάντες βοῶν λευκῶν.

Ἀντισχεῖν. ὑπομεῖναι. [8] Ἀντισχεῖν τῷ δίψει μὴ δυνηθέντες ἐπεκηρυκεύσαντο. καὶ Ἀντίσχωμαι, αὐθυπότακτον, ἀντιλάβωμαι.

Ἀντιτορήσας. διατρήσας, τοιχωρυχήσας. Ἐπεὶ δ᾽ ἀντιτορήσαντες κατά τι μέρος ἑώρων τὸν λόφον, δέος εἰσῄει σφᾶς.

Ἀντιτυπῆσαι. ἀντιπαθῆσαι. καὶ Ἀντιτυπία, ἐναντίωσις, σκληρότης. λαμβάνεται δὲ καὶ ἐπὶ ὁμοιότητος. ἐν Ἐπιγράμματι· Καὶ λίθον ἀντιτύπῳ κρούματι πυρσοτόκον. καὶ Ἀντίτυπον. [9] Πάσης αἰσθήσεως περὶ ἕν τι γένος ἐχούσης, [10] ἡ ἀφὴ οὐκ ἔχει περὶ ἓν κοινὸν γένος τῶν ἁπτῶν, φησὶν Ἀριστοτέλης. ὅτι καὶ αὐτὴ καταγίνεται περὶ ἕν τι γένος τῶν ἁπτῶν· ἀλλ᾽ οὐκ ἔστιν εὔδηλον τὸ ἓν γένος τὸ τῇ ἀφῇ ὑποκείμενον. διὰ δὲ τοῦτο ἐσήμανεν, ὅτι ἔστι μὲν, οὐ φανερὸν δέ. τί οὖν τοῦτό ἐστι; λέγομεν ὅτι τὸ ἀντίτυπον. Ἀντίτυπον δὲ λέγω, οὐ τὸ ἀντικείμενον τῷ μαλακῷ, καὶ μὴ ὑπεῖκον τῇ ἀφῇ· ἀλλὰ πᾶν φυσικὸν σῶμα τὸ τρισ-

ratore Philoſophus Socraticus; qui primum vocatus eſt Peripateticus, deinde Cynicum egit. Patrem habuit ejuſdem nominis, & matrem Thraciam. Hic conſcripſit Tomos x. Primum Magicum, in quo agit de Zoroaſtre quodam mago, qui ſapientiæ inventor extitit. Hoc tamen opus alii Ariſtoteli; alii vero Rhodioni tribuunt. Hic Cynicæ ſectæ princeps fuit, ſic appellatæ, quod in Cynoſarge gymnaſio docuerit. Fuit etiam Diogenis Canis & reliquorum præceptor. † Antiſtheni, diuturno & deſperato morbo laboranti, Diogenes porrexit pugionem, dicens: *Si amici miniſterio indiges.* Adeo ille mortem nec terribilem nec acerbam eſſe putabat.

Ἀντιστηρίζει. Fulcit. Apprehendit.

Ἀντισπᾷν. Retrahere. Adverſari.

Ἄντισσα. Antiſſa, una urbium Lesbi.

Ἀντιστρόφους. Qui circa eandem rem verſantur. Ariſtoteles Dialecticam Rhetoricæ ἀντίστροφον eſſe dixit, quia circa perſuaſibilia verſatur, quæ & ipſa ſunt ἔνδοξα, i. e. probabilia. Ἀντίστροφον enim pro ἰσόστροφον dixit: hoc eſt, in eiſdem rebus verſantem, & in eadem materia tractanda occupatam.

Ἀντιστοιχοῦντες. *Steterunt, tanquam chori, qui ordinibus inter ſe oppoſitis incedunt, omnes ſcuta ex pellibus boum alborum confecta habentes.*

Ἀντισχεῖν. Reſiſtere. Tolerare. *Illi vero, cum ſitim tolerare non poſſent, caduceatoribus miſſis pacem petierunt.* Et Ἀντίσχωμαι, ſubjunctivus, apprehendam.

Ἀντιτορήσας. Qui perforavit. Qui parietem perfodit. *Poſtquam vero quadam in parte parietem perforarunt, & collem viderunt, metus ipſos invaſit.*

Ἀντιτυπῆσαι. Per antipathiam quandam inter ſe diſſidere. Et Ἀντιτυπία, repercuſſio, durities: item, ſimilitudo. In Epigrammate: *Et ſilicem, ex quo crebra colliſione ignis excutitur.* Et Ἀντίτυπον, durum, ſive quod tactui reſiſtit. Cum omnes reliqui ſenſus certum quoddam habeant objectum; ſolus tactus non verſatur in uno & communi genere eorum, quæ tanguntur, ut ait Ariſtoteles. Habet tamen & tactus certum quoddam objectum, licet id non adeo manifeſtum ſit. Per hoc autem ſignificavit, habere quidem ea, quæ ſub tactum cadunt, commune quoddam genus, ſed id minus manifeſtum eſſe. Quodnam igitur eſt hoc genus? Dicimus eſſe τὸ ἀντίτυπον.

---

[1] Ὁμωνύμου πατρός] Wolfius & Portus ἀνωνύμου legendum eſſe ſuſpicantur: ſed fruſtra. Lectio enim Suidæ recte ſe habet, quoniam pater Antiſthenis itidem vocatus fuit Antiſthenes, ut ex Laertio conſtat.

[2] Ὅτι ἀῤῥωστοῦντι Ἀντισθένει μακρὰν καὶ δυσανάκλ.] Hæc & quæ ſequuntur ſunt verba Juliani Orat. VI. pag. 340.

[3] Δυσανάκλητον] Apud Julianum rectius legitur δυσανάληπτον.

[4] Οὕτως ᾤετο ἐκεῖνος οὐδὲν ἀλγ.] Julianus habet, οὕτως οὐδὲν ᾤετο δεινὸν ἐκεῖνος οὐδὲ ἀλγ. &c.

[5] Ὥστε γίνεσθαι τὴν ἀῤῥωστίαν τρ.] Hæc apud Julianum pluribus verbis interjectis ſequuntur, nec ad ſententiam præcedentem pertinent: unde apparet, ea temere loco huic adſuta eſſe.

[6] Καὶ Ἀριστοτέλης τὴν Διαλ. ἀντίστροφόν φησιν εἶναι τῇ Ῥητ.] Hæc & quæ ſequuntur ſunt verba Alexandri Aphrodiſæi in Topic. Ariſtot. pag. 4. ut Pearſonius obſervavit.

[7] Ἔχοντες γέῤῥα πάντες β.] Vide infra v. Πετάλῳ.

[8] Ἀντισχεῖν τῷ δίψει μὴ δυνηθέντες ἐπεκ.] Hoc fragmentum repetitur infra v. Ἐπικήρυξαν.

[9] Πάσης αἰσθήσεως περὶ ἕν τι γένος ἐχ.] Hæc & quæ ſequuntur uſque ad verba illa, καὶ κοινὸν εἶναι τὸ γένος τῶν ἁπτῶν, deſcripta ſunt ex Philopono in lib. II. Ariſtot. *de Anima*, M. 8. ut Pearſonius obſervavit.

[10] Ἡ ἀφὴ οὐκ ἔχει περὶ ἓν κοινὸν γένος τῶν ἁπτῶν, φησὶν Ἀριστ. ὅτι καὶ αὐτὴ κατας.] Hic locus apud Philoponum ſic legitur: Ἡ ἀφὴ οὐκ ἔχει περὶ ἓν κοινὸν γένος τῶν ἁπτῶν. οἱ δὲ Ἀττικοὶ ἐξηγηταὶ ἀκριβῶς ἐπιστήσαντες φασὶν, ὅτι πάνυ συντόμως καὶ ταύτης τὴν λύσιν ἐξήνεγκεν ὁ Ἀριστοτέλης, εἰπὼν, ὅτι καὶ αὐτὴ καταγίνεται &c.

πτὸν καὶ θιγγάνον τῆς ἁφῆς πρὸς ἀντιδιαστολὴν τῶν μαθηματικῶν σωμάτων, ἃ οὐ θιγγάνει, οὐδὲ ἀντιβαίνει τῇ ἁφῇ. τὸ οὖν ὁπωσοῦν ἀντιβαῖνον τῇ ἁφῇ τοῦτο φαμὲν ἀντίτυπον, καὶ κοινὸν εἶναι τὸ γένος τῶν ἁπτῶν. Καὶ Ἀντιτύπους ἀνθρώπους· σκληρούς, καὶ ἀνενδότους. μεταφορικῶς ἀπὸ τοῦ ἄκμονος καὶ τῆς σφύρας. [1] Καὶ τύπος ἀντίτυπος φησὶν ὁ χρησμός.

Ἀντίτυπον vero voco, non id quod oppoſitum eſt molli, & tactui non cedit: ſed quodvis corpus naturale, quod ſub tactum quovis modo cadit; ut diſtinguatur a corporibus mathematicis, quæ nec tangunt, nec tactui reſiſtunt. Quicquid igitur quovis modo tactui reſiſtit, hoc ἀντίτυπον appellamus, & commune genus rerum, quæ tactu ſentiuntur, eſſe dicimus. † Et homines ἀντίτυποι, ſunt homines duri, & qui cedere neſciunt: metaphora ducta ab incude & malleo. *Et ictus ictui contrarius*: inquit Oraculum.

Ἀντιφάνης, [2] Ἀθηναῖος, κωμικός, νεώτερος τοῦ Παναιτίου. ἔστι δὲ καὶ ἕτερος Ἀντιφάνης, Καρύστιος, [3] Τρανός, κατὰ Θέσπιν γεγονὼς τοῖς χρόνοις. καὶ Ἀντιφάνειος κωμῳδία, τοῦ Ἀντιφάνους.

Ἀντιφάνης. Δημοφάνους· οἱ δὲ, Στεφάνου, καὶ μητρὸς Οἰνόης, Κιανός· ὡς δέ τινες, Σμυρναῖος· κατὰ δὲ Διονύσιον, Ῥόδιος· κωμικὸς τῆς μέσης κωμῳδίας, ἀπὸ δούλων, ὥς τινες. γέγονε δὲ κατὰ τὴν ἐνενηκοστὴν τρίτην Ὀλυμπιάδα, καὶ ἔγραψε κωμῳδίας τξε΄. οἱ δὲ, σπ΄. νίκας δὲ εἷλε ιγ΄. παῖδά τε ἔσχε Στέφανον, καὶ αὐτὸν κωμικόν. τελευτᾷ δὲ ἐν Κίῳ οδ΄ ἐτῶν ὑπάρχων, κατά τινα τύχην ἀπίῳ βληθείς.

Ἀντιφάτης. ὄνομα κύριον.

Ἀντιφερίζειν. ἐρίζειν, ἐξισοῦσθαι. [4] Ἀντιφερίζεις σὺ Θεμιστοκλεῖ; ὃς ἐποίησε τὴν πόλιν ἡμῶν μεστὴν, εὑρὼν ἐπιχειλῆ. Ἀριστοφάνης φησίν.

Ἀντιφέρονται. ἐναντιοῦνται.

Ἀντιφῄς. ἀντὶ τοῦ ἀντιλέγεις.

Ἀντιφιλονεικεῖται. ἀντιθεραπεύει.

Ἀντίφθογγον. ὅμοιον.

Ἡ [5] πάρος ἀντίφθογγον ἀποκλάγξασα νομεῦσι
Πολλάκι καὶ δρυτόμοις, κίσσα, καὶ ἰχθυβόλοις.

Ἄντιφος. ὄνομα κύριον.

Ἀντιφῶν, [6] Ἀθηναῖος, τερατοσκόπος, καὶ ἐποποιός, καὶ σοφιστής. ἐκαλεῖτο δὲ Λογομάγειρος.

Ἀντιφῶν, [7] Σωφίλου, Ἀθηναῖος, τὸν δῆμον Ῥαμνούσιος, διδάσκαλος δὲ αὐτοῦ οὐδεὶς προσγινώσκεται. ἀλλ' ὅμως ἦρξε τοῦ δικανικοῦ χαρακτῆρος μετὰ Γοργίαν. λέγεται δὲ Θουκυδίδου γενέσθαι διδάσκαλος. ἐκαλεῖτο δὲ Νέστωρ.

Ἀντιφῶν, Ἀθηναῖος, ὀνειροκρίτης. περὶ κρίσεως ὀνείρων ἔγραψεν.

Ἀντιφωνῶ σοι. ἐγγυῶμαί σοι. σημαίνει καὶ τὸ ἀντιλέγω σοι.

Ἀντίχορδα. σύμφωνα.

Ἀντιφάνης. Antiphanes, Athenienſis, Comicus, junior Panætio. Fuit & alius Antiphanes, Caryſtius, Trani filius, qui Theſpidis temporibus vixit. Ἀντιφάνειος κωμῳδία, comœdia Antiphanis.

Ἀντιφάνης. Antiphanes, Demophanis F. vel, ſecundum alios, Stephani, & matris Oenoes, Cianus; vel, ut alii, Smyrnæus: at ſecundum Dionyſium, Rhodius, mediæ comœdiæ Comicus. Quidam etiam eum ſervum fuiſſe tradunt. Vixit Olympiade XCIII. ſcripſitque comœdias CCCLXV. vel, ut alii, CCLXXX. vicitque decies ter. Filium habuit Stephanum, Comicum & ipſum. Obiit in Cio, piro forte percuſſus, cum natus eſſet annos LXXIV.

Ἀντιφάτης. Antiphates. Nomen proprium.

Ἀντιφερίζειν. Contendere. Se alteri æquare. *Tu Themiſtocli te æquas? qui urbem noſtram implevit, cum ante muris careret.*

Ἀντιφέρονται. Adverſantur.

Ἀντιφῄς. Contradicis.

Ἀντιφιλονεικεῖται. Æmulatione cũ aliquo certat.

Ἀντίφθογγον. Similiter reſonantem.

Quæ ſæpe antea voce garrula reſpondi paſtoribus

Et lignicidis, ego pica, & piſcatoribus.

Ἄντιφος. Antiphus. Nomen proprium.

Ἀντιφῶν. Antiphon. Athenienſis, prodigiorum conjector & interpres, poeta Epicus, & Sophiſta. Vocabatur autem Logomagirus.

Ἀντιφῶν. Antiphon, Sophili F. Athenienſis, populo Rhamnuſius, cujus magiſter quidem ignoratur; at tamen poſt Gorgiam in eo dicendi genere excelluit, quod in cauſis forenſibus locum habet. Fertur Thucydidis fuiſſe magiſter: eidemque cognomen erat *Neſtor*.

Ἀντιφῶν. Antiphon, Athenienſis, ſomniorum conjector. Scripſit de interpretatione ſomniorum.

Ἀντιφωνῶ σοι. Spondeo tibi. Significat etiam contradico tibi.

Ἀντίχορδα. Conſona.

---

[1] Καὶ τύπος ἀντίτυπος] Integrum oraculum, ex quo verba hæc decerpta ſunt, legitur apud Herodotum lib. 1. pag. 17. & Stephanum Byzantium v. Τεγέα, quos vide.

[2] Ἀντιφάνης. Ἀθην.] De hoc vide Meurſium in *Bibliotheca Attica*. Cæterum, præter Antiphanes, quorum hic Suidas meminit, fuit etiam Antiphanes Bergæus, qui Ἄπιστα ſcripſit, quem laudat Stephanus v. Βέργη. Fuerunt & alii Antiphanes, quos recenſet Jonſius *de Script. Hiſt. Phil.* Lib. 1. cap. VI.

[3] Τρανός] Puto legendum Τρανοῦ, ut ſit nomen patris.

[4] Ἀντιφερίζεις σὺ Θεμιστ. ὃς ἐπ.] Hæc ſunt verba Ariſtophanis *Equit.* pag. 337. (235. Ed. Baſ. P.) ubi vide Scholiaſtam.

[5] Ἡ πάρος ἀντίφθ. ἀποκλ.] Diſtichum hoc eſt pars Epigrammatis, quod integrum legitur Anthol. lib. III. pag. 380. (264. Ed. Henr. Steph. ut Portus obſervavit.)

[6] Ἀντιφῶν, Ἀθην. τερατ.] De hoc Antiphonte vide quæ obſervarunt Meurſius in *Bibliotheca Attica*, Jonſius *de Scriptor. Hiſt. Phil.* lib. IV. pag. 326. & Menagius ad Laert. lib. II. Seg. XLVI.

[7] Ἀντιφῶν, Σωφ.] De hoc Antiphonte vide Plutarchum in *Vitis X Oratorum*, pag. 832. Philoſtratum *de Vit. Soph.* Lib. 1. pag. 501. Photium in *Bibliotheca*, pag. 1452. Meurſium in *Bibliotheca Attica*, & Jonſium *de Script. Hiſt. Phil.* pag. 325, 326.

Ἀντλεῖν ἀμφοτέραις. λείπει χερσί. παροιμία ἐπὶ τῶν σπουδῇ τι ποιούντων.

Ἀντλήσατε ὕδωρ. αἰτιατικῇ. Ἀντλῶ σοι δὲ ὕδωρ.

Ἀντλία. τὸ τοῦ πλοίου εἰσρέον ὕδωρ. [1] Ἀριστοφάνης· Οὐ γὰρ ἔτ' οἷός τ' εἰμὶ περιανέχειν τῆς ἀντλίας. ἀντὶ τοῦ ἀντέχειν καὶ περιγίνεσθαι τοῦ πράγματος.

Ἀντλία. [2] ἡ σκάφη.

Αὐτὴν [3] ἄρ' οἴσω συλλαβὼν τὴν ἀντλίαν.

ἀπὸ μεταφορᾶς τῶν πλοίων. λέγεται γὰρ ἀντλία καὶ ἡ πλοίου ἐκροή. καὶ Πισίδης·

Ἐκ τῶν ἐχόντων τὰς δυσώδεις ἀντλίας.

καὶ Ἄντλος, ἡ συγκομιδὴ τῶν ἀσταχύων ἐν τῇ ἅλῳ.

Καὶ ταύτας ἐφ' ἅλωνος, ἐφ' ᾧ πολὺν ἔβρασεν ἄντλον
Κριθῶν, καὶ λιπαρὸν εἶδε γεωμορίην.

Ἀντωμένη. συναντήσασα. καὶ Ἀντώμενοι, συμβαλόντες.

Ἀντονομάζει. ὀνόματα ἀντὶ ὀνομάτων τίθησι.

Ἄν του. ἄν τινος. Οἱ δὲ τοῦ συνεδρίου τὰ μὲν ἀκούσαντες, τὰ δὲ παρακούσαντες, ἀπέστειλαν, φήσαντες, ἄν του δέονται, πέμψειν πρὸς αὐτούς.

Ἀντοφθαλμῶ. ἀντιβλέπω ἐξ ἐναντίας.

Ἀντῳδή. παρὰ τοῖς κωμικοῖς ἡ ἀντιστροφή. καὶ Ἀντῳδόν, κατάλληλον.

Πολλάκι [4] δὲ κρέξασα πολύθροον, οἷά τις ἠχώ,
Κέρτομον ἀντῳδοῖς χείλεσιν ἁρμονίαν,

Νῦν ἐς γᾶν ἄγλωσσος ἀναύδητός τε πεσοῦσα
Κεῖμαι, μιμητὰν ζῆλον ἀνηναμένα.

Ἀντωμοσία. [5] γραφὴ κατά τινος ἔνορκος, περὶ ὧν ἠδικῆσθαί φησι. Διωμοσία δέ, ὁ ἑκατέρωθεν γινόμενος ὅρκος ὑπὸ τῶν διαδικαζομένων· τοῦ μέν, ὡς πράξαντα διώκει· τοῦ δέ, ὡς οὐκ ἔπραξεν. Ἐξωμοσία δέ, ἄρνησις σὺν ὅρκῳ, ὡς ἀδυνατοῦντος, ἢ παρὰ καιρὸν ὄντος αὐτῷ τοῦ λειτουργεῖν. † Ὥσπερ διωμοσία καὶ ἀντωμοσία τὸ αὐτὸ ἄμφω δηλοῖ· οὕτω καὶ [6] ἀνιππασία, καὶ διϊππασία, ἡ τῶν ἵππων ἅμιλλα. † [7] Ἀντωμοσία. γράμματά τινα γραψάντων, περὶ ὧν ἡ δίκη, ὅ, τε κατηγορούμενος καὶ ὁ κατηγορῶν, ἀποφέρουσι πρὸς τὴν ἀρχήν. καλεῖται δὲ οὕτως, ἐπειδὴ ἑκάτερος αὐτῶν ἀντώμνυεν, ὁ μέν, τἀληθῆ κατηγορήσειν· ὁ δέ, τἀληθῆ ἀπολογήσεσθαι.

Ἀντλεῖν ἀμφοτέραις. Ambabus haurire. Subauditur, manibus. Proverbium de iis, qui ſtudioſe aliquid faciunt.

Ἀντλήσατε ὕδωρ. Haurite aquam. Cum accuſativo. At ἀντλῶ σοι ὕδωρ. Haurio tibi aquam.

Ἀντλία. Sentina. Ariſtophanes: *Haud enim amplius poſſum tolerare iſtum fœtorem.* [Ὑπερέχειν enim hic poſitum eſt] pro ἀντέχειν & περιγίνεσθαι, i. e. reſiſtere & ſuperare.

Ἀντλία. Scapha, [in qua aliquid pinſitur.] *Ipſam afferam ſcapham.* Per tranſlationem ductam a navibus. Dicitur ἀντλία & ſentina navis. Et Piſides:

Et navibus, quæ fœtidas habent ſentinas.

Et Ἄντλος, ſpicarum acervus in area.

Et hac in area, in qua magnum trivit acervum
Hordei, & pinguem vidit meſſem.

Ἀντωμένη. Quæ obviam it. Et Ἀντώμενοι. Qui obviam veniunt. Qui prœlio congrediuntur.

Ἀντονομάζει. Nomina pro nominibus ponit.

Ἄν του. Si cujus. Si alicujus. *Qui vero in illo conſeſſu aderant, cum alia quidem audiviſſent, alia vero aures illorum præteriiſſent, eos dimiſerunt, dicentes, ſe, ſi qua re indigerent, ad ipſos miſſuros eſſe.*

Ἀντοφθαλμῶ. Ex adverſo intueor.

Ἀντῳδή. Sic apud Comicos ἀντιστροφὴ vocatur. Et Ἀντῳδόν, cantu reſpondens.

Ego [pica] quæ ſæpe garrivi, ut Echo quædā,
Sonum ab aliis auditum ore meo reddens & imitans,
Nunc humi elinguis & muta
Jaceo, vocemque humanam imitari deſii.

Ἀντωμοσία. Actio, quam quis juratus contra alterum inſtituit de injuriis, quibus ſe affectum eſſe dicit. Διωμοσία vero vocatur jusjurandum, quod utrinque præſtatur ab illis, qui in Judicio litigant: quorum alter dicit, ſe alterum accuſare, quod aliquid fecerit: alter vero ſe feciſſe negat. Ἐξωμοσία autem dicitur jusjurandum, quo quis affirmat vel ſe non poſſe munus aliquod publicum obire, vel id præter legitimum tempus ſibi injungi. † Ut διωμοσία & ἀντωμοσία idem ſignificant; ſic etiam ἀνθιππασία & διϊππασία, i. e. certamen equeſtre. † Ἀντωμοσία. [Mutuum utriuſque partis jusjurandum, quod tunc præſtatur, cum] actor & reus capita litis, ſcripto comprehenſa, magiſtratui offerunt. Dicta eſt autem ἀντωμοσία, quia utraque pars jurabat, actor quidem, ſe alterum juſtam ob cauſam accuſaturum; reus vero, ſe juſta defenſione uſurum eſſe.

Ἀντωμοσία. ἡ τοῦ ἀντιδίκου. [8] Ὑπωμοσία δέ, οἷον

Ἀντωμοσία. Jusjurandum adverſarii in Judicio.

---

[1] Ἀριστοφάνης. Οὐ γὰρ ἔθ' οἷός τ' εἰμὶ περ.] Apud Ariſtophanem in *Pace* pag. 625. (435. Ed. Baſ.) locus hic ita legitur:

Οὐ γὰρ ἔθ' οἷός τ' εἰμ' ὑπερέχειν τῆς ἀντλίας.

Vide ibi veterem Enarratorem.

[2] Ἡ σκάφη] Hanc lectionem ex MSS. Pariſ. revocavi. In prioribus enim Edit. male excuſum eſt ἡ σκευή.

[3] Αὐτὴν ἄρ' οἴσω συλλ.] Hæc ſunt verba Ariſtophanis loco paulo ante laudato.

[4] Πολλάκι δὲ κρέξασα πολ.] Epigramma hoc legitur Anthol. lib. III. pag. 380. (264. Ed. Henr. Steph. ut Portus monuit.)

[5] Ἀντωμοσία. γραφὴ κατά τινος ἐνορκ.] Hæc excerpta ſunt ex Scholiaſta Ariſtoph. ad *Veſpas*, pag. 565.

[6] Ἀνιππασία] Legendum eſt ἀνθιππασία, ut Portus recte monuit.

[7] Ἀντωμοσία. γράμματά τινα γραψ.] Hæc & quæ ſequuntur leguntur etiam apud Harpocrationem; itemque Scholiaſtam Ariſtophanis loco paulo ante laudato.

[8] Ὑπωμοσία δέ, οἷον ὅταν τ.] Vide quæ notavimus ſupra v. Ἀνθυπωμοσίαι

ὅταν τις σκήπτηται κάμνειν, ἢ ἓν τοιοῦτον. [1] Παράστασις δὲ, ἡ διδομένη ἴσως τῷ γραμματιδίῳ, ἐν ᾧ τὸ ἔγκλημα γέγραπται, ὅπως ἐγγραφῇ εἰς τὰ ἐγκλήματα. Πρυτανεῖα δὲ τὰ ταμεῖα, ἃ κατεβάλλετο ἕκαστος, ὅπως εἰσαχθῇ ἡ δίκη. οἱ δὲ Ἀντωμοσίαν, τὴν ἐπὶ πράγμασιν ἀμαρτύροις, καὶ ἀνέγγραφον, εἰς ὅρκον περιϊσταμένην δίκην, ἐφ' οἷς οἱ κριταὶ δικάζουσιν. ἔνιοι δὲ, ὅταν ἐπὶ δημοσίῳ ἀγῶνι σκηπτομένου τινὸς κάμνειν, ὁ [2] ἀντίδικος ἀντομνύηται, φάσκων, προσποιεῖσθαι αὐτὸν, περὶ τούτου διαλαμβάνουσιν οἱ δικασταί. [3] ἢ ὁ τοῦ κατηγορουμένου ὅρκος ἐπὶ τῷ τἀληθῆ ἀπολογήσασθαι· ὥσπερ τοῦ κατηγοροῦντος πρότερον διωμοσία, ἐπὶ τῷ τἀληθῆ κατηγορήσειν.

Ὑπωμοσία vero dicitur jusjurandum, quod tunc locum habet, cum quis morbum causatur, vel simile quid. Παράστασις vero dicitur libellus actionis, quem actor edit, & cum reo communicat. Πρυτανεῖα vero vocantur sportulæ, quas uterque litigantium solvit, ut causa in judicium introducatur. Alii vero Ἀντωμοσίαν vocant litem super rebus teste carentibus, nec scripto comprehensam, & quam jurejurando interposito dirimi judices jubent. Alii vero, cum reus in judicio publice ob excusationem morbi non comparet, & adversarius jurat, eum falso simulare morbum, judicesque ea de re judicium instituunt, [id ἀντωμοσίαν vocari tradunt.] Vel sic appellatur jusjurandum, quo reus jurat, se justa defensione usurũ esse: uti jusjurandum, quo actor jurat, se veri criminis causa reum accusaturum esse, vocatur διωμοσία.

Ἀντωνία. [4] πόλις.

Ἀντωνία. Antonia. Urbs.

Ἀντωνῖνος, [5] βασιλεὺς Ῥωμαίων, ὁ Σεβήρου, πρὸς τοῖς ἄλλοις κακοῖς καὶ ταῖς μιαιφονίαις χαίρων. καὶ οἱ στρατιῶται τοῦ βιάζεσθαι καὶ ἁρπάζειν λαβόντες ἐξουσίαν, οὐκέτι κατ' οὐδὲν διεκρίνοντο. τοιαῦτα δὲ πράττων, ὑπό τε τῶν ἔργων ἐλαυνόμενος, καὶ πρὸς τὴν ἐν πόλει διατριβὴν ἀπεχθῶς ἔχων, ἀπεδήμει τῆς Ῥώμης, ὡς δὴ καὶ τὰ στρατόπεδα διοικήσων, καὶ τὰ ἔθνη ἐποψόμενος. ἐπεὶ δὲ τὸν Ἴστρον κατέλαβε, καὶ τοὺς ἐκεῖσε Γερμανοὺς ἐφιλοποιήσατο, ὡς καὶ συμμάχους παρ' αὐτῶν λαβεῖν, καὶ τοῦ σώματος φρουρούς, καὶ ταῖς φορεσίαις αὐτῶν χρῆσθαι. οὕτω τε καὶ ὑπὸ τῶν βαρβάρων καὶ ὑπὸ τῶν στρατιωτῶν ἠγαπᾶτο, κοινὸς ὢν πρὸς ἅπαντας, ὡς συστρατιώτης μᾶλλον ἢ βασιλεὺς παρ' αὐτῶν [6] χαίρειν λεγόμενος. ἐπειδὴ δὲ καὶ ἐς τὴν Μακεδονίαν ἀφίκετο, Ἀλέξανδρον ἑαυτὸν ὠνόμασεν. ἐκεῖθέν τε εἰς Πέργαμον παραγέγονε, καὶ ἐπὶ τὸν Ἀχιλλέως τάφον καὶ στεφάνοις κοσμήσας καὶ ἄνθεσι, τὸν Ἀχιλλέα ἐμιμεῖτο. καὶ διὰ τῆς Ἀσίας καὶ τῶν ἄλλων ἐθνῶν εἰς Ἀντιόχειαν ἀφίκετο, καὶ διατρίψας χρόνον τινὰ, ἐπὶ τὴν Ἀλεξάνδρειαν ἐστέλλετο, πρόφασιν ποιούμενος τὴν Ἀλεξάνδρου πόλιν ποθεῖν. ὡς δὲ ἐσήλασεν ἐν αὐτῇ σὺν παντὶ τῷ στρατῷ, ὑπεδέχθη παρὰ τῶν Ἀλεξανδρέων ὡς οὔπω τις βασιλέων πρότερον. καὶ ἐλθὼν εἰς τὸ Ἀλεξάνδρου μνῆμα, τήν τε χλαμύδα ἣν ἐφόρει καὶ τὸν δακτύλιον, καὶ τὴν ζώνην, καὶ εἴ τι πολυτελὲς, περιελόμενος ἐπέθηκε τῇ ἐκείνου σορῷ. [7] ὁ δὲ δῆμος ἔχαιρεν, οὐκ εἰδὼς τὴν τοῦτο λανθάνουσαν γνώμην. ἔγνω γὰρ, ὅτι πολλὰ ἐς αὐτόν τε καὶ τὴν μητέρα ἀπέσκωψαν. διὰ δὲ προγράμματος τὴν νεολαίαν εἴς τι πεδίον κελεύει συνελθεῖν, φήσας, εἰς τὴν Ἀλεξάνδρου τιμὴν φάλαγγας συστήσασθαι. οἱ δὲ, συν-

Ἀντωνῖνος. Antoninus, Romanorum Imperator, Severi F. præter cætera mala cædibus etiam gaudebat. Eo igitur imperante milites potestatem rapiendi vimque faciendi nacti, sine discrimine omnes invadebant. Talia igitur cum patraret, stimulante eum malorum facinorum conscientia, vitamque urbanam perosus, Roma discessit, ut & milites ordinaret, & provincias inviseret. Cum igitur ad Danubii ripas pervenisset, adeo Germanos illic agentes sibi adjunxit, ut ex iis auxiliares & corporis custodes conscriberet, eorumque vestibus & cultu uteretur. Mirifice igitur tam a Barbaris quam militibus diligebatur, quippe qui comis esset & popularis, seque libentius commilitonem vocari quam principem ferret. Postquam vero Macedoniam ingressus est, Alexandri nomen adscivit. Inde cum Pergamum venisset, & Achillis tumulum coronis & floribus exornasset, Achillem agere cœpit. Hinc digressus peragrata Asia & reliquis provinciis Antiochiam introivit: ubi aliquandiu moratus Alexandriam iter suscepit, prætexens huic itineri desiderium visendæ urbis ab Alexandro conditæ. Eam igitur cum omni exercitu ingressus, sic ab Alexandrinis exceptus est, ut nemo ante eum Imperator. Cumque Alexandri monumentum intrasset, demptum sibi paludamentum cum annulo & balteo, & si quid præterea preciosum gerebat, solio ejus imposuit. Populus vero Alexandrinus supra modum lætabatur, ignarus, quidnam ille occulti consilii tegeret. Cum enim sciret, Alexandrinos antea multis dictis contumeliosis se & matrem suam vellicasse; juventutem in planitiem quandam convenire

---

[1] Παράστασις δὲ, ἡ διδ.] Vide infra v. Παράστασις, & v. Παραστησόμεθα.

[2] Ὁ ἀντίδικος ἀντομνύηται, φ.] Vide quæ observavimus supra v. Ἀνθυπωμοσία.

[3] Ἢ ὁ τοῦ κατηγορ.] Vide Petitum in Commentario ad Leges Attic. pag. 322.

[4] Ἀντωνία. πόλις] Sic olim vocata fuit Byzantium tempore Severi & filii ejus Antonini. Eustathius ad Dionysium v. 804. Ὀνομασθῆναι δέ ποτε αὐτὸ (Βυζάντιον) καὶ Ἀντωνίαν, ἕως περιῆν Σεβῆρος καὶ ὁ ἐκείνου παῖς Ἀντωνῖνος. Idem testatur Hesychius Milesius in *Origin. Constantinop.* pag. 53. his verbis: Μέχρι μὲν οὖν περιῆν Σεβῆρος καὶ ὁ τούτου παῖς Ἀντωνῖνος, ἡ πόλις Ἀντωνία προσηγορεύετο. Sed Meursius ad illum locum recte monet scribendum potius esse Ἀντωνινία. Exstant enim nummi veteres Severi & Antonini, in quibus legitur, *Antoneinia Byzantion Sebasta.*

[5] Ἀντωνῖνος, βασιλεὺς Ῥωμ. ὁ Σεβήρου, πρὸς τοῖς ἄλλοις κακ.] Hæc & quæ sequuntur usque ad illa, τὸν Νεῖλον ἅπαντα φοινιχθῆναι, sunt verba Joannis Antiocheni apud Constantinum in Excerptis a Valesio editis, pag. 825.

[6] Χαίρειν] Hæc vox deest in prioribus Edit. quam ex Joanne Antiocheno revocavi.

[7] Ὁ δὲ δῆμος ἔχαιρεν, οὐκ εἰδ.] Apud Joannem Antiochenum sic legitur: ὁ δὲ δῆμος ὁρῶν ὑπερέχαιρεν παννυχίζων τε καὶ ἑορτάζων, οὐκ εἰδὼς &c.

ἦλθον ἀγαθαῖς ἐλπίσι. στιχηδὸν δὲ ἑστῶτας ἰδὼν, αὐτὸς μὲν ἐξῆλθεν, ἐπαφῆκε δὲ τοὺς στρατιώτας· καὶ πάντας συνέκοψαν. τοσοῦτος δὲ ἐγένετο φόνος, ὥστε τὸν Νεῖλον ἅπαντα φοινιχθῆναι. [1] Ὅτι Σευῆρος καὶ πάνυ πᾶσι τοῖς εἰς ἀρετὴν τείνουσι, καὶ κατὰ τὸ σῶμα, καὶ κατὰ τὴν ψυχὴν, ἤσκησε τὸν Ἀντωνῖνον, ὥστε καὶ αὐτοκράτορα ἤδη ὄντα, καὶ διδασκάλοις συνεῖναι, καὶ τὸ πολὺ τῆς ἡμέρας φιλοσοφεῖν. ἐξηραλοίφει τε καὶ ἵππευε ἐς ν' καὶ ψ' σταδίους. καὶ προσέτι καὶ νήχεσθαι καὶ ἐν κλύδωνι ἠσκεῖτο. ὁ δὲ ἐκ μὲν τούτων τρόπον τινὰ ἐῤῥώσθη· τῆς δὲ ἄλλης παιδεύσεως, ὡς οὐδὲ τὸ ὄνομα αὐτῆς πώποτε ἀκηκοὼς, ἐπελάθετο. οὐ μέντοι καὶ κακοῤῥήμων ἢ κακογνώμων ἦν· ἀλλὰ καὶ συνίει πολλὰ ὀξύτατα, καὶ ἔφραζεν ἑτοιμότατα. τῇ τε γὰρ ἐξουσίᾳ καὶ τῇ προπετείᾳ, τῷ πάνθ' [2] ὁμοίως τὰ προϊστάμενά οἱ ἀπερισκέπτως ἐκλαλεῖν, καὶ τῷ μηδενὶ αὐτῶν ἐκφαίνειν αἰσχύνεσθαι, ἐπιτυχίᾳ τινὶ πολλάκις περιέπιπτεν. Ὅτι [3] Ἀντωνῖνος ὁ βασιλεὺς ἄριστος ἦν, καὶ μάλιστα Νουμᾷ κατὰ τὸ τῆς ἡγεμονίας ὁμοιότροπον ἄξιος παραβάλλεσθαι, καθάπερ δὴ Ῥωμύλῳ Τραϊανὸς ὤφθη παραπλήσιος. τόν τε γὰρ ἰδιώτην ὁ Ἀντωνῖνος ἄριστα καὶ ἐντιμότατα διετέλεσε βίον, καὶ κατὰ τὴν ἡγεμονίαν ἀμείνων ἔδοξεν εἶναι καὶ σωφρονέστερος, οὐδενὶ τραχὺς οὐδὲ φορτικὸς, ἀλλὰ πρὸς ἅπαντας χρηστός τε καὶ ἤπιος ἦν. ἔν γε μὴν τοῖς πολεμικοῖς ἀπὸ τοῦ δικαίου μᾶλλον ἢ τοῦ κερδαλέου δόξαν θηρώμενος, φυλάττειν σώους, ἤπερ εἰς μέγεθος ἐκφέρειν [4] τοὺς τῆς ἀρχῆς ἐγίνωσκεν ἄνδρας· ὡς ἔνι μάλιστα πλείστην τοῦ δικαίου ποιούμενος ἐπιμέλειαν. ταῖς τῶν δημοσίων ἐφιστὰς διοικήσεσι, [5] τοὺς μὲν ἀγαθοὺς τὴν ἡγεμονίαν ταῖς παρ' αὐτοῦ τιμαῖς ἀμειβόμενος· τοὺς γε μὴν φαύλους δίχα τινὸς τραχύτητος τῶν κοινῶν ἀπελαύνων πραγμάτων. οὐκ οὖν ὑπὸ τῶν οἰκείων μόνον, ἀλλ' ἤδη καὶ πρὸς τῶν ἀλλοφύλων ἐθαυμάζετο· ὡς τῶν προσοίκων τινὰς βαρβάρων τὰ ὅπλα κατατιθεμένους, [6] ἐπιτρέποντάς τε τῷ βασιλεῖ τὰς δίκας, διαλύεσθαι ταῖς ἐκείνου ψήφοις. αὐτὸς δὲ παρὰ τὸν ἰδιώτην βίον πολύ τι πλῆθος χρημάτων κεκτημένος, ἐπειδὴ παρῆλθεν εἰς τὴν ἡγεμονίαν, τὴν μὲν ἑαυτοῦ περιουσίαν εἴς τε τῶν στρατιωτῶν καὶ τῶν φίλων ἀπανήλωσε δωρεὰς, τῶν τε δημοσίων θησαυρῶν πλῆθος παντοδαπῶν ἀπέλιπε χρημάτων, τήν τε τοῦ εὐσεβοῦς ἐπίκλησιν ἐκ τοῦ ἤθους πρῶτος ἀπηνέγκατο.

Ἀντώνιος [7] Σατουρνῖνος. ἐπίῤῥητος, καὶ βδελυρὸς, παρὰ Οὐεσπασιανοῦ ἐς τὴν βουλὴν ἐνεγράφη, Οὐεσπασιανοῦ σοφισαμένου γελοιότατα τοῦτο. ἀξιώσει γὰρ αὐτὸν περιέβαλε, κακίας δοὺς ἀκερδὲς μὲν, σεμνὸν δὲ ὅμως τόδε ἆθλον.

edicto propoſito juſſit, dicens, ſibi in animo eſſe in honorem Alexandri Phalanges conſcribere. Illi igitur ſpe alacres convenerunt: quos Antoninus inſtructis ordinibus diſpoſitos videns, ipſe quidem ſe ſubduxit; ſed milites in eos immiſit, qui omnes trucidarunt. Tanta autem cædes tunc facta eſt, ut totus Nilus ſanguine inficeretur. † Severus omnibus ſtudiis, tam ad animum quam corpus pertinentibus, Antoninum excoluit, adeo ut tum etiam, cum Imperator jam eſſet, & magiſtris uteretur, & magnam diei partem philoſophiæ impenderet. Adhæc exercitiis palæſtricis operam dabat, & ad DCCL. ſtadia equitando interdum conficiebat, natandoque vel in tempeſtate ſedulo ſe exercebat. At ille his quidem rebus robur corporis aliquo modo confirmavit: ſed omnis reliquæ doctrinæ adeo oblitus eſt, quaſi ne nomen quidem illius unquam ante audiviſſet. Neque tamen indiſertus erat, aut judicii omnino expers, ſed & multa acutiſſime perſpiciebat, & expeditiſſime eloquebatur. Nam cum libere quidvis facere & dicere ei liceret, & temere omnia inconſiderateque effutire ſoleret, nec ulla re erubeſceret, caſu ſæpe ſcopum attingebat. † Antoninus, Imperator optimus, imperium ita geſſit, ut dignus ſit, qui Numæ comparetur: ſicut Trajanus cum Romulo conferendus videtur. Vixit enim ingenti moderatione privatus; majori in imperio: nulli acerbus, cunctis benignus. In bellis juſtitiæ gloriam commodis ſuis prætulit, civiumque ſuorum ſaluti potius conſulere, quam imperii fines amplificare ſtuduit. Juſtitiæ ſummam rationem habuit, bonoſque viros adminiſtrationi Reip. præfecit, virtutem honoribus remunerans, maloſque ſine ulla aſperitate a Rep. removens. Itaque non ſuis tantum, ſed etiam exteris admirationi fuit, adeo ut quidam finitimorum Barbarorum armis poſitis eum controverſiarum ſuarum arbitrum conſtituerent. Hic ante imperium ditiſſimus patrimonium ſuum ſtipendiis militum & liberalitatibus erga amicos exhauſit; at ærarium opulentum reliquit, primuſque Imperatorum *Pius* propter clementiam dictus eſt.

Ἀντώνιος Σατουρνῖνος. *Antonius Saturninus, homo flagitioſiſſimus & impurus fuit: quem Veſpaſianus ridiculo ſane commento in Senatum adſcivit. Honore enim eum ornavit, flagitiis præmium tribuens, quod, quamvis lucri nihil afferret, cum dignitate tamen conjunctum erat.*

---

[1] Ὅτι Σευῆρος καὶ πάνυ πᾶσι τοῖς εἰς ἀρ.] Hæc & quæ ſequuntur uſque ad verba illa, ἐπιτυχίᾳ τινὶ πολλάκις περιέπιπτεν, leguntur apud Dionem in *Antonino Caracalla* pag. 430.

[2] Πάνθ' ὁμοίως τὰ προϊστάμενα] Apud Dionem rectius legitur, πάνθ' ὁμοίως τὰ ἐπελθόντα.

[3] Ὅτι Ἀντωνῖνος ὁ βασιλεὺς ἄριστος ἦν] Hæc & quæ ſequuntur uſque ad πρῶτος ἀπηνέγκατο, ſunt verba Joannis Antiocheni in Excerptis Peireſc. pag. 818. 821.

[4] Τοὺς τῆς ἀρχῆς ἐγίνωσκεν ἄνδρας] Locus hic ſalebroſus eſt, quem addita voce ὅρους ſic legendum & diſtinguendum puto: τοὺς τῆς ἀρχῆς [ὅρους] ἐγίνωσκεν· ἄνδρας ὡς ἔνι μάλιστα πλείστην τοῦ δικαίου ποιουμένους ἐπιμέλειαν ταῖς τῶν δημοσίων &c. Hæc lectio ſenſum loci hujus planiſſimum reddit.

[5] Τοὺς μὲν ἀγαθοὺς τὴν ἡγεμονίαν] Apud Joannem Antiochenum rectius legitur τοὺς μὲν ἀγ. τῶν ἡγεμόνων.

[6] Ἐπιτρέποντάς τε τῷ βασ.] Sic etiam apud Joannem Antiochenum legitur. Sed orationis ſeries & ſenſus potius requirit, ut legatur, ἐπιτρέπειν τῷ βασιλεῖ.

[7] Ἀντώνιος Σατουρν. ἐπίῤῥητος καὶ βδελ.] Vide infra v. Ἀξίωσις, ubi pars loci hujus addito Æliani nomine repetitur.

Ἀντώνιος [1] Ἀλεξανδρεύς, ὃς ἐνδεέστερον ἔχων πρὸς τοὺς λόγους, οὐ πάνυ τις ἦν ἀκριβής· πρὸς δὲ ἀλήθειαν ἱερώτατος ἐγεγόνει, καὶ λίαν ἔρρωτο τὴν ψυχὴν πρὸς θεοῦ θεραπείαν, τήν τε δημοτελῆ, καὶ ἀπορρητοτέραν· ὥστε καὶ τὴν Γάζαν ἀπέφηνεν ἱερωτέραν πολλῷ μᾶλλον, ἢ πρότερον ἦν. ἐμβὰς δὲ εἰς πολιτικὰς ὑποθέσεις, καὶ δικασάμενος ὑπὲρ τῆς ἀδελφῆς, προέστη αὐτῆς ἐκθυμότερον τοῦ μετρίου, καὶ ὑπερεδικάζετο κατὰ τὸ καρτερώτατον, οὔτε χρόνου φειδόμενος, εἰς οὐδὲν δέον δαπανωμένου, οὔτε δόξης ἀμείνονος ἐπιστροφήν τινα ποιησάμενος. ἤκουσε γὰρ κακῶς ὑπὸ τῶν τότε ἀνθρώπων, οὐχ ὡς ἀδικῶν, ἀλλ' ὡς φιλοδικῶν. ἀνέβη γὰρ καὶ εἰς τὸ Βυζάντιον ἐπὶ τῇ δίκῃ, καὶ σφόδρα φιλόνεικος ἔδοξέ τις εἶναι. περιγενόμενος δὲ τῶν ἀντιδίκων, ταύτην μὲν ἐξέδωκεν ἑτέρῳ ἀνδρί. αὐτὸς δὲ ἐν ἡσυχίᾳ καὶ ἀπραγμοσύνῃ τὸ λοιπὸν τοῦ βίου διετέλει, ὀλίγα μὲν ἐν φιλοσοφίᾳ, τὰ δὲ πλείω διαιτώμενος ἐν τοῖς ἱεροῖς. ἁπλοῦς δὲ ἦν τὸ ἦθος, καὶ ἕτοιμος εἰς εὐεργεσίας, ἄλλως τε, καὶ ἐς τὰς τῶν ἱερῶν. ἔγωγε οὖν καὶ αὐτὸς ὁμολογῶ τῷ ἀνδρὶ μεγίστην ἀτεχνῶς τὴν χάριν, ἣν ἀμείψασθαι αὐτὸν εὔχομαι τοὺς θεοὺς ἐν μακάρων νήσοις ἤδη συζῆν ἠξιωμένον.

Ἀντωπεῖ. δοτικῇ. ἀντοφθαλμεῖ. ἐξ οὗ καὶ Ἀντώπησαν οἱ ὀφθαλμοί. Καὶ Ἀντωπόν. ἀντὶ τοῦ, κατὰ πρόσωπον, ἀπέναντι. [2] Ἀγαθίας· Ὁ δὲ οὐκ ἀνίει, νῦν μὲν ἀθρόον ἀπιών, νῦν δὲ ἀντωπὸν ἠρέμα εἰς τοὐπίσω ὑποχαζόμενος. Καὶ αὖθις·

——Οὐδ' [3] ἀπ' ἐμεῖο
Κλήζεται ἀντωπὸν Βοσπόριον πέλαγος.

Ἄντρα νύχια. σκοτεινὰ σπήλαια.

Ἀντριάσι. ταῖς τοῖς ἄντροις φιλοχωρούσαις.
Ὄφρ' [4] εἴην λιπαρῶν παίγνιον Ἀντριάδων.

Ἄντρον. σπήλαιον. καὶ Ἀντρώδη, σπηλαιώδη.

Ἀντρῶνες. πόλις ἐν Θετταλίᾳ. καὶ [5] Ἀντρώνιος ὄνος. ὡς μεγίστων γινομένων ἐν Ἀντρῶσιν.

Ἄντυγες. αἱ περιφέρειαι τῶν ἁρμάτων.
Ἕκτωρ [6] μέν, ᾧ δὴ τοῦδ' ἐδωρήθη πάρα,
Ζωστῆρι πρισθεὶς ἱππικῶν ἐξ ἀντύγων
Ἐκνάπτετ' αἰέν, ἔς τ' ἀπέψυξε βίον.

Ἀντυγωτός. συνδεδεμένος. ἐπειδὴ αἱ ἄντυγες καταδέονται. παρὰ τὸ ἀντυγῶ ῥῆμα.

Ἄντυλλος, [7] ῥήτωρ.

Ἄνοια. ἡ ἀναισθησία.

Ἀντώνιος Ἀλεξ. Antonius Alexandrinus, vir quidem fuit ſcientiis parum excultus, ſed rebus ſacris maxime deditus, & religionis tam popularis quam arcanæ & a vulgi notitia remotæ cultor ſtudioſiſſimus: adeo ut Gazam multo religioſiorem redderet, quam antea fuerat. Cum vero negotiis forenſibus ſe immiſcuiſſet, cauſam ſororis immoderatius egit, acerrimeque defendit, neque tempori parcens, quod fruſtra conſumebatur, neque famæ melioris ullam rationem habens. Male enim tunc audiebat, non quidem ut homo injuſtus, ſed ut litium nimis amans. Nam cum ejus litis cauſa Byzantium profectus eſſet, valde contentioſus eſſe viſus eſt. Adverſariis vero victis, ſororem alteri viro elocavit: ipſe vero reliquum vitæ tempus in ocio & quiete tranſegit, raro quidem cum Philoſophis, plerumque vero in templis verſans. Quod ad mores ejus attinet, homo fuit ſimplex & apertus, promptæque cum erga quoſvis, tum præcipue in res ſacras liberalitatis. Atque ego quoque fateor, me plurimum illi viro debere, Deoſque precor, ut in Beatorum Inſulis, ubi jam contubernio illorum fruitur, gratiam ipſi referant.

Ἀντωπεῖ. Dativo jungitur. Adverſis oculis intuetur. Et Ἀντωπόν. Adverſa facie. Ex adverſo. Agathias: *Ille vero multos hoſtium occidit, nunc quidem cum impetu in eos irruens, nunc vero adverſa fronte paulatim pedem referens.* Et iterum:

——*Neque a me*
Nomen accepit Boſphorium pelagus, quod in conſpectu jacet.

Ἄντρα νύχια. Antra obſcura.

Ἀντριάσι. [Nymphis,] quæ in antris degunt.
Ut ſim oblectamentum pulchrarum [Nympharum,] in antris degentium.

Ἄντρον. Antrum. Spelunca. Et Ἀντρώδη. Loca ſpeluncis antriſque plena.

Ἀντρῶνες. Antrones, urbs in Theſſalia. Et *Antronius aſinus*; [proverbium, quod dicitur de aſinis magnis:] quod in urbe illa aſini maximi gignerentur.

Ἄντυγες. Orbes rotarum. [Sophocles:] *Hectorem balteo illo, quo a me donatus fuit, currui alligatum equi raptarunt, donec animam efflaret.*

Ἀντυγωτός. Colligatus. Extremitates enim rotarum ferro ambiente vinciri ſolent. A verbo ἀντυγόω.

Ἄντυλλος. Antyllus orator.

Ἄνοια. Amentia. Stupor.

---

[1] Ἀντώνιος Ἀλεξανδρεύς, ὃς ἐνδ.] Totum hunc articulum de Antonio Alexandrino deſcriptum eſſe ex Damaſcio, (ex quo excerpta leguntur apud Photium) ſtilus arguit.

[2] Ἀγαθίας· Ὁ δὲ οὐκ ἀνίει, νῦν μ.] Apud Agathiam lib. 1. pag. 26. locus hic ita legitur: Ὁ δὲ πολλοὺς τῶν πολεμίων διέφθειρε, νῦν μὲν ἀθρόον ἐπιών, νῦν δὲ ἀντωπὸς ἠρέμα &c. Hanc lectionem in verſione ſecutus ſum.

[3] Οὐδ' ἀπ' ἐμεῖο κλ.] Verba hæc decerpta ſunt ex Epigrammate in buculam æream, juxta Boſphorum olim collocatam, quod integrum legitur Anthol. lib. III. cap. XII. pag. 325. Vide etiam infra v. Βοΐδιον.

[4] Ὄφρ' εἴην λιπαρῶν παίγν. Ἀντρ.] Verba hæc ſunt pars Epigrammatis, quod ex Anthologia Epigrammatum inedita integrum exhibemus infra v. Λαβύρινθος.

[5] Ἀντρώνιος ὄνος] Vide ſupra v. Ἀνδρώνιος ὄνος.

[6] Ἕκτωρ μέν, ᾧ δὴ τοῦδ' ἐδ.] Hæc ſunt verba Sophoclis in *Ajace Flag.* pag. 59. ut Portus obſervavit.

[7] Ἄντυλλος ῥήτωρ] Vide Meurſium in Bibliotheca Græca.

Ἀνοίγει. δωρικῆ. καὶ Ἀνοιγνύει, διχῶς. Ἀνοίγω γὰρ τὸ διαχωρίζω. καὶ μετ' αἰτιατικῆς. ὡς τὸ, Ἄνοιγε σὸν στόμα λόγῳ Ἰησοῦ. καὶ Ἀνοιγομένοις τοῖς κτήνεσιν, ἀντὶ τοῦ σχιζομένοις. Ἡρόδοτος. Ἀνοιγνυμένων δὲ τῶν τάφων, ὑφ' ἡλίῳ μάρτυρι δὲ τῶν ὀστῶν ἀτίμως ἐκκομιζομένων ἐς ταφὰς ἰδιώτιδας.

Ἀνοιδήσας. ἀναφλεγμήνας. ἀναφυσηθείς. Ὁ δὲ ἀνοιδήσας ὀργῇ εἶπε, κακοὺς κακῶς ὑμᾶς διολῶ.

Ἀνοίκειος. ἀντὶ τοῦ ἀπρεπής.

Ἀνοικίσαι πόλιν. ἀντὶ τοῦ ἀνακτίσαι.

Ἀνοίκτως. σκληρῶς. ἀνελεημόνως.

Ἀνοιμωκτεί. [1] ἀστενάκτως. καὶ Ἀνοιμώξατε. ἀλαλάξατε.

Ἀνοινάριος. [2] ὡς ἡ κοινὴ συνήθεια.

Ἂν [3] οἶνον αἰτῇ, κονδύλους αὐτῷ δίδου. παροιμία, ἐπὶ τῶν ἀγαθὰ μὲν αἰτούντων, [4] κακὰ δὲ λαμβανόντων. ἡ ἱστορία ἀπὸ τοῦ Κύκλωπος οἶνον αἰτήσαντος καὶ τυφλωθέντος.

Ἄνοις. ἀντὶ τοῦ ἀνύοις. Φρύνιχος.

Ἀνοῖσαι. κομίσαι. καὶ Ἀνοιστέον, δεῖ κομίζειν. καὶ Ἀνοίσω σοι βόας, ἀνενέγκω, φέρω.

Ἄνοισις. ἀνακόμισις.

Ἀνυδρεύσασθαι. ἀντλῆσαι. Ὕδωρ κατέχεον καὐτῆς κἂν ὑδρεῦσαι τὸν κάδον. Κοριάννοις Φερεκράτης.

Ἀνύειν. τελειοῦν. πράττειν.

Ἀνυμέναιος. ἡ μὴ ἔχουσα ἄνδρα. Ἄνυμφος δὲ, ὁ μὴ ἔχων γυναῖκα.

Ἀνύπαρκτον. τὸ μὴ ὑπάρχον. [5] πρὸς τὸ Πινδαρικόν· Τί δέ τις, τί δ' οὔ τις; σκιᾶς ὄναρ ἄνθρωποι. ἀντὶ τοῦ, ἀνυπάρκτου ἀνυπαρκτότερον. ἐνταῦθα δέ ἐστιν ὁ λόγος ἐγγυτέρω τῆς ἀληθείας, ἤπερ τὸ Πινδαρικόν. ὁ μὲν γὰρ Πίνδαρος ἐν τοῖς ἀσυστάτοις πεποίηται τὴν ὑπερβολήν· ὁ δὲ ἐν τοῖς φαινομένοις καὶ δοκοῦσιν, οὐχ ὑπάρχουσι δὲ κατ' ἀλήθειαν. καὶ [6] Ὅμηρος δι' ἑνὸς αὐτάρκως τοῦτο δεδήλωκεν·

Οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο.

Ἀνυπαίτιος. ἀναίτιος.

Ἀνύπεικτον. τὸ ἀνένδοτον. ἐκ τοῦ εἴκω τὸ ὑποτάσσομαι.

Ἀνύπηνος. ὁ ἀγένειος.

Ἀνυπέβλητον. περιοῦχον.

Ἀνυπόδητος. γυμνόπους. ἐν τῷ η λέγεται, οὐχὶ ἀνυπόδετος.

Ἀνυπόστατον. ἀντὶ τοῦ ἀφόρητον.

Ἀνύποιστον. ἀβάστακτον. ἀνυπομόνητον.

Ἀνύσασθαί τι. παρὰ τοῖς ἄρχουσι διαπράξασθαι.

Ἀνοίγει & Ἀνοιγνύει. Utrumque dicitur. Ἀνοίγω interdum ſignificat ſeparo, divido. Jungitur & accuſativo: ut, *Aperi os tuum in nomine Jeſu.* Et Ἀνοιγομένοις τοῖς κτήνεσι apud Herodotum ſignificat, *Jumentis quæ diſſecabantur.* † *Apertis vero ſepulcris, &, ſole teſte, oſſibus ignominioſe in privata ſepulcra tranſlatis.*

Ἀνοιδήσας. Qui intumuit. Inflammatus. Inflatus. *Ille vero ira inflammatus dixit: Vos malos male perdam.*

Ἀνοίκειος. Non conveniens. Indecorus.

Ἀνοικίσαι πόλιν. Urbem inſtaurare.

Ἀνοίκτως. Duriter. Inhumaniter. Crudeliter.

Ἀνοιμωκτεί. Sine gemitu. Et Ἀνοιμώξατε. Ululate. Ejulate.

Ἀνοινάριος. Anœnarius, ut vulgo dici ſolet.

Ἂν οἶνον αἰτῇ, κονδ. *Si vinum petat, colaphos ipſi dato.* Proverbium in eos, qui bona petunt, ſed mala accipiunt. Cyclops enim, cum vinum bibiſſet, quod ab Ulyſſe petierat, excœcatus eſt: quæ hiſtoria proverbio huic locum dedit.

Ἄνοις. Conficias. Perficias. Phrynichus.

Ἀνοῖσαι. Attuliſſe. Et Ἀνοιστέον, Afferendum eſt. Et Ἀνοίσω σοι βόας. Afferam tibi boves.

Ἄνοισις. Allatio. Adportatio.

Ἀνυδρεύσασθαι. Aquam haurire. * * * * Pherecrates *Coriannis.*

Ἀνύειν. Perficere. Conficere.

Ἀνυμέναιος. Fœmina non habens virum. Ἄνυμφος vero, qui non habet uxorem.

Ἀνύπαρκτον. Quod non exſtitit. Pindarus: *Quid vero ſumus? aut potius, quid non ſumus? Umbræ ſomnium ſunt homines.* Id eſt, magis nihil ſunt, quam ipſum nihil. Hæc autem oratio plus habet veriſimilitudinis, quam Pindari. Pindarus enim hyperbole utitur petita a rebus, quæ conſiſtere nequeunt: alter vero a rebus quæ apparent & videntur eſſe, ſed revera non ſunt. Homerus etiam ſatis hoc declaravit verſu iſto:

Nihil imbecillius terra alit homine.

Ἀνυπαίτιος. Inſons. Innocens.

Ἀνύπεικτον. Quod nemini cedit. Rigidum. Ab εἴκω, cedo.

Ἀνύπηνος. Imberbis.

Ἀνυπόβλητον. Eminens. Excellens.

Ἀνυπόδητος. Diſcalceatus. Nudis pedibus incedens. Per η ſcribitur; non autem ἀνυπόδετος [per ε.].

Ἀνυπόστατον. Quod ſuſtineri nequit.

Ἀνύποιστον. Quod ferri non poteſt. Intolerabile.

Ἀνύσασθαί τι. Aliquid conficere, ſive perfice-

---

[1] Ἀνοιμωκτί] In prioribus Edit. legitur ἀνοιμωτί: quod corruptum eſſe Portus recte monuit.

[2] Ἀνοινάριος] De hac voce, quam valde ſuſpectam habeo, nihil me legiſſe memini.

[3] Ἂν οἶνον αἰτῇ, κονδ.] Hæc in prioribus Edit. ſuperiori articulo annexa ſunt, quæ inde ſeparanda eſſe & ſenſus & ſeries literarum ſuadent.

[4] Κακὰ δὲ λαμβανόντων] Induxi hic vocem Φρύνιχος, quæ in prioribus Edit. poſt λαμβανόντων legitur, eamque poſt verba proxima Ἄνοις. ἀντὶ τοῦ ἀνύοις, repoſui, ubi eam MSS. agnoſcunt.

[5] Πρὸς τὸ Πινδαρικόν] Vide infra v. Εἴδωλον.

[6] Ὅμηρος] Odyſſ. Σ. v. 129.

καὶ ὁμοίως πάλιν τὸ τοὺς ἄρχοντας προστάξαι τοῖς ὑπηκόοις. καὶ Ἀνύσαι. τελειῶσαι.

Ἀνυσίμως. [1] ἐνεργῶς. πρακτικῶς. τελείως. καὶ Ἀνυσιμώτατος. Ἄνυσις γάρ, ἡ τελείωσις.

Ἄνυσται. ἤνυσται. καὶ Ἀνυστέον. δεῖ ἀνύειν.

Ἀνυστικωτέρα. ἀντὶ τοῦ ἐνεργητικωτάτη. [2] Πολύβιος· Μία ψυχὴ τῆς ἁπάσης πολυχειρίας ἐν ἐνίοις καιροῖς ἀνυστικωτέρα· ὡς [3] Ἀρχιμήδης ἐν Συρακούσαις μόνος πολλῶν Ῥωμαίων.

Ἀνύτειν. πληροῦν. ἐνεργεῖν. Ἐπεὶ δὲ οὐδέν τι πλέον εἶχον ἀνύτειν οἱ Βάρβαροι, οὔτε ὡς ἐν πολιορκίᾳ ἐφεδρεύοντες τῷ ἐρύματι, οὔτε πρὸς τειχομαχίαν ἐγκείμενοι, ἔγνωσαν τρόπου ἑτέρου αὐθάδους τε καὶ γενναίου καὶ φιλοκινδύνου ἀποπειραθῆναι. Ὁ δὲ Νῖνος ἐν ἀμηχανίᾳ ἦν, μηδὲν δυνάμενος ἀνύτειν. τουτέστι πράττειν.

Ἀνύειν. Ἀνύτειν οἱ Ἀττικοί, ὅπερ ἡμεῖς ἀνύειν. Ἁνύειν δέ, τὸ σπεύδειν. δασεῖα ἡ πρώτη. καὶ Ἀνύτουσι, τελειοῦσιν, ἀνύουσι. καὶ [4] Ὅμηρος δὲ τὸ Ἀνύειν ὡς ἡμεῖς· Οὐκ ἀνύω φθονέουσα. καὶ Αἴνυτο, ἀφῃρεῖτο. ἐλάμβανε. Ἀνύοις, εὐκτικῶς.

Ἄνυτος, Ἀνθεμίωνος, Ἀθηναῖος, ῥήτωρ.

Ἄξεινος.

———ἧχι κονίστραι
Ἄξεινοι λυθρῷ τε καὶ Ἄρεϊ πεπλήθωσι.

Ἄξεστος. [5] Ξενοκλῆς ὁ Καρκίνου ἐκωμῳδεῖτο ὡς ἄξεστος ποιητής, καὶ ἀλληγορικός.

Ἀξιάγαστος. ἀξιοθαύμαστος. ἀξιόχρεως.

Ἀξία ἡ κύων τοῦ βρώματος. [6] ἐπὶ τῶν κατ' ἀξίαν τινὸς τυγχανόντων.

Ἀξιαπηγητότατα. [7] ἀντὶ τοῦ, ἄξια τοῦ ἀφηγεῖσθαι.

Ἀξιδάρης. ὄνομα κύριον. [8] Ἀξιδάρην δὲ ὅτι χρὴ ἄρχειν Ἀρμενίας οὔ μοι δοκεῖ εἶναί σε ἀμφίλογον.

Ἀξιεπαίνετος. ὁ ἄξιος ἐπαίνων.

Ἀξιέραστον. ἄξιον ἐρασμοῦ. ἐπέραστον.

Ἀξινάριον. ἡ ἀξίνη. καὶ Ἀξινίδιον ὑποκοριστικῶς.

Ἀξιοζήλως. ἐπαινετῶς. Ὁ δὲ ἐν ὀφθαλμοῖς τῶν ἁπάντων ἑαυτὸν διεχρήσατο οὐκ ἀξιοζήλως. καὶ Ἀξιοζήλωτος, ὁ ἄξιος ζηλοῦσθαι.

Ἀξιόλογα βάρη. Ὡς ἂν ἀπὸ τῶν πύργων πέμπωμεν ἐκηβολώτατα ἀξιόλογα λίθων βάρη. Καὶ Ἀξιολόγοις καταστρώσας λίθοις τὰς ὁδούς. Καί, Εἰλήμασιν ἀξιολόγοις τοὺς ὑδροστατουμένους γεφυρώσας. του-

re. Dicitur etiam de Magiſtratibus, qui civibus ſuis aliquid imperant. Et Ἀνύσαι, ad finem perducere. Conficere.

Ἀνυσίμως. Efficaciter. Strenue. Et Ἀνυσιμώτατος. [Efficaciſſimus.] Ἄνυσις enim eſt negotii alicujus conſummatio.

Ἄνυσται. Idem quod ἤνυσται. [Confectum eſt.] Et Ἀνυστέον. Perficiendum eſt.

Ἀνυστικωτέρα. Efficacior. Polybius: *Unius nonnunquam hominis ingenium innumeris manibus efficacius eſt: ut Archimedes, qui ſolus plus effecit, quam multi Romani.*

Ἀνύτειν. Implere. Efficere. Conficere. *Cum autem Barbari nec circumſidendo nec oppugnando caſtellum quicquam proficerent, aliam rationem, audacem ſane, & generoſam, & periculi plenam tentare ſtatuerunt.* † *Ninus vero, cum res ipſi in arcto eſſent, neque proficicere quicquam poſſet.*

Ἀνύειν. Attici dicunt ἀνύτειν, quod nos ἀνύειν dicimus. Efficere. Perficere. Ἁνύειν vero, feſtinare, properare, in prima ſyllaba ſpiritu aſpero notatur. Et Ἀνύτουσι. Perficiunt. Efficiunt. Homerus ἀνύειν dixit, ut nos. *Nihil invidendo proficio.* Αἴνυτο, auferebat. Et Ἀνύοις, Optativus.

Ἄνυτος. Anytus, Anthemionis F. Athenienſis, orator.

Ἄξεινος. Inhoſpitalis.

———*Ubi palæſtræ*
Inhoſpitales cruore & cædibus plenæ ſunt.

Ἄξεστος. Impolitus. Xenocles Carcini F. ut impolitus Poeta & Allegoricus a Comicis carpebatur.

Ἀξιάγαστος. Admiratione dignus. Fide dignus.

Ἀξία ἡ κύων. *Digna eſt canis iſto pabulo.* Dicitur in eos, qui pro meritis aliquid conſequuntur.

Ἀξιαπηγητότατα. Digniſſima narratu.

Ἀξιδάρης. Axidares. Nomen proprium. *Non videris mihi dubitare, quin Axidares Armeniæ præfici debeat.*

Ἀξιεπαίνετος. Laude dignus.

Ἀξιέραστον. Amore dignum. Amabile.

Ἀξινάριον, & Ἀξινίδιον, diminutive. Parva aſcia.

Ἀξιοζήλως. Laudabiliter. *Ille vero in omnium conſpectu exemplo haud ſane laudabili ſe ipſe interfecit.* Et Ἀξιοζήλωτος, æmulatione dignus, optandus.

Ἀξιόλογα βάρη. Pondera ingentia. *Ut de turribus ad ſpatium longiſſimum jaculemur ingentia ſaxorum pondera.* Et, *Cum autem vias pulcherrimis lapidibus ſtraviſſet.* Et, *Cum*

---

[1] Ἀνυσίμως] Hac voce utitur Plato *Theateto* pag. 115.

[2] Πολύβιος] Lib. VIII. cap. V.

[3] Ὡς Ἀρχιμήδης ἐν Συρακούσαις μόνος πολλῶν Ῥωμ.] Hæc non leguntur apud Polybium, ſed a compilatore ad ſupplendam ſententiam loco huic addita ſunt.

[4] Ὅμηρος] Il. Δ. v. 56.

[5] Ξενοκλῆς ὁ Καρκίνου, ἐκωμ. ὡς ἄξεστος ποιητ. καὶ ἀλλ.] Hæc deſcripta ſunt ex Schol. Ariſtoph. ad *Ranas* pag. 215. (133. Ed. Baſ. ut Portus obſervavit.)

[6] Ἐπὶ τῶν κατ' ἀξίαν τινὸς τυγχ.] Diogenianus contra: Ἐπὶ τῶν παρ' ἀξίαν τινὸς τυγχανόντων. i. e. De iis, qui præter meritum aliquid conſequuntur.

[7] Ἀξιαπηγητότατα] Hac voce uſus eſt Herodotus lib. 1. pag. 4. ut Portus obſervavit.

[8] Ἀξιδάρην δὲ ὅτι χρὴ ἄρχειν Ἀρμενίας οὔ μοι δοκ.] Idem fragmentum legitur ſupra v. Ἀμφίλογον, præfixo Arriani nomine.

τέσιν εὐπρεπέσι, μεγίστοις. καὶ αὖθις· [1] Τὸν Μερμερόην ἡμῖν σημῆναι, ὡς οὐκ ἔστιν ἀξιόλογος ἡ χώρα, οὐδὲ μὴν περιμάχητος, οὐδὲ βασιλικῆς ἔργον στρατείας· ἀλλ' [2] ἐν ὑπάρχει τῶν ἐθνῶν τῶν περὶ τὸν Καύκασον.

Ἀξιόμαχος. δυνατὸς μάχεσθαι. ἰσοδύναμος. [3] Οὔτε ἀνδρῶν πλήθει, οὔτε ἄλλῳ τῶν ἁπάντων οὐδενὶ ἀξιόμαχοι πρὸς ἡμᾶς ὄντες.

Ἄξιον. οἱ ῥήτορες ἐπὶ τοῦ εὐλόγου καὶ δικαίου ἐκλαμβάνουσι. Δημοσθένης· Διὰ γὰρ τοῦτο μάλιστα ἄξιόν ἐστι σιωπᾶν, ὅτ' οὔτ' ἐστὶν ὁ καταπλήσσων, οὔθ' ὁ κολάσων ἡμᾶς. Τάσσουσι δὲ τὸ ἄξιον καὶ ἐπὶ τῶν ὠνίων, ὅταν [4] εὔωνόν τι πιπράσκηται. [5] Λυσίας ἐν τῷ κατὰ τῶν σιτοπωλῶν· Ἐροῦσιν ὡς ἐπ' εὐνοίᾳ τῆς πόλεως ὠνοῦνται τὸν σῖτον, ἵν' ὡς ἀξιώτατον ἡμῖν πωλῶσιν. Καὶ πάλιν· [6] Ἐὰν οὖν αὐτῶν καταψηφίσησθε, τά τε δίκαια ποιήσετε, καὶ ἀξιώτερον τὸν σῖτον ὠνήσεσθε· εἰ δὲ μή, τιμιώτερον.

Ἄξιος. ὁ εὔωνος. [7] Φερεκράτης Ἰστῷ. Ὁ [8] δὲ στέφους πετεινὸς πυρὸς ἄξιος.

Ἄξιον. ἐπὶ τοῦ δικαίου τέτακται. οὕτω Δημοσθένης. καὶ Ἄξιον ξύλον, εὖ καὶ καλῶς εἰργασμένον, εὐθές, καλόν. [9] Ἀριστοφάνης·

Κἄν τι σφαλῆτ', ἐξ ἀξίου γοῦν τοῦ ξύλου.

Κατὰ τὴν [10] παροιμίαν· [11] Ἀπὸ καλοῦ ξύλου κἂν ἀπάγξασθαι. θέλει οὖν λέγειν, βέλτιόν ἐστι χρῆσθαι τοῖς γενναίοις στρατηγοῖς καὶ δεδοκιμασμένοις, ἢ τοῖς φαύλοις. κἂν γὰρ δέῃ παθεῖν, κρεῖττον ἀπ' ἀγαθοῦ ἢ φαύλου πάσχειν.

Ἄξιον. παρὰ Ἀττικοῖς τὸ εὔωνον. καυλὸν σιλφίου τὸ ἄξιον. τουτέστι, τὸν εὔωνον.

Ἀξιοπιστία. ἡ πίστωσις. καὶ Ἀξιόπιστος οὐχὶ ὁ κατάπλαστος λέγεται ὑπὸ τῶν παλαιῶν, καὶ τερατείᾳ χρώμενος, ἀλλ' ὁ πιστὸς καὶ δόκιμος.

Ἀξιόπιστος. [12] ἀξιόχρεως. πιθανός. Ἦν δὲ [13] ἀξιόπιστος σφόδρα, ὥστε, μὴ ἐξὸν ἀνώμοτον μαρτυρεῖν, τούτῳ μόνῳ συνεχώρουν Ἀθηναῖοι.

Ἄξιος. ὄνομα κύριον.

Ἄξιος λαβεῖν ὁ μισθός. τοῦτο τῶν εἰς κάλλος ἠσκημένων, σημαῖνον τοιόνδε τι· ἄξιός ἐστιν ὁ μισθός, ὥστε λαβεῖν αὐτόν. ἔστι δὲ παρὰ Κρατίνῳ. Ὅμηρος

autem loca ſtagnantia pontibus ingentis operis ſtraviſſet. Et iterum: *Mermeroem nobis ſignificaſſe, regionem illam non eſſe magni faciendam, neque dignam, ob quam Rex bello contendat, vel expeditionem ſuſcipiat: ſed eam tenere unam ex gentibus illis, quæ circa* Cauca*ſum habitant.*

Ἀξιόμαχος. Qui bello reſiſtere poteſt. Viribus par. *Qui nec hominum numero, nec ulla alia re in bello nobis pares ſunt.*

Ἄξιον. Oratores hoc vocabulum accipiunt pro eo, quod rationi conſentaneum eſt & juſtum. Demoſthenes: *Nam propter hoc ipſum maxime conſentaneum eſt tacere, quia nec eſt qui nos terreat, nec qui puniat.* Dicitur etiam τὸ ἄξιον de rebus, quæ vili pretio venduntur. Lyſias in oratione contra Frumentarios: *Dicent ſe propter benevolentiam erga Remp. frumentum emere, ut ipſum nobis viliſſimo pretio vendant.* Et iterum: *Si igitur ipſos condemnaveritis, facietis id quod juſtum eſt, & frumentum viliori pretio emetis: ſin ſecus, cariori.*

Ἄξιος. Vilis. Vilis pretii. Pherecrates *Tela.* * * * *

Ἄξιον. Interdum ſignificat id, quod juſtum eſt. Sic Demoſthenes. Ἄξιον ξύλον, lignum eleganter politum, rectum, & pulchrum. Ariſtophanes: *Et ſi quid offendatis, ex nobiliori ſaltem ligno.* Alluditur hic ad proverbium illud: *Ex nobiliore ligno vel ſuſpendar.* Senſus igitur eſt, præſtare fortibus & ſpectatæ virtutis ducibus uti, quam malis & ignavis. Nam ſi quid incommodi pati oporteat, præſtare boni quam mali [ducis] culpa illud pati.

Ἄξιον. Apud Atticos dicitur de re, quæ vili pretio conſtat. *Caulem ſilphii* (εὔωνον, i. e.) *vili pretio venalem.*

Ἀξιοπιστία. Auctoritas fide digna. Et Ἀξιόπιστος, ab antiquis non vocatur homo fictus, & qui admirationis movēdæ gratia falſo omnia exaggerat; ſed qui ſpectatæ & probatæ eſt fidei.

Ἀξιόπιστος. Fide dignus. Cui fides habetur. *Tanta verbis ejus fides habebatur, ut, cum nulli injurato teſtimonium dicere liceret, huic ſoli id permitterent Athenienſes.*

Ἄξιος. Axius. Nomen proprium.

Ἄξιος λαβεῖν ὁ μ. Hoc loquendi genus eſt Atticæ venuſtatis, ſignificans, *hæc merces digna eſt, quæ accipiatur.* Exſtat apud Cratinum. Homerus vero primus hac figura uſús eſt, [ubi δὲ πρῶτον ἐχρήσατο τῷ σχήματι τούτῳ. [1] Ῥηΐτεροι γὰρ ἔσεσθε κείνου τεθνεῶτος ἐναιρέμεν. Καὶ πάλιν·

---

[1] Τὸν Μερμερόην ἡμῖν σημ.] Hoc fragmentum repetitur infra v. Μερμερόης.

[2] Ἐν ὑπάρχει] Hanc lectionem ex MSS. Pariſ. revocavi. Priores enim Edit. minus recte habent ἐνυπάρχει.

[3] Οὔτε ἀνδρῶν πλήθει, οὔτε ἄλλῳ τῶν ἁπ.] Hæc ſunt verba Procopii lib. III. *de Bello Goth.* cap. XVI. pag. 502.

[4] Ὅταν εὔωνόν τι πιπρ.] Hoc ſenſu vox iſta capitur ab Ariſtoph. *Equit.* pag. 327. (226. Ed. Baſ. *P.*) ubi Scholiaſta: Ἀξιωτέρους· εὐωνοτέρους τῆς ἀξίας τιμῆς. Ἄξιον παρ' Ἀττικοῖς τὸ εὔωνον.

[5] Λυσίας ἐν τῷ κατὰ τῶν σιτοπωλῶν.] Pag. 165. ubi locus hic ita legitur: Ἴσως δ' ἐροῦσιν, ὥσπερ καὶ ἐν τῇ βουλῇ, ὡς ἐπ' εὐνοίᾳ τῆς πόλεως συνεωνοῦντο τὸν σῖτον, ἵν' ὡς ἀξιώτατον ἡμῖν πωλοῖεν.

[6] Ἐὰν οὖν αὐτῶν καταψηφίσησθε, τά τε δίκαια π.] Hæc ſunt verba ejuſdem Lyſiæ, pag. 166. quibus orationem κατὰ τῶν σιτοπωλῶν claudit.

[7] Φερεκράτης Ἰστῷ] Pro Ἰστῷ forte ſcribendum eſt Ἰπνῷ. Fabulam enim Pherecatis Ἰπνὸς plures auctores laudant. Ἱστὸν vero nemo præter Suidam, ni fallor, ei tribuit.

[8] Ὁ δὲ στέφους πετ.] Quis ex tam corrupto & lacero fragmento ſenſum aliquem elicere queat?

[9] Ἀριστοφάνης] In *Ranis* pag. 246. (159 Ed. Baſ. *P.*)

[10] Κατὰ τὴν παροιμίαν. Ἀπὸ καλοῦ ξύλου κἂν ἀπ.] Hæc & quæ ſequuntur ſunt verba Scholiaſtæ ad modo laudatum locum Ariſtophanis.

[11] Ἀπὸ καλοῦ ξύλου] Vide infra v. Ἀπὸ καλοῦ ξύλου.

[12] Ἀξιόπιστος. ἀξιόχρ.] In prioribus Edit. ordine inverſo legitur, Ἀξιόχρεως. ἀξιόπιστος: cui lectioni & ſeries literarum, & exemplum ſubjunctum refragatur.

[13] Ἦν δὲ ἀξιόπιστος σφόδρα, ὥστε μὴ ἐξὸν ἀνώμοτον μαρτ.] Hæc ſunt verba Laertii de Xenocrate philoſopho, lib. IV. Segm. VII.

Ἡ δὲ [2] μάλ' ἀργαλέη περάαν. σκόλοπες γὰρ ἐν αὐτῇ.

Καὶ Σοφοκλῆς·

Γυνὴ γὰρ ὀξύθυμος, ὡς δ' αὔτως ἀνήρ,
Ῥάων φυλάσσειν, ἢ σιωπηλὸς [3] ἀνήρ.

ὁ δὲ νοῦς· ῥᾷον ἄν τις φυλάξαιτο τὸν ὀξύθυμον, ἢ τὸν κρύπτοντα διὰ σιγῆς τὴν ὀργήν. καὶ Ἄξιος τριχός. ἐπὶ τοῦ εὐτελοῦς καὶ τυχόντος· παρόσον ἡ θρὶξ οὐδενὸς ἀξία ἐστίν. [4] Ἀριστοφάνης·

Ἢ 'κλεψα τῶν σῶν ἄξιόν τι καὶ τριχός.

ἀντὶ τοῦ, τυχόν. καὶ Ἄξιος οὐδὲ μόνου. ἀντὶ τοῦ, οὐδενός. ἔστι δὲ ἀπὸ τῶν κύβων εἰρημένον. καὶ, Ἄξιος ὀβελίσκου, καὶ ἀπὸ ὀβελίσκου. παροιμία, ἐπὶ τῶν σφόδρα τιμίων. καὶ Ἄξιος τοῦ παντός.

Ἀξιουμένου. Τυγχάνοντος ἀνδρὸς τὰ πρῶτα παρ' αὐτοῖς ἀξιουμένου. Ἀξιοῦσι δὲ, ἀντὶ τοῦ παρακαλοῦσι, ἢ ἄξιον κρίνουσι. Πολύβιος· Οἱ δὲ γεραιοὶ ἀξιοῦσι τὸν βασιλέα, μὴ καταλῦσαι τὰ παρὰ τῶν Θεῶν αὐτοῖς δεδομένα. τουτέστιν, ἀΐδιον εἰρήνην καὶ ἐλευθερίαν. Ὁ δὲ, ἑρμηνευθείσης οἱ τῆς ἐπιστολῆς, ἔφη συγχωρεῖν τοῖς ἀξιουμένοις.

Ἀξίοχος. [5] Αἰσχίνῃ τῷ Σωκρατικῷ διάλογος ἐγράφη [6] Ἀξίοχος καλούμενος.

Ἀξιόχρεως. ἐν τῷ ω μεγάλῳ λέγουσι. καὶ οὐδετέρως ὁμοίως. τὸ δὲ Ἀξιόχρεον, βάρβαρον. Ἀξιόχρεως οὖν, ἱκανὸς, ἐχέγγυος, ἀξιόπιστος.

Ἀξιῶ. ὑπολαμβάνω. [7] Ἀριστοφάνης·

Οὐκ ἀξιῶ γ' ἐμαυτὸν ἰσχύσειν μέγα.

ἀντὶ τοῦ, οὐχ ὑπολαμβάνω. οὐκ ἄξιον νομίζω. Σημαίνει δὲ καὶ τὸ ἱκετεύω, αἰτιατικῇ. Ἀξιῶ σε.

Ἀξίωμα. βούλημα. Τί δ' [8] ἐστὶ τἀξίωμ', ἐφ' ᾧ καλεῖς. † Μὴ διωθεῖσθαι τὴν πατρικὴν ἐπίταξιν, μηδὲ τὸ τοῦ Πλάτωνος ἀξίωμα ἀτιμάζειν. τουτέστι τὸ βούλημα. † Ὁ [9] δὲ Ἀρκεσίλαος ἦν ἀξιωματικώτατος καὶ συνηγμένος.

Ἀξίωμα. ἡ ἱκετεία. Δαβίδ· Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιον σου, Κύριε.

Ἀξίωμα. τοῦτο ἐκ κατηγορήματος ὀρθοῦ ἢ πλαγίου ἔχει τὴν γένεσιν. [10] Ἀξίωμα δέ ἐστιν ἤτοι ἀληθὲς, ἢ ψευδές· ἢ πρᾶγμα αὐτοτελὲς ἀποφαντὸν, ὅσον ἐφ'

ait:] *Illo enim mortuo facilius cædi poteritis.* Et iterum: *Eſt autem difficilis tranſitu, quia pali acuti in ea defixi ſunt.*

Et Sophocles:

Mulier enim iracunda, ſicut & vir,
Facilius caveri poteſt quă homo taciturnus.

Senſus eſt, hominem iracundum facilius caveri poſſe, quam eum, qui ſilentio iram occultat. Et, *Pilo dignus.* Proverbium, quod dicitur de re vili & vulgari: quia pilus nullius pretii res eſt. Ariſtophanes: *Aut, ſi furatus ſum aliquid de tuis rebus vel pilo dignum.* Id eſt, vel minimum. Et, *Ne uno quidem dignus.* Id eſt, nullo. Per tranſlationem a talorum jactu ductam. Et, *Dignus obeliſco.* Proverbium, quod dicitur de illis, qui præcipuo honore digni ſunt. Et, Ἄξιος τοῦ παντὸς, quovis pretio dignus.

Ἀξιουμένου. *Viri, qui apud ipſos in primis honore dignus habebatur.* Ἀξιοῦσι vero, rogant, vel, dignum judicant. Polybius: *Seniores vero Regem rogant, ne res a Diis datas ſibi eriperet.* Id eſt, æternam pacem & libertatem. † *Ille vero, epiſtola per interpretem ſibi explicata, reſpondit, ſe poſtulatis illorum annuere.*

Ἀξίοχος. Ab Æſchine Socratico ſcriptus eſt dialogus, qui vocatur Axiochus.

Ἀξιόχρεως. Per ω magnum effertur, [tam in Maſculino, quam] Neutro genere. At Ἀξιόχρεον barbarum eſt. Ἀξιόχρεως vero ſignificat idoneus, locuples, fide dignus.

Ἀξιῶ. Exiſtimo. Ariſtophanes:

Non exiſtimo magnam me potentiam conſecuturum eſſe.

Item, dignum judico. Significat etiam Oro, & accuſativo jungitur: ut, Ἀξιῶ σε, Oro te.

Ἀξίωμα. Voluntas. *Quid vis, quare me vocas?* † *Rejicere paternum mandatum, & Platonis voluntatem contemnere.* † *Arceſilaus vero axiomatibus frequenter utebatur, & in dicendo preſſus erat.*

Ἀξίωμα. Supplex oratio. Preces. David: *Admitte preces meas, Domine.*

Ἀξίωμα. Axioma. Enuntiatio. Ea vel ex prædicato recto vel obliquo conſtat. Eſt autem enuntiatio vel vera vel falſa: vel, res perἑαυτῷ, ἢ καταφαντόν· οἷον, Ἡμέρα ἐστί· Δίων περιπατεῖ. ὠνόμασται δὲ Ἀξίωμα παρὰ Φιλοσόφοις ἀπὸ τοῦ ἀξιοῦσθαι, ἢ ἀθετεῖσθαι. ὁ γὰρ λέγων, Ἡμέρα ἐστίν, ἀξιοῦν δοκεῖ τὸ ἡμέραν εἶναι. οὔσης μὲν οὖν ἡμέρας, ἀληθὲς γίνεται τὸ προκείμενον ἀξίωμα· μὴ οὔσης δέ, ψεῦδος. Διαφέρει δὲ Ἀξίωμα, καὶ Ἐρώτημα, καὶ [1] Πύσμα. ἔστι γὰρ Προστακτικόν, Ὁρκικόν, Ἀρατικόν, Ὑποθετικόν, Προσαγορευτικόν. Ἀξίωμα μὲν γάρ ἐστιν, ὃ λέγοντες ἀποφαινόμεθα, ἢ ἀληθὲς ἢ ψευδές. Ἐρώτημα δέ ἐστι πρᾶγμα αὐτοτελὲς μέν, ὡς καὶ τὸ ἀξίωμα· [2] αἰτιατικὸν δὲ ἀποκρίσεως. οἷον, Ἆρά γε ἡμέρα ἐστί· τοῦτο δὲ οὔτε ἀληθές ἐστιν, οὔτε ψευδές. ὥστε τὸ μέν, Ἡμέρα ἐστίν, Ἀξίωμα· τὸ δέ, Ἆρά γε ἡμέρα; Ἐρώτημα. Πύσμα δέ ἐστι πρᾶγμα, [3] πρὸς ὃ συμβολικῶς οὐκ ἔστιν ἀποκρίνασθαι, ὡς ἐπὶ τοῦ Ἐρωτήματος, ναί· ἀλλὰ εἰπεῖν, Οἰκεῖν ἐν τῷδε τῷ τόπῳ. τὰ δὲ λοιπὰ δῆλα.

---

[1] Ῥηΐτεροι γὰρ ἔσεσθε κείνου τεθν.] Apud Homerum Il. Ω. v. 243. ſic legitur:

Ῥηΐτεροι γὰρ μᾶλλον Ἀχαιοῖσιν δὴ ἔσεσθε
Κείνου τεθνειῶτος ἐναιρέμεν.

[2] Ἡ δὲ μάλ' ἀργαλέη περ.] Hic verſus legitur apud Homerum Il. M. v. 63.

[3] Ἀνήρ] Vox hæc Pearſonio ſuſpecta eſt, qui pro ea πέλει reponere mallet.

[4] Ἀριστοφάνης] In *Ranis* pag. 241. (155. Ed. Baſ.)

[5] Ἀξίοχος. Αἰσχίνῃ τῷ Σωκρ.] Eadem habet Harpocratio; ex quo Suidas.

[6] Ἀξίοχος καλούμενος] Inter Dialogos Æſchinis Socratici *Axiochum* etiam recenſent Athen. lib. v. cap. xx. & Diog. Laert. lib. II. Segm. LXI. Vide infra v. Αἰσχίνης. Monendus hic eſt Lector, in prioribus Edit. poſt vocem καλούμενος addi, Πλάτωνος ἐπιγράψαντος. Sed verba illa tam in Harpocratione, quam 2 MSS. Pariſ. deſunt; eademque in alio MS. Pariſ. ad marginem ſcripta leguntur: unde ſatis patet, ea non eſſe ipſius Suidæ, ſed ab aliis ad marginem prius adnotata, & poſtea a librario aliquo in textum recepta fuiſſe.

[7] Ἀριστοφάνης] *Equit.* pag. 297. (199. Ed. Baſ. *P.*)

[8] Τί δ' ἐστὶ τἀξίωμ', ἐφ' ᾧ καλεῖς] Hæc ſunt verba Sophoclis in *Oed. Col.* pag. 318. ut Pearſonius etiam obſervavit. Quæ vero ſequuntur, ex alio quodam auctore deſcripta ſunt: quod Portus ignorans duo hæc diverſa fragmenta, quaſi ex eodem auctore deprompta, repugnante ſenſu & ſtructura orationis, in unam ſententiam compingere conatus eſt.

[9] Ὁ δὲ Ἀρκεσίλαος ἦν ἀξιωμ. καὶ συνηγμ.] Hæc ſunt verba Laertii lib. IV. Segm. XXXIII.

[10] Ἀξίωμα δέ ἐστιν ἤτοι ἀληθὲς, ἢ ψευδ.] Hæc, & omnia quæ ſequuntur uſque ad verba illa οἰκεῖν ἐν τῷδε τῷ τόπῳ, leguntur apud Laertium in *Zenone*, lib. VII. Seg. LXV. unde ea Suidas deſcripſit. Ut autem locus hic intelligatur, adeundi ſunt interpretes Laertii, & præcipue Menagius, qui prolixe de ſignificatione vocis ἀξίωμα diſputat.

fecta, quæ, quantum in ipſa eſt, vel affirmari vel negari poteſt; ut, *Dies eſt: Dion ambulat.* Dictum eſt autem apud Philoſophos Ἀξίωμα inde, quod aliquid poſtuletur, vel repudietur. Qui enim dicit, *Dies eſt*: is poſtulare videtur, [ut alii credant] diem eſſe. Si igitur dies ſit, propoſita enuntiatio vera eſt: ſin ſecus, falſa. Differunt autem enuntiatio, interrogatio, percontatio, & oratio qua jubemus, vel juramus, vel imprecamur, vel conditionem ponimus, vel compellamus. Nam enuntiatio eſt, qua aliquid vel verum vel falſum enuntiamus. Interrogatio eſt res per ſe perfecta quidem, ſicut & enuntiatio; ſed reſponſionem requirit: ut, *An dies eſt?* Hoc autem neque verum neque falſum eſt. Itaque, cum dicimus, *Dies eſt*, id enuntiatio eſt: cum vero dicimus, *An dies eſt?* Interrogatio. Percontatio vero res eſt, ad quam præciſe & uno verbo reſpondere non poſſumus, *ita*, ut in interrogatione; ſed dicere [ex gr. oportet] *Habitat in illo loco.* Reliqua vero clara ſunt.

Ἀξιώματα. [4] Οὕτω λέγει Ἀριστοτέλης καὶ τὰς δεομένας ἀποδείξεως προτάσεις, καὶ τὰς ἀναποδείκτους, ὡς ἔθος αὐτῷ.

Ἀξιώματα. Sic Ariſtoteles pro more ſuo appellare ſolet propoſitiones, tam illas quæ demonſtratione indigent, quam eas, quæ nullam demonſtrationem requirunt.

Ἀξιῶν. ἀντὶ τοῦ νομίζων, ὑπολαμβάνων. Λυσίας καὶ Πλάτων. καὶ ἀντὶ τοῦ παρακαλῶν, λιπαρῶν.

Ἀξιῶν. Exiſtimans. Putans. Lyſias & Plato. Item rogans, orans.

Ἀξίωσιν. τιμήν. Αὐτὸν δὲ βασιλέα ὄντα κατ' ἀξίωσιν μὲν τῆς τρίτης μοίρας, μεγέθει τε χώρας, καὶ πλήθει τῶν ὑπηκόων. † Ἀπήγαγε δὲ αὐτὸν τῆς δίκης κατάπλαστος σωφροσύνη, ἀξίωσις ὑπέροχος, καὶ ἡ τῶν συναδικούντων παρασκευή. † Καὶ [5] ἀξιώσει τοῦτον περιέβαλε, κακία δοὺς ἀκερδὲς μέν, σεμνὸν δ' ὅμως τόδε ἆθλον. Αἰλιανός φησιν. ἀντὶ τοῦ, τιμῇ.

Ἀξίωσιν. Dignitatem. Honorem. *Ille quidem, quod ad dignitatem attinet, Rex erat tertii ordinis; ſed regionis amplitudine & multitudine ſubjectorum [reliquos ſuperabat.] † Ipſum vero judicio eripuit ficta modeſtia, & dignitatis faſtigium, & machinationes illorum, qui injuſtitiæ ejus ſocii erant. † Illum honore ornavit, flagitiis ejus indulgens ſterile hoc quidem, ſed tamen venerabile præmium.* Ælianus inquit.

Ἀξιώτερος. εὐωνότερος. καὶ Ἀξιωτέρας, ὁμοίως εὐωνοτέρας.

Οὐ [6] πώποτ' ἀφύας εἶδον ἀξιωτέρας.

[7] εὐωνοτέρας τῆς ἀξίας τιμῆς. Ἄξιον γὰρ παρὰ Ἀττικοῖς τὸ εὔωνον.

Ἀξιώτερος. Qui viliore pretio venditur. Et Ἀξιωτέρας, quæ viliori pretio veneunt. [Ariſtophanes:] *Nunquam apuas viliores vidi.* Ἀξιωτέρας hic ſignificat juſto pretio viliores. Ἄξιον enim apud Atticos ſignificat quod vili pretio venditur.

Ἀξιοῖ. Ἀντιφῶν καὶ Λυσίας ἀντὶ τοῦ νομίζει.

Ἀξιοῖ. Apud Antiphontem & Lyſiam ſignificat, Exiſtimat.

Ἄξονες. [8] οὕτως ἐκάλεσαν Ἀθηναῖοι τοὺς Σόλωνος νόμους, διὰ τὸ ἐγγεγράφθαι αὐτοὺς ἐν ξυλίνοις ἄξοσιν. ἦσαν δὲ τετράγωνοι τὸ σχῆμα. μέμνηται τῆς λέξεως Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους. Ἄξονες δὲ καὶ Κύρβεις διαφέρει. Ἄξονα δὲ λέγει Ὅμηρος τὸν τῆς ἁμάξης.

Ἄξονες. Athenienſes ſic appellarunt Solonis leges, quod ligneis tabulis quadratis inſcriptæ eſſent. Hujus vocis meminit Demoſthenes in oratione contra Ariſtocratem. Ἄξονες autem & Κύρβεις differunt. Ἄξονα Homerus currus axem vocat.

Ἄξοον. τὸ ἄτμητον.

Ἄξοον. Impolitum. Non ſectum.

---

[1] Καὶ πύσμα. ἔστι γὰρ προστακτ.] Sublata interpunctione, & inductis duabus iſtis vocibus ἔστι γὰρ, locus hic ita legendus eſt, καὶ πύσμα, καὶ προστακτικόν, καὶ ὁρκικόν, καὶ ἀρατικὸν &c. Sic enim habet Laertius.

[2] Αἰτιατικὸν δὲ ἀποκρ.] Lege αἰτητικὸν δὲ ἀποκρ. ut apud Laertium.

[3] Πρὸς ὃ συμβολικῶς οὐκ ἔστιν ἀποκρ. ὡς ἐπὶ τοῦ ἐρωτ. ναί] Huc ſpectant verba Ammonii: Ἐρωτᾷν μέν ἐστι, τὸ θέλειν κεφαλαιώδη λαβεῖν ἀπόφασιν, ἢ ναί, ἢ οὔ. Πυνθάνεσθαι δέ, τὸ κατὰ διέξοδον ἀξιοῦν πρᾶγμα. οἷον, Πῶς ἐπολεμήσατε.

[4] Ἀξιώματα. οὕτω λέγει Ἀριστ.] In prioribus Edit. articulus hic abſque ulla interpunctione vel nota diſtinctionis præcedentibus continuatur: quod peccatum etiamſi ab attento Lectore facile animadverti poſſit, interpres tamen ſolenne ſuum hic cœcutiverat, & in verſione ἀσύγκλωστα prorſus in unam ſententiam compegerat.

[5] Καὶ ἀξιώσει τοῦτο περ.] Vide ſupra v. Ἀντώνιος Σατουρνῖνος, ubi idem fragmentum legitur. Cæterum, Antonius Saturninus, de quo hæc ab Æliano dicuntur, erat Lucius ille Antonius, ſuperioris Germaniæ Præſes, a quo bellum civile ſub Domitiano motum fuiſſe conſtat ex Suetonio & Dione. Eum enim Saturninum cognominatum fuiſſe, diſcimus ex Martiale lib. IV. Ep. XI. quem locum mihi indicavit vir politiſſimi ingenii Joannes Maſſonus.

[6] Οὐ πώποτ' ἀφύας εἶδον ἀξ.] Eſt ſenarius Ariſtophanis *Equit.* pag. 327. (266. Ed. Baſ. *P.*)

[7] Εὐωνοτέρας] Hæc vox a prioribus Edit. abeſt, quam ex Scholiaſta Ariſtophanis revocavi.

[8] Ἄξονες. οὕτως ἐκάλεσαν Ἀθην.] Eadem, ſed plura, habet Harpocratio, quem vide.

"Αξω. καὶ ἐνταῦθα, καὶ ἐκεῖσε. ἀπάξω δὲ, τὸ ὀπίσω ἄξω.

'Αξυλία. ἡ ἔνδεια τῶν ξύλων. [1] 'Αξύλῳ δὲ ὕλῃ, ἀντὶ τοῦ, πολυξύλῳ.

'Αξύμμετρον. τὸ ὑπὲρ τὸ μέτρον. Οὐκ ἐξικνεῖτο δὲ τὰ βέλη, διὰ τὸ τοῦ ποταμοῦ ῥεῦμα ἀξύμμετρον ὂν αὐτοῖς ἐς τὰς βολάς.

'Αξυνεσία. Θουκυδίδης γ'. ἄνοια.

"Αξυνος. ἀκοινώνητος.

'Αξύστατον. [2] περὶ Αἰσχύλου λέγει 'Αριστοφάνης. ἀντὶ τοῦ, οὐ ξυνεστῶτα, οὐδὲ πυκνὸν, ἀλλ' ἀραιὸν ἐν τῇ ποιήσει, καὶ κομπώδη. ἢ ἀσύνθετον, ἢ [3] ἀπιθάνως συντεθέντα.

'Αοζήσω. [4] διακονήσω. ὑπηρετήσω. ὑπουργήσω.

"Αοζοι. πολύοζοι. πολλὰ ξύλα καίοντες· ἤγουν οἱ μάγειροι.

'Αολλεῖ. [5] ποιεῖ. συνάγει. καὶ 'Αολλήσασα, ἀθροίσασα. καὶ 'Αολληθῆναι, ἀθροισθῆναι. ὃ καὶ ἀολλισθῆναι εὕρηται.

"Αοπτα. [6] 'Αντιφῶν. ἀντὶ τοῦ ἀόρατα. καὶ οὐκ ὀφθέντα μὲν, δόξαντα δὲ ὁρᾶσθαι.

"Αορ. τὸ ξίφος. καὶ κλίνεται ἄορος, ἄορι.

——'Υπαντιάσασα [7] δὲ μήτηρ,
Εἶπε, κατὰ στέρνων ἄορ ἀνασχομένη.

'Αόρατον. [8] τετραχῶς λέγεται. ἢ τὸ καθάπαξ ἀδύνατον ὁραθῆναι· οἷον ὡς καὶ τὰ ὑποκείμενα ἄλλῃ αἰσθήσει. καὶ γὰρ ἡ φωνὴ ἀόρατος, καὶ ἡ ὀσμὴ, καὶ τὰ ὅμοια. ἢ τὸ πεφυκὸς μὲν εἶναι ὁρατὸν, μὴ ὁρώμενον δέ· ὅπερ ἐστὶ τὸ ἐν στερήσει· ὡς τὸ δυνάμει διαφανὲς, φωτὸς μὴ παρόντος. ἢ τὸ οὕτω λεγόμενον ἀόρατον, ὡς φαύλως ὁρατόν. τοιοῦτον δέ ἐστιν, ἢ τὸ δι' ὑπερβολὴν λαμπρότητος φθαρτικὸν τῆς ὄψεως, ἢ δι' ἀμυδρότητα μὴ ποιοῦν εἰς τὴν αἴσθησιν. ἀντιλαμβάνεται τοίνυν τοῦ ἀοράτου ἡ ὄψις, οὐ [9] τοῦ μὴ πεφυκότος ὁρᾶσθαι (ταῦτα γὰρ, ὅτε μὴ ὁρᾶται, ὁ λόγος ἐστὶν ὁ κρίνων δι' ὀργάνου τῆς αἰσθήσεως· οὐ μέν τοιγε ἡ αἴσθησις) ἀλλὰ τοῦ κατὰ στέρησιν [10] ὁρατοῦ ἡ αἴσθησίς ἐστιν ἀντιληπτική. κρίνει γὰρ καὶ τὰ ἄλογα ταῖς ὄψεσιν ὅτι σκότος, κατὰ συμβεβηκὸς, τῷ μὴ πάσχειν ὑπὸ τῶν ὁρατῶν. διὸ καὶ εἰς τοὺς φωλεοὺς ἠρεμεῖ. μήποτε δὲ καὶ κατὰ στέρησιν ἀόρατον ἡ φαντασία ἐστὶν ἡ κρίνουσα, καὶ οὐχ ἡ ὄψις. εἴγε αἱ μὲν αἰσθήσεις ἐν τοῖς πάσχουσι τὴν κρίσιν ἴσχουσι· μὴ πάσχουσαι δὲ ἐν τῷ σκότῳ ἀνενέργητοί εἰσι. διὸ κατὰ τὴν ἕξιν μόνην θεωροῦνται. μὴ ἐνεργοῦσαι δὲ, πῶς ἂν κρίνοιεν;

"Αξω. Ducam, tam ad locum, quam è loco. 'Απάξω vero, e loco abducam.

'Αξυλία. Lignorum penuria. Sed 'Αξύλῳ ὕλῃ, dicitur de ſylva lignorum copia abundante.

'Αξύμμετρον. Nimiũ. Immodicum. *Tela vero propter nimiam fluvii latitudinem ad hoſtes non perveniebant.*

'Αξυνεσία. Imprudentia. Amentia. Thucydides libro tertio.

"Αξυνος. Qui cum nemine commerciũ habet.

'Αξύστατον. Sic Æſchylum vocat Ariſtophanes. Id eſt, non preſſum, nec denſum, ſed laxum & tumidum in poeſi, ampulliſque verborum utentem. Vel, inconcinnum, & fabulas abſurdas componentem.

'Αοζήσω. Miniſtrabo. Serviam.

"Αοζοι. Ramis abundantes. Item, coqui ſic vocantur, quaſi multa ligna comburentes.

'Αολλεῖ. Cogit. Congregat. Et 'Αολλήσασα, quæ congregavit. Et 'Αολληθῆναι, (pro quo etiam ἀολλισθῆναι reperitur) congregatos fuiſſe.

"Αοπτα. Antiphon. Quæ videri nequeunt. Item ea, quæ quidem viſa non ſunt, ſed viſa eſſe putantur.

"Αορ. Gladius. Declinatur ἄορος, ἄορι.

——Occurrens vero mater
Dixit, intentato in pectus gladio.

'Αόρατον. Quadruplici ſenſu accipitur. Vel enim ſignificat id, quod omnino videri nequit; ut ea, quæ aliis ſenſibus ſubjecta ſunt. Nam nec vox, nec odor, nec ſimilia, videri queunt. Vel, quod ita natura comparatum eſt, ut videri quidem poſſit, ſed aliquando non videtur; qualia ſunt ea, quibus privatio accidit: ut res quæ pellucida eſt in potentia, luce abſente. Vel, quod non clare videtur: qualia ſunt ea, quæ vel nimio ſplendore oculorum aciem perſtringunt; vel propter obſcuritatem viſum vix afficiunt. Sub viſum ergo cadunt τὰ ἀόρατα, non ea, quæ natura ſua omnino cerni nequeunt (illa enim non videri ratio per inſtrumentum ſenſus judicat, non vero ipſe ſenſus) ſed ea, quæ ſecundum privationem ſunt ἀόρατα. Nam & bruta oculis judicant, tenebras eſſe, per accidens nimirum, quoniam nihil vident: eamque ob cauſam in latibulis ſuis deliteſcunt. Forte tamen id, quod ſecundum privationem eſt ἀόρατον, phantaſia diſcernit, non autem viſus. Senſus enim tum judicant, cum ab objectis afficiuntur. Quoniam autem in tenebris non afficiuntur, actio eorum ceſſat. Quare ex ſolo habitu æſtimantur. Cum vero nihil agunt, quomodo judicent?

---

[1] 'Αξύλῳ δὲ ὕλῃ] Homer. Il. Λ. v. 155.

[2] 'Αξύστατον. περὶ Αἰσχύλου λέγει 'Αρισ.] Hæc & quæ ſequuntur ſunt verba Scholiaſtæ Ariſtoph. ad *Nubes* pag. 199. (123. Ed. Baſ. ut Portus obſervavit.)

[3] 'Απιθάνως συντεθέντα] Legendum eſt, ἀπιθάνως συνθέντα τοὺς μύθους, ut ex Scholiaſta Ariſtophanis patet.

[4] 'Αοζήσω. διακ.] Sic etiam Etymologus. Apud Heſychium vero legitur ἀοξήσω, διακονήσω: male, ut puto.

[5] 'Αολλεῖ. ποιεῖ] Nullus dubito, quin ſcribi debeat, 'Αολλεῖ. [ἀολλῆ] ποιεῖ. Cum enim duæ illæ voces ἀολλεῖ & ἀολλῆ maxime ſint affines & pene eædem, prior poſteriorem abſorpſit: quod in non paucis aliis quoque Suidæ locis contigiſſe deprehendi.

[6] "Αοπτα. 'Αντιφῶν. ἀντὶ τοῦ ἀόρατα. καὶ οὐκ ὀφθ.] Ex Harpocratione.

[7] 'Υπαντιάσασα δὲ μήτηρ εἶπε, κατὰ σ.] Integrum Epigramma, ex quo hæc decerpta ſunt, legitur Anthol. lib. 1. cap. v. Ep. 2.

[8] 'Αόρατον. τετραχῶς λέγεται. ἢ τὸ καθ.] Totus hic articulus deſcriptus eſt ex Philopono in lib. 11. Ariſtotelis *de Anima*, ut Pearſonius obſervavit.

[9] Οὐ τοῦ μὴ πεφυκότος ὁρᾶσθαι] Adde ex Philopono: οἷον τῶν ψόφων, καὶ τῶν αἰσθητῶν ταῖς ἄλλαις αἰσθήσεσιν.

[10] 'Ορατοῦ] Ex ſenſu patet, ſcribendum hic eſſe ἀοράτου: quam lectionem in verſione ſecutus ſum.

Ἀόργητος. ὁ μὴ ὀργιζόμενος.

Ἄορες. [1] αἱ γυναῖκες.

Ἀόριστος [2] γῆ. ἡ μὴ ἔχουσα ὅρους, μηδὲ στειρομένη. ἡ γὰρ στειρομένη ὅρους ἔχει, ἅτε οὖσα μεμερισμένη, ἕως ἐστὶν ἑκάστῳ [3] τὸ δίκαιον τῆς διακρατήσεως.

Ἀοριστύν. [4] ὁμιλίαν. συναναστροφήν.

Ἄορνος πέτρα. ἐν τῇ Ἰνδικῇ. [5] Ἀρριανός. Μέγα γάρ τι χρῆμα πέτρας ἐν τῇ χώρᾳ ταύτῃ ἐστίν. ([6] ἔστι δὲ καὶ λίμνη οὕτω καλουμένη.) ταύτην Ἀλέξανδρος εἷλεν, ἣ τῷ Ἡρακλεῖ ἄπορος ἐγένετο.

Ἀορτήν. λέγουσιν οἱ πολλοὶ νῦν Ἀβερτήν. Μακεδονικὸν δὲ καὶ τὸ σκεῦος, καὶ τὸ ὄνομα. καὶ Ἀορτὴ, φλὲψ ἡ μεγάλη.

Ἀορτήρ. ὁ λῶρος τῆς σπάθης.

Ἀοσσητήρ. [7] ὁ βοηθός. ὁ ἄνευ ὄσσης, καὶ κληδόνος, καὶ αὐτομάτως βοηθῶν.

Ἀώρησις, ἡ κρέμασις.

Ἀωρία. ἀντὶ τοῦ ἀκαίρως, καὶ παρὰ τὸν δέοντα καιρόν. Ἄωρα γὰρ, τὰ παρὰ τὸν καιρὸν τρυγώμενα. καὶ [8] Ἀριστοφάνης

Οἱ δὲ Πρυτάνεις ἥκουσιν, ἀλλ᾽ ἀωρίᾳ.

Οὐκ ἔξεστι γὰρ Βαβυλωνίοις ἀωρίᾳ τάφον ὑπερβῆναι. Σημαίνει δὲ καὶ τὴν σκοτίαν. Αἰλιανός· Ἐπεὶ δὲ ἀωρία ἦν, ὁ μὲν ἐπὶ τὸν φόνον ὑπεθήγετο. καὶ [9] Ἀωρὶ τῶν νυκτῶν.

Ἀωρόλειος. ὁ παρὰ τὴν ὥραν καὶ τὴν ἡλικίαν λειαινόμενος καὶ φαλακρῶν. τὸ αὐτὸ καὶ ὠμογέρων, ὁ παρ᾽ ἡλικίαν γηράσας.

Ἄωρον. ἀπρεπές. [10] ἀχαρές. ἄκαιρον. ἔνιοι δὲ ἀντὶ τοῦ ἀνοίκειον, καὶ ἀσύμφορον. καὶ Ἄωρος, ὁ ὠμὸς, ὁ ἀπέπαντος. καὶ Ἀωρότερον.

Ἀωρῶ. τὸ ἀλογῶ.

Ἄωρτο. [11] ἐκρέματο.

Ἀωτεμεῖν. [12] ὑφαίνειν.

Ἄωτον. ἄνθος. κόσμος. στέφανος. περιβόλαιον ἐξ ἁπαλῶν ἐρίων. Ἀώτῳ, δοτική. Ἄωτον δὲ ἀγγεῖον, τὸ μὴ ἔχον ὦτα. καὶ ῥῆμα Ἀωτῶ, τὸ ἀπανθίζω.

Ἄπαγε. γενικῇ. παῦσαι. μὴ γένοιτο. ἢ [13] Ἄπαγε, ἀντὶ τοῦ, χρῶ τῇ ἀπαγωγῇ. οὕτω Δημοσθένης. καὶ

Ἀόργητος. Expers iræ. Qui non iraſcitur.

Ἄορες. Conjuges. Uxores.

Ἀόριστος γῆ. Terra nullos habens limites, & inculta. Quæ enim colitur, habet limites, & diviſa eſt, donec unicuique agrorum ſuorum dominium retinere licet.

Ἀοριστύν. Colloquium. Converſationem.

Ἄορνος πέτρα. Averna rupes in India. Arrianus: *Ingens enim in illa regione rupes eſt,* [*Averna vocata.*] *Hanc Alexander cepit, quæ ne ab ipſo quidem Hercule expugnari potuit.*

Ἀορτήν Hanc vulgus Ἀβερτήν nunc vocat. Eſt autem & vas & nomen Macedonicum. Ἀορτὴ etiam magna vena vocatur.

Ἀορτήρ. Lorum gladii.

Ἀοσσητήρ. Auxiliator. Qui nec omine nec augurio aliquo impulſus, ſed ſponte ſua opem alicui fert.

Ἀώρησις. Suſpenſio.

Ἀωρία. Intempeſtive, & tempore alieno. Ἄωρα enim vocantur fructus, qui alieno tempore vindemiantur. Et Ariſtophanes:

Prytanes veniunt, ſed intempeſtive.

Non licet enim Babyloniis alieno tempore ſepulcrum tranſire. Significat etiam tenebras noctis. Ælianus: *Ille vero, quia nox erat intempeſta, ad cædem ſtrenue & alacri animo ſe accingebat.* Et Ἀωρὶ νυκτῶν, nocte intempeſta.

Ἀωρόλειος. Qui ante tempus calveſcit. Sic ὠμογέρων, qui ante ætatem conſenuit.

Ἄωρον. Indecorum. Ingratum. Intempeſtivum. Secundum nonnullos ſignificat, quod non convenit, quod non expedit. Et Ἄωρος crudus, immaturus. Inde [comparativus] Ἀωρότερον.

Ἀωρῶ. Non curo. Negligo.

Ἄωρτο. Pendebat.

Ἀωτεμεῖν. Texere.

Ἄωτον. Flos. Ornatus. Corona. Amiculum ex tenellis lanis confectum. Et Ἀώτῳ dativus. At vas Ἄωτον dicitur, quod auribus vel anſis caret. Et verbum Ἀωτῶ, flores decerpo, flores lego.

Ἄπαγε. Genitivo jungitur. Ceſſa. Deſine. Abſit. Et Ἄπαγε, utere actione illa, quæ παροιμία· Ἄπαγε ξένον ἐν χειμῶνι. ἐπὶ τῶν ὀχληρῶν.

---

[1] Ἄορες. αἱ γυν.] Imo Ὄαρες. Vid. Schol. Hom. ad Il. I. v. 327.

[2] Ἀόριστος γῆ. ἡ μὴ ἔχουσα ὅρους, μηδὲ στ.] Hæc ſunt verba Scholiaſtæ Thucydidis ad lib. I. cap. CXL. ut Pearſonius obſervavit.

[3] Τὸ δίκαιον τῆς διακρατήσεως] Scholiaſta Thucydidis minus recte habet, τὸ δίκαιον τῆς διακρίσεως.

[4] Ἀοριστύν] Scribe ὀαριστύν, eamque vocem ſuo loco redde. Homerus Il. N. v. 291.

——— Μετὰ προμάχων ὀαριστύν.

Ubi brevis Scholaſta: Ἐν τῇ τῶν προαγωνιστῶν ὁμιλίᾳ καὶ συναναστροφῇ. Hunc locum Suidas reſpexit.

[5] Ἀρριανός] Suidas in loco hoc Arriani recitando non tam verborum quam ſenſus rationem habuit. Ipſa enim verba Arriani lib. IV. *de Exped. Alex.* pag. 306. hæc ſunt. Μέγα γάρ τι τοῦτο χρῆμα πέτρας ἐν τῇ χώρᾳ ταύτῃ ἐστί. καὶ λόγος ὑπὲρ αὐτῆς κατέχει, οὐδὲ Ἡρακλεῖ τῷ Διὸς ἁλωτὸν γενέσθαι τὴν πέτραν. De hac rupe Averna vide etiam Philoſtratum in *Vit. Apoll.* lib. II. cap. V.

[6] Ἔστι δὲ καὶ λίμνη οὕτω καλ.] Hæc verba lituram merentur, quoniam apud Arrianum loco laudato non leguntur, & ſeriem orationis interrumpunt. Dubium enim non eſt, quin, cum margini prius adſcripta eſſent, ab imperito aliquo librario, qui ſenſus nullam rationem haberet, in textum intruſa fuerint: qua ratione ſexcentis in locis apud Suidam peccatum eſt.

[7] Ἀοσσητήρ] Eſt vox Homerica Il. O. v. 254. & alibi.

[8] Ἀριστοφάνης] Apud Ariſtoph. *Archarnenſ.* pag. 371. (262. Ed. Baſ. *P.*) ſic legitur:

Οὐδ᾽ οἱ Πρυτάνεις ἥκουσιν. ἀλλ᾽ ἀωρίαν
Ἥκοντες &c.

[9] Ἀωρὶ νυκτῶν] Ariſtophanes *Ecclеſ.* pag. 746. (501. Ed. Baſ. *P.*) de gallo gallinaceo ait:

——— Σὺ δὲ δεῦρ᾽ ὦ κιθαρῳδὸς ἔξιθι,
Πολλάκις ἀναστήσας με εἰς ἐκκλησίαν
Ἀωρὶ νυκτῶν.

Ad hunc locum Suidas reſpexit.

[10] Ἀχαρές] Melius Heſychius ἄχαρι.

[11] Ἄωρτο] Homer. Il. Γ. v. 272.

[12] Ἀωτεμεῖν. ὑφαίνειν] Scribendum eſt ἀωτεῖν, vel ἀωτεύειν. Vide Euſtath. ad Odyſſ. A. pag. 1429. 21.

[13] Ἄπαγε. ἀντὶ τοῦ, χρῶ τῇ ἀπ.] Ex Harpocratione, ad quem vide Mauſſacum.

Ἄπαγέ [1] με εἰς τὰς λατομίας. παροιμία, ἐπὶ τῶν μὴ ὑποφερόντων τὰ ἀνάξια. Φασὶ γὰρ ὅτι Φιλόξενος ὁ Διθυραμβοποιὸς Διονυσίῳ τῷ τυράννῳ συνῆν. ἔωλα δὲ αὐτοῦ ποιήματα ἀναγινώσκοντος, οὐκ ἐπῄνει. ἐφ' οἷς ὀργισθεὶς ἐκέλευσεν αὐτὸν ἀπαχθῆναι εἰς τὰς λατομίας. εἶτα πάλιν μετεκαλέσατο αὐτὸν, ἐλπίζων ἐπαινέσαι αὐτοῦ τὰ ποιήματα. ὁ δὲ μὴ ἐθέλων ἐπαινεῖν, ἔλεγε τὸ προκείμενον.

Ἄπαγε [2] μόθον ἀπὸ κώπης. παροιμία ἐπὶ τῶν ὀχληρῶν, καὶ παρὰ καιρὸν τοῖς σπουδάζουσιν ἐνοχλούντων.

Ἀπάγεια. [3] ἡ μήπω συμπαγεῖσα.

Ἀπάγειν, ἐφηγεῖσθαι, γράφεσθαι, δικάζεσθαι. τούτων ἕκαστον ἐπὶ τῶν ἑτέρων κατηγορούντων λέγεται. ἀλλ' ἐὰν μὲν πρὸς διαιτητὴν ἡ δικασία γένηται, καλεῖται δικάζεσθαι. καὶ Ἀπάγοντες. ἀπωθοῦντες, ἀπελαύνοντες. Τὸν ἄνδρα ἀπάγοντες.

Ἀπαγορεύει. ἀποτρέπεται. ἀρνεῖται. Ἀπαγορεύουσι τῷ Φιλίππῳ, καὶ τὸν Δέκιον ἀναγορεύουσιν. Καὶ αὖθις Εὐνάπιος· Πρὸς τὸ ἀφανὲς καὶ ἀόριστον τῆς χώρας ἐκπεσόντες, πρὸς τοὺς φόνους καὶ πρὸς τὴν λείαν ἀπαγορεύοντες. ἢ [4] Ἀπαγορεύειν, ἀντὶ τοῦ κάμνειν καὶ ἀδυνάτως ἔχειν. Ἀπαγορεύων τοῖς ἄρχουσι διαῤῥήδην τῆς φιλαργυρείας ἀπέχεσθαι.

Ἀπάγου. ἀντὶ τοῦ, πρὸς αὐτὸν ἄπαγε. Εὐριπίδης.

Ἀπαγωγάς. αἰχμαλωσίας. [5] ἀδυνατίας. καὶ Ἀπαγωγὴ, μήνυσις ἔγγραφος διδομένη τῷ ἄρχοντι, περὶ τοῦ δεῖν ἀπαχθῆναι τὸν δεῖνα. Ἐνταῦθα ὁ Λικίνιος κατὰ πρόφασιν ἀπαγωγῆς ἀφικόμενος. τὸ οὖν [6] Ἀπαγωγὴ δίκης ἐστὶν εἶδος. ὠνόμασται δὲ ἀπὸ τοῦ ἀπάγειν. ἀπήγοντο δὲ οἱ κακοῦργοι πρὸς τοὺς ἕνδεκα.

Ἀπαγχονίσαι. πνίξαι. Ἀγχονῶ δὲ, καὶ λιμαγχονῶ.

Ἀπᾴδει. ἀπαρέσκει. καὶ Ἀπᾷδον. οὐ συνᾷδον, ἀπαρέσκον. Τὰς σπονδὰς ἀποπέμπεσθαι, ὡς ἀπᾳδούσας τῆς Ῥωμαίων μεγαλειότητος. ἀντὶ τοῦ ἀναξίους οὔσας. Καὶ, Στησίχορος δὲ οὐκ ἀπᾴδει αὐτῶν.

Ἀπαθέστατα. ἐκτὸς πάθους. Εὐμενῆ δεῖ εἶναι, καὶ ἀνεκτικὸν τῶν ἰδιωτῶν, καὶ ἀθεώρητον, ὁρώμενον πρὸς πάντας εὐάρμοστον, ὥστε κολακείας πάσης προσηνεστέραν εἶναι τὴν ὁμιλίαν, προσηνῆ καὶ αἰδέσιμον πᾶσι.

ἀπαγωγὴ vocabatur. Sic Demoſthenes Et proverbium: *Ejice hoſpitem in tempeſtate.* In homines importunos.

Ἄπαγέ με εἰς τὰς λατ. *Abduc me in lapidicinas.* Proverbium de iis, qui indigna ferre non poſſunt. Ferunt enim Philoxenum, poetam Dithyrambicum, cum Dionyſio Tyranno aliquando fuiſſe. Cumque is inepta poemata ſua recitaret, & Philoxenus ea laudare nollet, iratus Tyrannus eum in lapidicinas abduci juſſit. Deinde vero eum revocavit, ſperans fore, ut tunc carmina ſua laudaret. Sed cum Philoxenus ea probare non poſſet, dicto ante memorato uſus eſſe fertur.

Ἄπαγε μόθον. *Aufer mothonem a remo.* Proverbium in eos, qui aliis res ſerias agentibus intempeſtive moleſti ſunt.

Ἀπάγεια. Quæ nondum eſt compacta.

Ἀπάγειν, ἐφηγεῖσθαι, γράφεσθαι, δικάζεσθαι. Horum verborum unumquodque dicitur de illis, qui alios accuſant. Sed ſi apud arbitrum lis diſceptetur, id vocatur δικάζεσθαι. Et Ἀπάγοντες, repellentes, abigentes. *Hominem repellentes.*

Ἀπαγορεύει. Interdicit. Negat. *Negant Philippo, & Decium renuntiant* [*victorem.*] Et iterum Eunapius: *Cum in obſcuram & incultam regionis partem perveniſſent, & cædibus prædiſque agendis defatigati eſſent.* Et Ἀπαγορεύειν, defatigari & labori ſuccumbere. † *Magiſtratibus diſerte præcipiens, ut ab avaritia abſtinerent.*

Ἀπάγου. Faceſſe hinc. Euripides.

Ἀπαγωγάς. Abductiones in captivitatem Prehenſiones. Et Ἀπαγωγὴ vocatur libellus, quo quis indicium magiſtratui facit, aliquem in jus rapiendum eſſe. *Tunc Licinius venit, cauſam prætexens, ſe aliquem in judicium abducturum eſſe.* Ἀπαγωγὴ igitur nomen eſt actionis, ſic dictæ a verbo ἀπάγειν. Abducebantur autem malefici ad Undecimviros.

Ἀπαγχονίσαι. Strangulare. Et Ἀγχονῶ, idem. Λιμαγχονῶ vero, fame neco.

Ἀπᾴδει. Diſplicet. Diſcrepat. Et Ἀπᾷδον. Diſcrepans. Diſplicens. [*Dixerunt*] *fœdus repudiandum eſſe, ut minime dignum Majeſtate populi Romani.* Et, *Steſichorus vero non diſcrepat ab illis.*

Ἀπαθέστατα. Abſque affectibus & motibus animi. *Oportet eum eſſe benignum, & qui imperitos æquo animo ferat, & ab oſtentatione alienum, omnibuſque ſeſe accommodantem, ita ut in congreſſibus ſit quovis adulatore blandior,* μηδὲ ἔμφασίν ποτε ὀργῆς παρασχεῖν, εὐπροσηγορώτατον καὶ εὐφημότατον ἀψοφητί.

---

[1] Ἀπαγέ με εἰς τὰς λατομίας. παροιμία, ἐπὶ τῶν μὴ ὑπ.] Vide infra v. Εἰς λατομίας, & v. Φιλοξένου γραμμάτιον.

[2] Ἄπαγε μόθον] Duo MSS. Pariſ. habent μῶθον, per ω μέγα. Sed quid hoc? Forte legendum eſt μῦθον; quam conjecturam Wolfio etiam in mentem veniſſe video. Certe vox illa a vulgata lectione quam minimũ recedit, & ſenſui proverbii hujus optime convenit. Diogenianus proverbium hoc ſic effert & interpretatur: Ἄπαγε μόθωνα ἀπὸ κώπης. ἐπὶ τῶν διοχλούντων παρὰ καιρὸν τοῖς σπουδάζουσιν. ὁ γὰρ μόθων φορτικῆς ὀρχήσεως εἶδος. i. e. *Aufer mothonem a remo. In eos, qui ſeriis negotiis intentos intempeſtive interpellant. Mothon enim moleſta ſaltationis genus eſt.* Hanc lectionem ſecutus eſt Eraſmus.

[3] Ἀπάγεια] Scribendum eſt ἀπαγής.

[4] Ἀπαγορεύειν, ἀντὶ τοῦ κάμνειν, καὶ ἀδυνάτως ἔχειν] Hæc ſunt verba Harpocrationis; ex quo Suidas.

[5] Ἀδυνατίας] Quamvis ſic omnes Edit. habeant, nec MSS. ut puto, diſcrepent, vocem tamen illam explodendam puto, utpote nec Græcam, nec loci hujus ſenſui convenientem.

[6] Ἀπαγωγή. δίκης ἐστὶν εἶδος] Hæc refellit Salmaſius *de Modo Uſur.* pag. 774. quem vide.

Ἀπαθῆ. ἄλυπον. ὁ [1] δὲ Ἀντιφῶν ἀπαθῆ πληθυντικῶς, τὰ μὴ ὡς ἀληθῶς γεγονότα πάθη. καὶ Ἀπαθής. [2] Ἀπαθῆ φασιν εἶναι τὸν σοφὸν, διὰ τὸ ἀνέμπτωτον. εἶναι δὲ καὶ ἄλλον ἀπαθῆ, τὸν φαῦλον, ἐν ἴσῳ λεγόμενον τῷ σκληρῷ καὶ [3] ἀτέγκτῳ. Καὶ Ἀπαθὴς, ὁ μὴ πεῖραν κακῶν εἰληφώς. Οἱ δὲ κακῶν παντάπασιν ἀπαθεῖς ἔμειναν. καὶ Ἀπαθές. Τὸ [4] ὑγιαίνειν ἐν τῷ τεθνάναι μᾶλλον, ἢ ἐν τῷ ζῆν.
Illi vero malorum expertes ſemper manſerunt. in vita.

Ἀπ' ἀκροφυσίων λόγους ἐνδεικνύναι. οἱονεὶ καινοὺς, καὶ [5] νεοποιήτους. [6] Ἀριστοφάνης·

Ῥήματά τε κομψὰ, καὶ παίγνια ἐπιδεικνύναι
Πάντα ἀπ' ἀκροφυσίων, καὶ τῶν ἀπὸ κιναβευμάτων.

λέγει γὰρ διὰ μὲν τοῦ Ἀπ' ἀκροφυσίων, καινῶς εἰργασμένα, καὶ οἷον ἐκ πυρός. διὰ δὲ τοῦ Ἀπὸ κιναβευμάτων, οἷον καινῶς πεπλασμένα. διάθεσιν ἔχοντα. Κίναβος γὰρ τὸ εἴδωλον, πρὸς ὃ πλάσται καὶ οἱ ζωγράφοι βλέποντες διατίθενται πλάττοντες καὶ γράφοντες. [7] κέχρηνται πολλοί.

Ἀπάκτου. [8] Σοφοκλῆς·

Ἀλλ' ὡς τάχος τὸν παῖδα τόνδ' ἤδη δέχου
Καὶ δῶμ' ἀπάκτου.

Ἀπάλαμνος. ἄπειρος.

Ἀπαλλάξας. [9] ἀντὶ τοῦ πείσας ἀποστῆναι. Κρατῖνος, καὶ Δημοσθένης, καὶ ἄλλοι. καὶ Ἀπαλλάξωμεν, ἀντὶ τοῦ ἀφανίσωμεν. καὶ Ξενοφῶν· Τῶν ἄλλων σκευῶν τὰ περισσὰ ἀπαλλάξωμεν. καὶ Ἀπαλλάξαι, ἀντὶ τοῦ φυγαδεῦσαι. [10] Ἐδεῖτο δὲ τὸ πλῆθος προσωτάτω Ἀρμενίας ἀπαλλάξαι Ἰωτόμην, ὡς οὔποτ' ἂν ἀφεξόμενον τοῦ νεωτερίζειν, εἰ τύχῃ ὢν ἔνδημος.

Ἀπαλλάξειεν. μετακινήσειεν. [11] Ἀριστοφάνης·

Πῶς καλῶς αὐτὸν ἀπαλλάξειεν ἂν μετόρχιον.

καὶ [12] Ἀπαλλαξείοντες, ἐπιθυμίαν ἔχοντες ἀπαλλαγῆναι.

Ἀπαλγήσαντας. παρὰ Θουκυδίδῃ [13] ἀντὶ τοῦ παυσαμένους ἀλγεῖν· ὥσπερ τὸ ἀπολοφυράμενοι.

Ἀπαλγοῦντες. ἀπογινώσκοντες. Πολύβιος· Οἱ

& omnibus venerabilis, nec ullam iræ ſignificationem unquam edat, amantiſſimus & glorioſiſſimus abſque jactantia.

Ἀπαθῆ. Doloris & triſtitiæ expertem. Antiphon vero ἀπαθῆ in plurali numero vocavit affectus vel calamitates, quæ re vera tales non ſunt. Et ἀπαθὴς, [perturbatione vacuus.] *Sapientem perturbatione animi vacuum eſſe dicunt, quod labi non poſſit. Eſſe item & alium perturbatione vacuum, malum videlicet: ſed eo ſenſu, quo dicimus aliquem durum & rigidum.* Et Ἀπαθὴς, qui mala expertus non eſt. Et Ἀπαθές. *Sanitas in morte potius eſt, quam*

Ἀπ' ἀκροφυσίων. Verba folles redolentia. Id eſt, nova & recens elaborata. Ariſtophanes: *Et verba ornata ludicraque oſtentare, omnia folles redolentia & ab archetypis recens expreſſa.* Per ἀπ' ἀκροφυσίων intelligit nova, & quaſi ab igne recentia. Per verba autem ἀπὸ κιναβευμάτων, recens ficta & facta. Κίναβος enim dicitur archetypum, ſive exemplar, quod ſtatuarii & pictores in fingendo & pingendo imitandum ſibi proponunt. Hac voce [præter Ariſtophanem] uſi ſunt & multi alii.

Ἀπάκτου. Abducito. Sophocles:

Sed quam celerrime puerũ iſtum jam accipe,
Et domum abducito.

Ἀπάλαμνος. Induſtria carens. Imperitus.

Ἀπαλλάξας. Qui alicui perſuadet, ut [ab actione vel accuſatione] deſiſtat. Cratinus, Demoſthenes, & alii. Et Ἀπαλλάξωμεν, e medio tollamus, removeamus. Xenophon: *Reliqua vaſa ſupervacanea removeamus.* Et Ἀπαλλάξαι, aliquem ex aliquo loco pellere vel relegare. *Plebs vero rogabat, ut Jotomen quam longiſſime ab Armenia relegaret, quod is a rebus novandis nunquam ſibi temperaturus eſſet, ſi in patria maneret.*

Ἀπαλλάξειεν. Amoverit. Removerit. Ariſtophanes: *Facile quis plantas ex arvis removeat.* Et Ἀπαλλαξείοντες, qui diſcedere cupiunt.

Ἀπαλγήσαντας. Apud Thucydidem ſignificat, qui dolere deſierunt: ut ἀπολοφυράμενοι, qui lugere deſierunt.

Ἀπαλγοῦντες. Animum deſpondentes. Deδὲ Ἀκαρνᾶνες πυνθανόμενοι τὴν τῶν Αἰτωλῶν ἔφοδον ἐπὶ σφᾶς, τὰ μὲν ἀπαλγοῦντες ταῖς ἐλπίσι, τὰ δὲ καὶ θυμομαχοῦντες, ἐπί τινα παράστασιν κατήντησαν. Καὶ αὖθις· [1] Ἀπαλγοῦντας δὲ αὐτοὺς ὑπὸ τοῦ πολλοῦ ῥίγους ἐπερρώννυεν.

---

[1] Ὁ δὲ Ἀντιφῶν ἀπαθῆ πληθ. τὰ μὴ ὡς ἀληθ. γεγονότα πάθη] Ex Harpocratione.

[2] Ἀπαθῆ φασιν εἶναι τὸν σοφὸν, διὰ τὸ ἀνέμπτ.] Hæc & quæ ſequuntur uſque ad τὸ ἀτέγκτῳ, ſunt verba Laertii in *Zenone* lib. VII. Segm. 117. ut Pearſonius etiam obſervavit.

[3] Ἀτέγκτῳ] Laertius habet ἀτρέπτῳ.

[4] Τὸ ὑγιαίνειν ἐν τῷ τεθνάναι μᾶλλον, ἢ ἐν τῷ ζῆν] Eadem repetuntur infra v. Θάνατος. Sed quid hæc ad Ἀπαθής?

[5] Καὶ νεοποιήτους] Hanc lectionem ex optimo MS. Pariſ. A. revocavi; quam etiam agnoſcit codex Vaticanus, teſte Pearſonio. In prioribus vero Edit. excuſum eſt καινοποιήτους.

[6] Ἀριστοφάνης. Ῥήματά τε κομψὰ ἐ. τ.] Duo hi verſus, quos in fabulis Ariſtophanis hodie ſuperſtitibus fruſtra quæras, ſic conſtituendi & legendi ſunt:

Ῥήματά τε κομψὰ καὶ παίγνι' ἐπιδεικνύναι,
Πάντ' ἀπ' ἀκροφυσίων κἀπὸ κιναβευμάτων.

Genus enim hoc verſus ſimile eſt illi, quo utitur idem Comicus in *Veſpis* pag. 522.

Ὦ μακάρι' Αὐτόμενες, ὥς σε μακαρίζομεν.

[7] Κέχρηνται πολλοί] Sic in uno MS. Pariſ. A. exaratum eſt. Priores vero Edit. minus recte habent κέχρηνται πολλάκις.

[8] Σοφοκλῆς] In *Ajace* pag. 35. v. 580.

[9] Ἀπαλλάξας. ἀντὶ τοῦ πείσας ἀποστῆναι] Verum horum verborum ſenſum, a quo Portus longe aberraverat, in verſione expreſſi. Vide infra v. Ἀφείς, ubi hæc ipſa clarius exponuntur.

[10] Ἐδεῖτο δὲ τὸ πλῆθος προσωτ. Ἀρμ.] Hoc fragmentum repetitur infra v. Ἰωτόμης.

[11] Ἀριστοφάνης] Apud Ariſtoph. in *Pace* 454. locus hic ita legitur:

Ἦ καλῶς αὐτῶν ἀπαλλάξειεν ἂν μετόρχιον. P.

[12] Ἀπαλλαξείοντες. ἐπιθ. ἔχοντες τοῦ ἀπαλλ.] Ex Scholiaſta Thucydidis ad lib. I. cap. XCV.

[13] Ἀντὶ τοῦ παυσαμένους ἀλγεῖν· ὥσπερ τὸ ἀπολ.] Ex Scholiaſta Thucydidis ad lib. II. cap. LXII.

Ἀπαλέξασθαι. ἀντιτάξασθαι. [2] Σοφοκλῆς·

> Χ' ἡμεῖς οὐδὲν σθένομεν πρὸς ταῦτ'
> Ἀπαλέξασθαι σοῦ χωρὶς, ἄναξ.

καὶ Ἀπαλεξῆσαι. κωλῦσαι. καὶ Ἀπαλέξοντες, ὁμοίως.

Ἀπάλλεις. [3] ἀποπέμπεις.

Ἀπαληθεύειν. τὸ τἀληθὲς ἐξευρίσκειν. καὶ Ἀπαληθεύω, τὸ τὴν ἀλήθειαν ἐκφαίνω. Ὁ δὲ χρόνῳ ὕστερον ἐφωράθη, τῷ πάντα ἐκκαλύπτοντι καὶ ἀπαληθεύοντι. τουτέστι τὸ δόλερον ἀναφαίνεται.

Ἀπαλθήσεσθαι. θεραπευθήσεσθαι.

Ἁπαλοὶ θερμολουσίαις, ἁβροὶ μαλθακευνίαις. ἐπὶ τῶν ὑπὸ τρυφῆς καὶ ἁβρότητος διαῤῥεόντων.

Ἁπαλώτερος τρύχνου. ἔστιν ἐν τῷ Τρύχνος.

Ἀπαμβλυώσει. ἐκκαθαίρει σκότους καὶ ἀλλοιώσεως.

Ἀπάμεια. πόλις.

Ἀπαμείρεται. ἀποστερεῖ.

Ἀπαμυνεῖ. ἀποτρέψει.

Ἀπαμφιέσαντες. ἐκδύσαντες. καὶ Ἀπαμφιεῖ, ἀποκαλύψει. [4] Μισουμένῳ.

> Ἀπαμφιεῖ γὰρ τὸ κατάπλαστον τοῦτό μου
> Καὶ λανθάνειν βουλόμενον ἡ μέθη ποτέ.

καὶ Ἀπαμφίσκων, ἀποκαλύπτων.

Ἅπαν. οἱ μὲν Ἴωνες συστέλλουσι. καὶ ὁ Ποιητής·

> Τῶν δ' ἅπαν ἐπλήσθη πεδίον.

Οἱ δὲ Ἀττικοὶ ἐκτείνουσι τὴν ὑστέραν. καὶ τοπαράπαν ὁμοίως, καὶ ἅπαν, καὶ τὰ τοιαῦτα.

Ἀπανάστασις. ἀποικία. μετάστασις.

Ἀπαναίνομαι. ἀρνοῦμαι.

Ἀπανθήσαντα. ξηρανθέντα. [5] Μακαριωτάτη ἐγὼ, ἥτις μεμύρωμαι τὴν κεφαλὴν μυρώμασιν ἀγαθοῖς. ἐν τῇ κεφαλῇ γὰρ ἐμμένει πολὺν χρόνον. τὰ δ' ἄλλ' ἀπανθήσαντα πάντ' ἀπέπτατο. Ἀριστοφάνης φησίν. Ἀπανθῶ γὰρ, τὸ ἀποβάλλω. Καὶ ὁ Θεολόγος· [6] Τῶν ἐκ γένους τοῖς ἀπανθήσασιν. Ἀπανθίζω δὲ, τὸ τὰ ἄνθη συλλέγω.

ſperantes. Polybius: *Acarnanes vero, audita Ætolorum adverſus ſe expeditione, partim deſperatione, partim vero odio & ira in hoſtem impulſi audax conſilium ceperunt.* Et iterum: *Propter frigoris vero magnitudinem animum deſpondentes confirmavit.*

Ἀπαλέξασθαι. [Propulſare.] Reſiſtere. Sophocles:

> *Nos vero non valemus his*
> *Reſiſtere ſine te, o Rex.*

Et Ἀπαλεξῆσαι, arcere, propulſare. Et Ἀπαλέξοντες, ſimiliter.

Ἀπάλλεις. Remittis.

Ἀπαληθεύειν. Veritatem invenire. Et Ἀπαληθεύω, veritatem aperio. *Ille vero poſtea deprehenſus eſt, tempore omnia detegente & veritatem aperiente.* Id eſt, fraus & dolus ejus apparuit.

Ἀπαλθήσεσθαι. Curatum iri.

Ἁπαλοὶ θερμ. *Molles calidis balneis, & delicati mollibus lectis* [*gaudent.*] In eos, qui luxu & deliciis diffluunt.

Ἁπαλώτερος τρύχνου. Mollior trychno. Quære in v. Τρύχνος.

Ἀπαμβλυώσει. A caligine & tenebris oculos liberat.

Ἀπάμεια. Apamea. Urbs.

Ἀπαμείρεται. Privat.

Ἀπαμυνεῖ. Propulſabit. Arcebit.

Ἀπαμφιέσαντες. Qui exuerunt. Qui ſpoliarunt. Et Ἀπαμφιεῖ, revelabit, manifeſtabit. [Menander] *Miſumeno:*

> *Manifeſtabit enim ſimulationē iſtam meam,*
> *Quamvis occultare eam ſtudeam, aliquando ebrietas.*

Et Ἀπαμφίσκων, retegens, revelans.

Ἅπαν. Iones vocem hanc corripiunt. Et Homerus: *Illis vero totus campus repletus eſt.* Attici vero producunt ultimam ſyllabam, non ſolum in hac voce, ſed etiam in τοπαράπαν, ἅπαν, & ſimilibus.

Ἀπανάστασις. Coloniæ deductio Ex prioribus ſedibus in alias migratio.

Ἀπαναίνομαι. Renuo. Nego.

Ἀπανθήσαντα. Quæ defloruerunt. Arefacta. Ariſtophanes: *O me beatam, quæ caput unxi unguentis bonis.* [*His tamen præſtant Thaſiæ amphoræ,*] *quoniā diu in capite permanent. Alia vero odorem cito amittunt & evaneſcunt.* Ἀπανθῶ [hic ſignificat, florē vel odorem ſuavē] amitto. Et Theologus: *Cognatis, qui flore quaſi felicitatis & fortunæ exciderunt* [*liberalitate ſubvenire laudabile eſt.*] Ἀπανθίζω vero, flores colligo.

Ἄπανθ' ὅμοια, καὶ Ῥοδῶπις ἡ καλή. σημαίνει

Ἄπανθ' ὅμοια, καὶ Ῥοδ. *Una ſors eſt cunctis,*

---

[1] Ἀπαλγοῦντας δὲ αὐτοὺς ὑπὸ τοῦ πολλοῦ ῥίγους ἐπερρώννυεν] Hæc ſunt verba Dionis de Antiocho Cynico, Αὐτόμολος cognominato, pag. 433. eademque leguntur ſupra v. Ἀντίοχος ὁ Αὐτόμολος.

[2] Σοφοκλῆς] In *Ajace* pag. 11. v. 165, 166. P.

[3] Ἀπάλλεις] Portus legendum conjiciebat ἀποπάλλεις. Sed malim ἀπιάλλεις, ab ἰάλλω, mitto.

[4] Μισουμένῳ] Scripſerat Menander drama, Μισούμενος vocatum, cujus meminit Suidas infra v. Ἀποκναίειν. Quare exiſtimo, excidiſſe hic nomen Comici illius, legendumque eſſe Μένανδρος Μισουμένῳ.

[5] Μακαριωτάτη ἐγὼ, ἥτις μεμ.] Locus hic eſt mutilus, qui ſuppleri debet ex Ariſtoph. *Eccleſ.* pag. 757. (510. Ed. Baſ. ut Portus monuit.)

[6] Τῶν ἐκ γένους τοῖς ἀπανθήσασιν] Loci hujus ſenſus ſupplendus eſt ex Gregor. Nazianz. Orat. XIX. pag. 291. ubi ſic legitur: Ἕνα δὲ πλοῦτον ἀσφαλῆ τε καὶ ἄσυλον [γινώσκων,] τὸ ἀποπλουτεῖν Θεῷ καὶ τοῖς πένησι, καὶ μάλιστα τῶν ἐκ γένους τοῖς ἀπανθήσασιν &c. i. e. *Solas illas divitias certas & nulli rapinæ vel furto obnoxias eſſe exiſtimans, quæ erogarentur Deo & pauperibus, & præcipue cognatis, qui flore quaſi felicitatis & fortunæ ſuæ excidiſſent.*

δὲ, ὅτι ταῖς τύχαις ὁμοίως ὑποπεπτώκασιν οἱ θνητοί. ζήτει περὶ τῆς Ῥοδώπιδος ἐν τῷ Ῥοδώπιδος ἀνάθημα.

Ἀπανθρακίζομεν. [1] ἀντὶ τοῦ, [2] ἄνθρακας ἐσθίομεν. ἔστι δὲ εἶδος ἰχθύων, ὅπερ ὀπτῶντες ἐσθίουσιν. ἢ ὀπτὰς ἐσθίομεν, ἢ ἄνθρακας ζωπυροῦμεν.

Ἀπανθρωπία. κακία. ὅταν τις μὴ κατ' ἄνθρωπον ποιῇ, τοῦτο ἀπανθρωπία λέγεται.

Ἅπαντα γάρ τοι βρωτὰ πολιορκουμένοις. ἐπὶ τοῦ ἀναγκαίου ὁ λόγος. οἱ γὰρ πολιορκούμενοι πολλάκις καὶ ὧν οὐ δεῖ ἅπτονται.

Ἀπαντᾷν καὶ συναντᾷν λέγουσιν ἑκατέρως, τὸ παραγίνεσθαι εἴς τινα τόπον. καὶ Ἀπαντήσαντος, γενέσθαι φθάσαντος. Αἰλιανός· Ἀνεσταύρωτο δὲ ὁ πολιορκῶν· καὶ ἐς τοῦτό οἱ τὸ τοῦ χειμῶνος, οὐ μὴ καθ' ὥραν ἀπαντήσαντος, τὸ τέλος ὡρμήσατο. καὶ Ἀπαντῶσιν, ἀντὶ τοῦ παραγίνονται. Ἅμα τῷ περὶ ὄρθρον εἰς τοὺς τῶν δεσποτῶν οἴκους ἀπαντῶσι. καὶ Ἀπαντωμένων, ἀντὶ τοῦ συμβαινόντων, γινομένων. [3] Οὐ μὴν ἀλλὰ τοιούτων ἀπαντωμένων οὐδὲν ἱκανὸν ἦν πρὸς τὸ κωλύειν τὴν ὁρμὴν τῶν Ῥωμαίων.

Ἅπαντα τόλμης πλέα κἀναισχυντίας. ἐπὶ τῶν ἰταμῶν καὶ ἀναιδῶν.

Ἀπαντῶ ἐπὶ δικαστηρίου. ὑπαντῶ δὲ, ἐπὶ τῆς ὁδοῦ.

Ἅπαξ. Ἐπειδὴ δὲ ἅπαξ ἐκ τοῦ φρουρίου αὐτοὺς ἐκπεπτωκέναι ἔμαθεν, ἀφικνεῖται πρὸς αὐτούς. καὶ Ἰώσηπος· Ἅπαξ δὲ καταστάντες εἰς ταραχάς. ἀντὶ τοῦ διόλου, ὁλοσχερῶς.

Ἁπαξάπαντα. ἀπὸ μικροῦ ἕως μεγάλου. Καὶ τὰ χρήματα ἁπαξάπαντα λόγῳ οὐδενὶ λογιζόμενος, τὴν δίκην ὀρθῶς καὶ δικαίως τῆς ἐς τὴν δίκην παρανομίας ἐξέτισε. καὶ [4] Ἁπαξάπαντες, ἀντὶ τοῦ ὁμοῦ πάντες. τὸ γὰρ Ἁπαξάπαντες ἐπὶ ἐπιτάσεως λαμβάνεται. Ὁ δὲ Καῖσαρ νεμεσᾷ καὶ ἀγανακτεῖ, ὅτι ἁπαξάπαντες μὴ ἐνέστησαν. Ἁπαξάπαντα οὐδὲν πλέον σημαίνει, τὸ ἅπαξ προσκείμενον. καὶ Ἁπαξαπλῶς, ἀντὶ τοῦ, καὶ ὡς εἰπεῖν.

Ἅπαξ [5] ἐλάλησεν ὁ Θεός. ἀντὶ τοῦ ἀποφαντικῶς, ἢ παντελῶς. τὸ Ἅπαξ ἐλάλησεν ὁ Θεὸς, οὐκ ἐπὶ τοῦ ἀριθμοῦ, ἀλλ' ἐπὶ τοῦ πάντως ἐσομένου. καὶ παροιμία. [6] Ἅπαξ πυῤῥὸς, καὶ δέκατον χλωρός. ἐπὶ τῶν δανειζόντων.

Ἅπαξ ἀλώπηξ εἰς πάγην. ὁμοία τῇ· Ἀλλ' οὐκ αὖθις ἀλώπηξ. λείπει τὸ εἰς πάγην.

Ἀπαξιῶν. αἰτιατικῇ. ἀνάξιον ἡγούμενος. Ἀππιανός· Ὁ δὲ δῆμος τὸν Μάρκιον μετιόντα τὴν ὑπατείαν

& *Rhodopidi pulchræ*. Significat proverbium, omnes mortales caſibus æque obnoxios eſſe.

Ἀπανθρακίζομεν. Anthracas comedimus. Sunt autem [ἄνθρακες, vel potius ἐπανθρακίδες] piſciculi, quos aſſatos edere ſolent. Vel [Ἀπανθρακίζειν ſignificat,] carbones accendere.

Ἀπανθρωπία. Inhumanitas. Cum quis aliquid facit, quod ab humana natura alienum eſt, id vocatur ἀπανθρωπία.

Ἅπαντα γάρ τοι. *Omnia ſunt eſculenta obſeſſis*. De neceſſitate dicitur hoc proverbium. Obſeſſi enim ſæpe & illis, a quibus abhorrere ſolemus, veſcuntur.

Ἀπαντᾷν & συναντᾷν. Utrumque ſignificat, in aliquem locum pervenire. Et Ἀπαντήσαντος dicitur de re, quæ ante tempus accidit. Ælianus: *Obſidens vero in crucem actus eſt; & hunc finem habuit hyems alieno tempore interveniens*. Et Ἀπαντῶσιν, adveniunt. *Primo diluculo ad dominorum ædes accedunt*. Et Ἀπαντωμένων dicitur de rebus, quæ accidunt & fiunt. *Verum enim vero, cum hæc acciderent, nihil Romanorum impetum retinere poterat*.

Ἅπαντα. *Omnia ſunt audaciæ & impudentiæ plena*. In audaces & impudentes.

Ἀπαντῶ. Significat die ſtatuto in judicio compareo: ὑπαντῶ vero, in via alicui obviam venio.

Ἅπαξ. Prorſus. Omnino. *Poſtquam eos ex caſtello penitus expulſos eſſe cognovit, ad ipſos venit*. Et Joſephus: *Cum in maxime turbulentum rerum ſtatum incidiſſent*.

Ἁπαξάπαντα. Omnia & ſingula. *Omnia nihili prorſus faciens violatæ juſtitiæ pœnas jure meritoque perſolvit*. Et Ἁπαξάπαντες, omnes ſimul. Vox enim illa ſignificationem auget. *Cæſar autem indignatur & iraſcitur, quod non univerſi reſtiterint*. Ἁπαξάπαντα [interdum] non habet majorem vim, [quam ἅπαντα,] licet ei addita ſit vox ἅπαξ. Et Ἁπαξαπλῶς, ut uno verbo dicam.

Ἅπαξ ἐλάλησεν ὁ Θεός. *Semel loquutus eſt Deus*. Id eſt, verbis difertis, vel omnino. Τὸ ἅπαξ enim hic non dicitur de numero, ſed de eo, quod omnino & certo futurũ eſt. Et proverbium: *Semel rubidus, & decies pallidus*. De fœneratoribus dicitur.

Ἅπαξ ἀλώπηξ. *Semel vulpes in laqueum incidit*. Proverbium eſt ſimile illi: *Vulpes non iterum laqueo capitur*.

Ἀπαξιῶν. Accuſativo jungitur. Indignum judicans. Appianus: *Populus vero Marci-*

---

[1] Ἀπανθρακίζομεν. ἀντὶ τοῦ ἄνθρακας ἐσθ.] Hæc ſunt verba Scholiaſtæ Ariſtoph. ad *Aves* pag. 612. (426. Ed. Baſ. ut Portus monuit.) Male vero hodie apud Scholiaſtam legitur ὁ παρεπτῶντες; pro quo ex Suida reſcribendum eſt ὅπερ ὀπτῶντες.

[2] Ἄνθρακας] An potius ἀνθρακίδας, vel ἐπανθρακίδας? Vide Scholiaſtam Ariſtoph. ad *Acharn.* pag. 403.

[3] Οὐ μὴν ἀλλὰ τοιούτων ἀπαντ. οὐδὲν ἱκ.] Hæc ſunt verba Polybii lib. x. cap. XIII. ut Jac. Gronovius recte obſervavit.

[4] Ἁπαξάπαντες, ἀντὶ τοῦ ὁμοῦ ἅπαντες. τὸ γὰρ ἁπαξάπαντες ἐπὶ ἐπιτ. λ.] Ex Scholiaſta Ariſtoph. ad *Plutum* pag. 12.

[5] Ἅπαξ ἐλάλησεν ὁ Θεός] Hebr. cap. 1. v. 1.

[6] Ἅπαξ πυῤῥὸς, καὶ δέκατον χλ.] Vide infra v. Ἀπερυθριάσαι, & v. Πυῤῥός: ubi legitur ἐ μὴ δέκατον χλωρός.

οὐκ ἐχειροτόνησεν, οὐ τὸν ἄνδρα ἀπαξιῶν, ἀλλὰ τὸ φρόνημα δεδιὼς αὐτοῦ.

Ἀπαξίωσιν. Πολύβιος· Ὁ δὲ Φίλιππος ἐδυσχέραινεν ἐπὶ τῇ τῶν Κερκυραίων ἀπαξιώσει, τουτέστι καταφρονήσει.

Ἀπάξω. ἐκεῖθεν ἄξω.

Ἀππαπαί. [1] Συγκαταθετικὸν ἐπίρρημα. εἰρηκότος γὰρ τοῦ Ἡρακλέους, Ἀνδρὸς ἠράσθης; καὶ τοῦτο ἐπεφθέγξατο.

Ἀπαράβλητος. [2] ἀσύγκριτος. ἀνόμοιος.

Ἀπαραγγέλτως. ἀκελεύστως. Πολύβιος· Καὶ πανταχόθεν ἀπαραγγέλτως ἠθροίζοντο.

Ἀπαραπόδιστα. ἀπλανῆ.

Ἀπαράκλητοι. αὐτόματοι. [3] Θουκυδίδης· [Πολλοὶ] τῶν αὐτονόμων Θρᾳκῶν ἀπαράκλητοι ἐφ' ἁρπαγὴν ἠκολούθουν.

Ἀπαράκτητος. [4] ἀσύγκριτος, ἀνόμοιος.

Ἀπαρράξειεν. ἀποσπάσειεν. ἀποχωρίσειεν. Ὡς εἰ τούτους ἀπαρράξειε τοῦ λόφου, καὶ γένοιτο τῶν ἄκρων ἐγκρατής, θᾶττον κατεργασόμενος τοὺς ἐν τῷ πεδίῳ.

Ἀπαραποίητον. ἄπλαστον.

Ἀπαράτιλτος. [5] ἀντὶ τοῦ δασὺς καὶ ἄκοσμος τὰς τρίχας. Ἓξ ἐτῶν ἄλουτος.

Ἀπαργμάτων ὡραίων καιριώτερον. Φησὶν ὁ [6] Θεολόγος ἐν τῷ, Χθὲς τῇ λαμπρᾷ. ἀντὶ τοῦ ἐναγισμάτων, ἃ εἰς τοὺς τάφους ἔβαλλον. τὸ δὲ καιριώτερον, ἀναγκαιότερον.

Ἀπαραιτήτως. [7] ἀσυγχωρήτως. Πάντας δὲ τοὺς περιτυγχάνοντας ἀπαραιτήτως ἀπέκτεινον διὰ τὴν ὀργήν.

Ἀπαριθμησόμενος. ἀποδώσων. καταβαλούμενος. Ὁ δὲ Γέτης ἀφίκετο, ὡς ἀπαριθμησόμενός τι τῶν ἐνιαυσιαίων χρημάτων πρὸς τὸν στρατηγὸν τῶν Ῥωμαίων. καὶ [8] Ἀπαριθμῶν, ἀντὶ τοῦ, ἀποπληρῶν ἀριθμόν. Ἰσοκράτης.

Ἄπαρνος. ὁ ἀρνούμενος καθόλου..

Ἀπαροῦντα. ἀποχωρήσοντα. Οἱ δὲ Καρχηδόνιοι προσεδόκων ἀν' ἑκάστην ἡμέραν ἀπαροῦντα τὸν στόλον εἰς τὴν οἰκείαν.

Ἀπάρσεως. ἀναχωρήσεως. Τῆς δὲ ἀλόγου ταύτης ἀπάρσεως ([9] ἢ φυγῆς) τὸ πρὸς τὸν ἡγεμόνα ἐκ τοῦ δήμου μῖσος αἴτιον ἦν.

um consulatum petentem non elegit, non quod virum honore illo indignum judicaret, ſed quod ſuperbiam ejus metueret.

Ἀπαξίωσιν. Contemptum. Polybius: *Philippus vero ægre tulit ſe a Corcyræis contemni.*

Ἀπάξω. E loco abducam.

Ἀππαπαί. Adverbium annuentis & approbantis. Cum enim Hercules [Baccho] dixiſſet: *Viri ne amore captus es?* ille ſic reſpondit.

Ἀπαράβλητος. Incomparabilis. Diſſimilis.

Ἀπαραγγέλτως. Injuſſu. Sine juſſu. Polybius: *Et undique injuſſi congregabantur.*

Ἀπαραπίδιστα. Non errantia. Fixa.

Ἀπαράκλητοι. Sponte aliquid facientes. Thucydides: *Multi Thracum, qui ſui juris erant, prædæ gratia ultro eos ſequebantur.*

Ἀπαράκτητος. Incomparabilis. Diſſimilis.

Ἀπαρράξειεν. Avulſerit. Separavit. *Si hos de colle deturbaſſet, ejuſque cacumen occupaſſet, citius ſe eos, qui in planitie eſſent, profligaturum [ſperabat.]*

Ἀπαραποίητον. Non fictum. Non ſimulatum.

Ἀπαράτιλτος. Non vulſus. Hirſutus. Pilis horridus. [Ariſtophanes: *Hirſutus,*] *& per ſex annos illotus.*

Ἀπαργμάτων. *Maturorum fructuum primitiis tempeſtivius:* inquit Theologus in Oratione *de S. Baptiſmo.* [Per ἀπάργματα intelligit] primitias, quibus mortuis parentabant. Καιριώτερον vero, magis neceſſarium.

Ἀπαραιτήτως. Inexorabiliter. *Obvios vero quoſque irato & inexorabili animo trucidabant.*

Ἀπαριθμησόμενος. Redditurus. Perſoluturus. *Geta vero ad ducem Romanorum venit, quaſi annui tributi partem ei perſoluturus.* Et Ἀπαριθμῶν, numerum complens. Iſocrates.

Ἄπαρνος. Qui aliquid pernegat.

Ἀπαροῦντα. Diſceſſurum. *Carthaginenſes vero ſingulis diebus ſperabant fore, ut claſſis domum rediret.*

Ἀπάρσεως. Diſceſſus. Fugæ. *Hujus autem inconſultæ fugæ cauſa fuit populi erga ducem odium.*

---

[1] Ἀππαπαί. συγκ.] Hæc nota referenda eſt ad locum Ariſtophanis, qui exſtat in *Ranis* pag. 213. ſed ubi hodie legitur , Ἀτταπαί. Verba Scholiaſtæ ibi corrupta ſunt, quæ hic obiter emendabo. Ἀτταπαί. γράφεται ἀππαπαί. διὰ τοῦτο οὐ κατατιθεμένου Διονύσου &c. Lege, διὰ τοῦτο οὖν συγκατατιθεμένου τοῦ Δ. Bacchus enim, quem Comicus eo loco cum Hercule loquentem facit, aſſenſum præbet iis, quæ Hercules dixerat. Quare Suidas recte hic τὸ ἀππαπαὶ adverbium συγκαταθετικὸν vocat.

[2] Ἀπαράβλητος. ἀσύγκριτος, ἀνόμοιος.] Corrupte apud Heſychium: Ἀπαράσκλητος. ἀνόμοιος. Lege ut hic apud Suidam.

[3] Θουκυδίδης] Lib. II. cap. XCVIII.

[4] Ἀπαράκτητος. ἀσ.] Hæc lituram merentur. Τὸ ἀπαράκτητος enim corruptum eſt ex ἀπαράβλητος, quod paulo ante præcedit, & ſuo loco legitur.

[5] Ἀπαράτιλτος. ἀντὶ τοῦ δ.] Hæc referenda ſunt ad locum illum Ariſtoph *Lyſiſtr.* pag. 853. (547. Ed. Baſ. *P.*)

Σμικρὸν ἔχων πάνυ τριβώνιον
Πινῶν, ῥυπῶν, ἀπαράτιλτος,
Ἓξ ἐτῶν ἄλουτος.

[6] Ὁ Θεολόγος ἐν τῷ, Χθὲς τῇ λαμπρᾷ] Pearſonius recte monuit, intelligendam hic eſſe orationem Gregorii Nazianzeni εἰς τὸ ἅγιον Βάπτισμα, cujus initium tale eſt: Χθὲς τῇ λαμπρᾷ τῶν φώτων ἡμέρᾳ πανηγυρίσαντες &c. In ea oratione, pag. 646, exſtant verba, a Suida hic citata: quorum ſenſus ut recte intelligatur, legenda ſunt & ea, quæ ibi præcedunt & ſequuntur.

[7] Ἀσυγχωρήτως] Sic recte in 2 MSS. Pariſ. exaratum eſt. Priores vero Edit. corrupte exhibent ἀσυγχύτως.

[8] Ἀπαριθμῶν. ἀντὶ τοῦ ἀποπληρῶν ἀριθμόν. Ἰσ.] Ex Harpocratione.

[9] Ἢ φυγῆς] Hæc non ſunt verba ſcriptoris anonymi, ſed interpretatio compilatoris, qua vocem ἄπαρσις exponit.

Ἀπαρτῆσαι. τὸ κρεμάσαι. Ἀπαρτίσαι δὲ, τὸ τελειῶσαι.

Ἀπαρτί. [1] ἐπίῤῥημά ἐστιν, ὡς ἀμιγητί. παρὰ τὸ ἀπηρτισμένον, τὸ πλῆρες. Ἡρόδοτος· Ἀπὸ τούτου εἰσὶ στάδιοι ο΄ ἀπαρτί. καὶ Φερεκράτης ἐν Κραπατάλοις.

Φράσον μοι ἀπαρτὶ δήπου προλαβεῖν.

καὶ Ἀριστοφάνης Πλούτῳ·

Ἔγωγε καὶ τοὺς δεξιοὺς, καὶ σώφρονας
Ἀπαρτὶ πλουτῆσαι ποιήσω.

Ἀπαρτίαν. [2] ἀποσκευήν. [3] τέλος ἀπαρτισμοῦ. καὶ Ἀπαρτιζόντως, τὸ μήτε ὑπερβάλλειν, μήτε ἐνδεῖν· καὶ [4] Ἀπαρτιλογία. ἀπηρτισμένος καὶ πλήρης ἀριθμὸς καὶ λόγος. οὕτω Λυσίας. [5] Ἡρόδοτος δὲ ζ. λέγει δὲ καὶ Ξέρξης πρὸς Πύθιον τὸν Λυδόν· [6] Ἵνα μήτι ἐπιδεεῖς ὦσιν υ΄ μυριάδες ἑπτὰ χιλιάδων [[7] ἀλλ' ἤ τοι ἀπαρτιλογίη ὑπ' ἐμέο πεπληρωμένη.]

Ἀπαρυστέον. [8] ἀφαιρετέον. ἀπὸ τοῦ ἀρύω.

Ἀπάρχεσθαι. τὸ [9] τοῖς ἀγύρταις ἀργύριον ἐμβάλλειν. καὶ Ἀπάρχου, ἀρχὴν βάλλε, ἢ ἀπαρχὰς πρόσφερε. καὶ Ἀπαρξόμεθα, ἀντὶ τοῦ ἀπαρχὰς προσοίσομεν.

Εἰμὶ [10] δ' ἐξ ὀλίγων ὀλίγη χάρις· εἰ δὲ διδοίης
Πλείονα, καὶ πολλῶν, Δαῖμον, ἀπαρξόμεθα.

Ἅπασαν τὴν οὐσίαν ἠμφίεσται. ἐπὶ τοῦ μηδ' ὁτιοῦν ἄλλο κεκτημένου, ἢ ὅπερ ἀμπίσχεται.

Ἅπας ἐχῖνος τραχύς. παροιμία ἐπὶ τῶν δυσκόλων καὶ δυστρόπων.

Ἀπασκαρίζειν. Ἀριστοφάνης Ταγηνισταῖς·

Ἀπασκαρίζειν ὥσπερεὶ πέρκην χαμαί.

Μένανδρος· Ἀπασκαριῶ σ' ἐγὼ γέλωτι τήμερον.

Ἀπαστία. ἀτροφία. νηστεία. παρὰ τὸ πάσασθαι. καὶ Ἄπαστος, ἄβρωτος· οἷον ἄμαστος, ἀμάσητος.

Ἀπαταγί. ἄνευ ψόφου.

Ἀπατεῶνος. ψεύστου.

Ἀπατηλός. ἀπατητικός.

Ἀπατήσει. ἀντὶ τοῦ παραλογιεῖται. Τηλεκλείδης.

Ἀπατούρια. [11] ἑορτὴ δημοτελής. ἤγετο δὲ παρ' Ἀθηναίοις ἐπὶ τρεῖς ἡμέρας· ἐν ᾗ ἐγράφη ἐν τῇ πολιτείᾳ ὁ υἱὸς Σιτάλκου, τοῦ Θρακῶν βασιλέως. καλοῦσι δὲ τὴν μὲν πρώτην, Δόρπειαν· ἐπειδὴ [12] Φράτορες

Ἀπαρτῆσαι. Suſpendere. Sed Ἀπαρτίσαι, perficere, abſolvere.

Ἀπαρτί. Adverbium eſt, eodem modo formatum quo ἀμιγητί: ab ἀπηρτισμένον, perfectum & plenum. Herodotus: *Ab hoc loco ſunt plene ſtadia* LXX. Pherecrates *Crapatalis*: *Dic mihi confeſtim, ut rem anticipem.* Ariſtophanes *Pluto*:

Ego homines probos & modeſtos
Deinceps opulentos reddam.

Ἀπαρτίαν. Suppellectilem. Perfectionem. Et Ἀπαρτιζόντως, perfecte, ita ut nihil deſit nec redundet. Et Ἀπαρτιλογία, numerus plenus & perfectus. Summa integra. Sic Lyſias: itemque Herodotus libro VII. apud quem Xerxes ad Pythium Lydum inquit: *Ne quadringentis myriadibus* VII. *millia deſint,* [*ſed, ſupplemento illo a me addito, ſummam habeas integram & perfectam.*]

Ἀπαρυστέον. Tollendum. Auferendum. Ab ἀρύω.

Ἀπάρχεσθαι. Agyrtis ſtipem dare. Et Ἀπάρχου, incipe, vel primitias offer. Et Ἀπαρξόμεθα, primitias offeremus. [In Epigrammate:] *Pro tenui facultatum mearum modo tenue tibi munus conſecro: quod ſi plura, Deus, dederis, plures etiam primitias offeremus.*

Ἅπασαν τὴν οὐσ. *Omnia bona ſua induit.* Dicitur in eos, qui nihil omnino poſſident præter veſtes, quibus induti ſunt.

Ἅπας ἐχῖνος τρ. *Omnis echinus aſper.* Proverbium in homines difficiles & moroſos.

Ἀπασκαρίζειν. [Subſultare.] Ariſtophanes *Tageniſtis*: *Subſultare, ut perca humi.* Menander: *Efficiam, ut riſu exſultes hodie.*

Ἀπαστία. Inedia. Jejunium. A verbo πάσασθαι, guſtare, edere. Et Ἄπαστος, jejunus, qui cibum non guſtavit: ut ἄμαστος, qui non manducavit.

Ἀπαταγί. Sine ſtrepitu.

Ἀπατεῶνος. Impoſtoris. Mendacis.

Ἀπατηλός. Fallax. Fraudulentus.

Ἀπατήσει. Decipiet. Teleclides.

Ἀπατούρια. Apaturia, feſtum publicum, per tres dies ab Athenienſibus celebrari ſolitum; quo Sitalcus, filius Regis Thracum, in civitatem adſcriptus eſt. Primus ejus dies vo-

---

[1] Ἀπαρτί. ἐπίῤῥημά ἐστιν, ὡς ἀμιγ.] Hæc & quæ ſequuntur ſunt verba Scholiaſtæ Ariſtoph. ad *Plutum*, pag. 42.

[2] Ἀπαρτίαν. ἀποσκ.] Vide Salmaſium *de Modo Uſur.* pag. 85.

[3] Τέλος ἀπαρτισμοῦ] Lege τέλος, ἀπαρτισμόν, ut apud Heſychium.

[4] Ἀπαρτιλογία. ἀπηρτισμένος & πλ. ἀρ.] Ex Harpocratione.

[5] Ἡρόδοτος δὲ ζ. λέγει δὲ κ.] Legendum eſt, καὶ παρ' Ἡροδότῳ ἐν τῷ ζ΄ Ξέρξης λέγει πρὸς Πύθιον &c. Vel ſic, καὶ Ἡρόδοτος, παρ' ᾧ ἐν τῷ ζ΄ Ξέρξης λέγει πρὸς Πύθιον &c. Hanc lectionem in verſione ſecutus ſum.

[6] Ἵνα μήτι ἐπιδεεῖς ὦσιν υ΄ μυρ.] Hæc verba leguntur apud Herodotum lib. VII. pag. 251.

[7] Ἀλλ' ἤ τοι ἀπαρτιλ. ὑπ' ἐμέο πεπλ.] Hæc verba ex Herodoto addidi, quæ imprudenter admodum a compilatore prætermiſſa erant.

[8] Ἀπαρυστέον. ἀφαιρ.] Ex Scholiaſta Ariſtoph. ad *Equit.* p. 344.

[9] Τὸ τοῖς ἀγύρταις ἀργ. ἐμβ.] Vide ſupra v. Ἀγείρει.

[10] Εἰμὶ δ' ἐξ ὀλίγων ὀλίγη] Diſtichum hoc decerptum eſt ex Epigrammate Apollonidæ, hactenus, ut puto, inedito, quod integrum hic cum Lectore communicabo:

Σώφρων, οὐ πεδίου πολυαύλακος εἴμ' ὁ γεραιὸς
Οὐδὲ πολυγλεύκου γειομόρος βότρυος·
Ἀλλ' ἀρότρῳ βραχύβωλον ἐπικνίζοντι χαράσσω
Χέρσον, καὶ βαιοῦ πίδακος ῥαγὸς ἔχω.
Σοὶ νῦν ἐξ ὀλίγων ὀλίγη χάρις· εἰ δὲ διδοίης
Πλείονα, καὶ πολλῶν, Δαῖμον, ἀπαρξόμεθα.

i. e. *Ego Sophron ſenex non amplos poſſideo agros, nec magnam vini copiam mihi vinea præbet: ſed exiguum aro agellum, & exiguus mihi eſt vini modus. Quare pro facultatibus meis, quæ tenues ſunt, tenue hocce munus tibi conſecro. Quod ſi plura, Deus, dederis, plures etiam primitias tibi offeremus.* Ex hoc Epigrammate fragmenta etiam adducit Suidas infra v. Πολυαύλακος, & v. Πολυγλεύκου.

[11] Ἀπατούρια, ἑορτὴ δημοτ.] Totum hunc articulum deſcripſit Suidas ex Schol. Ariſtoph. ad *Acharnenſ.* pag. 378.

[12] Φράτορες ὀψίας συνελθ.] Vide Meurſium *Græc. Fer.* v. Ἀπατούρια, & Holſten. ad Steph. v. Φατρία.

ὀψίας συνελθόντες εὐωχοῦντο. τὴν δὲ δευτέραν, Ἀνάρρυσιν. ἀπὸ τοῦ [[1] ἀναῤῥύειν, τὸ] θύειν. ἔθυον δὲ Διὶ Φρατρίῳ καὶ Ἀθηνᾷ. τὴν δὲ τρίτην, Κουρεῶτιν, [2] ἀπὸ τοῦ τοὺς κούρους καὶ τὰς κόρας ἐγγράφειν εἰς τὰς φρατρίας. ἡ δὲ αἰτία πόλεμος ἦν Ἀθηναίοις πρὸς Βοιωτοὺς [3] περὶ Κελαινῶν, ὃ ἦν χωρίον ἐν μεθορίοις. [4] Ξάνθιος δὲ Βοιωτὸς προεκαλέσατο τὸν Ἀθηναίων βασιλέα Θυμοίτην. οὐ δεξαμένου δέ, Μέλανθος ἐπιδημῶν Μεσσήνιος, τὸ γένος ἀπὸ Περικλυμένου τοῦ Νηλέως, ὑπέστη ἐπὶ τῇ βασιλείᾳ. μονομαχούντων δέ, ἐφάνη τῷ Μελάνθῳ τις ὄπισθεν τοῦ Ξανθίου τραγῆν ἐνημμένος μέλαιναν. ἔφη οὖν ἀδικεῖν αὐτὸν [5] δεύτερον ἥκοντα. [6] ὁ δὲ ἐπεστράφη. ὁ δὲ παίσας ἀποκτείνει αὐτόν. ἐκ δὲ τούτου ἥ τε ἑορτὴ Ἀπατούρια, [7] καὶ Διονύσου Μελαναιγίδος ἐδομήσαντο. οἱ δέ φασιν, ὅτι τῶν πατέρων ὁμοῦ συνερχομένων διὰ τὰς τῶν παίδων ἐγγραφάς, οἷον Ὁμοπατόρια λέγεσθαι τὴν ἑορτήν· ὁποίῳ τρόπῳ λέγομεν ἄλοχον τὴν ὁμόκοιτον, καὶ ἄκοιτιν· οὕτω καὶ Ὁμοπατόρια, Ἀπατόρια. καὶ [8] Ἀριστοφάνης·

Ἤρα φαγεῖν ἀλλᾶντας ἐξ Ἀπατουρίων.

cabatur *Dorpia*, quod Φράτορες veſperi una convivarentur. Secundus *Anarrhyſis*, ab ἀναῤῥύειν, quod ſacrificare ſignificat. Sacrificabant enim Jovi Phratrio & Minervæ. Tertius *Cureotis*, quod eo die pueros & puellas in Φρατόρων album referrent. Cauſa feſti hujus fuit bellum, quod Athenienſes cum Bœotis de Celænis, oppido quodam in confiniis ſito, gerebant. Cum autem Xanthius Bœotus ad ſingulare certamen Thymœten Athenienſium Regem provocaret, idque ille detrectaret, Melanthus Meſſenius, qui tum forte aderat, a Periclymeno Nelei filio oriundus, regnum pactus, certamen illud ſuſcepit. Certantibus igitur illis, Melanthus, cum virum aliquem nigra pelle caprina indutum a tergo Xanthii adſtantem conſpexiſſet, injuſte eum facere dixit, quod cum comite in certamen deſcendiſſet. Ille igitur cum reſpexiſſet, a Melantho interfectus eſt. Hinc igitur & feſtum appellatum eſt Ἀπατούρια, & Bacchi Melanægidis [aram Athenienſes] dedicarunt. Alii vero dicunt, feſtum hoc appellatum fuiſſe Ἀπατούρια, quaſi Ὁμοπατόρια, quod patres tunc convenirent, ut filios [in Φρατόρων] album referrent. Uti enim uxorem vocamus ὁμόκοιτον & ἄκοιτιν; ſic etiam [Ἀπατούρια, vel] Ἀπατόρια dictum eſſe videtur quaſi Ὁμοπατόρια. Et Ariſtophanes: *Cupiebat edere farcimina, quæ Apaturiis parantur.*

Ἀπαύγασμα, καὶ Ἀπαυγή. ἡ ἔκλαμψις.

Ἀπαυδῶ. ἀπαγορεύω. ἀπολέγομαι. [9] Ἀριστοφάνης· Τούτοις ἀπαυδῶ, καὶ αὖθις ἀπαυδῶ, καὶ αὖθις μάλ' ἀπαυδῶ.

Ἀπαυθαδιάζοντας. μεγαλοφρονοῦντας.

Ἀπαυθημερίζειν. αὐθημερὸν ἐπανέρχεσθαι. [10] Ξενοφῶν· Ἐπεὶ δὲ τὰ ἐπιτήδεια οὐκ ἦν λαμβάνειν, ὥστε ἀπαυθημερίζειν ἐπὶ [11] τὸ στράτευμα.

Ἀπαυστί. ἀκαταπαύστως.

Ἀπαυτοματισθεῖσα. οὐκ ἀφ' ἑαυτῆς τελειωθεῖσα·

Ἀπαυτομολῆσαι. ἀναχωρῆσαι. φεύξασθαι. Ἔφερον δὲ τὰ σφέτερα αὐτῶν σιτία, οἱ μέν, ἀπορίᾳ ἀκολούθων, οἱ δέ, ἀπιστίᾳ. ἀπηυτομολήκεσαν γὰρ οἱ πλεῖστοι.

Ἀπαφίσκω. ἀπατῶ.

Ἀπαυχενίζειν. ἀφηνιᾶν, ἀπακλεῖν, ἢ τὸν αὐχένα συντρίβειν.

Ἀπαχθῆναι. ἀπενεχθῆναι. ἀναιρεθῆναι.

Ἀπ' [12] αἰγείρου θέα, καὶ ἐπ' αἴγειρον. ἡ ἀπὸ τῶν ἐσχάτων. αἴγειρος γὰρ ἐπάνω ἦν τοῦ θεάτρου, ἀφ' ἧς

Ἀπαύγασμα, & Ἀπαυγή. Splendor.

Ἀπαυδῶ. Interdico. Edico. Ariſtophanes: *His edico, & iterum edico, & tertium edico.*

Ἀπαυθαδιάζοντας. Animo elatos.

Ἀπαυθημερίζειν. Eodem die redire. Xenophon: *Poſtquam commeatus haberi amplius non poterant, ita ut milites eodem die in caſtra reverterentur.*

Ἀπαυστί. Indeſinenter.

Ἀπαυτοματισθεῖσα. Non ſponte perfecta.

Ἀπαυτομολῆσαι. Recedere. Fugere. Transfugere. *Sua autem cibaria ipſi ferebant, alii quidem ob famulorum inopiam; alii vero, quod illis diffiderent. Plerique enim aufugerant.*

Ἀπαφίσκω. Decipio.

Ἀπαυχενίζειν. Frænum detractare. Contumaciter reluctari. Vel, cervicem confringere.

Ἀπαχθῆναι. Abductum fuiſſe. Abſportatum fuiſſe. Interfectum fuiſſe.

Ἀπ' αἰγείρου θέα. *Ab alno ludos ſpectare.* Dicitur de iis, qui eminus & ab extrema parte aliquid ſpectant. Alnus enim Theatro imminebat,

---

[1] Ἀναῤῥύειν] Hæc vox a prioribus Ed. abeſt, quam negligentia librariorum omiſſam eſſe exiſtimo.

[2] Ἀπὸ τοῦ τοὺς κούρους καὶ τὰς κόρας ἐγγρ.] Vide infra v. Κοινὸν γραμματεῖον, v. Μειαγωγεῖν, & v. Φράτορες; itemque Petitum in Commentar. ad *Leges Attic.* pag. 146, 147.

[3] Περὶ Κελαινῶν] Sic etiam legitur apud Scholiaſtam Ariſtophanis, ex quo Suidas. Sed Michael Apoſtolius Centur. III. Prov. LXXIV. habet περὶ Μελαινῶν, quam lectionem præ altera amplectitur & defendit Holſtenius ad Steph. v. Μελαινεῖς, quem vide.

[4] Ξάνθιος δὲ Βοιωτὸς προεκαλ. τὸν Ἀθην. βασιλέα Θυμοίτην] Eandem hiſtoriam narrant Conon Narrat. XXXIX. Polyænus lib. I. & alii. Vide Meurſium *de Regno Attico* lib. III. cap. X.

[5] Δεύτερον ἥκοντα] Pueriliter Portus, *quod iterum veniret.* Nam δεύτερον ἥκειν hic ſignificat *non ſolum, ſed cum comite venire.* Sic Athenæus lib. X. pag. 419. de Menedemo ait, ἠρίστα μὲν δεύτερος ἢ τρίτος, i. e. *cum duobus aut tribus prandebat*: quod Laertius lib. II. Segm. CXXXIX. de eodem Menedemo verba faciens, ſic effert, προηρίστα μετὰ δυοῖν ἢ τριῶν.

[6] Ὁ δὲ ἐπιστράφη. ὁ δὲ παίσας ἀποκτείνει αὐτόν] Hiſtoriam ſimilis eventus de Phenio Æneanum, & Hyperocho Inachienſium Rege narrat Plutarchus Tom. II. pag. 294.

[7] Καὶ Διονύσου Μελαναιγίδος ἐδομήσαντο] Apoſtolius poſt Μελαναιγίδος addit βωμόν, quam vocem tam Scholiaſtæ Ariſtophanis, quam Suidæ hic reſtituendam eſſe non dubito.

[8] Ἀριστοφάνης] *Acharnenſ.* p. 377. (267. Ed. Baſ. *P.*)

[9] Ἀριστοφάνης] In *Ranis* pag. 145. *P.*

[10] Ξενοφῶν] *De Exped. Cyri* lib. V. pag. 345. ut Portus monuit.

[11] Ἐπὶ τὸ στράτευμα] Apud Xenophontem legitur ἐπὶ τὸ στρατόπεδον.

[12] Ἀπ' αἰγείρου θέα] Vide Heſych. v. Αἰγείρου θέα, v. Θέα παρ' αἴγειρον, & v. Παρ' αἰγείρου θέα: item infra v. Αἴγειρος, & v. Αἰγείρου θέα.

οἱ μὴ ἔχοντες τόπου ἐθεώρουν.

Ἀπ' [1] αἰγίλιπος πέτρης. ἀπὸ ὑψηλῆς πέτρας.

Ἀπαίδευτοι. ἀνόητοι. ἄτακτοι. καὶ Ἀπαιδευτότερος Φιλωνίδου τοῦ Μελιτέως. [2] οὗτος ὁ Φιλωνίδης οὐ μόνον μέγας ἦν, ἀλλὰ καὶ ἀμαθὴς καὶ ὑώδης. κωμῳδεῖ δὲ αὐτὸν Ἀριστοφάνης ὡς παρασίτους ἔχοντα, καὶ διὰ τῆς Λαΐδος ἔρωτα ἐν Κορίνθῳ διάγοντα. κωμῳδεῖται δὲ καὶ ὡς συώδης σὺν τοῖς ἑταίροις αὐτοῦ, οὓς κάπρους εἶπε· τὴν δὲ Λαΐδα Κίρκην, ἐπεὶ τοὺς ἐραστὰς ἐφαρμάκευεν.

Ἀπαιδία. [3] ἡλικία ἐλάσσονι χρόνῳ τοῦ συμπεπληρωκότος τὸν παῖδα. ἡ ἀγονία. καὶ Ἄπαιδος ὁμοίως, τοῦ μὴ ἔχοντος παῖδα.

Ἀπαιδοτρίβητοι. ἀγύμναστοι. ἀπαίδευτοι.

Ἀπαιθεριάζει. ἀντὶ τοῦ εὐδίαν ἄγει. συννεφεῖ δὲ, συνάγει τὰ νέφη. [4] Ἀριστοφάνης·

--- Τί γὰρ ὁ Ζεὺς ποιεῖ;
Ἀπαιθεριάζει [5] τὰς νεφέλας, ἢ ξυννεφεῖ;

Ἀπαινύμενον. ἀφαιρούμενον.

Ἀπαιόλημα. ἀπάτημα.

Ἀπαιωρούμενον. κρεμάμενον.

Ἄπαιρε. ὃ οἱ πολλοὶ ἆρον λέγουσιν. καὶ Ἀπαίρειν, ἀντὶ τοῦ παραγενέσθαι. Ἀριστοφάνης. καὶ Ἀπαίροντες, μεθιστάμενοι.

Ἀπαίσιον. ἀπρεπὲς, βλάσφημον, ἀσύμβολον, [6] ἀσινὲς, δυσοιώνιστον. Ἀνεφάνησαν δὲ τοῦ αὐτοῦ φύλου τῶν Τούρκων, οὓς ἔφασαν τῶν ἀπαισίων ἐλατῆρας εἶναι.

Ἀπαισός. ὄνομα πόλεως.

Ἀπαιτοῦμαι. αἰτιατικῇ. καὶ Ἀπαιτητέα, καὶ Ἀπαιτητέον, ἀντὶ τοῦ δεῖ ἀπαιτεῖν.

Ἀπαιτέων, ἀπαιτῶν. Φωκυλίδης·

--- Χρήστης κακοῦ ἔμμεναι ἀνδρὸς (φεῦγε),
Μή σε γ' ἀνιήσῃ διδοὺς, παρὰ καιρὸν ἀπαιτέων.

Ἀπέβη. ἀπέθανε. καὶ Ἀπεβίω, ὁμοίως.

Ἀπέβλισεν. [7] ἀφείλετο. ἡ μεταφορὰ, ἀπὸ τῶν κηρίων. ἢ ἀπὸ τῶν τὸ γάλα ἀμελγόντων. [8] Ἀριστοφάνης Ὄρνισι·

-- Λωποδύτης παίει ῥοπάλῳ με τὸ νῶτον,
Κἀγὼ πίπτω, μέλλω τε βοᾶν· ὁ δ' ἀπέβλισε
θοἰμάτιόν μου.

Ἀπέβριξεν. ἀφύπνωσεν.

Ἀπεγένετο. ἀντὶ τοῦ ἀπέθανεν. οὕτως Ἀντιφῶν καὶ Θουκυδίδης.

Ἀπεγνωκώς. γενικῇ. ἀντὶ τοῦ ἀποδοκιμάσας. Δη-

ex qua ſpectabant illi, qui locum [in Theatro] non habebant.

Ἀπ' αἰγίλιπος πέτρης. Ab excelſa petra.

Ἀπαίδευτοι. Stulti. Diſciplinæ expertes. Et [proverbium,] *Indoctior Philonide Melitenſi.* Hic Philonides non ſolum erat magnus, ſed etiam indoctus & porcinis moribus præditus: quem Ariſtophanes comice exagitat ut paraſitos habentem, & propter Laidis amorem Corinthi degentem. Non ſolum autem ipſe ut porcinis moribus præditus a Comico vellicatur, ſed etiam ſocii ejus, quos capros appellat; Laidem vero Circen, quod amatores ſuos veneficiis irretiret.

Ἀπαιδία. Ætas pueritia minor. Vel ſterilitas fœminarum. Et Ἄπαιδος, [genitivus ab ἄπαις,] qui liberis caret.

Ἀπαιδοτρίβητοι. Inexercitati. Indocti.

Ἀπαιθεριάζει. Serenitatem inducit. Serenat. Συννεφεῖ vero, nubes cogit. Ariſtophanes;

——*Quid Jupiter facit?*
An diſcuſſis nubibus cœlum ſerenat? an vero nubila inducit?

Ἀπαινύμενον. Id, quod aufertur.

Ἀπαιόλημα. Fraus. Fallacia.

Ἀπαιωρούμενον. Suſpenſum. Pendentem.

Ἄπαιρε. Idem quod vulgus ἆρον dicere ſolet. Et Ἀπαίρειν, advenire. Ariſtophanes. Et Ἀπαίροντες, abeuntes, diſcedentes.

Ἀπαίσιον. Indecorum, impium, mali ominis, noxium, inauſpicatum. *Apparuerunt autem ex eadem gente Turcorum quidam, quos infauſtorum auguriorum averruncatores eſſe dicebant.*

Ἀπαισός. Apæſus. Nomen urbis.

Ἀπαιτοῦμαι. Repeto. Repoſco. Et Ἀπαιτητέα, & Ἀπαιτητέον, oportet repetere.

Ἀπαιτέων, ῶν. Repetens. Repoſcens. Phocylides.

---*Hominis improbi debitor eſſe cave,*
Ne pecuniam, quam tibi dedit, intempeſtive repetens, moleſtus tibi ſit.

Ἀπέβη. Mortuus eſt. Et Ἀπεβίω, idem.

Ἀπέβλισεν. Abſtulit. Tranſlatio ducta eſt ab illis, qui mel e favis apum auferunt: vel ab illis, qui lac emulgent. Ariſtophanes *Avibus*:

--*Graſſator clava tergo meo ictum infligit,*
Et ego cado, clamare volens. Ille vero
abſtulit pallium meum.

Ἀπέβριξεν. Obdormivit.

Ἀπεγένετο. Deceſſit. Obiit. Sic Antiphon & Thucydides.

Ἀπεγνωκώς. Genitivo jungitur. Qui repro-

---

[1] Ἀπ' αἰγίλιπος πέτρης] Vide Scholiaſtam Homeri ad Il. I. v. 15.

[2] Οὗτος ὁ Φιλωνίδης οὐ μόνον μέγας ἦν, ἀλλὰ καὶ ἀμ.] Hæc & quæ ſequuntur excerpta ſunt ex Schol. Ariſtoph. ad *Plutum* pag. 34.

[3] Ἡλικία ἐλάσσονι χρόνῳ τοῦ συμπεπληρ. τὸν π.] Verba hæc de mendo mihi ſuſpecta ſunt: de quibus proinde amplius cogitandum cenſeo.

[4] Ἀριστοφάνης] *Avibus* pag. 610. (424. Ed. Baſ. P.)

[5] Ἀπαιθριάζει] Scholiaſta Ariſtophanis legit ὑπαιθριάζει.

[6] Ἀσινές] Senſus potius requirit, ut legatur ἐπισινὲς, *i. e.* noxium.

[7] Ἀπέβλισεν. ἀφείλετο. ἡ μετ.] Hæc ſunt verba Scholiaſtæ Ariſtoph. ad *Aves* pag. 565.

[8] Ἀριστοφάνης Ὄρνισι] Pag. 564. (388. Ed. Baſ. P.)

μοθέτης. καὶ Ἀπέγνωσαν, τὸ ἐναντίον τοῦ κατέγνωσαν.

Ἄπεδα. τὰ ἰσόπεδα. Κλείδημος. καὶ [1] Ἠπέδιζον τὴν ἀκρόπολιν, περιέβαλλον δὲ ἐννεάπυλον τὸ Πελασγικόν.

Ἀπέδει. ἐνέλιπεν. Ὁ δὲ Φιλοποίμην ὁ Ἀρκὰς μέγεθος μὲν δὴ καὶ σώματος ῥώμην ἀπέδει Πελοποννησίων οὐδενός· τὸ δὲ εἶδος ἦν τοῦ προσώπου κακός.

Ἀπεδειλία. ἐδεδίει. Πολύβιος· [2] Ὁ δὲ Περσεὺς μίαν ἔχων πρόληψιν ἢ νικᾷν ἢ θνήσκειν (ἀντὶ τοῦ ἔννοιαν) τότε οὐχ ὑπέμεινε τῇ ψυχῇ, ἀλλ' ἀπεδειλία, καθάπερ οἱ προόπται τῶν ἱππέων.

Ἀπέδειξεν. ἀντὶ τοῦ παρέδωκε. Ξενοφῶν.

Ἀπεδήδοκε. κατέφαγεν.

Ἀπεδημηκότες. ἀντὶ τοῦ ἀποδεδημηκότες. Ἕρμιππος Φορμοφόροις.

Ἀπεδοκίμαζεν. ἀτίμως ὕβριζεν. ἐξεφαύλιζε. Καὶ [3] καθόλου τοὺς μὲν κοσμίους τοῖς ἤθεσι καὶ τῶν ἰδίων βίων ἐπιμελουμένους ἀπεδοκίμαζεν· τοὺς δὲ πολυτελεῖς, καὶ ζῶντας ἐν μέθαις καὶ κύβοις, ἐτίμα καὶ προῆγεν.

Ἄπεδον. τὸ ἰσόπεδον καὶ τὸ ὁμαλόν. [4] Θουκυδίδης· Οἱ δὲ Ἀθηναῖοι κατέβησαν εἰς χωρίον ἄπεδόν τι, καὶ αὐτοῦ ἐστρατοπεδεύσαντο, βουλόμενοι ἐκ τῶν οἰκιῶν λαβεῖν τι ἐδώδιμον.

Ἀπέδοξεν. ἀντὶ τοῦ, [5] πῶς οὐκ ἔδοξεν.

Ἀπέδοσθε. ἀπημπολήσατε. καὶ Ἀπέδοτο, ἐξέδωκε, παρέδωκεν.

Ἀπέδραν. καὶ τὸ πρῶτον πρόσωπον ἀπέδραν. ἀντὶ τοῦ ἐπανεχώρησαν. δεῦρο κἀπέδραν. Φερεκράτης Ἰπνῷ. Μένανδρος Δαιταλεῦσιν. εἶτ' ἀπέδρα μόνος.

Ἀπέθανεν. ἀπῆλθεν ὅθεν ἦν. καί ἐστιν ἐν τῷ Ἀποθανεῖν.

Ἀπέθρισεν. ἀπέκειρεν. ἀπέκοψε.

> Σὴν [6] κεφαλὴν αἴλουρος ἀπέθρισεν, ἄλλα τε πάντα
> Ἥρπασε, καὶ Φθονερὴν οὐκ ἐκόρεσε γένυν.

Ἀπεκάθητο. ἐκαθέζετο. Ὁ δὲ Σκιπίων ἀπεκάθητο πρός τινι πυραμίδι, θεωρῶν τοὺς αὐτομόλους, καὶ τὴν τούτων ἀπόνοιαν.

Ἀπεκάλει. ἀντὶ τοῦ ἀνεκάλει. μετεπέμπετο. Ξενοφῶν.

Ἀπεκαρτέρησεν. ἑαυτὸν διεχρήσατο. [7] Ὁ δὲ Λυκοῦργος ἐλθὼν εἰς Κρήτην ἀπεκαρτέρησεν, ἵνα μὴ λύσῃ τοὺς νόμους, οὓς ἔθηκεν.

Ἀπεκαύθησαν. Πολλοὶ δὲ ὑπὸ κρύους ἀπεκαύθησαν χεῖρας καὶ πόδας.

bavit. Qui rejecit. Demoſthenes. Et Ἀπέγνωσαν, ſuffragiis ſuis abſolverunt.

Ἄπεδα. Plana. Clidemus. *Et arcem complanarunt, & Pelaſgico muro novem portas habente cinxerunt.*

Ἀπέδει. Inferior erat. Cedebat. *At Philopœmen Arcas magnitudine quidem & robore corporis nulli Peloponneſiorum cedebat; ſed deformi erat oris ſpecie.*

Ἀπεδειλία. Metuebat. Formidabat. Polybius: *Perſeus vero, cum vel vincere vel mori animum ante induxiſſet, tunc forti & conſtanti animo periculum non tulit, ſed timori ſuccubuit, ut ſpeculatores equitum.*

Ἀπέδειξεν. Tradidit. Xenophon.

Ἀπεδήδοκεν. Comedit. Devoravit.

Ἀπεδημηκότες. Pro ἀποδεδημηκότες dixit Hermippus *Phormophoris.*

Ἀπεδοκίμαζεν. Reprobabat. Ignominia afficiebat. Contemnebat. *Et univerſe homines modeſtos & ad rem familiarem attentos deſpiciebat; ſumptuoſos vero & ebrietati aleæque deditos, ad honores & dignitates evehebat.*

Ἄπεδον. Æquum & planum. Thucydides: *Athenienſes vero deſcenderunt in quendam locum campeſtrem & planum, ibique caſtra poſuerunt, quod aliquid cibariorum ex illis domibus ſumere vellent.*

Ἀπέδοξεν. Diſplicuit. Non placuit.

Ἀπέδοσθε. Vendidiſtis. Et Ἀπέδοτο, vendidit, dedidit, tradidit.

Ἀπέδραν. Aufugerunt. Eſt etiam ἀπέδραν prima perſona. Pherecrates Ἰπνῷ. * * * Menander *Dætalenſibus: Deinde aufugit ſolus.*

Ἀπέθανεν. Obiit. Abiit eo, unde venit. Quære in v. Ἀποθανεῖν.

Ἀπέθρισεν. Abſcidit. Amputavit. *Tuum caput felis morſu abſcidit, & alia omnia rapuit, nec invidam ſatiavit mandibulam.*

Ἀπεκάθητο. Sedebat. *Scipio vero ad quandam pyramidem ſedebat, transfugas & deſperatam illorum audaciam ſpectans.*

Ἀπεκάλει. Revocabat. Accerſebat. Xenophon.

Ἀπεκαρτέρησεν. Mortem ſibi [inedia] conſcivit. *Lycurgus vero, cum in Cretam veniſſet, inedia mortem ſibi conſcivit, ne leges, quas tulerat, abrogare cogeretur.*

Ἀπεκαύθησαν. Aduſti ſunt. *Multorum manus & pedes frigus aduſſit.*

---

[1] Ἠπέδιζον τὴν ἀκρόπολιν, περιέβ.] Idem fragmentum legitur infra v. Ἠπέδιζον.

[2] Ὁ δὲ Περσεὺς μίαν ἔχων πρ.] Cum hoc fragmento conferenda omnino ſunt ea, quæ leguntur infra v. Καχεξία.

[3] Καὶ καθόλου τοὺς μὲν κοσμίους τοῖς ἤθεσι καὶ τῶν ἰδ.] Hæc ſunt verba Theopompi hiſtorici de Philippo, Rege Macedonum, quæ leguntur in Collectaneis Conſtantini, a Valeſio editis, pag. 21. unde ea Suidas deſcripſit. Idem fragmentum apud Athenæum lib. VI. pag. 260. ſic legitur: Φίλιππος τοὺς μὲν κοσμίους τὰ ἤθη, καὶ τοὺς τῶν ἰδίων ἐπιμελουμένους ἀπεδοκίμαζε· τοὺς δὲ πολυτελεῖς καὶ ζῶντας ἐν κύβοις καὶ πότοις ἐπαινῶν ἐτίμα. Quæ verba ex libro XLIX. Hiſtor. Theopompi deprompta eſſe Athenæus eodem loco teſtatur.

[4] Θουκυδίδης] Lib. VII. cap. LXXVIII.

[5] Πῶς] Hæc vox delenda eſt: vel legendum, οὐκ ἔδοξέν πως, quæ Porti conjectura eſt.

[6] Σὴν κεφαλὴν αἴλουρος κτ.] Diſtichum hoc legitur Anthol. lib. III. cap. XXIV. Epigr. 11.

[7] Ὁ δὲ Λυκοῦργος ἐλθ. εἰς Κρ.] Vide infra v. Λυκοῦργος.

Ἀπεκαίνυτο.[1] ἐνίκα.

Ἀπέκειντο. ἐταμιεύοντο. Αἱ [2] δὲ βάλανοι τῶν φοινίκων, [3] οἵας μὲν ἐν τοῖς Ἕλλησίν ἐστιν ἰδεῖν, τοῖς οἰκέταις ἀπέκειντο. αἱ δὲ τοῖς δεσπόταις ἀποκείμεναι, ἦσαν ἀπόλεκτοι.

Ἀπέκνισε ξύλον. ἀπέκοψεν.

Ἀπεκομίσθη. ἀπηνέχθη.

Ἀπεκόμπασεν. [4] ἐν Ἐπιγράμμασι·

Βραγχὸν[5] τετριγυῖα λύρας ἀπεκόμπασε χορδά.

Ἀπεκόπησαν. ἀντὶ τοῦ [6] ἀνεβλήθησαν. Ξενοφῶν.

Ἀπεκορύφου. περιφανῶς ἔλεγεν. [7] Ἡρόδοτος· Ἀρταφέρνης, ὁ Ὑστάσπεος, Σαρδίων ὕπαρχος, ἀπεκορύφου σφι τάδε· Εἰ μὲν διδοῦσι βασιλεῖ Δαρείῳ Ἀθηναῖοι γῆν τε καὶ ὕδωρ, ὁ δὲ συμμαχίην σφι συνετίθετο· εἰ δὲ μὴ διδοῦσιν, ἀπαλλάσσεσθαι αὐτοὺς ἐκέλευεν.

Ἀπεκεράνιξε. τῆς κάρας ἀπεχώρισεν. ἀπέκοψεν. Ὁ [8] δὲ ῥοπάλῳ γυρὸν ἀπεκεράνιξε βοὸς κέρας.

Ἀπεκρίθη. ἀφωρίσθη.

Ἀπεκτήτου. ἀκτενίστου. [9] ἐν Ἐπιγράμμασι·

---Οὐδὲ κομίζει
Χρυσὸς ἀπεκτήτου σῆς τριχὸς ἀγλαΐην.

Ἀπεκτάκασι, καὶ Ἀπεκτόνασι. Μισοῦσι μὲν, ὦ πάτερ, Θράσωνα, ἀπεκτάκασι δ' οὔ.

Ἀπέλα. ἀντὶ τοῦ ἀπέλαυνεν.

Ἀπελάκτισεν[10] ὁ ἠγαπημένος. ἀντὶ τοῦ, ἀπεσκίρτησεν.

Ἀπελαύνομαι. Ὡς οἱ τὸ ἀκάθαρτον καὶ ὑλικὸν πνεῦμα τῶν ψυχῶν ἀπελάσαντες.

Ἀπελλαῖος. παρὰ Μακεδόσιν ὁ Δεκέμβριος μήν.

Ἀπέλεθρον. πολλήν, ἀμέτρητον.

Ἀπελεύθερος. ὁ ἐλευθερωθείς.

Ἀπεληλαμένος. ἀποφεύγων.

Ἀπελλῆς, Κολοφώνιος, θέσει δὲ Ἐφέσιος, ζωγράφος, μαθητὴς Παμφίλου τοῦ Ἀμφιπολίτου, πρότερον δὲ Ἐφόρου τοῦ Ἐφεσίου, υἱὸς Πυθίου, ἀδελφὸς Κτησιόχου, καὶ αὐτοῦ ζωγράφου.

Ἀπέλθῃ. ἀντὶ τοῦ ἐπανέλθῃ. Θουκυδίδης. Δημοσθέ-

Ἀπεκαίνυτο. Vincebat.

Ἀπέκειντο. Servabantur. Reponebantur. *Palmarum vero glandes, quales in Græcia cernuntur, in uſum ſervorum reponebantur. Quæ vero Dominis ſervabantur, erant eximiæ & ſelectæ.*

Ἀπέκνισε ξύλον. Abſcidit lignum.

Ἀπεκομίσθη. Abſportatus eſt.

Ἀπεκόμπασεν. Rupta eſt. In Epigrammate:

Raucum ſtridens chorda lyræ rupta eſt.

Ἀπεκόπησαν. Ex loco ſuperiore pulſi ſunt. Deturbati ſunt. Xenophon.

Ἀπεκορύφου. Planis & brevibus verbis dixit. Herodotus: *Artaphernes, Hyſtaſpis filius, Sardium præfectus, planis & brevibus verbis hæc ipſis dixit: Si Athenienſes Regi Dario terram & aquam dare vellent, ſe ſocietatem & fœdus cum illis juncturum eſſe: ſin ſecus,* eos *abire juſſit.*

Ἀπεκεράνιξε. A capite decuſſit. Abſcidit. *Ille vero clava curvum cornu a capite bovis decuſſit.*

Ἀπεκρίθη. Separatum eſt.

Ἀπεκτήτου. Impexi. In Epigrammate: *Neque impexæ tuæ comæ nitori aurum majorem ornatum addere poteſt.*

Ἀπεκτάκασιν, & Ἀπεκτόνασιν. Interfecerunt. *Oderunt quidem, pater, Thraſonem; non tamen occiderunt.*

Ἀπέλα. Pro ἀπέλαυνεν. Abigebat.

Ἀπελάκτισεν ὁ ἠγαπ. *Dilectus recalcitravit.*

Ἀπελαύνομαι. Abigor. Expellor. *Ut illi qui impurum & ex* [*craſſiore*] *materia conſtantem ſpiritum ex animis* [*hominum*] *expulerunt.*

Ἀπελλαῖος. Apellæus. Apud Macedones menſis December.

Ἀπέλεθρον. Multum. Immenſum.

Ἀπελεύθερος. Manumiſſus. Libertus.

Ἀπεληλαμένος. Expulſus. Exul.

Ἀπελλῆς. Apelles, [genere quidem] Colophonius, ſed ab Epheſiis jure civitatis donatus, pictor, Pamphili Amphipolitani diſcipulus, ante vero Ephori Epheſii; Pythii filius, frater Cteſiochi, qui & ipſe pictor fuit.

Ἀπέλθῃ. Thucydides hac voce uſus eſt

---

[1] Ἀπεκαίνυτο] Eſt vox Homerica Odyſſ. Θ. v. 127.

[2] Αἱ δὲ βάλανοι τῶν φοινίκων, οἵας μὲν ἐν τοῖς Ἑλλ.] Hæc ſunt verba Xenophontis de *Expedit. Cyri*, lib. II. pag. 279. eademque ex Xenophonte recitat Athenæus lib. XIV. pag. 651. ubi de palmis agit. Vide etiam infra v. Ἀπόλεκτοι, ubi idem fragmentum repetitur.

[3] Οἵας μὲν ἐν τοῖς Ἕλλησίν ἐστιν ἰδ.] Notandum eſt apud Athenæum loco laudato legi, οἵας μὲν ἐν τοῖς Ἕλλησιν οὐκ ἔστιν ἰδεῖν.

[4] Ἐν Ἐπιγράμμασι· Βραγχὸν τετρ.] Hexameter hic decerptus eſt ex Epigrammate Pauli Silentiarii in Eunomum Locrum, qui cum de peritia cithara canendi cum altero certaret, & chorda forte rumperetur, cicada advolans in jugo citharæ conſedit, & ſtridore ſuo ſonum chordæ ruptæ ſupplevit. Epigramma iſtud legitur Anthol. lib. VI. cap XV. Epigr. I.

[5] Βραγχόν] Sic recte legitur in Anthologia Epigrammatum, loco ante laudato. In prioribus vero Edit. corrupte excuſum eſt βρόχον; cujus loco MSS. Pariſ. exhibent βρόγχον: quod quamvis itidem corruptum ſit, propius tamen ad veram lectionem accedit.

[6] Ἀνεβλήθησαν] Interpretatio hæc mihi non placet, quoniam non video, quomodo ea voci ἀπεκόπησαν convenire poſſit. Exiſtimo igitur ſcribendum eſſe ἀπελάθησαν, ab ἀπελαύνω. Τὸ ἀποκόπτειν enim apud Xenophontem, quem Suidas hic citat, interdum ſignificat aliquem e loco ſuperiore pellere vel deturbare; ut Ἀναβ. lib. III. pag. 312. Προκατείληπται γὰρ ἡμῖν ὁ ὑπὲρ τῆς καταβάσεως λόφος, ὃν οὐκ ἔστι παρελθεῖν, εἰ μὴ τούτους ἀποκόψομεν. i. e. *Nam occupatus eſt collis ille, qui via imminet, qua deſcendendum erit: neque tranſire nobis licebit, niſi hos vi dejecerimus.* Idem lib. IV. Ἀναβ. pag. 320. Πορευόμενοι δὲ ἐντυγχάνουσι λόφῳ ὑπὲρ τῆς ὁδοῦ κατειλημμένῳ ὑπὸ τῶν πολεμίων, οὓς ἢ ἀποκόψαι ἦν ἀνάγκη, ἢ διεζεῦχθαι ἀπὸ τῶν ἄλλων Ἑλλήνων. i. e. *In itinere incidunt in collem, qui via imminebat, & occupatus erat ab hoſtibus, qui vel pellendi loco vi erant, vel a cæteris Græcis ſe neceſſario divulſum iri videbant.* Idem pag. 321. Ἐν τούτῳ τῷ χρόνῳ ἦλθεν Ἀρχαγόρας ὁ Ἀργεῖος πεφευγώς, καὶ λέγει, ὡς ἀπεκόπησαν ἀπὸ τοῦ πρώτου λόφου &c. *Interea Archagoras fuga elapſus venit, ac ſe cum ſuis de primo colle vi pulſum narrat.* Ad hunc locum Suidam hic reſpexiſſe puto.

[7] Ἡρόδοτος] Lib. V. pag. 198. ut Portus obſervavit.

[8] Ὁ δὲ ῥοπάλῳ γυρὸν ἀπεκ.] Verba hæc decerpta ſunt ex Epigrammate, quod ex Anthologia inedita integrum exhibemus infra v. Ἰξιῶ.

[9] Ἐν Ἐπιγράμμασι] Anthol. lib. VII. pag. 594.

[10] Ἀπελάκτισεν ὁ ἠγαπ.] Hæc ſunt verba Moſis Deuter. XXXII. 15.

τῆς δὲ, ἀντὶ τοῦ ἀποδρᾶναι.

Ἀπελλικῶν.[1] Καὶ [2]τὴν Ἀπελλικῶντος τοῦ Τηΐου καταλαβὼν ὁ Σύλλας βιβλιοθήκην. σημαίνει δὲ ὄνομα κύριον.

Ἀπελείπετο. ἀεὶ διὰ διφθόγγου. Ἀπέλιπε δὲ, ἀντὶ τοῦ ἀπέλειψεν, ὡς τὸ παρεληλυθὸς σημαῖνον, διὰ τοῦ ι. Μεγίστην παρὰ τοῖς βαρβάροις δικαιοσύνης ἀπέλιπε δόξαν. Ἀπέλειπε δὲ, ἀντὶ τοῦ ἀπελίμπανε, διὰ διφθόγγου, ὡς παρῳχημένος.

Ἀπελογίζετο. ἀπηριθμεῖτο. [3]Ὁ δὲ εἰσελθὼν ἀπελογίζετο τὰς αἰτίας, δι' ἃς πεφευγὼς εἴη τὸν Φίλιππον.

Ἄπελος. τὸ ἕλκος. διὰ τὸ μὴ πελάζειν, ἀλλὰ διΐστασθαι.

Ἀπελωβήθη. [4]ἐφύβρισται. εἴργασται. ἢ οὕτως· ἐνυβρίσθη καὶ λωβητὸς γέγονε. Σοφοκλῆς· Μανίᾳ γὰρ ἁλοὺς ἡμῖν ὁ κλεινὸς νύκτερος Αἴας ἀπελωβήθη.

Ἀπελυμαίνοντο.[5] ἀπεκαθαίροντο.

Ἀπέλυσεν. ἐλυτρώσατο. Πολύβιος· [6]Ἣ καὶ τὸν Ἡρακλείδην ἀπέλυσε τῆς ὑποψίας.

Ἀπεμορξάμην. ἀπεψησάμην. ἐδάκρυσα.

Ὥς[7] ἐγὼ μὲν ἠλέησα, κἀπεμορξάμην, ἰδὼν
Ἄνδρα πρεσβύτην ὑπ' ἀνδρὸς τοξότου [8]κοιμώμενον.

ἀπὸ τοῦ παρακολουθοῦντος. παρέπεται γὰρ τοῖς δάκρυσιν ἀπομάττεσθαι. ἢ Ἀπεμόρξατο, ἴσως ἐξεμάξατο, ἐξωμοιώσατο.

Ὑετὸν[9] ἄρτι κόμης ἀπεμόρξατο, τοῦ δὲ κατ' ἴχνος
Βουφάγος εἰς κοίλην ἀτραπὸν ἷκτο λέων.

καὶ Ἀπεμόρξατο. ἀπεβάλετο, ἀπεσμήξατο.

Ἀπεμπολή. [10]ἀπόστασις. [11]ἢ μετὰ ἀπάτης πρᾶσις. καὶ ἐμπορεία. καὶ Ἀπεμπολήσας, πεπρακώς. ἀποκτησάμενος.

Ἀπεμυθήσω. ἀντὶ τοῦ ἀπελογήσω. Στράττις.

Ἀπεμφαίνει. ἀπέοικεν.

Ἀπεναντίας. γενικῇ.

Ἀπενεγκάμενος. κτησάμενος.

Ἀπενιαυτίσαι.[12] ἐνιαυτῷ[13] φυγεῖν τὴν πατρίδα

pro ἐπανέλθῃ, redierit. Demoſthenes vero pro ἀποδρᾶναι, aufugere.

Ἀπελλικῶν. Apellicon. Nomen proprium. *Sylla vero, cum Apelliconis Teji bibliothecam in ſuam poteſtatem redegiſſet.*

Ἀπελείπετο. Semper per diphthongum ει ſcribitur. Ἀπέλιπε vero, pro ἀπέλειψεν, præteriti ſignificationem habens, per ι ſcribitur. *Maximam apud Barbaros juſtitiæ gloriam reliquit.* Ἀπέλειπε vero, pro ἀπελίμπανε eſt imperfectum, & per diphthongum ſcribitur.

Ἀπελογίζετο. Recenſebat. *Ille vero ingreſſus cauſas recenſebat, ob quas Philippum fugiſſet.*

Ἄπελος. Ulcus, ita dictum, quod [ejus labra] non ſint juncta, ſed diducta.

Ἀπελωβήθη. Fœda facinora perpetravit. Vel, contumelia affectus & malo quodam læſus eſt. Sophocles: *Furore enim correptus inclytus ille Ajax noctu fœdum facinus perpetravit.*

Ἀπελυμαίνοντο. Purgabantur. Abluebantur.

Ἀπέλυσεν. Abſolvit. Liberavit. Polybius: *Quæ etiam Heraclidem ſuſpicione liberavit.*

Ἀπεμορξάμην. Abſterſi. Lacrymatus ſum. *Quamobrem ego quidem illum flens miſeratus ſum, conſpicatus virum ſenem a lictore male tractari.* Conſequens hic ponitur pro antecedenti. Fletum enim ſequi ſolet abſterſio lacrymarum. Vel Ἀπεμόρξατο, expreſſit, effinxit, [abſterſit. In Epigrammate.] *Cum vix comas pluvia madidas abſterſiſſet, veſtigia ejus ſecutus leo, bobus infeſtus, in cavum ſpecum venit.* Et Ἀπεμόρξατο, abjecit, deterſit.

Ἀπεμπολή. Venditio, qua quis fraudatur. Negotiatio. Mercatura. Et Ἀπεμπολήσας, qui vendidit. Qui aliquam rem alienavit, vel poſſidere deſiit.

Ἀπεμυθήσω. Cauſam dixiſti. Strattis.

Ἀπεμφαίνει. Non convenit. Diſſimilis eſt.

Ἀπεναντίας. Genitivo jungitur. E regione.

Ἀπενεγκάμενος. Qui aliquid conſecutus eſt.

Ἀπενιαυτίσαι. Per annum abeſſe. Propter cri-

---

[1] Ἀπελλικῶν] De eo vide inſignem locum apud Athen. lib. v. pag. 214.

[2] Καὶ τὴν Ἀπελλικῶντος τοῦ Τηΐου καταλαβὼν ὁ Σύλλας βιβλ.] Vide omnino Strabonem lib. XIII. pag. 609.

[3] Ὁ δὲ εἰσελθὼν ἀπελογ.] Hoc fragmentum Caſaubonus & Valeſius ad Polybium referunt.

[4] Ἐφύβρισται. εἴργασται] Legendum eſt ἐφύβρισται εἴργασται, ut apud Schol. Sophoclis ad *Ajacem* pag. 14. ex quo Suidas notam hanc deſcripſit, ut Portus etiam monuit.

[5] Ἀπελυμαίνοντο. ἀπεκ.] Reſpexit Grammaticus noſter ad locum illum Homeri Il. A. v. 314.

Οἱ δ' ἀπελυμαίνοντο, καὶ εἰς ἅλα λύματ' ἔβαλλον.

Scholiaſta ibi τὸ ἀπελυμαίνοντο itidem exponit ἀπεκαθαίροντο, ut hic Suidas.

[6] Ἣ καὶ τὸν Ἡρακλείδην ἀπ.] Supplementum hujus fragmenti habes ſupra v. Ἀναδέξασθαι.

[7] Ὥς ἐγὼ μὲν ἠλέησα, κἀπεμ.] Duo hi verſus (qui, ſi bene memini, in Ariſtoph. *Lyſiſtrata* exſtant) ſunt ſeptenarii Trochaici, quos in hac Editione ſecundum legem metri diſtinxi & in ordinem redegi.

[8] Κοιμώμενον] Pearſonius monet, in codice Vaticano ſcriptum eſſe κυκώμενον: quæ lectio magis placet.

[9] Ὑετὸν ἄρτι κόμης ἀπ.] Diſtichum hoc eſt pars Epigrammatis, quod ex Anthologia inedita integrum exhibemus infra v. Ἤροσον.

[10] Ἀπόστασις] Subſiſtat Lector, & de voce hac, quam ſuſpectam habeo, cogitet.

[11] Ἢ μετὰ ἀπάτης πρᾶσις] Verba hæc ambiguam habent ſignificationem. Vel enim accipi poſſunt de venditione doloſa, qua emptor fraudatur: vel de fraude, qua aliquem perfide prodimus & circumvenimus; quo ſenſu in lingua noſtra vernacula *vendere* aliquem interdum ſignificat aliquem prodere & decipere. Ultimam ſignificationē egregie confirmat locus hic Ariſtophanis p. 389.

Κἀνταῦθα λανθάνουσ' ἀπεμπολώμενοι.

Ubi eruditus enarrator ait: Ἀπεμπολώμενοι· πιπρασκόμενοι διὰ τῆς κολακείας. τοῦτο δέ φησι διὰ τὸ εὐχερῶς πείθεσθαι τοῖς ῥήτορσι τοὺς Ἀθηναίους, ἀπατῶσιν αὐτούς. En clare Scholiaſta docet, τὸ ἀπεμπολώμενοι hic dici de illis, quos adulatores fallacibus verborum lenociniis decipiunt & in fraudem inducunt: quod locum hunc Suidæ non parum illuſtrat.

[12] Ἀπενιαυτίσαι] Sic habent MSS. Pariſ. In prioribus vero Edit. minus recte ſcriptum eſt ἀπενιαυτῆσαι per η.

[13] Ἐνιαυτῷ φυγεῖν τὴν πατρ.] Vide quæ de hoc more veterum notarunt Meurſius *Exercit. Crit.* Part. II. lib. III. cap. ult. itemque ad Lycoph. v. 1039. & Petitus *Leg. Attic.* pag. 512.

ἐπί τισιν ἀδικήμασιν. [1] Ἀπολλώνιον φασὶ τὸν Τυανέα ἀπενιαυτίσαι εἰς τὸ Σκυθῶν ἔθνος, διαμαρτίᾳ ἐρωτικῇ χρησάμενον. Καὶ αὖθις περὶ Ἡρακλέους· Ἀπενιαυτίσαντα, ὡς νόμος, ἔξω, καὶ καθηράμενον, ἐπανελθεῖν εἰς Ἀθήνας.

Ἀπέννινα ὄρη.

Ἀπεξεσμένον. ἠκριβωμένον.

Ἀπεώσατο. ἀπετινάξατο. καὶ Ἀπεωσμένον, καὶ Ἀπωσμένον ὁμοίως. Ἀπέωστο δὲ, ἐπορθεῖτο.

Ἀπέπαρδε. καὶ Ἀποπαρδεῖν. [2] ἐπράδειν δὲ, προτεταγμένου τοῦ ρ.

Ἀπεπίστευον. ἤλπιζον. [3] Οἱ γὰρ Ῥωμαῖοι πρὸς τοὺς ὑλώδεις τόπους ὑπόπτως εἶχον πρὸς ἐνέδρας· ἐν δὲ τοῖς ἐπιπέδοις καὶ ψιλοῖς ἀπεπίστευον.

Ἀπεπλίξατο. [4] ἀντὶ [5] τοῦ εὐχερῶς καὶ μετὰ ῥαστώνης ἀπεσείσατο καὶ ἀπέφυγε. πλὶξ γὰρ τὸ βῆμα· καὶ πλίγματα, τὰ πηδήματα. ὅθεν καὶ τὸ περιβάδην ἀμφιπλὶξ παρὰ Σοφοκλεῖ ἐν Τριπτολέμῳ. Ἀριστοφάνης Ἀχαρνεῦσιν· Οὐκ ἂν ἐλαφρῶς ἀπεπλίξατο. [6] καὶ Ὅμηρος·

Αἱ δ' εὖ μὲν τρώχων, εὖ δὲ πλίσσοντο πόδεσσιν.

ἔλεγον γὰρ πλὶξ καὶ τὸ ἀπὸ τοῦ ἀντίχειρος εἰς τὸν λιχανὸν δάκτυλον διάστημα. καὶ τὸ μεταξὺ τῶν μηρῶν ὀστοῦν.

Ἀπεπόνουν. τοῦ πόνου ἔληγον. [7] Ἀλλ' ὅτε οἱ Ῥωμαῖοι ἀπεπόνουν [8] ἐρεβοδιφῶντες τὰ ὑποχθόνια, στρατοπεδεύουσιν ἀμφὶ τὸ φρούριον τὸ Χλωμάρων.

Ἀπεπυδάρισεν. [9] Ἀριστοφάνης· [Ἀπεπυδάρισα,] μόθωνα περιεκόκκυσα. ἀντὶ τοῦ ἀπέπαρδον. Μόθων δὲ εἶδος ὀρχήσεως φορτικῆς. Περιεκόκκυσα οὖν, κόρδακα ὠρχησάμην.

Ἀπερράπισεν. [10] ἀπεφίμωσεν. ἀπεστόμισεν.

Ἀπέρατον. ἄπειρον, μέγα, οὗ πέρας οὐκ ἔστιν. οἱ δὲ μετὰ τοῦ ν γράφοντες ἁμαρτάνουσιν. [11] Ἀριστοφάνης Νεφέλαις· Τὸ χρῆμα τῶν νυκτῶν ὅσον ἀπέρατον. Καὶ αὖθις· [12] Ὁ δὲ Χοσρόης τὴν ἀπέρατον καλουμένην εἰρήνην λαμπρῶς παρέλυσεν.

Ἀπεργασάμενος. ἀντὶ τοῦ ἀποδοὺς, [13] ἐξ ὧν εἰργάσατο. οὕτως Ἰσαῖος ἐν τῷ πρὸς Ἀπολλόδωρον. καὶ Ἀπεργάσασθαι, ἀντὶ τοῦ ἀποπληρῶσαι. Ἀριστοφάνης.

Ἄπερρε. ἀντὶ τοῦ φθείρου. πορεύου μετὰ φθορᾶς. Ἀ-

mina aliqua per annum a patria exulare. *Apollonium Tyaneum ferunt, cum in amoribus voti ſui compos fieri non poſſet, anno integro apud Scythas exulaſſe.* Et iterum de Hercule: *Cum ob cædem per annum a patria exulaſſet, expiatum Athenas rediiſſe* [*ferunt.*]

Ἀπέννινα ὄρη. Apennini montes.

Ἀπεξεσμένον. Politum. Accurate elaboratum.

Ἀπεώσατο. Repulit. Excuſſit. Et Ἀπεωσμένον, & Ἀπωσμένον, eodem ſenſu accipitur. Ἀπέωστο vero, vaſtabatur.

Ἀπέπαρδε. Ventris crepitum emiſit. Et Ἀποπαρδεῖν: pro quo etiam dicitur ἀποπεραδεῖν, præpoſita litera ρ.

Ἀπεπίστευον. Fidebant. *Romani enim loca ſylveſtria propter inſidias habebant ſuſpecta: patentibus vero & apertis fidebant.*

Ἀπεπλίξατο. Excuſſo jugo aufugit. Πλὶξ enim ſignificat greſſum: & πλίγματα, ſaltus. Unde etiam quod aliis eſt περιβάδην, Sophocles in *Triptolemo* ἀμφιπλὶξ appellat. Ariſtophanes *Acharnenſibus: Non tam facile aufugiſſet.* Et Homerus: [*Mulæ*] *vero bene currebant & pedibus ingrediebantur.* Πλὶξ etiam intervallum illud vocabatur, quod eſt inter pollicem & digitum indicem. Item os, quod eſt inter utrumque femur.

Ἀπεπόνουν. A laborare ceſſabant. *Sed Romani, cum loca ſubterranea ſcrutari deſiiſſent, caſtra circa caſtellum Chlomarum poſuerunt.*

Ἀπεπυδάρισα. Ariſtophanes: *Crepitum emiſi, & mothonem ſaltavi.* Eſt autem μόθων genus ſaltationis injucundæ & parum elegantis. Vel περιεκόκκυσα ſignificat, cordacem ſaltavi.

Ἀπερράπισεν. Camo ſeu capiſtro os obligavit.

Ἀπέρατον. Infinitum. Immenſum. Qui vero per νυ ſcribunt ἀπέραντον, errant. Ariſtoph. *Nubibus: Quam longæ ſunt noctes hæ.* Et iterum: *Choſroes vero pacem, quæ æterna vocabatur, manifeſte violavit.*

Ἀπεργασάμενος. Qui alicui pro meritis gratiam retulit. Sic Iſæus in oratione adverſus Apollodorum. Et Ἀπεργάσασθαι, abſolvere, complere. Ariſtophanes.

Ἄπερρε. Pereas. Abi in malam rem. Ariſto-

---

[1] Ἀπολλώνιον φασὶ τὸν Τυανέα ἀπεν.] Hæc ex Philoſtrato excerpſit Suidas, apud quem in *Vit. Apoll.* lib. I. cap. X. ſic legitur: Ἀλλ' ὅμως συκοφαντοῦσί τινες ἐπ' ἀφροδισίοις αὐτὸν, ὡς διαμαρτίᾳ ἐρωτικῇ χρησάμενον, καὶ διὰ τοῦτο ἀπενιαυτίσαντα ἐς τὸ Σκυθῶν ἔθνος. ὃς οὔτε ἐφοίτησέ ποτ' ἐς Σκύθας, οὔτε ἐς ἐρωτικὰ πάθη ἀπηνέχθη. i. e. interprete Morello: *Verum ne ſic quidem calumniatorum obtrectationes potuit evitare* [*Apollonius,*] *qui ipſum amoribus captum criminantur, ejuſque rei gratia apud Scythas integrum annum moram traxiſſe, cum nec Scythiam unquam attigerit, nec amori unquam deditus fuerit.*

[2] Ἐπράδειν] Eſt vox nihili, pro qua legendum eſt ἀποπαρδεῖν, ut Portus etiam monuit.

[3] Οἱ γὰρ Ῥωμαῖοι πρὸς τοὺς ὑλ.] Hæc ſunt verba Polybii lib. III. cap. LXXI. ut Jac. Gronovius obſervavit.

[4] Ἀπεπλίξατο. ἀντὶ τοῦ εὐχ. καὶ μετὰ ῥαστ. ἀπεσείσατο καὶ ἀπ.] Totum hunc articulum deſcripſit Suidas ex Schol. Ariſtoph. ad *Acharnenſ.* pag. 382. (270. Ed. Baſ. *P.*)

[5] Ἀντὶ τοῦ εὐχερῶς καὶ μετὰ ῥαστώνης] Hæc non pertinent ad vocem ἀπεπλίξατο, ſed ſunt interpretatio vocis ἐλαφρῶς, quæ apud Ariſtophanem loco laudato proxime præcedit.

[6] Καὶ Ὅμηρος] Odyſſ. Z. v. 318.

[7] Ἀλλ' ὅτε οἱ Ῥωμαῖοι ἀπεπόνουν ἐρεβ.] Hæc ſunt verba Theophylacti Simocattæ lib. II. cap. VII. eademque leguntur infra v. Ἐρεβοδιφῶντες.

[8] Ἐρεβοδιφῶντες] Sic etiam apud Simocattam hodie legitur. In 2 MSS. Pariſ. vero exaratum eſt ἱερεβοδιφοῦντες.

[9] Ἀριστοφάνης] *Equit.* pag. 329. (228. Ed. Baſ. *P.*) Vide ad eum locum veterem Enarratorem, cujus verba Suidas hic prorſus mutilavit.

[10] Ἀπερράπισεν] Non ſolum vox ipſa, ſed etiam ſignificatio, quam Suidas ei tribuit, eſt inſolens, & quam apud nullum alium Lexicographorum reperio.

[11] Ἀριστοφάνης Νεφέλαις] Verſu 2.

[12] Ὁ δὲ Χοσρόης τὴν ἀπέρατον κτλ.] Hæc ſunt verba Procopii de *Bello Perſ.* lib. II. cap. V. pag. 97.

[13] Ἐξ ὧν εἰργάσατο] Apud Harpocrationem legitur ἀντὶ τῶν ἔργων, ὧν εἰργάσατο.

Ἀριστοφάνης[1] Νεφέλαις· Ὑθλεῖς, ἄπεῤῥε. Ἄπεῤῥε οὖν, ἀντὶ τοῦ φθάρηθι. καὶ ἔῤῥων, φθειρόμενος.

Ζητῶν περιέῤῥων αὐτὸν ἐξ ἑωθινοῦ.

Κραπατάλοις Φερεκράτης.

Ἀπερείδομαι τὸν πόκον. ἀντὶ τοῦ ἀποτίθημι. [2] ἀκουμβίζω. καὶ Ἀπερείσασθαι, ἐκβαλεῖν, ἐκκενῶσαι. Ὥσπερ εἰς ἐκείνους βουλόμενοι ἀπερείσασθαι τὸν θυμόν. καὶ [3] Ἰώσηπος· Πρὸς τὸν αἴτιον ἔλεγεν ἀπερείσασθαι τὴν ὀργήν. Ἀπερείσασθαι οὖν, ἐκκενῶσαι, καταθαῤῥῆσαι, ἐπιβῆναι. Πρὸς ἕνα καιρὸν ἀπερείσασθαι τὰς ἐλπίδας οὐδαμῶς ἔκρινε συμφέρειν.

Ἀπερείσια. ἄπειρα. Ὅμηρος· Ἀπερείσι' ἄποινα. καὶ Ἀπερείσιος, ἄπειρος, πολύς.

Ἀπερίβλεπτον. ἀνυπονόητον.

Ἀπερίγραπτον. ἀπεριόριστον. Ὅτι τὸ ἀπερίγραπτον τριττόν· τόπῳ, χρόνῳ, καταλήψει. ὁ μὲν Θεὸς κατὰ πᾶν εἶδος ἀπερίγραπτος. τὰ δὲ αἰσθητὰ καταληπτὰ, καὶ περιγραπτά. καὶ Ἀπερίγραπτοι, ἀπερισκόπητοι.

Ἀπερικλύπητον. ἀτάραχον. ἀνενόχλητον.

Ἀπεριλάλητον.[4] ἤτοι οὐκ εἰδότα λαλεῖν. ἢ οἷον οὐκ ἄν τις περιλαλήσοι.

Ἀπερισάλπιγκτοι. ἀπεριήχητοι, ἀκατήχητοι.

Ἀπερίτροπος. ἀνεπίστροφος. [5] Οὔτε γὰρ Ἀγαμεμνονίδης παῖς ἀνεπίτροπος, οὔθ' ὁ παρὰ τὸν Ἀχέροντα Θεὸς ἀνάσσων. [6] Ἀπὸ κοινοῦ, τὸ ἀνεπίστροφος τοῦ τοὺς ἐχθροὺς μετελθεῖν, ἀλλ' ἔχει ἐπιστροφὴν, καὶ ἐπιμέλειαν ποιεῖται. ἢ ἀνεπέλευστος. ἔνθεν καὶ τὸ, περιτροπέων ἐνιαυτός.

Ἀπεῤῥίφη. γενικῇ. ἐξεβλήθη.

Ἀπέῤῥιψεν. Ὁ δὲ ἐπιτηρήσας τῷ δοκεῖν ὑπὲρ τούτων ἀπέῤῥιψε λόγους. τουτέστι παρενέβαλεν. ἢ Ἀπέῤῥιψεν. ἐφλυάρησεν. Ὁ δὲ στωμύλος τε ὢν καὶ ὑψαγόρας, ἀπέῤῥιψε ῥήματα ὑπερήφανά πως καὶ θρασύτερα.

Ἀπεροῦντα. κωλύοντα. ἀποτρέποντα. Στέλλεται ἐκ βασιλέως γράμματα, ἀπεροῦντα τὴν τῶν βαρβάρων ἐπίθεσιν. καὶ Ἀπεροῦσιν, ἀπαγορεύσουσι. καὶ παύσονται τοῦ πολέμου. [7] Ἀμέλει ταχέως πάνυ ἀπεροῦσιν.

Ἀπέῤῥωγεν. οὐκ ἀπέῤῥηκται. καὶ Ἀπεῤῥώγη, καὶ σὺν τῷ νυ, Ἀπεῤῥώγην, τὸ τρίτον πρόσωπον. Κᾆτ' ἀπεῤῥώγην ὁ ποῦς. καὶ Ἀπεῤῥωγότες, κεχωρισμένοι, ἢ ἀπεσχισμένοι. Τῆς φίλης ἀπεῤῥωγὼς συζυγίας.

phanes *Nubibus: Nugaris, abi in malam rem.* Et ἔῤῥων, qui in malam rem abit. *Eum quærendo inde a tempore matutino omnes vicos perreptat.* Pherecrates *Crapatalis*.

Ἀπερείδομαι τὸν πόκον. Vellus depono. Incumbo. Et Ἀπερείσασθαι, effundere, evacuare. *Tanquam in eos iram effundere cupientes.* Et Joſephus: *In facinoris auctorem ſe iram effundere velle dicebat.* Ἀπερείσασθαι igitur, evacuare, fiduciam in aliqua re collocare, alicui rei inniti. *In unum tempus omnes ſpes ſuas conferre minime conducere judicabat.*

Ἀπερείσια. Infinita. Homerus: *Immenſam auri vim pro redemptione* [*accipe.*] Et Ἀπερείσιος, infinitus, multus.

Ἀπερίβλεπτον. Inexpectatum. Inopinatum.

Ἀπερίγραπτον. Non circumſcriptum. Indefinitum. Triplici ſenſu aliquid circumſcribi non poſſe dicitur: vel ratione loci, vel temporis, vel intellectus. Deus quovis horum modorum circumſcribi nequit. Illa vero, quæ ſenſibus percipiuntur, finita ſunt & limitibus circumſcribi poſſunt. Et Ἀπερίγραπτοι, qui circumſpici nequeunt.

Ἀπερικλύπητον. Quod omni ſtrepitu & turba caret.

Ἀπεριλάλητον. Qui loqui neſcit. Vel, quem nullus loquendo ſuperare poſſit.

Ἀπερισάλπιγκτοι. Quos nullus tubarum ſonus circumſonat.

Ἀπερίτροπος. Qui nullam alicujus rei curam gerit. *Neque enim filius Agamemnonis, vel Deus Inferorum, ultionem negligent.* Ex præcedentibus enim repetendum eſt ἀνεπίστροφος, ut ſit ſenſus, curam adhibebit, ut ab inimicis pœna exigatur. Vel [Ἀπερίτροπος dicitur ille,] qui nunquam redit. Unde περιτροπέων ἐνιαυτὸς, annus, qui in orbem redit.

Ἀπεῤῥίφη. Abjectus eſt. Ejectus eſt. Genitivo jungitur.

Ἀπέῤῥιψεν. Projecit. Profudit. *Ille vero captato tempore verba temere effudit.* Vel Ἀπέῤῥιψεν, temere effutiit. *Ille vero cum eſſet garrulus & jactabundus, verba ſuperba & audacia effutiit.*

Ἀπεροῦντα. Interdicentia. Impedientia. Prohibentia. *Mittuntur a Rege literæ Barbarorum invaſionem vetantes.* Et Ἀπεροῦσιν, defatigabuntur, animum deſpondebunt. [Ariſtophanes:] *Cito admodum moleſtiæ ſuccumbent.*

Ἀπέῤῥωγεν. Non ἀπέῤῥηκται. [Ruptus eſt. Fractus eſt.] Et Ἀπεῤῥώγη, ſive, addito ν, Ἀπεῤῥώγην, eſt tertia perſona. *Deinde vero pes fractus eſt.* Et Ἀπεῤῥωγότες, abſciſſi, avulſi. *Ab amabili conſortio avulſus.*

---

[1] Ἀριστοφάνης Νεφέλαις] Pag. 101.

[2] Ἀκουμβίζω] Vide infra v. Ἀπηρείσατο, & v. Ἠρεικώς; itemque Reineſ. *Var. Lect.* lib. III. pag. 475.

[3] Ἰώσηπος· Πρὸς τὸν αἴτιον ἔλ.] Senſus hujus loci ſupplendus eſt ex Joſepho *de Bello Jud.* lib. II. pag. 828. ubi ſic legitur: Βοώντων δὲ τῶν λοιπῶν, αἴτιον εἶναι μάλιστα τῆς ἀποστάσεως Κλεῖτόν τινα, καὶ παρακαλούντων εἰς ἐκεῖνον ἀπερείσασθαι τὴν ὀργὴν, ὁ Ἰώσηπος ἀνελεῖν μὲν οὐδένα προῄρητο. i. e. *Reliquis autem vociferantibus, Clitum quendam eſſe præcipuum defectionis auctorem, rogantibuſque, ut in eum iram ſuam effunderet, neminem quidem Joſephus occidere voluit.*

[4] Ἀπεριλάλητον. ἤτοι οὐκ εἰδ.] Ex Scholiaſta Ariſtoph. ad *Ranas*, pag. 252. (163. Ed. Baſ. *P.*)

[5] Οὔτε γὰρ Ἀγαμεμνονίδης παῖς ἀνεπ.] Hæc ſunt verba Sophoclis in *Electra* pag. 89. ut Portus obſervavit.

[6] Ἀπὸ κοινοῦ τὸ ἀνεπίστροφος τοῦ τοὺς ἐχθρ.] Scribe ex Scholiaſta Sophoclis: Ἀπὸ κοινοῦ τὸ ἀπερίτροπος τοῦ τοὺς ἐχθροὺς μετελθ.

[7] Ἀμέλει ταχέως πάνυ ἀπεροῦσιν] Hæc ſunt verba Ariſtophanis in *Lyſiſtrata* pag. 845. (544. Ed. Baſ. *P.*)

Ἀπερωεύς. κωλυτής. [1] Ὅμηρος· Ἐμῶν μενέων ἀπερωεύς.

Ἄπερ σύ. ἀντὶ τοῦ ὥσπερ σύ.

Ἀπερυθριάσαι. ἀπαναισχυντῆσαι. [2] Ἀριστοφάνης· Κρεῖττον ἦν τότ' εὐθὺς ἀπερυθριάσαι, ἢ χρήσαντά με χεῖν πράγματα. [3] τὰ πράγματα οὐκ ἐπὶ κακοῦ χρῶνται. [4] ὁ δὲ λόγος εἴρηται ἐπὶ τῶν δανειζόντων. καὶ αὖθις· Ἅπαξ πυῤῥός, [5] καὶ μὴ δέκατον χλωρός.

Ἀπερύκει. ἀπεκωλύθη.

Ἀπέσβη. [6] ἐσβέσθη, ἢ ἐπαύσατο, τέθνηκεν. [7] ἀπέσβησε. λέγουσι τὸ ἀποσβέσαι οἵ τε ἄλλοι, καὶ Πλάτων Πολιτικῷ.

Ἀπεσείσατο. ἀπέβαλεν.

Ἀπεσκέδασε. διεσκόρπισεν.

Ἀπεσκευάζετο τὴν στολήν. ἀπετίθει. καὶ Ἀπεσκευασάμεθα, ἀπεβαλόμεθα. κυρίως δὲ Ἀποσκευάσασθαι ἐστὶ τὸ ἀποῤῥίψαι τὰ σκεύη, καὶ τοῖς πολεμίοις ἀκολουθεῖν. Τὰ δὲ πολλοῦ ἄξια μετὰ πλείστων ἀνθρώπων ἐκεῖσε ἀπεσκευάσατο. ἀντὶ τοῦ ἀπέθηκεν.

Ἀπεσκληκώς. ἀναισθήτως ἔχων. καὶ Ἀπεσκληρυμένος, ἐξηραμμένος.

Ἀπεσκολλυμμένος. [8] ἐκτεταμένος. [9] κόλλυς γὰρ ἡ ἐπὶ τοῦ ἄκρου θρὶξ, ἣν ἐφύλαττον ἀκούρευτον θεοῖς ἀναθέντες. καταχρηστικῶς δὲ καὶ ἐπὶ τοῦ ἀπογεγυμνωμένου.

Ἀπεσκοτωμένα. [10] ἐσκιαγραφημένα. κεχρωσμένα. τὰς γὰρ χρίσεις σκότη καλοῦσι ζωγράφοι. οὕτως Ἀριστοφάνης.

Ἀπέσομαι. ἀπέρχομαι. ἀναχωρῶ. παρὰ Ἀριστοφάνει ἐν Νεφέλαις.

Ἀπεσκύθιζον. [11] κυρίως τὸ ἀποτέμνειν τὸ ἐπὶ τῆς κεφαλῆς δέρμα σὺν θριξί· καταχρηστικῶς δὲ, τὸ ἀποκείρειν.

Ἀπέσπασε. μετὰ βίας ἐξείλετο. Οἱ δὲ Σπαρτιᾶται ἐκάθηντο τοῦ Θεοῦ ἱκέται εἰς Ταίναρον, καὶ ᾔτουν σωτηρίαν. οἱ δὲ ἀπέσπασαν ἀφειδῶς, καὶ μάλα ἀπέκτειναν αὐτούς.

Ἀπεσπούδαζεν. ἠμέλει. κατεφρόνει. [12] Οὐδὲ τῶν Ἐπικούρου λόγων ἀπεσπούδαζεν Ἀπολλώνιος.

Ἀπεστάτει. ἀπεῖχεν. ἀπεχωρίζετο. Εὐνάπιος· Καὶ

Ἀπερωεύς. Qui aliquid impedit. Homerus: *Qui semper conatus & consilia mea impedit.*

Ἄπερ σύ. Pro ὥσπερ σύ. Quemadmodum tu.

Ἀπερυθριάσαι. Non erubescere. Frontem perfricare. Aristophanes: *Satius fuisset statim tunc frontem perfricare, quam postea cum molestiis conflictari.* Vox πράγματα enim aliquando in malam partem accipitur. Et iterum: *Semel ruber, & decies pallidus.* Proverbium, quod in fœneratores dicitur.

Ἀπερύκει. Arcet. prohibet.

Ἀπέσβη. Extinctus est. Cessavit. Mortuus est. Voce ἀπέσβηκε pro ἀπεσβέσθη usi sunt cum alii tum Plato *Politico*.

Ἀπεσείσατο. Excussit. Abjecit.

Ἀπεσκέδασε. Dissipavit. Dispersit.

Ἀπεσκευάζετο τὴν στολ. Stolam deposuit. Et Ἀπεσκευασάμεθα, abjecimus. Proprie autem Ἀποσκευάσασθαι significat vasa & supellectilem in aliquo loco deponere, & hostes sequi. *Res autem pretiosiores & maximam partem hominum illic deposuit.*

Ἀπεσκληκώς. Qui nihil sentit. Qui obduruit. Et Ἀπεσκληρυμένος, arefactus, induratus.

Ἀπεσκολλυμμένος. Detonsus. Resectus. Κόλλυς enim est capillus verticis, Diis sacer, quem intonsum servabant. Abusive vero sic etiam appellatur nudatus & retectus.

Ἀπεσκοτωμένα. Adumbrata. Coloribus picta. Nam pictores σκότη vocant colores. Sic Aristophanes.

Ἀπέσομαι. Abero. Abeo. Apud Aristophanem in *Nubibus*.

Ἀπεσκύθιζον. Proprie significat cutem capitis cum ipsis pilis Scytharum more resecare. Abusive vero, radere, detondere.

Ἀπέσπασε. Per vim abstraxit. *Spartani vero ad Tænarum supplices sedebant, salutem petentes: quos illi crudeliter inde abstractos interfecerunt.*

Ἀπεσπούδαζεν. Negligebat. Contemnebat. *Ne Epicuri quidem doctrinam studio & curiositate sua indignam judicavit Apollonius.*

Ἀπεστάτει. Distabat. Aberat. Remotus erat.

---

[1] Ὅμηρος· Ἐμῶν μενέων ἀπ.] Il. Θ. v. 361.

[2] Ἀριστοφάνης· Κρεῖττον ἦν τ.] Apud Aristophanem *Nubibus* pag. 192. (118. Ed. Bas. *P.*) sic legitur:

——— Ἀλλὰ κρεῖττον ἦν εὐθὺς τότε
Ἀπερυθριάσαι μᾶλλον, ἢ χεῖν πράγματα.

Vide ibi Scholia.

[3] Τὰ πράγματα οὐκ ἐπὶ κ.] Scribendum potius est, τὰ πράγματα οὖν: quam lectionem in versione secutus sum.

[4] Ὁ δὲ λόγος εἴρηται ἐπὶ τῶν δαν. καὶ αὖθις· Ἅπαξ π.] Hæc prorsus turbata sunt & confusa, quæ sic in ordinem rediges: Καὶ αὖθις· Ἅπαξ πυῤῥὸς καὶ μὴ δέκατον χλωρός. ὁ δὲ λόγος εἴρηται ἐπὶ τῶν δανειζόντων. Vide supra v. Ἅπαξ.

[5] Καὶ μὴ δέκατον χλ.] Supra v. Ἅπαξ absque negatione legitur καὶ δέκατον χλ. quod magis arridet.

[6] Ἀπέσβη.———τέθνηκεν] Huc pertinet nota illa Hesychii, Ἀποσβαίη, νεκρῷ: quam vocem vir doctus immerito ibi sollicitat.

[7] Ἀπέσβησε. λέγουσι τὸ ἀποσβ.] Locus hic medicina indiget. Puto enim scribi debere, Ἀπέσβηκε λέγουσιν ἀντὶ τοῦ ἀπεσβέσθη οἵ τε ἄλλοι, καὶ Πλ. Apud Platonem enim *Politico* pag. 174 G. τὸ ἀπέσβηκε passive accipitur pro ἀπεσβέσθη: ad quem locum Suidas procul dubio respexit.

[8] Ἐκτεταμένος] Hæc interpretatio mihi non arridet. Malim κεκαρμένος, propter ea quæ sequuntur. Σκόλλυς enim vocabatur coma, quæ in honorem Deorum alebatur: unde, cui coma illa detonsa erat, appellabatur ἀποσκολλυμμένος, ab ἀποσκολλύπτω. Habet autem vox illa & alias significationes, quas apud Grammaticos quære. Vide Hesych. v. Ἀνασκολλύψας, & v. Κίρων.

[9] Κόλλυς] Vox ista varie scribitur. Κόλλυς enim hic habent omnes Edit. Suidæ; itemque Etymologus: quod tamen corruptum esse non dubito. Apud Pollucem legitur σκόλυς. Apud Hesychium in serie sua σκολλίς. Apud Athenæum lib. XI. pag. 494 σκόλλυς: quæ lectio reliquis præferenda est.

[10] Ἀπεσκοτωμένα. ἐσκ.] Eadem leguntur apud Hesychium.

[11] Ἀπεσκύθιζον. κυρ. τὸ ἀποτ.] Vide Hesych. v. Ἀποσκυθίσαι, & v. Ἐσκυθισμένης.

[12] Οὐδὲ τῶν Ἐπικούρου λόγων ἀπεσπ.] Apud Philostratum *de Vit. Apoll.* lib. I. cap. V. locus hic ita legitur: Διήκουσε δὲ καὶ τῶν Ἐπικούρου λόγων· οὐδὲ γὰρ τούτους ἀπεσπούδασε.

γὰρ οὐκ ἀπεστάτει τῆς τοῦ Λέοντος ἐπωνυμίας. οὕτω γὰρ καὶ τὸ ζῶον ποιεῖν εἴωθεν. Οὐκ ἀπεστάτει, οὐ παρήλλαττεν. Σοφοκλῆς·

Μέγας,[1] χνοάζων ἄρτι λευκανθὲς κάρα·
Μορφῆς δὲ τῆς σῆς οὐκ ἀπεστάτει πολύ.

περὶ Λαΐου φησὶν Ἰοκάστη.

Ἀπεσταύρουν. σταυροῖς ἔφραττον. [2] Θουκυδίδης· Λίθοις δὲ καὶ πλίνθοις χρώμενοι, καὶ κόπτοντες τὰ δένδρα, καὶ ὕλην ἐπιφέροντες, ἀπεσταύρουν εἴπῃ δέοιτό τι.

Ἀπέστησεν. ἐκώλυσεν. ἐπέσχε. Πολύβιος· Ἐκεῖνον γὰρ οὔτε σκότος, οὔτε χειμῶνος μέγεθος ἀπέστησεν οὐδέποτε τῆς προθέσεως· ἀλλὰ καὶ ταῦτα διωθούμενος, καὶ τὰς ἀρρωστίας ἐκπονῶν καθῆστο, καὶ διευτύχει πάντα τὸν χρόνον. Καὶ αὖθις Πολύβιος· Ἀποσχόντες τῆς ἰδίας παρατάξεως ἐφ' ἱκανόν τινα τρόπον, οἱ μὲν πλείους ἀπέστησαν· δύο δὲ ἐπιπολὺ προῆλθον. ἀντὶ τοῦ, ἐπέσχον τὸν δρόμον.

Ἄπεστιν.[3] ἀντὶ τοῦ ἀφέστηκεν, μακράν ἐστιν. Ἀριστοφάνης·

Ἄπεστιν[4] ἐπὶ Θρᾴκης φυλάττων Εὐκράτην.

Εὐκράτης οὗτος ἦν στρατηγὸς Ἀθηναίων, ὁ [5] καλούμενος Στύππαξ, δωροδόκος, καὶ προδότης, ὃς ἀπώλετο ὑπὸ τῶν τριάκοντα. οἱ δὲ, ὡς πιὼν κώνειον.

Ἀπεστομάτισαν. ἀπεφθέγξαντο.

Ἀπεστώ.[6] ὥσπερ Σαπφώ. παρὰ Καλλιμάχῳ ἡ ἀποδημία.

Ἀπέστω. οἰχέσθω. διωκέσθω.

Ὕπνος [7] δ' ἀπέστω γλυκύθυμος ὀμμάτων.

ἐπὶ τῶν βουλομένων φιλοσοφεῖν ὁ Σωκράτης φησίν.

Ἀπεστυφέλιξεν. ἐκίνησεν, ἔσεισεν.

Ἀπέσσυτο. ἐξέλιπε. σεύω, τὸ ὁρμῶ, καὶ σύω. ἀφ' οὗ τὸ σῦμαι· ἔνθεν, τὸ ἔσσυτο, καὶ Ἀπέσσυτο, καὶ ἀπόσσυτος.

Ἀπεσφακέλισεν. οἱ μὲν γραμματικοὶ, ἐσάπη, ἀπεσφενδόνησε. σημαίνει δὲ καὶ τὸ ἀπεκάκησεν· ἔτι τὸ ἐξαίφνης ἀπέθανεν. ὁ δὲ [8] Ἀριστοφάνης ἀντὶ τοῦ ἀπεσπάσθη.

Ἀπέσφηλεν. ἀποτυχεῖν ἐποίησεν.

Ἀπέσχαζεν. Πλάτων Πρέσβεσι. καὶ σχᾶν, τὸ σχίζειν.

Ἀπεσχεδιάζετο. ἡτοιμάζετο.

Ἀπεσχοίνισεν. ἀπεχώρισεν. καὶ Ἀπεσχοινισμένος, ἀπεστερημένος. [9] Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος, ἀντὶ τοῦ ἀποκεκλεισμένος.

Ἀπετάφρευον. [10] Μένανδρος· Οἱ Ῥωμαῖοι γὰρ οὐκ

Eunapius: *Non enim a cognomine Leonis actiones ejus alienæ erant. Sic enim & animal illud facere ſolet.* Οὐκ ἀπεστάτει, non diſcrepabat, non differebat. Sophocles:

Magnus erat, caniſque albicans habebat caput,
Et a tua forma non multum diſcrepabat.

Hæc de Laio Iocaſta dicit.

Ἀπεσταύρουν. Vallis muniebant. Thucydides: *Lapidibus & lateribus utentes, arboreſque cædentes, & materiam aggerentes, locum, ſicubi opus erat, vallo muniebant.*

Ἀπέστησεν. Impedivit. Inhibuit. Polybius: *Illum enim neque tenebræ, neque tempeſtatis magnitudo a propoſito unquam dimoverunt: ſed illa conſtanti animo ferens, nec morbis ſuccumbens, ſecunda fortuna ſemper uſus eſt.* Et iterum Polybius: *Cum ab acie ſua longe abeſſent, plerique curſum inhibuerunt: duo vero longius proceſſerunt.* Hic τὸ ἀπέστησαν idem ſignificat ac ἐπέσχον τὸν δρόμον, i. e. reſtiterunt, curſum inhibuerunt.

Ἄπεστιν. Diſtat. Procul abeſt. Ariſtophanes: *Procul hinc abeſt, in Thracia Eucratem cuſtodiens.* Hic Eucrates erat dux Athenienſium, Styppax cognominatus, homo avarus & munera captans, & proditor: qui a triginta [Tyrannis] interfectus eſt. Alii vero dicunt, eum hauſta cicuta obiiſſe.

Ἀπεστομάτισαν. Recitarunt.

Ἀπεστώ. [Declinatur] ut Σαπφώ. Apud Callimachum ſic vocatur abſentia & peregrinatio.

Ἀπέστω. Abſit. Abeat. Pellatur.

Somnus vero dulcis ab oculis abſit.

Hæc Socrates [apud Ariſtophanem] de illis dicit, qui philoſophiæ operam dare volunt.

Ἀπεστυφέλιξεν. Movit. Quaſſavit. Agitavit.

Ἀπέσσυτο. [Diſceſſit. Abiit.] Verbum σεύω ſignificat ruo, impetum facio: pro quo etiam dicitur σύω. Hinc σῦμαι: unde ἔσσυτο & ἀπέσσυτο, & ἀπόσσυτος.

Ἀπεσφακέλισεν. Secundum Grammaticos ſignificat putrefactus eſt, funda emiſit, ignaviter ſe geſſit. Item, repente mortuus eſt. Ariſtophanes vero voce illa uſus eſt pro ἀπεσπάσθη, avulſus eſt.

Ἀπέσφηλεν. Effecit, ut quis ſpe & voto ſuo excideret.

Ἀπέσχαζεν. Hac voce uſus eſt Plato Πρέσβεσι. Et σχᾶν, findere.

Ἀπεσχεδιάζετο. Ex tempore parabatur.

Ἀπεσχοίνισεν. Funiculo ſeparavit. Et Ἀπεσχοινισμένος, privatus. Demoſthenes in oratione contra Ariſtogitonem uſus eſt pro ἀποκεκλεισμένος, excluſus.

Ἀπετάφρευον. Foſſa cingebant. Menander:

---

[1] Μέγας, χνοάζων ἄρτι λευκ.] Hæc ſunt verba Sophoclis in *Oed. Tyr.* pag. 183. ut Portus monuit.

[2] Θουκυδίδης. Λίθοις δὲ καὶ πλ. χρ.] Lib. IV. cap. LXIX. ubi Scholiaſta τὸ ἀπεσταύρουν exponit per χαρακώματα ἐποίουν.

[3] Ἄπεστιν] In prioribus Edit. male excuſum eſt ἀπέστην: cujus loco ἄπεστιν ex MSS. Pariſ. repoſui. Hanc enim veram eſſe lectionem manifeſte probat locus Ariſtophanis, in nota ſequente a nobis citatus, quem Suidas hic interpretatur.

[4] Ἄπεστιν ἐπὶ Θρᾴκης φυλάττων Εὐκράτην] Senarius hic in prioribus Edit. corruptus & mutilus circumfertur, quem ex Ariſtoph. *Lyſiſtrata* pag. 840. emendavimus & ſupplevimus.

[5] Ὁ καλούμενος Στύππαξ] Rationem, quare Eucrates hic Στύππαξ vocatus fuerit, docet Scholiaſta Ariſtoph. ad *Equites* pag. 295.

[6] Ἀπεστώ] Hujus commatis vocabula etiam ſunt Ἀειεστώ, & Εὐεστώ, de quibus vide infra ſuis locis.

[7] Ὕπνος δ' ἀπέστω γλυκ.] Hæc ſunt verba Socratis apud Ariſtoph. *Nubibus* pag. 167. (98. Ed. Baſ. *P.*)

[8] Ὁ δὲ Ἀριστοφάνης ἀντὶ τοῦ ἀπ.] Locus Ariſtophanis, ad quem Suidas hic reſpicit, in ejus dramatibus, hodie ſuperſtitibus, ni fallor, non exſtat.

[9] Δημοσθένης ἐν τῷ κατὰ Ἀριστογ. ἀντὶ τοῦ ἀποκεκλ.] Ex Harpocratione.

[10] Μένανδρος· Οἱ Ῥωμαῖοι γὰρ οὐκ ἀπετ.] Hic locus non exſtat in Excerptis, quæ beneficio Conſtantini Imperatoris ex Menandri

ἀπεταφρεῦον τὸ πρότερον, ὅτι μὴν ἐν ἐπιστήμῃ πάμπαν τὸ τοιόνδε εἶχον πρότερον, ἢ Μαυρίκιον τὸν Παύλου ἡγήσασθαι τοῦ ἑῴου πολέμου. ἐπειδὴ δὲ, ὅτε τὴν στρατηγίαν εἶχεν, ἡγεμονεύσαν αὐτῷ τῆς ἐπὶ τὴν βασιλείαν ἀτραποῦ, τὸ τοιόνδε ῥᾳθυμίᾳ [1] παροφθὲν ἐς τὸ δέον ἐπανήγαγε. Ῥωμαίοις γὰρ μὴ βουλομένοις ἦν τὸ χρῆμα, καὶ εἰς λήθην κατώλισθεν. πόνος γὰρ ὄκνῳ πολέμιος.

Ἀπετέμετο. περιέκοψε. διεχώρισε. Καὶ ἀνύσας ἐπὶ τὸν ἰσθμὸν τῶν Σινωπέων, ἀπετέμετο τοὺς ἐν τῇ χώρᾳ πάντας.

Ἀπετείχιζον. ἀπεχώριζον. ἀπεκώλυον.

Ἀπετιμήσατο. [2] ἀντὶ τοῦ ἀποτίμημα ἔλαβεν. οὕτως Δημοσθένης. καὶ Ἀποτίμησις, τὸ ἀποτίμημα.

Ἀπετίννυον. ἀπεδίδουν.

Ἀπέτισεν. ἀπέδωκεν.

Μοσχίῳ δ' ἀπέτισεν ὁ θὴρ ἀνθ' αἵματος αἷμα
Βληθείς.

Ἀπέτηλον. ἐν [3] Ἐπιγράμματι·

Καὶ ταύτην ἀπέτηλον ἁλινήκτειραν ἐλαίην.

Ἀπετμήθη. ἀπεκόπη.

Ἀπετρίψαντο. ἀπελογήσαντο. οἱ δὲ πρὸς ἕκαστον τῶν ἐγκαλουμένων οὐ μόνον ἀπετρίψαντο τὰς διαβολὰς, ἀλλὰ καὶ τιμηθέντες ἐπανῆλθον εἰς τὴν οἰκίαν.

Ἀπετρύετο. κατεδαπανᾶτο. Καὶ [4] περὶ τὰς τῶν δείπνων παρασκευὰς τὸ πολὺ τῶν δημοσίων [5] ἀπετρύετο. Καὶ αὖθις· [6] Εἰ τοῦτον τὸν ἆθλον προὔτεινεν Εὐρυσθεὺς Ἡρακλεῖ, σφόδρα ἂν αὐτὸν ἀπέτρυσεν.

Ἀπεοικός. ἀπρεπές.

Ἀπεσκλήκασιν. ἀπεξηραμμέναι εἰσίν.

Ἀπευθέες. ἄπειροι. ἀπαίδευτοι. καὶ Ἀπευθής. ἄφημος.

Ἀπευθύνει. κολάζει. καὶ Ἀπευθύνοντα, τιμωρίαν ἀπαιτοῦντα. [7] Σοφοκλῆς· Δεσμοῖς ἀπευθύνοντα.

Ἀπεύχομαι. αἰτιατικῇ. καὶ ἀπευκταῖον, καὶ εὐκταῖον διὰ διφθόγγου. Ἀπευκτὸν δὲ, μισητόν.

Ἀπέφλωεν. ἀντὶ τοῦ [8] ἀπέφησε. Μένανδρος.

Ἀπέφθου [9] χρυσίου. τουτέστι τοῦ πολλάκις ἑψηθέντος, ὥστε γενέσθαι ὄβρυζον. [10] Χρυσί' ἄπεφθά τε τοῖς [11] Παταικοῖς ἐμφερῆ.

Ἀπεφλαύριζεν. ἐκάκιζεν. Ὁ δὲ τούτοις ἀντεπαραλ-

Romani antea [*caſtra ſua*] *foſſis non muniebant, nec rei ejus rationem ullo modo norant, antequam Mauricius, Pauli filius, in Oriente belli dux conſtitueretur. Ille vero ad dignitatem ducis evectus, quæ ipſi poſtea viam ad Imperium paravit, rem illam, per ſocordiam diu intermiſſam, in uſum revocavit. Romanis enim moleſtiam & laborem ſubterfugientibus, res illa in deſuetudinem abierat. Labor enim ignaviæ & pigritiæ inimicus eſt.*

Ἀπετέμετο. Circumcidit. Diremit. Separavit. *Cum in Sinopenſium Iſthmum perveniſſet, incolas ejus regionis omnes commeatu intercluſit.*

Ἀπετείχιζον. Muro ſeparabant. Intercludebant.

Ἀπετιμήσατο. Pignus dotis accepit. Sic Demoſthenes. Et Ἀποτίμησις, pignus, [quod maritus pro dote dare tenebatur.]

Ἀπετίννυον. Reddebant.

Ἀπέτισεν. Reddidit. Rependit. *Fera novello germine percuſſa ſanguinem pro ſanguine reddidit.*

Ἀπέτηλον. Foliis carentem. In Epigrammate:

Et hanc foliis carentem & in ſale natantem olivam.

Ἀπετμήθη. Reſectus eſt. Amputatus eſt.

Ἀπετρίψαντο. Se purgarunt. Crimina diluerunt. *Illi vero ad ſingula crimina reſpondentes non ſolum calumnias refutarunt, ſed etiam honorati domum redierunt.*

Ἀπετρύετο. Conſumebat. Abſumebat. *Et ſumptuoſis cœnis magnam publicæ pecuniæ partem abſumebat.* Et iterum: *Si Euryſtheus hoc certamen Herculi propoſuiſſet, maxime eum vexaturus fuiſſet.*

Ἀπεοικός. Indecorum.

Ἀπεσκλήκασιν. Exſiccati ſunt. Arefacti ſunt.

Ἀπευθέες. Imperiti. Indocti. Et Ἀπευθὴς, Inglorius. Obſcurus.

Ἀπευθύνει. Punit. Corrigit. Et Ἀπευθύνοντα, pœnas exigentem. Sophocles: *Vinculis punientem.*

Ἀπεύχομαι. Abominor. Accuſativo jungitur. Et Ἀπευκταῖον & εὐκταῖον per diphthongum ſcribitur. Ἀπευκτὸν vero, odioſum, infauſtum.

Ἀπέφλωε. Pro ἀπέφησε, negavit. Menander.

Ἀπέφθου χρυσίου. Auri ſæpe excocti, donec obryzum fiat. *Fruſta auri puriſſimi Patæcis ſimilia.*

Ἀπεφλαύριζεν. Vituperabat. Contemnebat.

---

hiſtoria hodie ſuperſunt, & inter Eclogas de Legationibus ab Hœſchelio edita ſunt.

[1] Παροφθὲν] Sic recte habent non ſolum MSS. Pariſ. ſed etiam Editio Mediolanenſis. In Edit. vero Baſ. & Genev. per negligentiam typographorum excuſum eſt παρθὲν, pro quo Portus conjectura haud ſane felici παρωσθὲν reponendum putabat.

[2] Ἀπετιμήσατο. ἀντὶ τοῦ ἀποτ.] Vide infra v. Ἀποτιμηταί, & v. Ἐνετιμᾶτο.

[3] Ἐν Ἐπιγράμματι] Anthol. lib. VI. cap. VII. Epigr. XII. ut Portus monuit.

[4] Καὶ περὶ τὰς τῶν δείπνων παρασκ. τὸ πολὺ τῶν δημοσίων ἀπετρ.] Hæc in prioribus Edit. deſunt, quæ nunc demum ex 2 MSS. Pariſ. revocavi. Depromptum eſt autem hoc fragmentum ex Collectaneis Conſtantini, a Valeſ. editis, pag. 814. idemque repetitur infra v. Βιτέλλιος, & v. Ἡρεῖτο.

[5] Ἀπετρύετο] Sic etiam ſcriptum eſt infra v. Βιτέλλιος, & v. Ἡρεῖτο. Sed in Collectaneis Conſtantini rectius, ut puto, legitur ἀπετρώγετο.

[6] Εἰ τοῦτον τὸν ἆθλον πρ.] Hæc ſunt verba Nicolai Damaſceni apud Conſtantinum in Collectaneis a Valeſ. editis, pag. 421.

[7] Σοφοκλῆς· Δεσμοῖς ἀπευθ.] In *Ajace* v. 72. ut Portus obſervavit.

[8] Ἀπέφησε] Sic habent MSS. Pariſ. In prioribus vero Edit. legitur ἀντεῖπεν.

[9] Ἀπέφθου χρυσίου. τουτέστι πολλ. ἑψηθ. ὥστε χρυσὸν ὄβρυζον] Hæc ſunt verba Scholiaſtæ Thucydidis ad lib. II. cap. XIII. pag. 93.

[10] Χρυσί' ἄπεφθά τε τοῖς Πατ.] Ut ſenarius ſit ἀρτίπους, lege, Καὶ χρυσί' ἄπεφθα τοῖς Παταικοῖς ἐμφερῆ. Quænam ſit autem Poetæ anonymi mens ex tam brevi & obſcuro fragmento colligere non poſſumus.

[11] Παταικοῖς] An Παταΐκοις? Vide infra voce Πάταικοι.

τε, καὶ ἀπεφλαύριζε τὰ λεγόμενα. Καὶ αὖθις· [1] Περιεφρόνησε δὲ ὅμως αὐτὸν καὶ ἀπεφλαύριζεν.

Ἀπέφρησαν. ἀφεῖσαν.

Ἀπεφρύγοντο. Οἱ δὲ ὑφ' ἡδονῆς ἀπεφρύγοντο, πρός τε τὸ μέλος, καὶ τὴν συνθήκην, κακῶς ἑαυτοὺς ἐπιτρίβοντες, φληνάφους διαπλέκοντες, καὶ ἀποπεραίνοντες, ὑφ' ἡδονῆς ἀπεφρύγοντο.

Ἀπεχειρίσθη. τὴν χεῖρα ἀφῃρέθη. Ὃς μετὰ πολλὰς αἰκίας καὶ στρεβλώσεις ἀπεχειρίσθη τὴν δεξιάν.

Ἀπεχθάνομαί σοι. καὶ Ἀπεχθάνοντο, ἐμισοῦντο. καὶ Ἀπέχθεσθαι. λέγουσι δὲ καὶ Ἀπεχθάνεσθαι.

Ἀπέχθεια. μῖσος. καὶ Ἀπεχθὴς, ἐχθρός. μισητός. καὶ Ἀπεχθησόμενος, ἀντὶ τοῦ ἐχθρὸς γενησόμενος. Ἤδει γὰρ ὁ Ἀντήνωρ ἀπεχθησόμενος τῷ τοῦ βασιλέως υἱεῖ. καὶ Ἀπεχθήσω, μισήσω.

Ἀπ' ἐχθρῶν πολλὰ μανθάνουσιν οἱ σοφοί. ἡ γὰρ εὐλάβεια σώζει πάντας. παρὰ μὲν φίλου, οὐ μάθοις ἂν τοῦτ'. ὁ δ' ἐχθρὸς αὐτὸς ἐξαναγκάσει. Καὶ [2] Μένανδρος· Οὐχ ὅθεν ἀπωλόμεθα, σωθείημεν ἂν παρὰ τῶν ἐχθρῶν; φοβούμενοι γὰρ τοὺς ἐχθροὺς, ὠφελούμεθα παρ' αὐτῶν· ἔκ τε τῶν ἐχθρῶν πολλὰ χρήσιμα διδασκόμεθα πρὸς φυλακὴν καὶ πρόνοιαν. αὐτίχ' αἱ πόλεις παρ' ἀνδρῶν ἔμαθον ἐχθρῶν κ' οὐ φίλων ἐκπονεῖν θ' ὑψηλὰ τείχη, ναῦς τε κεκτῆσθαι μακράς. τὸ δὲ μάθημα τοῦτο σώζει παῖδας, οἶκον, χρήματα.

Ἀπέχω. αἰτιατικῇ. ἀντὶ τοῦ ἀπέλαβον. Ὡς ἀπέχομέν γε τὴν χάριν, εἰ δή τις ὀφείλεται καὶ νεωτέρῳ παρὰ ἀδελφοῦ πρεσβύτου τοῦ πείθεσθαι χάρις. Καὶ αὖθις ἐν Ἐπιγράμματι· [3] Τὸ χρέος ἀπέχεις, Ἀσκληπιὲ, τὸ πρὸς γυναικὸς Δημοδίκης. καὶ Ἀπέχω τὰ τροφεῖα. Ἀπέχομαι δὲ, γενικῇ. Εἰ γὰρ ὁ Ἀδὰμ ἀπέσχετο τοῦ ξύλου τῆς γνώσεως.

Ἀπεχώρησεν. Ὁ [4] δὲ παρὰ Μάννον ἀπεχώρησε, δεξιάς τε παραβὰς, ἃς βασιλεῖ ἔδωκε, καὶ ὅρκους πατήσας, οὓς ὤμοσεν.

Ἀπεχρᾶτο. Ἡρόδοτος μὲν ἀντὶ τοῦ ἀρκεῖν ἡγοῖτο. Θουκυδίδης δὲ Ἀπεχρῶντο, ἀντὶ τοῦ ἀνῄρουν.

Ἀπέχρη. ἤρκει.

Ἀπεχρήσατο. ἀπέκτεινε. καὶ Ἀπεχρήσαντο, διεχρήσαντο, καὶ ἀπέκτειναν. Λημνίαις Ἀριστοφάνης·

Τοὺς ἄνδρας ἀπεχρήσαντο τοὺς παιδοσπόρους.

Ἀπέχρησε δὲ, ἐχρησμοδότησεν. Καὶ τρὶς οὐχ ἅπαξ ἀπέχρησέν οἱ, Τυρίοις εἰπεῖν ἀποστῆναι τῶν ἀμφὶ Δαρεῖον. Σημαίνει δὲ τὸ Ἀπέχρησε καὶ τὸ ἐξήρκεσεν.

Ille vero his reſiſtebat, & quæ dicebantur cum contemptu elevabat. Et iterum: *Ipſum tamen contemnebat & nihili faciebat.*

Ἀπέφρησαν. Aſportarunt. Dimiſerunt.

Ἀπεφρύγοντο. Torrebantur. Flagrabant. *

* * * * *

Ἀπεχειρίσθη. Manu truncatus eſt. *Qui poſt multos cruciatus & tormenta manu dextra truncatus eſt.*

Ἀπεχθάνομαί σοι. Tibi ſum odioſus. Et Ἀπεχθάνοντο, odioſi erant. Et Ἀπέχθεσθαι, ſive Ἀπεχθάνεσθαι, odioſum eſſe.

Ἀπέχθεια. Odium. Et Ἀπεχθὴς, inimicus, odioſus. Et Ἀπεχθησόμενος, inimicus futurus. *Sciebat enim Antenor ſe Regis filio odioſum fore.* Et Ἀπεχθήσω, odio proſequar.

Ἀπ' ἐχθρῶν πολλ. *Ab inimicis multa diſcunt ſapientes. Cautionem enim, quæ omnibus ſaluti eſt, nemo ab amico didicerit. Sed inimicus nos cautos eſſe cogit.* Menander: *Nonne inimici, qui nos perdiderunt, nobis ſalutis cauſa erunt? Dum enim inimicos timemus, utilitatem ex illis percipimus; & ab iiſdem multa diſcimus, quæ nos cautos & providos reddunt. Ne longe abeamus, urbes profecto ab inimicis, non ab amicis didicerunt excelſos muros exſtruere, & naves longas ſibi comparare. Hæc autem ſcientia liberos, familiam & opes conſervat.*

Ἀπέχω. Recepi [mercedem vel præmium.] Accuſativo jungitur. *Relata eſt nobis gratia: ſimodo fratri juniori a ſeniore pro obſequio gratia debetur.* Et in Epigrammate: *En habes debitum, Æſculapi, quod pro uxore Demodice [Aceſon debuit.]* Et Ἀπέχω τὰ τροφεῖα, præmia educationis reddita mihi ſunt. Ἀπέχομαι vero, abſtineo, genitivo jungitur. *Si enim Adam abſtinuiſſet ab arbore ſcientiæ.*

Ἀπεχώρησαν. Abiit. *Ille vero ad Mannum abiit, violata fide, quam Regi dederat, & ſpreto jurejurando, quo ſeſe obſtrinxerat.*

Ἀπεχρᾶτο. Apud Herodotum hæc vox ſignificat, ſatis eſſe putabat. Thucydides vero τὸ Ἀπεχρῶντο accepit pro ἀνῄρουν, i. e. interfecerunt.

Ἀπέχρη. Sufficiebat.

Ἀπεχρήσατο. Interfecit. Et Ἀπεχρήσαντο, interfecerunt. Ariſtophanes *Lemniis*: *Viros interfecerunt liberorum ſatores.* Ἀπέχρησε vero, oraculum edidit, reſpondit. *Ter autem, non ſemel, ab oraculo juſſus eſt Tyriis dicere, ut a Dario deficerent.* Ἀπέχρησε etiam ſignificat, ſufficit, ſatis fuit. *Deinde, non ſatis ipſi fuit hoſtes viciſſe, ſed etiam Apollinis templum ſpoliaſſe.*

---

[1] Περιεφρόνησε δὲ ὅμως αὐτὸν καὶ ἀπεφλ.] Hæc ſunt verba Menandri in *Excerpt. Legat.* pag. 104.

[2] Μένανδρος· Οὐχ ὅθεν ἀπωλόμεθα, σωθ.] Elegans hoc fragmentum non memini me legiſſe in Excerptis, quæ ex Menandro Conſtantinus nobis conſervavit. Quare ex integra ejus hiſtoria locum hunc deſcripſerit Suidas.

[3] Τὸ χρέος ἀπέχεις, Ἀσκληπιὲ, τὸ πρὸς γυν.] Locus hic emendandus & ſupplendus eſt ex Anthologia inedita, ex qua integrum Epigramma Callimachi, cujus verba iſta pars ſunt, hic ſubjiciam:

Τὸ χρεῖος ὡς ἀπέχεις, Ἀσκληπιὲ, τὸ πρὸ γυναικὸς
Δημοδίκης Ἀκέσων ὤφελεν, εὐξάμενος,
Γινώσκειν· ἢν δ' ἄρα λάθῃ, καὶ μή μιν ἀπαιτῇς,
Φησὶ παρέξεσθαι παρθενίην ὁ πίναξ.

Idem Epigramma editum eſt ab amiciſſimo Bentleio ad Callimachum, pag. 228.

[4] Ὁ δὲ παρὰ Μάννον ἀπεχ.] Idem fragmentum repetitur infra v. Δεξιός.

Εἶτα οὐκ ἀπέχρησέν οἱ κρατῆσαι τῶν ἐχθρῶν, ἀλλὰ καὶ τὸν νεὼν τοῦ Ἀπόλλωνος ἐσύλησε. Καὶ αὖθις· Ἀπέχρησε μὲν οὖν καὶ ταῦτα κάκιστα ἀνθρώπων ἀπολέσαι αὐτόν.

Ἀπεψησάμην. [1] κατεμαξάμην. Ἀποψᾶν γὰρ λέγουσι τὸ ἐκμάσσειν. καὶ Ἀπέψησαν. ἀπέμαξαν.

Εἰ [2] δέ που πέσοιεν εἰς τὸν ὦμον ἐν μάχῃ τινί,
Τοῦτ' ἀπεψήσαντ' ἄν.

τοῦτο [3] ψευδόπτωμα λέγεται, ὅταν οἱ πεσόντες ἐξαναστάντες ἀποψῶσι τὴν κόνιν, ἵνα μὴ ἔλεγχον τοῦ πτώματος ἔχοιεν. Καὶ ἐν Πλούτῳ· Ἀποψώμεθα δ' οὐ λίθοις ἔτι. καὶ [4] Ἀπεψήσας, ἑφθὸν ποιήσας. ἢ ἀντὶ τοῦ καινουργήσας. [5] Ἀριστοφάνης·

Τὸν δῆμον ἀπεψήσας ὑμῖν, καλὸν ἐξ αἰσχροῦ πεποίηκας.

ἀντὶ τοῦ, ἐκαινούργησας. ὥσπερ ἡ Μήδεια λέγεται τὰς τροφοὺς τοῦ Διονύσου ἀπεψήσασα [6] ἀνανεάσαι ποιῆσαι.

Ἀπεψηφίσατο. τουτέστι κατεδίκασεν. Ἡ δὲ βουλὴ τὴν διάγνωσιν ποιουμένη τῶν πεπραγμένων, ἀπεψηφίσατο τοῦ ἀνθρώπου, ἐπεὶ αὐτοῦ οὐκ ἐπελθόντος, ἀλλ' ἀμυνομένου τὸ μίασμα γέγονε. Καὶ αὖθις· Τῶν δὲ στρατηγῶν δύο μὲν ἔφυγον πρὸ κρίσεως. Κόνωνος δὲ ἀπεψηφίσαντο. [7] ἀντὶ τοῦ, ἀπεδοκίμασαν. καὶ Ἀπεψηφισμένοι. † [8] Ἐπὶ τοῖς δήμοις ἀποψηφίσεις ἐγένοντο τῶν γεγραμμένων μὲν εἰς τὸ ληξιαρχικὸν γραμματεῖον, οὐκ ὄντων δὲ ἀστῶν, ἀλλὰ παρεγγεγραμμένων εἰς τὴν πολιτείαν· καὶ οὗτοι ἐλέγοντο Ἀπεψηφισμένοι· ἐπειδὴ ψήφου περὶ αὐτῆς ἐπαχθείσης, οὐκέτι μετεῖχον τῆς πολιτείας. Ὑπερείδης ἐν τῷ πρὸς Ἀριστογείτονα· Ὅπως πρῶτον μὲν μυριάδας πλείους ἢ δεκαπέντε, τοὺς ἐκ τῶν ἔργων τῶν ἀργυρείων, καὶ τοὺς κατὰ τὴν ἄλλην χώραν· ἔπειτα τοὺς ὀφείλοντας τῷ δημοσίῳ, καὶ τοὺς ἀτίμους, καὶ τοὺς ἀπεψηφισμένους, καὶ τοὺς ἀποίκους.

Ἀπέψον. τὸ ἕψον. διὰ τοῦ ο μικροῦ. Ἀπέψων δὲ, τὸ ἀπεσπόγγιζον, διὰ τοῦ ω μεγάλου.

Ἀπεψωλημένοις. ἐν τῷ Ἀκράτεια.

Ἄπει. ἀντὶ τοῦ ἀπελεύσῃ. Σοφοκλῆς.

Ἀπεῖδεν. Ὁ δὲ στρατηγὸς, ἐπεὶ ἀπεῖδεν εἰς αὐτὸν ὀργῇ διακεκαυμένος, θανάτῳ τὸν Γέτην ἐκόλασεν. ἀντὶ τοῦ, μετὰ δριμύτητος ἐθεάσατο.

Ἀπειθεῖν. δοτικῇ. ἀπιστεῖν. καὶ [9] Ἀπιθὴς, οὐ μόνον ἐπὶ τοῦ δυσπειθοῦς ἀνθρώπου, ἀλλὰ καὶ ἐπὶ τόπου. Αἰλιανός· [10] Οἱ γὰρ Ῥωμαῖοι, ἔνθα ἂν τοῖς ἐχθροῖς ἐνέτυχον, ἐνταῦθα δήπου καὶ ἠγωνίζοντο, εἴτε εἶεν ἀπιθεῖς οἱ τόποι καὶ τραχεῖς, εἴτε καὶ εὐφυεῖς δέξασθαι ὁπλίτας, καὶ εὐήλατοι.

vit. Et iterum: *Vel hæc ſuffeciſſent ad eum peſſime perdendum.*

Ἀπεψησάμην. Abſterſi. Ἀποψᾶν enim ſignificat abſtergere. Et Ἀπέψησαν, abſterſerunt, excuſſerunt. *Nam ſi forte in aliqua pugna in humerum cecidiſſent, id illico abſtergebant.* Hoc ψευδόπτωμα vocant: cum nimirum illi, qui ceciderunt, illico ſurgentes, abſtergunt pulverem, ne ejus indicio cecidiſſe arguantur. Et in *Pluto*: *Lapidibus autem nos non amplius abſtergimus.* Et Ἀπεψήσας, qui recoxit, vel renovavit. Ariſtophanes: *Populum recoctum ex deformi & turpi pulchrum reddidiſti.* Id eſt, renovaſti. Sicut Medea Bacchi nutrices recoctas juventuti reſtituiſſe dicitur.

Ἀπεψηφίσατο. Sententiam contra aliquem tulit. [Item, abſolvit.] *Senatus vero cum de iis, quæ geſta erant, cognoviſſet, hominem abſolvit, quod eo vim non inferente, ſed propulſante piaculum commiſſum fuiſſet.* Et iterum: *E ducibus duo ante judicium aufugerunt. Cononem vero abſolverunt.* Et Ἀπεψηφισμένοι, ex albo civium eraſi. † Populi Atticæ ſuffragiis ſuis jure civitatis eos privabant, qui, cum cives non eſſent, Albo civium per fraudem inſcripti erant. Et hi dicebantur Ἀπεψηφισμένοι: quoniam ſuffragio contra eos lato, jure civitatis privabantur. Hyperides in oratione contra Ariſtogitonem: *Primum quidem numerum centies & quinquagies mille hominum exceſſiſſe ſciatis eos, qui argenti metalla exercent, & per aliam regionem ſparſi ſunt; deinde, ærario debentes, & ignominia notatos, & ex Albo civium expunctos, & colonos.*

Ἀπέψον. Per ο parvum, coquebant. Ἀπέψων vero, per ω magnum, ſpongia abſtergebant.

Ἀπεψωλημένοις. Recutitis. Quibus glans veretri nudata eſt. Vide in v. Ἀκράτεια.

Ἄπει. Pro ἀπελεύσῃ, abibis. Sophocles.

Ἀπεῖδεν. Torve intuitus eſt. *Imperator vero, cum ira ardens torvis oculis eum aſpexiſſet, Getam morte mulctavit.*

Ἀπειθεῖν. Dativo jungitur. Aliquid non credere. Et Ἀπειθὴς non ſolum dicitur de homine, cui difficulter aliquid perſuadetur, ſed etiam de loco [iniquo & adſcenſu difficili.] Ælianus: *Romani enim, ubicunque in hoſtes incidiſſent, illic pugnabant, ſive locus iniquus eſſet & aſper, ſive militibus armatis recipiendis aptus, & equitabilis.*

---

[1] Ἀπεψησάμην. κατεμαξάμην. Ἀποψᾶν γὰρ λέγουσι τὸ ἐκμ.] Hæc ſunt verba Scholiaſtæ Ariſtoph. ad *Ranas*, pag. 235.

[2] Εἰ δέ που πέσοιεν εἰς τὸν ὦμον ἐν μ.] Hæc ſunt verba Ariſtoph. *Equit.* pag. 322. quæ etiam leguntur infra v. Ψευδόπτωμα.

[3] Τοῦτο ψευδ. λέγεται. ὅταν οἱ πεσ. ἐξαν. ἀποψ. τὴν κόνιν, ἵνα μὴ ἐλ. τοῦ πτ. ἔχοιεν] Hæc ſunt verba Scholiaſtæ ad modo indicatum locum Ariſtophanis.

[4] Ἀπεψήσας, ἑφθ.] Scribe ἀφεψήσας, ab ἀφεψεῖν, idque ſuo loco redde. Hæc enim ad vocem ἀπεψησάμην minime pertinent.

[5] Ἀριστοφάνης] *Equit.* pag. 361. (255. Ed. Baſ. *P.*) ubi recte legitur ἀφεψήσας. Vide ibi veterem Enarratorem.

[6] Ἀνανεάσαι ποιῆσαι] Sic recte habet unus MS. Pariſ. & Scholiaſta Ariſtoph. loco laudato. In prioribus vero Edit. legitur ἀνανεῶσαι ποιήσουσι.

[7] Ἀντὶ τοῦ, ἀπεδοκίμασαν] Non aſſentior hic Suidæ de interpretatione vocis ἀπεψηφίσαντο. Videtur enim potius in fragmento, quod adducit, accipiendum eſſe pro *abſolverunt*.

[8] Ἐπὶ τοῖς δήμοις ἀποψηφ.] Vide Schol. Ariſtoph. ad *Veſp.* pag. 483. & infra v. Ἀποψηφισθέντες.

[9] Ἀπιθὴς, οὐ μόνον ἐπὶ τοῦ δυσπ.] Vide infra v. Ἀπιθής.

[10] Οἱ γὰρ Ῥωμαῖοι, ἔνθα ἂν τοῖς ἐχθρ.] Vide infra v. Ἐνέτυχον.

Ἀπειθῶ. δοτικῇ. δίφθογγον. [1] Ἀπιθῶ δὲ, παρεσπασμένως, ὡς τό·

[2] Ὦι δρύες οὐκ ἀπίθησαν, ὅτῳ συνάμ' ἕσπετο πέτρη
Ἄψυχος.

Ἀπείκασμα. ὁμοίωμα.

Ἀπεικός. ἄτοπον. ἀπρεπές.

Ἀπειλή. ἡ ὀργή.

Ἀπειλημμένος. κεκρατημένος.

Ἀπειλητῆρες. [3] καυχηταί. καὶ Ἀπειλῶν, δοτικῇ. καυχώμενος.

Ἀπείπατο. ἀπηρνήσατο. Ὁ δὲ τὴν πατρίδα ἀπείπατο, καὶ Θούριος ἀνερρήθη. καὶ Ἀπεῖπεν, ἀπηγόρευσεν. ἀπεφήνατο. Ὁ δὲ ἀπεῖπεν ἅπασιν μήτε ἄριστον αἱρεῖσθαι, μήτε ἀποδαρθεῖν, μήτε ἀποθωρακίσασθαι τῶν πάντων οὐδένα. καὶ Ἀπειπεῖν, ἀντὶ τοῦ κελεῦσαι μὴ πράττειν. Λυσίας ἐν τῷ κατὰ Κτησιφῶντος. [4] Καὶ τοὺς μὲν τῶν ἄλλων Ἀθηναίων παῖδας, ὧν οἱ πατέρες βοηθήσαντες ὑμῖν ἔτι ζῶσι, ἀπειπεῖν ἐν τοῖς νόμοις μήτε ἄδικον, μήτε δίκαιον λέγειν. καὶ Ἀπειπεῖν, ἀντὶ τοῦ ἀποκαμεῖν καὶ ἀδυνατῆσαι. ἢ Ἀπειπεῖν, ἀπαρνήσασθαι, ἀποποιήσασθαι φιλίαν. Καὶ ἀπειπάμενοι τὴν χάριν καὶ τὴν δωρεὰν διὰ τὸ γεγονὸς παρασπόνδημα.

Ἀπειπών. ἐντειλάμενος. Ἀπειπὼν μηδενὶ φράζειν τὸ γεγονός. καὶ Αἰλιανός· Ὀλίγοι μὲν ἀπεῖπον πεμφθῆναί οἱ τὸν θρίαμβον. ἢ Ἀπειπών. ἀποκαμών. ἀπαγορεύσας. Ὀρρωδοῦντες, μή τις αὐτῶν ἀπειπὼν τοῖς παροῦσι, κίνδυνον ἀναρρίψας ὑπαναφθῆναι δυνηθῇ πρῶτος ὧν ὅσπερ ἔμελλε δικαιώσειν αὐτούς.

Ἀπειπών. ἀπαρνησάμενος, παραιτησάμενος. Οὐκ ἂν ἔφησεν ἅψασθαι τροφῆς, εἰ μὴ τὸν φόνον τὸν βαρβαρικὸν ἱστορήσειεν. ὁ δὲ ἀπειπὼν τὴν εὐωχίαν συνηπείγετο πρὸς τὴν θέαν.

Ἀπείρατον. ἀδοκίμαστον. Οὐκ ἀπείρατον αὐτῷ ἔδοξεν ἐκλιπεῖν, εἴ πῃ ὁ Χοσρόης γνωσιμαχήσας [5] ἀποδύσεται τοῖς ἐκ Ῥωμαίων τε καὶ αὐτοῦ ξὺν δίκῃ ἀξιουμένοις.

Ἀπειργάσθαι. ἀντὶ τοῦ ἀποδεδεῖχθαι. Ξενοφῶν.

Ἀπειραίη. [6] ἡ ἄποθεν παροῦσα. Ἠπειρωτική.

Ἀπειρέσια. ἄπειρα τῷ πλήθει.

Ἀπείρηκα. δοτικῇ. κέκμηκα. Ὁ δὲ ἀμφὶ τὴν ἐσχάτην πορείαν τοῦ βίου ὢν ἐγεγηράκει, καὶ ἀπειρηκέναι τοῖς πόνοις ἐδόκει. Καὶ αὖθις· [7] Διά τοι τοῦτο ἀπειρήκασι Μῆδοι τῶν εἰρηναίων σπονδῶν, καὶ πάλιν αὐτοῖς ἀναζωπυρεῖται τὸ φιλοπόλεμον.

Ἀπειθῶ. Parere recuſo. Dicitur etiam ἀπιθῶ, per ι. ut in Epigrammate: *Cui quercus paruerunt, & quem ſecuta eſt rupes inanimata.*

Ἀπείκασμα. Similitudo. Effigies.

Ἀπεικός. Abſurdum. Indecorum. Ineptum.

Ἀπειλή. Minæ. Ira.

Ἀπειλημμένος. Interceptus. Captus.

Ἀπειλητῆρες. Jactatores. Et Ἀπειλῶν, jactans.

Ἀπείπατο. Abnegavit. *Ille vero patriam abnegavit, & Thurius eſt vocatus.* Et Ἀπεῖπεν. Interdixit. Edixit. *Ille vero omnibus interdixit ne pranderent, neve dormirent, nec thoracem quiſquam exueret.* Et Ἀπειπεῖν. Jubere ne quid fiat. Lyſias in oratione contra Cteſiphontem: *Et cæterorum quidem Athenienſium liberis (quorum parentes adhuc vivunt, qui nobis opem tulerunt) leges interdicere, ut nihil vel injuſti vel juſti dicant.* Et Ἀπειπεῖν, moleſtiæ alicui ſuccumbere, nec eam ferre poſſe. Vel Ἀπειπεῖν, abnegare, recuſare. *Et recuſantes beneficium & donum ob violatum fœdus.*

Ἀπειπών. Qui mandavit, [qui interdixit.] *Cum ei interdixiſſet, ne ulli hominum enuntiaret, quod acciderat.* Et Ælianus: *Pauci quidem ei triumphum decernendum eſſe negarunt.* Vel Ἀπειπών, defatigatus, moleſtiis ſuccumbens, animum deſpondens. * * * * * * * * * *

Ἀπειπών. Qui negavit. Qui recuſavit. *Dixit, ſe nihil omnino edere velle, niſi cædem Barbarorum narraſſet. Ille igitur convivium recuſans ad ſpectaculum properavit.*

Ἀπείρατον. Intentatum. Inexploratum. *Placuit ipſi non inexploratum relinquere, an forte Choſroes, agnita ſuarum virium imbecillitate, Romanorum juſtis poſtulatis locum daturus eſſet.*

Ἀπειργάσθαι. Factum eſſe. Effectum eſſe. Xenophon.

Ἀπειραίη. Quæ ex longinqua regione venit. Epirotica.

Ἀπειρέσια. Infinita numero.

Ἀπείρηκα. Dativo jungitur. Defeſſus ſum. Malis confectus ſum. *Ille vero, cum ad extremum vitæ finem perductus conſenuiſſet, laboribus confectus eſſe videbatur.* Et iterum: *Propterea Medi pacem & fœdus recuſarunt, reſuſcitatumque in ipſis eſt bellandi ſtudium.*

---

[1] Ἀπιθῶ δὲ, παρεσπ.] Inepte. Nam & ἀπειθῶ cum circumflexo ſcribitur.

[2] Ὦι δρύες οὐκ ἀπίθησαν, ὅτῳ συνάμ' ἕσπ.] Hæc decerpta ſunt ex Epigrammate in Orpheum, quod legitur Anthol. Lib. III. cap. XXV. Ep. IX. ut Portus etiam obſervavit.

[3] Ἀπειλητῆρες. καυχηταί] Reſpexit Suidas ad locum illum Homeri Il. H. v. 96.

Ὤμοι ἀπειλητῆρες, Ἀχαιΐδες, οὐκέτ' Ἀχαιοί.

Ubi Scholiaſta ait: Ἀπειλητῆρες. καυχηταί. ἀπειλεῖν εἰδότες καὶ ἀπαγγέλλεσθαι. τοὺς δὲ τοιούτους καὶ καυχηματίας λέγουσιν.

[4] Καὶ τοὺς μὲν τῶν ἄλλων Ἀθ.] Loci hujus ſenſus valde obſcurus eſt, quem explanare haud difficile foret, ſi oratio Lyſiana exſtaret, ex qua fragmentum hoc Suidas excerpſit.

[5] Ἀποδύσεται] Vocem hanc ſuſpectam habeo, quippe quæ tam a ſenſu quam conſtructione loci hujus aliena eſt. Mallem ἐνδώσεται. Infra v. Γνωσιμαχῆται, ubi fragmentum hoc repetitur, legitur ἀποδύσεται.

[6] Ἀπειραίη. ἡ ἄποθεν παρ. Ἠπειρ.] Hæc nota referenda eſt ad locum illum Homeri Od. H. v. 8.

Γρηῢς Ἀπειραίη θαλαμηπόλος Εὐρυμέδουσα.

Ubi Scholiaſta ait: Ἀπειραίη. ἄποθεν παροῦσα, Ἠπειρωτική. Ἔστι δὲ ἀντικρὺ τῆς Κερκύρας ἡ Ἤπειρος.

[7] Διά τοι τοῦτο ἀπειρήκασι Μῆδοι τῶν εἰρ. σπονδ.] Hæc ſunt verba Theophyl. Simocattæ lib. III. cap. XV. pag. 83.

Ἀπείρατος. ὁ ἀπέραστος, ὁ ἄπειρος. Ἀπείριτος δὲ, ἡ ἄπειρος, καὶ πολλή.

Ἀπεῖρξεν. ἐκώλυσεν.

Ἀπειροκαλία. ἡ [1] ἀμετρία τοῦ καλοῦ. Οἱ δὲ Ῥωμαῖοι ἤδη κεκρατηκότες ἐπηρμένοι ἦσαν εἰς ἀπειροκαλίαν, καὶ τὰς σφῶν αὐτῶν ἐξέτειναν δυνάμεις ἀνὰ τὴν ἐκείνου Λιβύην. Καὶ αὖθις· Ἀλλ᾽ εἰμὶ λίαν ἀπειρόκαλος, ὡς διαβεβοημένα ἐπιδιηγούμενος.

Ἄπειρος. [2] ὁ ἀμαθής. ἢ ὁ ἀθαλάττωτος, ἀσαλαμίνιος. Ἀριστοφάνης. διὰ τὴν περὶ Σαλαμῖνα ναυμαχίαν. ἢ [3] ὅτι ἡ ἑτέρα τῶν ὑπηρετίδων νεῶν ἐκαλεῖτο Σαλαμινία· ἡ δὲ ἑτέρα, Πάραλος.

Ἄπειροι [4] γύπες. ἐπὶ τῶν διὰ κληρονομίαν ἢ διὰ κέρδος προσεδρευόντων τινί· παρόσον οἱ γύπες τοῖς θνησιμαίοις παρεδρεύουσιν.

Ἄπεισιν. ἀπέρχεται.

Ἀπείσομαι. ἀντὶ τοῦ ἄπειμι.

Ἀπεῖχε. πόῤῥω ἦν. Ὅσον δὴ ἀπεῖχε τοῦ ἐκπεπλῆχθαι βασιλέα τε καὶ ὄγκον, ἐδήλου τῷ μηδὲ ὀφθαλμῶν ἄξια ἡγεῖσθαι τὰ τοιαῦτα.

Ἀπηγγέλη. ἐμηνύθη.

Ἀπῆγεν. ἐκώλυεν. ἀπέτρεπε. [5] Δαμάσκιος· Ὁ δὲ Σαλούστιος ἀπῆγε τοὺς νέους τῆς φιλοσοφίας, δυοῖν τὰ ἕτερα πεπονθώς· ἢ προσκρούσων τοῖς καθηγουμένοις, ἔχθρᾳ τῇ πρὸς ἐκείνους ἐπιβουλεύων ταῖς φιλοσόφοις διατριβαῖς· [6] ἢ τὸ μέγεθος τοῦ ἐπιτηδεύματος λογιζόμενος οἴεσθαι πάντας ἀνθρώπους ἀναξίους εἶναι αὐτοῦ.

Ἀπηγμένους. ἀπαγομένους.

Ἀπήγξατο. βρόχον ἥψατο.

Ἀπηγόρευον. ἀπέκαμνον. ἐταλαιπώρουν. Ἡνίκα γὰρ ἀπηγόρευον τῷ πόνῳ, πάλιν ἑαυτοὺς ἀνελάμβανον.

Ἀπηγορήσομαι. ἀντὶ τοῦ ἀπολογήσομαι.

Ἀπῄεσαν. ἀπήρχοντο. καὶ Ἀπῄει, ἀπήρχετο, ἀνεχώρει. Κανών. Εἴω, τὸ πορεύομαι, διαλύσει εἴω, ἤϊον, ἤϊες, ἤϊκα, ἤϊα, ἠΐειν, καὶ ἐν συνθέσει, ἀπηΐειν, καὶ ἐν συναιρέσει, ἀπῄειν.

Ἀπῆκτο. [7] ἀπῆλθε. καὶ Ἀπηκτὸς, ὁ πορευόμενος.

Ἀπηλλάγησαν. ἐτελεύτησαν. ἤ τινος ἐστερήθησαν. Ἀπηλλάγημεν πολυνόσου νοσήματος.

Ἀπήλαυσε. μετέσχεν. Οὔτε Κλέων, οὔτε Βρασίδας, ὁ τῆς συμφορᾶς αἴτιος, ἀπήλαυσε λοιδορίας,

Ἀπείρατος. Intentatus. Inexpertus. Ἀπείριτος vero, infinitus, immenſus, multus.

Ἀπεῖρξεν. Prohibuit. Arcuit.

Ἀπειροκαλία. Ignorantia decori. Mores inepti. *Romani vero ob victorias inepto faſtu elati copias ſuas per Libyam ei ſubjectam diviſerunt.* Et iterum: *At nimis ſum ineptus, qui pervulgata narrem.*

Ἄπειρος. Imperitus. Ἀθαλάττωτος vero, rerum maritimarum ignarus; quod etiam ſignificat ἀσαλαμίνιος: vel propter prælium navale ad Salamina commiſſum: vel quia una illarum naviũ, quæ ordinariis Reip. uſibus inſerviebant, vocabatur *Salaminia*; altera vero *Paralus*.

Ἄπειροι γύπες. *Infiniti vultures.* In eos, qui hæreditatis vel lucri gratia alicui aſſident, quia vultures circa cadavera verſari ſolent.

Ἄπεισιν. Abit. Diſcedit.

Ἀπείσομαι. Pro ἄπειμι. Abeo.

Ἀπεῖχε. Longe aberat. *Tantum vero aberat, ut Regem ejuſque faſtum admiraretur, ut potius declararet, ejuſmodi res ne viſu quidem dignas eſſe.*

Ἀπηγγέλη. Nuntiatum eſt. Indicatum eſt.

Ἀπῆγεν. Impediebat. Dehortabatur. Deterrebat. Damaſcius: *Saluſtius vero adoleſcentes a philoſophia dehortabatur, alterutra cauſa motus; vel ut philoſophos offenderet, & propter odium, quo eos proſequebatur, congreſſus & ſcholas eorum in contemptum adduceret; vel, quod illius ſtudii amplitudinem reputans omnes eo dignos non eſſe cenſeret.*

Ἀπηγμένους. Abductos.

Ἀπήγξατο. Laqueo ſe ſtrangulavit.

Ἀπηγόρευον. Laboribus conficiebantur. Moleſtiis ſuccumbebant. *Quum enim laboribus confecti & defatigati erant, quiete ſe rurſus reficiebant.*

Ἀπηγορήσομαι. A criminibus objectis me purgabo.

Ἀπῄεσαν. Abierunt. Et Ἀπῄει. Abiit. Regula. Ab εἴω, eo, per dialyſin fit εἴω, ἤϊον, ἤϊκα, ἤϊα, ἠΐειν, & in compoſitione ἀπηΐειν, & per ſynæreſin, ἀπῄειν.

Ἀπῆκτο. Abiit. Et Ἀπηκτὸς, qui abit.

Ἀπηλλάγησαν. Mortui ſunt. Item, ab aliqua re liberati ſunt. *Gravi morbo liberati ſumus.*

Ἀπήλαυσε. Fructum ex aliqua re percepit. *Neque Cleonem, neque Braſidam, calamitatis illius auctorem, Thucydides iratus ſtili male-*

---

[1] Ἡ ἀμετρία τοῦ καλοῦ] Hæc interpretatio vocis ἀπειροκαλία explodenda eſt. Exiſtimavit enim Suidas τὸ ἄπειρος in compoſitione vocabuli iſtius ſignificare *multus, immenſus, immodicus*; cum ſignificet, *imperitus* vel *ignarus*. Ἀπειροκαλία enim dicta eſt quaſi ἀπειρία τοῦ καλοῦ, i. e. ignorantia ejus quod decet & convenit: unde ἀπειρόκαλος Græcis idem ſignificat, quod Latinis *ineptus*.

[2] Ἄπειρος. ὁ ἀμαθής. ἢ ὁ ἀθ.] Locum hunc turbatum & negligenter admodum ex Schol. Ariſtoph. ad *Ranas* pag. 221. excerptum, ſic leges & in integrum reſtitues: Ἄπειρος, ὁ ἀμαθής. Ἀριστοφάνης·

Ἄπειρος, ἀθαλάττωτος, ἀσαλαμίνιος.

Ἀθαλάττωτος, ὁ μὴ ναυτικός. ταυτὸν δὲ σημαίνει τὸ ἀσαλαμίνιος· ἢ διὰ τὴν περὶ Σαλαμῖνα ναυμαχίαν &c. Sic clara omnia & plana erunt.

[3] Ὅτι ἡ ἑτέρα τῶν ὑπηρετίδων ν.] Vide infra v. Πάραλος.

[4] Ἄπειροι γύπες] Diogenianus Centur. II. Adag. LXXXVIII. habet Ἅπερ οἱ γύπες, quod Eraſmus ſecutus eſt, vertitque, *vulturum ritu*.

[5] Δαμάσκιος] Hæc vox a prioribus Edit. abeſt, quam ex MSS. Pariſ. revocavi. Cæterum, fragmentum hoc non legitur in Excerptis ex Damaſcio apud Photium: unde id ex integro Damaſcii opere deſcripſerit Suidas.

[6] Ἢ τὸ μέγεθος τοῦ ἐπιτ.] Senſus & conſtructio verborum requirunt ut legatur, ἢ τῷ τὸ μέγεθος τοῦ ἐπιτηδεύματος λογιζόμενον οἴεσθ.

[7] Ἀπῆκτο] Portus legendum putat ἀπῖκτο, Ionice pro ἀφῖκτο: quod non repudio.

ὡς ἂν τοῦ συγγραφέως ὀργιζομένου. [1]Μαρκελλῖνός φησι περὶ Θουκυδίδου.

Ἀπήλγησαν. Ὁ δὲ δῆμος ἅπαξ ἀπήλγησαν τὸ πάθος εὐθύς, καὶ ξὺν οἰμωγῇ ἀνέκραγον οὐράνιον ὅσον. ἀντὶ τοῦ, ᾠκτίσαντο.

Ἀπηλεγής. ὁ ἀπότομος. καὶ Ἀπηλεγέως, σκληρῶς.

Ἀπηλιανός. ὄνομα κύριον.

Ἀπηλιαστής.[2] μισόδικος. παρὰ Ἀριστοφάνει.

Ἀπηλιώτης. ὁ ἄνεμος. ἐν τῷ η. καὶ ἀντήλιος, καὶ πάντα τὰ ὅμοια, ψιλῶς. καὶ ἡ ἔπηλις ἐστὶ παρὰ Ποσειδίππῳ.

Ἀπηλοημένος.[3] ὁ ἀπὸ τῆς ἅλω συγκεκομισμένος μετὰ τὸ ἀλοηθῆναι, ὅ ἐστι πατηθῆναι. οὕτω Δημοσθένης ἐν τῷ πρὸς Φαίνιππον.

Ἀπηλοίησεν,[4] ἀπέκοψεν. Ἀπηλλοίωσε δέ, ἀλλοῖον ἐποίησεν.

Ἀπήμαντον. ἀβλαβές.

Ἀπημείφθη. ἀντὶ τοῦ ἀπεκρίνατο.

Ἀπήμονα. ἀβλαβῆ. [5]Ὅμηρος·

Τοὺς δ' εὗρ' οὐκέτι πάμπαν ἀπήμονας, οὐδ' ἀνολέθρους.

συλληπτικῶς [6]πέφρακεν, ἀντὶ τοῦ τοὺς μὲν μὴ ἀπήμονας, τοὺς τετρωμένους· τοὺς δὲ μὴ ἀνολέθρους, τοὺς [7]ἀνῃρημένους. πῆμα δὲ ἡ βλάβη, παρὰ τὸ πήθω τὸ πάσχω. τὰ δὲ εἰς α λήγοντα οὐδέτερα τετραχῶς συντίθεται. ἢ γὰρ φυλάσσουσι τὸ αὐτὸ τέλος, ὡς τὸ δῆμα, διάδημα· ἢ ἀπὸ γενικῆς παράγονται, ὡς γράμμα, γράμματος, ἐγγράμματος· ἢ τρέπουσι τὸ τέλος εἰς ος, ὡς στόμα, χρυσόστομος· ἢ τρέπουσι τὸ τέλος εἰς ων, ὡς τὸ εἷμα, λευχείμων, καὶ πῆμα, ἀπήμων.

Ἀπηνέμους. μὴ ἔχοντας ἀνέμους.

Ἀπηνεώθη. ὠμὸς ἐγεγόνει.

Ἀπηνέστερον. ἀποτομώτερον. Οὐκ ἔστιν ἀπηνὲς οὐδὲ μὴν σφαλερὸν ἐφ' ἑαυτοῦ τὸ πήδημα. καὶ ἔδρασεν ὅπερ εἶπεν.

Ἀπήνεια. ἡ ἀπανθρωπία.

Ἀπήνη. ἡ ἅμαξα. [8]Χωρὶς γὰρ τοῦ περὶ τὸ σῶμα καὶ τὴν ἀπήνην κόσμου, καὶ τὰ κανᾶ, καὶ τὰ ποτήρια, καὶ τἄλλα τὰ πρὸς θυσίαν ἀργυρᾶ πάντα καὶ χρυσᾶ συνεξηκολούθει κατὰ τὰς ἐπιφανεῖς ἐξόδους Αἰμιλίᾳ, τῇ τοῦ Σκιπίωνος γαμετῇ.

Ἀπηνήνατο. ἀπηρνήσατο. παρῃτήσατο. οὐκ ἠθέλησεν.

dicentia ultus eſt. Sic Marcellinus de Thucydide ait.

Ἀπήλγησαν. Miſerati ſunt. *Populus vero calamitatem illam miſeratus cum ejulatu clamorem ad cœlum uſque ſuſtulit.*

Ἀπηλεγής. Rigidus. Durus. Et Ἀπηλεγέως. Rigide. Crudeliter.

Ἀπηλιανός. Apelianus. Nomen proprium.

Ἀπηλιαστής. A litibus & foro abhorrens. Apud Ariſtophanem.

Ἀπηλιώτης. Ventus ſubſolanus. Litera tenui ſcribitur, ut ἀντήλιος, & omnia ſimilia. Sic ἔπηλις [pro ἔφηλις] apud Poſidippum.

Ἀπηλοημένος. [Frumentum] ex area convectum, poſtquam tritum ſive conculcatum fuit. Sic Demoſthenes in oratione adverſus Phænippum.

Ἀπηλοίησεν. Confregit. Diſſecuit. Ἀπηλλοίωσε vero, alteravit.

Ἀπήμαντον. Illæſum.

Ἀπημείφθη. Reſpondit.

Ἀπήμονα. Illæſum. Homerus: *Illos vero invenit partim quidem vulneratos, partim vero occiſos.* Τοὺς μὴ ἀπήμονας vocat *vulneratos*: & τοὺς μὴ ἀνολέθρους, *occiſos*. Πῆμα autem ſignificat damnum, vel malum, quo quis læditur, a verbo πήθω, patior. Nomina vero neutra in α deſinentia quatuor modis componuntur. Aut enim ſervant eandem terminationem, ut δῆμα, διάδημα: aut a genitivo deducuntur, ut γράμμα, γράμματος, ἐγγράμματος: aut ultimam ſyllabam in ος vertunt, ut στόμα, χρυσόστομος: aut terminationem habent in ων, ut εἷμα, λευχείμων, & πῆμα, ἀπήμων.

Ἀπηνέμους. Ventis carentes.

Ἀπηνεώθη. Crudelis evaſit.

Ἀπηνέστερον. Immitius. Crudelius. Aſperius. *Non eſt præceps, nec per ſe periculoſus iſte ſaltus. Quamobrem etiam fecit, quod dixerat.*

Ἀπήνεια. Inhumanitas. Crudelitas.

Ἀπήνη. Currus. Pilentum. *Nam præter muliebrem mundum, pilentique ipſius ornatum, & caniſtra, & pocula, ac cætera ad ſacrificium neceſſaria, partim aurea, partim argentea, in ſolennibus pompis eam comitabantur.*

Ἀπηνήνατο. Negavit. Recuſavit. Noluit.

---

[1] Μαρκελλῖνός φησι περὶ Θουκυδ.] Scripſit Marcellinus vitam Thucydidis, hodie adhuc ſuperſtitem, in qua verba, a Suida hic citata, occurrunt.

[2] Ἀπηλιαστής. μισόδ.] Erat Athenis tribunal, ſive Judicium, quod Ἡλιαία vocabatur, in quo qui jus dicebant vocabantur Ἡλιασταί, ut Suidas docet infra v. Ἡλιαστής. Hinc Ἀπηλιαστής apud Ariſtoph. *Avibus* pag. 546. appellatur homo μισόδικος, i. e. a foro & litibus alienus: ut contra φιληλιαστής apud eundem *Veſpis* pag. 436. dicitur de homine, qui forum & judicia amat.

[3] Ἀπηλοημένος. ὁ ἀπὸ τῆς ἅλω συγκ.] Eadem habet Harpocratio, ex quo Suidas.

[4] Ἀπηλοίησεν. ἀπέκοψεν] Eodem modo vocabulum hoc interpretatur Scholiaſta Homeri ad Il. Δ. v. 22. ubi Poeta inquit:

Ἀμφοτέρω δὲ τένοντε καὶ ὀστέα λᾶας ἀναιδὴς
Ἄχρις ἀπηλοίησεν.

Ambos autem nervos & oſſa lapis violento ictu
Prorſus confregit.

[5] Ὅμηρος] Il. N. v. 761. ubi vide veterem Enarratorem, cujus verba Suidas hic deſcripſit.

[6] Πέφρακεν] In prioribus Edit. peſſime legitur πέρακεν, pro quo Portus infeliciter legendum ſupicabatur πεπέρακεν. Πέφρακεν autem recte legitur non ſolum in MSS. Pariſ. ſed etiam apud Scholiaſtam Homeri loco ante laudato.

[7] Ἀνῃρημένους] Hanc vocem ex MSS. Pariſ. & Scholiaſta Homeri revocavi. In prioribus enim Edit. vox præcedens ἀνολέθρους per ἀβλεψίαν typographorum hic repetita eſt, quippe in quibus inepte & nullo ſenſu ſic legitur: τοὺς μὴ ἀνολέθρους, τοὺς ἀνολέθρους.

[8] Χωρὶς γὰρ τοῦ περὶ τὸ σῶμα καὶ τὴν ἀπ. κόσμου, καὶ τὰ. κ.] Hæc, & quæ ſequuntur, ſunt verba Polybii apud Conſtantinum in Excerptis a Valeſio editis, pag. 154. eademque leguntur infra v. Αἰμιλία.

Ἀπηνω-

Ἀπηνθηκώς. Τῶν Ἑλλήνων ἀπηνθηκότων, τὰ τῶν Χριστιανῶν προέκοπτεν.

Ἀπηνής. ὁ σκληρός. λέγεται δὲ καὶ ὁ ἄπωθεν τοῦ αἰνεῖσθαι.

Ἀπηνθράκιζεν: ὤπτα. τὰ γὰρ ἐξ ἀνθράκων γινόμενα, καλὰ γίνεται. [1] Ἀριστοφάνης· Βοῦν δ' ἀπηνθράκιζ' ὅλον.

Ἀπήντα. καὶ Ἀπήντηκα, πέφθακα. καὶ Ἀπήντησεν. ἐτελέσθη, ἐξέβη. Πάντα αὐτῷ κατὰ τὰς προφητείας ἀπήντησεν. ἀντὶ τοῦ ἐγένετο. ὁ δὲ Θεολόγος, ὅτε λέγει· [2] Εἰ δὲ τοσοῦτον ἀπήντηκα τοῦ καιροῦ δεύτερος, καὶ μετὰ τοσούτους ἐπαινέτας· ἀντὶ τοῦ ἧκον εἰς τὸ ἐγκωμιάζειν. Καὶ Αἰλιανὸς περὶ τῆς ἐν Κάναις τῶν Ῥωμαίων ἥττης· Τοσοῦτον ἄρα αὐτοῖς ἀπήντησε τὸ πταῖσμα. Καὶ αὖθις· Μέγιστον δὲ πάθος τῇ Λακεδαίμονι τοῦτο ἀπήντησε. Καὶ αὖθις· Οὐ μὴν ἀπήντησέν οἱ τὰ τῆς ἐλπίδος.

Ἀπῆξεν. [3] ἐφώρμησεν.

Ἀπηξιωμένων. ἀτίμων. ἀναξίων. Τιγράνης ὄνομα τῶν οὐκ ἀπηξιωμένων μ' παρθένων. † Εὐνοῦχος δὲ καὶ ἀπαξιώσας. ἀντὶ τοῦ, τὴν ἀξίωσιν παρωσάμενος. † Τοῦ Χοσρόου τὸ Δάρας οὐκ ἀπαξιώσαντος ἀποκαταστῆσαι Ῥωμαίοις. καὶ Ἀπηξίωσεν, οὐχ ἡγήσατο ἄξιον. Καὶ αὖθις· Τὸ γὰρ πρὸς ἀλκὴν τραπέσθαι πρὸς πάντων τῶν μετεχόντων τῆς βουλῆς ἀπηξιοῦτο.

Ἀπήορος. ὁ διεστώς, καὶ ἀπηρτημένος. ἀπὸ τοῦ ἀείρω.

Ἄπηρα. τὰ ἀβλαβῆ.

Ἀπήρραξεν. ἀπέκοψεν.

Ἀπῆρεν. ὕψωσεν.

Ἀπηρείσατο. [4] ἠκούμβισεν. ἀπετινάξατο. ἔπηξεν. ἀπέθετο. Πολύβιος· Ὁ δὲ ἀπορῶν τοῖς ὅλοις πέρας ἐπί τινα τοιαύτην ἐλπίδα κατὰ τὸ παρὸν ἀπηρείσατο τὴν ἐνεστῶσαν ἀπορίαν. Ἀπηρίσατο δὲ, δοτικῇ, ἀντὶ τοῦ ἐφιλονείκησε, διὰ τοῦ ι.

Ἀπηρκότος. ἀναχωρήσαντος. Ἄρτι δὲ ἀπηρκότος τοῦ Σοραίχου, ἡ Σινώνις ἐφίστατο.

Ἄπηρος. ὁ μὴ ἔχων μαρσίπιον.

Ἀπήροσεν. ἀπηροτρίασεν.

Ἀπήρτα. ἐκώλυε. διαλειβὴν παρεῖχεν. Ἀῤῥιανός· Ὁ δὲ ναυτικὸς στρατὸς, ἵνα περ μὴ ἄκρα ἐπὶ πολὺ ἀνέχουσα τοῦ ποταμοῦ ἀπήρτα τὸν πλοῦν τῆς ὁδοῦ, ξυμπαρέπλει τῇ στρατιᾷ.

Ἀπηρτημένας. [5] ἀπῃωρημένας.

Ἀπήρυκεν. ἀπεκώλυεν. Ὁ δὲ μόνος ὑφίστατο καὶ ἀπήρυκε τὸ θηρίον. Καὶ αὖθις· Καὶ βάρη συνεχῆ ἐπιβάλλοντες, ἀπήρυκον τοῦ λυμαίνεσθαι τὸ τεῖχος.

Ἀπήστραψεν. ἀπέλαμψεν.

Ἀπήτει. ἐζήτει.

Ἀπηύρα. ἀφείλετο. ἀπέλαυσεν.

Ἀπηνθηκώς. Qui defloruit. *Cum Græci florere deſiiſſent, res Chriſtianorũ incrementũ ceperunt.*

Ἀπηνής. Durus. Crudelis. Quaſi dicas, qui procul eſt a laude.

Ἀπηνθράκιζεν. Supra prunas aſſabat. Quæ enim ſupra prunas aſſantur bona ſunt. Ariſtophanes: *Bovem autem aſſabat integrum.*

Ἀπήντα. Obviam venit. Et Ἀπήντηκα, obviam veni. Et Ἀπήντησεν, accidit, contigit. *Omnia, uti prædicta erant, ei evenerunt.* Theologus vero, quum dicit: *Si vero tanto poſt tempore & poſt tot laudatores acceſſi;* τὸ ἀπήντηκα accepit pro ἧκον, i. e. veni. Et Ælianus de clade Romanorum ad Cannas ait: *Tanta igitur calamitas ipſis accidit.* Et iterum: *Non alia major clades Lacedæmoni contigit.* Et iterum: *Rei eventus ſpei ejus non reſpondit.*

Ἀπῆξεν. Irruit. Impetum fecit.

Ἀπηξιωμένων. Contemptorum. Indignorum. * * * * *Cum vero Eunuchus dignitatem repudiaſſet.* † *Cum Choſroes non recuſaret Romanis Daras reſtituere.* Et Ἀπηξίωσεν, indignum judicavit. *Omnibus Senatoribus res indigna viſa eſt, ad vim ſeſe convertere.*

Ἀπήορος. Diſtans. Item ſuſpenſus. Ab ἀείρω.

Ἄπηρα. Non mutilata. Illæſa.

Ἀπήρραξεν. Amputavit. Reſecuit.

Ἀπῆρεν. In altum extulit.

Ἀπηρείσατο. Incubuit. Excuſſit. Fixit. Exoneravit. Depoſuit. Polybius: *Ille vero de ſumma rei ſolicitus tali tandem ſpe adverſus præſentem neceſſitatem ſe confirmavit.* Ἀπηρίσατο vero, per ι, ſignificat, contendit, litigavit.

Ἀπηρκότος. Illius, qui diſceſſit. *Quamprimum Soræchus diſceſſiſſet, Sinonis aderat.*

Ἄπηρος. Sine pera. Marſupio carens.

Ἀπήροσεν. Aravit.

Ἀπήρτα. Impediebat. Remorabatur. Arrianus: *Exercitus vero nauticus, ubi rupes in fluvium longe prominentes navigationem non impediebant, juxta exercitum [terreſtrem] navigabat.*

Ἀπηρτημένας. Suſpenſas. Pendentes.

Ἀπήρυκεν. Arcebat. Prohibebat. *Ille vero ſolus ſubſtitit, & impetum feræ propulſavit.* Et rurſus: *Et moles continuas injicientes, impediebant, ne murus labefactaretur.*

Ἀπήστραψεν. Fulgorem emiſit. Reſplenduit.

Ἀπήτει. Repetebat. Quærebat.

Ἀπηύρα. Abſtulit. Fructum percepit.

---

[1] Ἀριστοφάνης] In *Ranis* pag. 236. (151. Ed. Baſ. P.)

[2] Εἰ δὲ τοσοῦτον ἀπήντηκα τοῦ καιροῦ δεύτερος, καὶ μετὰ τοσούτους ἐπ.] Hæc ſunt verba Gregorii Nazianzeni Orat. in Baſilium Magnum pag. 317.

[3] Ἀπῆξεν] Cum Porto legere malim ἐπῇξεν, ab ἐπαΐσσω.

[4] Ἀπηρείσατο. ἠκ.] Vide ſupra v. Ἀπερείδομαι.

[5] Ἀπηρτημένας] In prioribus Edit. inepte legitur ἀπηρτισμέναι, cujus loco ἀπηρτημένας ex 2 MSS. Pariſ. repoſui.

Ἀπηυτομόλησε. προσπέφευγε τοῖς ἐναντίοις.

Ἀπηχές. κυρίως τὸ σκληρὸν καὶ ψευδὲς, δύσφορον, ἀηδὲς, ἐχθρὸν, οὗ καὶ τὸν ἦχον ἀποστρεφόμεθα. Μὴ ὑβριστικῶς ἐπιλαμβάνεσθαι τὸν βάρβαρον, ἢ σόλοικόν τι ἢ ἀπηχὲς προενηνεγμένον.

Ἀπήχεια.[1] ἀντὶ τοῦ ἀπέχθεια. οὕτω Λυσίας καὶ Δείναρχος.

Ἀπηχημένον. ἀπόβλητον. ξένον τοῦ κατὰ πάντων ἤχου.

Ἀπήχθετο. ἐμισεῖτο.

Ἀπήχθη. ἀπεκομίσθη, ἢ παρετράπη. Ὁ [2] δὲ Ἀπολλώνιος τὴν γλῶτταν Ἀττικῶς εἶχεν, οὐδὲ ἀπήχθη τὴν φωνὴν ὑπὸ τοῦ ἔθνους ἐς Ταρσοὺς τῆς Κιλικίας ἀναστρεφόμενος.

Ἀπηχθημένον. ἀπόβλητον. Ἀπηχθισμένον δὲ, βεβαρημένον.

Ἄπια. εἶδος ὀπώρας. Ἀπίους εἴρηκε Πλάτων ἐν Νόμοις. ἔτι καὶ παρὰ Ἀλέξιδι, καὶ ἐν Ἀγρίοις Φερεκράτους·

Πρὶν ἀνακυκῆσαι τοὺς ἀπίους ἁρπάζετε.

Ἄπιν [3] κρατῶν τις ἀστοχεῖ τῶν ἐλπίδων.

Ἄπια. εἶδος ὀπώρας. καὶ ἔστιν ἐν τῷ Ἀντιφάνης. ἑτέρωθι γράφεται, ὅτι ἄπια, ἡ ὀπώρα· ἡ ἄπιος δὲ καὶ ἄπιοι, τὰ δένδρα.

Ἀππιανός. ὄνομα κύριον. οὗτος ὁ Ἀππιανὸς ἔγραψε Ῥωμαϊκὴν ἱστορίαν, τὴν [4] καλουμένην Βασιλικήν. καὶ [5] αἱ μὲν τρεῖς βίβλοι Ἀππιανοῦ αἱ πρῶται περιλαμβάνουσιν ὅσα Ῥωμαίοις ἀγωνιζομένοις ἐς Ἰταλιώτας ἔτι περὶ ἀρχῆς καὶ ἡγεμονίας ἐπράχθη. ὅσα δ' ἀμφὶ τὴν Ἰταλίαν ἄλλα Κελτοί τε καὶ Λίβυες ἔδρασάν τε καὶ ἔπαθον, καὶ εἴ τί που καὶ τῆς Ἰταλίας μέρος ἀνάγκαις, ἢ ἐνέδραις, ἢ πλάναις ἐς αὐτοὺς μετέθετο, ἐν τοῖς περὶ Κελτῶν καὶ Λιβύων. [6] συγγέγραπται δ' ἐφ' ἑαυτῶν ὅσα καὶ ἐς τὰς ἐμφυλίους Ῥωμαίων στάσεις ἡ Ἰταλία διηρεῖτο. ἔτι τοὺς πρὸς Κελτοὺς, τουτέστι Γερμανοὺς, οἳ ἀμφὶ τὸν Ῥῆνον ποταμὸν εἰσὶ, καὶ τοὺς Γαλάτας, τουτέστι Γάλλους, πολέμους, καὶ τὰς αἰτίας αὐτῶν, ὅσαι τε συνθῆκαι, καὶ συνθηκῶν παραβάσεις, ἢ ἐπαναστάσεις ἐγένοντο Κελτῶν, ἕως ἐπὶ τοῦ Γαΐου, ἡ τετάρτη βίβλος περιέχει συλλαβοῦσα. εἰ δέ τί που Κελτοὶ μὴ κατὰ πρόφασιν οἰκείαν, ἀλλὰ συμμαχοῦντες Ἰταλῶν τισιν, ἢ μισθοφοροῦντες, ἔπραξαν, ἐν τοῖς περὶ ἐκείνων συγγέγραπται. καὶ ὅσον εἰς γνώρισμα μόνον αὐτῶν μέμνηται Ἀππιανός. ἔγραψε δὲ Ῥωμαϊκοὺς [7] λόγους ἐννέα. οἱ δὲ διὰ τοῦ ἑνὸς π γράφουσιν Ἀπιανός.

Ἀπηυτομόλησε. Ad hoſtes transfugit.

Ἀπηχές. Proprie ſignificat durum, falſum, grave, moleſtum, injucundum, inimicum, cujus vel ipſum ſonum averſamur. *Non [oportet] Barbaros contumelioſe reprehendere, ſi ſolœcum aliquod vel abſonum verbū protulerint.*

Ἀπήχεια. Inimicitia. Odium. Lyſias & Dinarchus.

Ἀπηχημένον. Rejiciendum. Quod ſono ſuo aures offendit.

Ἀπήχθετο. Odio habebatur.

Ἀπήχθη. Abductus eſt. In tranſverſum actus eſt. *Apollonius vero Attice loquebatur, neque, cum Tarſis in Cilicia verſaretur, ab incolis ejus loci ab Attica dialecto ſe abduci ſivit.*

Ἀπηχθημένον. Odioſum. Ἀπηχθισμένον autem, onuſtum.

Ἄπια. Genus fructus. Pira. Plato in *Legibus* dixit ἀπίους: qua voce etiam uſus eſt Alexis. Item Pherecrates *Agreſtibus*: *Priuſquam pira removeantur, rapite ea.*

Ἄπιν κρατῶν. *Si quis Apin teneat, is ſpe ſua fruſtratur.*

Ἄπια. Genus fructus. Pira. Vide in v. Ἀντιφάνης. Alibi dictum eſt, ἄπια eſſe pira: ἄπιος vero, ἡ, arborem pirum.

Ἀππιανός. Appianus. Nomen proprium. Hic Appianus Romanam ſcripſit hiſtoriam, quæ *Regia* vocatur. Et tres quidem primi libri Appiani continent quæcunque Romani cum Italis bellum gerentes, & de imperio & principatu adhuc certantes, geſſerunt. Bella vero a Gallis & Afris in Italia geſta, eorumque victorias & clades, & ſi qua forte Italiæ pars vel neceſſitate coacta, vel inſidiis circumventa, vel errore decepta illis ſe adjunxit, in Celtica & Libyca hiſtoria narrantur. Hæc excipit hiſtoria bellorum, quæ Romani, motibus inteſtinis laborantes, inter ſe geſſerunt. Res vero adverſus Celtas, hoc eſt, Germanos, Rheni accolas, & Galatas ſive Gallos geſtas, cauſaſque bellorum, fœderaque ſancita & violata, tumultuſque a Celtis excitatos, quartus liber perſequitur. Si quid etiam Celtæ nulla privata de cauſa, ſed vel populis quibuſdam Italiæ opem ferentes, vel mercede conducti, geſſerunt, id in illorum hiſtoria refertur. Eorum autem obiter tantum Appianus meminit. Scripſit rerum Romanarum libros novem. Quidam Ἀπιανὸς per unum tantum π ſcribunt.

---

1 Ἀπήχεια. ἀντὶ τοῦ ἀπ.] Ex Harpocratione.

2 Ὁ δὲ Ἀπολλώνιος τὴν γλῶτταν Ἀττ.] Hæc ſunt verba Philoſtrati lib. I. cap. IV. eademque leguntur infra v. Εὐθύδημος.

3 Ἄπιν κρατῶν τις ἀστοχεῖ τῶν ἐλπ.] Eſt verſus oneirocriticus, qui legitur apud Aſtrampſychum.

4 Τὴν καλουμένην Βασιλικήν] Errat hic Suidas, quoniam integrum opus hiſtoricum Appiani non inſcribebatur Ἱστορία Βασιλική, ſed tantum primus ejus liber, quo res ſub Regibus geſtæ exponebantur, ut ipſe Appianus in Procemio hiſtoriæ ſuæ clare docet. Suidas igitur, cum primum librum Appiani Βασιλικὴν inſcribi cerneret, & totum opus ſic inſcriptum eſſe exiſtimavit, quæ inſignis eſt ἀβλεψία.

5 Καὶ αἱ μὲν τρεῖς βίβλοι Ἀππ.] Argumentum hiſtoriæ ab Appiano conſcriptæ longe clarius traditur ab ipſo Appiano in Procemio, & Photio in Bibliotheca Cod. LVII. quos vide.

6 Συγγέγραπται δ' ἐφ' ἑαυτῶν ὅσα καὶ ἐς τὰς ἐμφ. Ῥωμ. στάσεις ἡ Ἰτ. διηρεῖτο] Locum hunc nec integrum nec emendatum ſatis puto, quem proinde ſic legendum exiſtimem: Συγγέγραπται δ' ἐπ' αὐτοῖς ὅσα [συνέβη, ὅταν] ταῖς ἐμφυλίαις Ῥωμαίων στάσεσιν ἡ Ἰταλία διηρεῖτο.

7 Λόγους ἐννέα] Cave hic Suidæ credas. Hiſtoria enim Appiani non novem, ſed viginti quatuor libris conſtabat, ut clare docet Photius loco ante laudato.

Ἀππία ὁδός. οὕτως ἐκαλεῖτο ἀπὸ Ἀππίου, Ῥωμαίου τιμητοῦ, ὃς λίθῳ μυλίᾳ ταύτην κατέστρωσεν, καὶ ὕδατος ὀχετοὺς κατεσκεύασεν.

Ἀπ' Ἰδαίων ὀρέων. ἀπὸ τῶν τῆς Ἴδης ὀρῶν.

Ἄπιδες. Θεοὶ ἦσαν, τιμώμενοι παρ' Αἰγυπτίοις, σημεῖον ἔχοντες περὶ τὴν οὐρὰν καὶ τὴν γλῶσσαν, δηλοῦν εἶναι αὐτοὺς Ἄπιδας. οἷς γεννωμένοις διὰ χρόνου, ὡς ἔλεγον, ἐκ τοῦ σέλαος τῆς σελήνης, ἑορτὴν μεγάλην ἦγον, καὶ ἱερεῖς τινες περὶ τὸν τεχθέντα βοῦν ἱερῶντο, παραθέντες πανδαισίαν, ὡς εὐωχοῦντες αὐτοῖς.

Ἄπις. οὗτος ὁ Ἄπις Θεὸς Αἰγύπτιος. τοῦτον Αἰγύπτιοι σελήνῃ τιμῶσι, καὶ ἱερὸς ἦν ὅδε ὁ βοῦς τῆς σελήνης, ὥσπερ ὁ [1] Μνεῦις τοῦ ἡλίου. Ὦχος τὸν Ἄπιν ἀποκτείνας, ἐβούλετο αὐτὸν τοῖς μαγείροις παραβαλεῖν, ἵνα αὐτὸν κρεουργήσωσι καὶ παρασκευάσωσιν ἐπὶ δεῖπνον.

Ἀπίδω. θεάσομαι.

Ἀπίη. [2] ἡ ἀλλοδαπή.

Ἀπίθανον. ἄπιστον. καὶ Ἀπίθησαν, διὰ τοῦ ι, ἀπὸ τοῦ πιθῶ περισπωμένου.

Ὧι [3] δρύες οὐκ ἀπίθησαν, ὅτῳ συνάμ' ἕσπετο πέτρη
Ἄψυχος.

Ἀπιθής. ὁ δυσχερὴς καὶ δυσανάβατος τοῖς βαίνειν ἐθέλουσιν. Ἀλαλκομεναὶ πόλις ἐστί· καὶ ἀκούω αὐτὴν μήτ' ἐφ' ὑψηλοῦ κεῖσθαι καὶ ἀπειθοῦς λόφου, μήτε τειχῶν περίβολον ἔχειν.

Ἀπίκιος, [4] Ῥωμαῖος, ἱκανὰς μυριάδας ἀργυρίου καταναλώσας ἐς τὴν γαστέρα, ἐν [5] Κιντούροις τῆς Γαλατίας πολλὰς καρίδας ἐσθίων (μέγισται γάρ εἰσι τῶν ἐν Σμύρνῃ) καὶ τοὺς ἐν Ἀλεξανδρείᾳ ἀστακούς. ἀκούσας οὖν ἐν Λιβύῃ γίνεσθαι καρίδας, ἐξέπλευσεν οὐδὲ μίαν ἡμέραν ἀναμείνας. θεασάμενος δὲ αὐτὰς μικράς, ἐκέλευσε τῷ κυβερνήτῃ τὴν αὐτὴν ὁδὸν αὖθις ἐπ' Ἰταλίαν ἀναπλεῖν, μηδὲ [6] προσπελάσαι τῇ γῇ.

Ἀπίκιος Μάρκος. οὗ διαῤῥεῖ μυρίον ὄνομα ἐπί τε ἀσωτίᾳ, καὶ πολυτελείᾳ, καὶ ῥᾳστωνεύσει βίου, καὶ κακοδαιμοσύνῃ λοιπῇ. ὕπατοι δὲ ἦσαν Ἰούνιος Βλαῖσος καὶ Λούκιος. ὁ [7] τοίνυν Βλαῖσος, ἐπὶ τὴν θοίνην κληθείς, οἷον ἐφολκίδα ἄκλητον ἐπάγεται Ἀσκώνιον Παιδιανόν. ἐξῆν γὰρ καὶ ἐπικλήτους οἱονεὶ σκιὰς ἑαυτοῖς παρακαλεῖν τινάς. καὶ ἔδει τὸν Ἀπίκιον καὶ φίλοις καὶ ἀγνῶσι τὴν οὐσίαν ῥίπτειν τὴν ἑαυτοῦ. πέπυσμαι δὴ ἐν τῷδε τῷ συνδείπνῳ γενέσθαι καὶ Ἰσίδωρον ὄνομα, τῶν ἐκ παλαίστρας καταστιβέντων, ἄν-

Ἀππία ὁδός. Via Appia, ſic vocata ab Appio, Cenſore Romano, qui eam lapide molari ſtravit, & aquæ ductus fecit.

Ἀπ' Ἰδαίων ὀρέων. Ab Idæis montibus.

Ἄπιδες. Apides. Dii fuerunt, qui colebantur ab Ægyptiis, notam habentes in cauda & lingua, ex qua cognoſcebatur, eos eſſe Apides. Hi poſt certum temporis intervallum ex lumine Lunæ, ut ferebant, naſcebantur: quod cum fieret, ingens feſtum in eorum honorem celebrabatur, & ſacerdotes circa bovem natum victimas immolabant, appoſitiſque omnis generis epulis eos convivio quaſi excipiebant.

Ἄπις. Apis. Hic erat Deus Ægyptius, quem Ægyptii in honorem Lunæ colebant. Erat enim bos iſte Lunæ ſacer, ut Mneuis Soli. Ochus Apidem occiſum coquis tradere in animo habebat, ut eum in fruſta diſſecarent, & cœnandum ſibi apponerent.

Ἀπίδω. Aſpiciam. Contemplabor.

Ἀπίη. Peregrina & diſſita regio.

Ἀπίθανον. Non probabile. Incredibile. Et Ἀπίθησαν, parere recuſarunt, per ι, a verbo circumflexo πιθῶ. [In Epigrammate:] *Cui quercus paruerunt, & quem ſecuta eſt rupes inanimata.*

Ἀπιθής. Difficilis, contumax, adſcenſu difficilis. *Alalcomenæ urbs eſt, quam audio nec in excelſo & adſcenſu difficili colle ſitam, nec muris cinctam eſſe.*

Ἀπίκιος. Apicius, Romanus, multa drachmarum millia in ventrem abſumpſit, Minturnis, (quæ eſt urbs Campaniæ) plerumque degens, ubi ſquillis veſcebatur, quæ ibi naſcentes, & maximas Smyrnæas, & aſtacos Alexandrinos, magnitudine vincebant. Cum autem audiviſſet in Libya magnas naſci ſquillas, ne unum quidem diem moratus eo navigavit. Sed cum eas parvas eſſe vidiſſet, gubernatorem eadem via in Italiam redire, & ne ad terram quidem appellere juſſit.

Ἀπίκιος Μάρκος. Hujus nomen ob luxuriam, vitamque ſumptuoſam & mollem, cæteraque flagitia celeberrimum eſt. Conſules autem erant Junius Blæſus & Lucius. Blæſus igitur ad convivium invitatus Aſconium Pædianum invocatum, tanquam umbram, ſecum adducebat (quod convivis facere licebat) oportebatque Apicium tam in amicos quam ignotos opes ſuas profundere. Audivi autem ei convivio interfuiſſe etiam Iſidorum quendam, in pulvere palæſtrico multum verſatum, hominem ſenem quidem & natu gran-

---

[1] Ὁ Μνεῦις] In MSS. Pariſ. & Edit. Mediol. legitur Μέμφις; ſed minus recte. Scribendum enim eſſe Μνεῦις Portus ex Strabone recte, obſervavit. Adi etiam Euſeb. *de Præpar. Evang.* lib. III. cap. XIII.

[2] Ἀπίη. ἡ ἀλλοδαπή] Homerus Il. A. v. 270. Τηλόθεν ἐξ ἀπίης γαίης. Ubi Scholiaſta: Ἐκ τῆς ἀλλοδαπῆς καὶ μακρὰν ἀπεχούσης γῆς.

[3] Ὧι δρύες οὐκ ἀπ.] Verba hæc ſunt pars Epigrammatis in Orpheum, quod legitur Anthol. lib. III. cap. XXV.

[4] Ἀπίκιος, Ῥωμ. ἱκανὰς μυρ. ἀργ. καταν. ἐς τὴν γασ. ἐν Κιντ. τῆς Γαλατ.] Hic locus emendandus eſt ex Athenæo, apud quem libro I. pag. 7. rectius ſic legitur: Ἀπίκιος, ἱκανὰς μυριάδας καταναλώσας εἰς τὴν γαστέρα, ἐν Μιντούρναις (πόλις δὲ Καμπανίας) διέτριβε τὰ πλεῖστα, καρίδας ἐσθίων πολυτελεῖς, αἳ γίνονται αὐτόθι ὑπέρ γε τὰς ἐν Σμύρνῃ μέγισται, καὶ τοὺς ἐν Ἀλεξανδρείᾳ ἀστακούς, &c. Hanc lectionem in verſione ſecutus ſum.

[5] Ἐν Κιντούροις τῆς Γαλατ. πολλὰς καρ.] Hæc repetuntur infra v. Κιντούροις.

[6] Μηδὲ προσπελάσαι τῇ γῇ] Rectius apud Athenæum, μηδὲ προσπελάσαντα τῇ γῇ.

[7] Ὁ τοίνυν Βλαῖσος ἐπὶ τὴν θοίνην κληθεὶς οἷον ἐφολκ. ἄκλητον ἐπάγεται Ἀσκώνιον Παιδιανόν] Hæc repetuntur infra v. Ἐφολκίδα.

δρα παλαιὸν μὲν ἤδη καὶ πολὺν τῷ χρόνῳ, ἐν δὲ καὶ ἐννενήκοντα ἔτη γεγονότα, εὐπαγῆ τε καὶ εὐμελῆ, καὶ βαθὺν μὲν τὰς πλευράς, γενναῖον δὲ τὼ βραχίονε καὶ τὼ χεῖρε ἄκρω, βλέπειν τε ὀξὺ καὶ ἀκούειν ῥᾷστα, ὡς μὴ ἂν πιστεύειν πέρα ξ' ἐτῶν εἶναι αὐτόν. σκύφον δὲ ἐπὶ τύλοις ἁμιλλᾶσθαι διαπίνοντα πρὸς τοὺς νέους, καὶ μέντοι καὶ ὑπὲρ πολυδαισίας καὶ πολυποσίας ἐρίσαι καὶ νεάζειν ταῦτα. ἓν δὲ ἡττηθῆναί φασιν αὐτόν. ἀπελθεῖν γὰρ τοῦ συνδείπνου θᾶττον. γέροντες δὲ ἄλλοι τε ἔλεγον ἐπὶ τέχνῃ παλαιστρικῇ· καὶ μέντοι καὶ Ἰούνιος Βλαῖσος. καὶ ὅτε ταῦτα ἔλεγεν, ἔτη γέγονεν ἑξήκοντα, φασί. μακρὸν δὲ τὴν ζωὴν γενέσθαι πέπυσμαι Σερουΐλιον ὕπατον. ἔτεσι γὰρ τοῖς ἐννενήκοντα ὁμοῦ τε ἐβίωσε, καὶ πάντα, ὡς λόγος, τὰ τοῦ σώματος ἀπαθὴς ἦν. καὶ μέντοι καὶ διεσώσατο τὰς αἰσθήσεις ἁπάσας εὐμοιρίᾳ ἀξιοζήλῳ τε καὶ σοβαρᾷ.

Ἄπιμεν. ἀπερχόμεθα.

Ἀπίμελος. ὁ μὴ ἔχων πιμελήν.

Ἀπίναιον. ὄρος.

Ἀπινής. ὁ καθαρός.

Ἄππιος Φόρος. ὄνομα τόπου, ἀπὸ Ἀππίου Ῥωμαίου.

Ἀπίκιος. ὀψοφάγος. ζήτει ἐν τῷ Ἀφύα.

Ἀπίων,[1] ὁ Πλειστονίκου, ὁ [2] ἐπικληθεὶς Μόχθος, Αἰγύπτιος (κατὰ δὲ Ἑλικώνιον, Κρής) γραμματικός, μαθητὴς Ἀπολλωνίου τοῦ Ἀρχιβίου. ἠκηκόει δὲ καὶ Εὐφράνορος γηραιοῦ, καὶ ὑπὲρ ἑκατὸν ἔτη γεγονότος, Διδύμου δὲ τοῦ μεγάλου θρεπτός. ἐπαίδευσε δὲ ἐπὶ Τιβερίου Καίσαρος καὶ Κλαυδίου ἐν Ῥώμῃ. ἦν δὲ διάδοχος Θέωνος τοῦ γραμματικοῦ, καὶ σύγχρονος Διονυσίου τοῦ Ἁλικαρνασέως. ἔγραψεν ἱστορίαν κατ' ἔθνος, καὶ ἄλλα τινά.

Ἀπιὼν ᾤχετο. φεύγων. ἀποδιδράσκων. Ὁ δὲ τὴν Πελοπόννησον καταλιπὼν ἐς Ἰταλίαν ᾤχετο ἀπιών. συνήθης ὁ πλεονασμὸς τοῖς Ἀττικοῖς.

Ἆπις. Θεὸς Αἰγυπτίων. καὶ ἔστιν ὀπίσω ἐν τῷ Ἄπιδες. [3] Ὅτι ὁ Ἆπις ὁ Αἰγύπτιος τὴν ἰατρικὴν πρῶτος εἰς τὴν Ἑλλάδα μετακομίσαι λέγεται.

Ἀπιτέα. δεῖ ἀπέρχεσθαι. καὶ Ἄπιτε, ἀπέλθετε.

Ἀπιστεῖν. δοτικῇ. τὸ ἀπειθεῖν. λέγουσι δὲ καὶ Ἀπιστίαν, τὴν ἀπείθειαν. καὶ Ἄπιστος, ὁ μὴ πειθόμενος. οὕτω Πλάτων.

Ἁ πίτυς. ἡ πίτυς. [4] Θεόκριτος·

Ἁδύ τι τὸ ψιθύρισμα, καὶ ἁ πίτυς, αἰπόλε, τήνα.

Ἁπλᾶ, καὶ διπλᾶ, καὶ πολλαπλᾶ, καὶ πάντα περισπῶσι τὰ τοιαῦτα. ἀργυρᾶ, καὶ χρυσᾶ, καὶ κεραμεᾶ, ἀπὸ τοῦ κεραμεοῦ, καὶ φοινικᾶ, ἀπὸ τοῦ φοινικοῦ.

dem, quippe unum & nonaginta annos natum, ſed corpore firmo, membris robuſtis, lateribus profundis, validiſque brachiis & manibus, & qui acutum cerneret, facillimeque audiret, ita ut nemo eum ſexagenario majorem crederet. Idem ſcyphum in callis tenens bibendo cum adoleſcentibus certabat; & in edacitatis bibacitatiſque certamen juvenum more cum aliis deſcendebat. Una vero in re eum victum fuiſſe dicunt, quod citius e convivio diſcederet. Senes autem, aliique dicebant, eum ob artem palæſtricam illud facere; itemque Junius Blæſus. Et is quidem, cum hoc diceret, ſexaginta annos, ut aiunt, natus erat. Conſulem quoque Servilium longævum fuiſſe audio. Is enim nonaginta annos vixit, & ad eam uſque ætatem, rara quadam felicitate, corpore incolumi ſenſibuſque omnibus integris uſus eſt.

Ἄπιμεν. Abimus. Diſcedimus.

Ἀπίμελος. Pinguedine carens.

Ἀπίναιον. Apinæum. Mons.

Ἀπινής. Sine ſordibus. Purus.

Ἄππιος Φόρος. Forum Appium. Nomen loci, ab Appio Romano ita appellati.

Ἀπίκιος. Apicius, helluo. Quære in Ἀφύα.

Ἀπίων. Apion, Pliſtonicis filius, cognomento Mochthus, Ægyptius (ſecundum Heliconium vero Cretenſis) Grammaticus, diſcipulus Apollonii Archibii; præter quem etiam audivit Euphranorem ſenem & centenario majorem. Idem Didymi magni alumnus fuit. Docuit Romæ ſub Tiberio & Claudio Imperatoribus, fuitque ſucceſſor Theonis Grammatici, & æqualis Dionyſii Halicarnaſſenſis. Scripſit hiſtoriam de ſingulis gentibus, & alia quædam.

Ἀπιὼν ᾤχετο. Abiit. Diſceſſit. *Ille vero Peloponneſo relicta in Italiam abiit.* Hic pleonaſmus Atticis eſt familiaris.

Ἆπις. Apis, Ægyptiorum Deus. Vide ſupra in voce Ἄπιδες. Apis Ægyptius medicinam primus in Græciam intuliſſe fertur.

Ἀπιτέα. Abeundum eſt. Et Ἄπιτε, abite.

Ἀπιστεῖν. Non credere. Non parere. Et Ἀπιστία, incredulitas, contumacia. Et Ἄπιστος, qui non credit. Plato.

Ἁ πίτυς. Pro ἡ πίτυς. Pinus. Theocritus:

Suavis eſt valde ille ſurſurus, & pinus, caprarie, illa.

Ἁπλᾶ, & διπλᾶ, & πολλαπλᾶ, & omnia ſimilia circumflectuntur. Itemque ἀργυρᾶ, & χρυσᾶ, & κεραμεᾶ, a κεραμεοῦ, & φοινικᾶ, a φοινικοῦ.

---

[1] Ἀπίων, ὁ Πλειστονίκου, ὁ ἐπικλ.] Secundum Clementem Alexandrinum *Strom.* lib. I. pag. 235. Apion hic non fuit Pliſtonicis filius, ſed ipſe Πλειστονίκης cognominatus fuit. Ait enim: Ἀπίων τοίνυν ὁ Γραμματικός, ὁ Πλειστονίκης ἐπικληθείς: quæ verba ex Clemente repetit Euſebius *de Præp. Euang.* lib. X. cap. XII. Gellius quoque *Noct. Attic.* lib. VI. cap. VIII. inquit: *Appion Græcus homo, qui Pliſtonices eſt appellatus.* Ut proinde dubium ſit, utra ſententia alteri præferri debeat.

[2] Ὁ ἐπικληθεὶς Μόχθος] Vide infra v. Ἀντέρως.

[3] Ὅτι ὁ Ἆπις ὁ Αἰγύπτιος τὴν ἰατρικὴν πρ.] Apidem ex Ægypto in Græciam veniſſe apud nullum veterum ſcriptorum me legiſſe memini. Eundem vero apud Ægyptios medicinæ inventorem extitiſſe teſtatur Clem. Alex. *Strom.* lib. I. pag. 225.

[4] Θεόκριτος] Idyll. I. v. I.

Ἁπλᾶς.[1] Καλλίστρατός φησι τὰ μονόπελμα τῶν ὑποδημάτων οὕτω καλεῖσθαι.

Ἄπλαστος. ἀληθινός. ἄδολος. Καὶ [2] ἅμα αὐτοῖς ἐπιθέουσα σεμνότης ἡδεῖα καὶ ἄπλαστος αἰδὼς [3] ἐπέστρεχεν ἱκανῶς τὸν φιλόσοφον, καὶ ἤδη γνώριμον ἐποίει αὐτῷ τὸν νεανίσκον. Ἄπλαστος δὲ, ἡ μεγάλη. Τὸν [4] αἶσ' ἄπλαστος ἴσχει. τουτέστι, μανία.

Ἄπλετον. ἄπειρον. ἀχώρητον.

Ἁπλῆ. μονοειδής.

Ἁπλήγιος. δασέως. ἁπλοῦς. καὶ Εὔπολις Πόλεσιν·

Οὔτ' ἂν πολυπράγμων ἐστὶν ἀλλ' ἁπλήγιος.

καὶ Ἁπληγὶς, ἱματίδιον σύμμετρον. Ἀναγύρῳ Ἀριστοφάνης·

———— Ἐκ δὲ τῆς
Ἐμῆς χλανίδος τρεῖς ἁπληγίδας ποιῶν.

Ἀπληκεύω.[5] καὶ [6] Ἄπληκτον. τόπος ἔνθα καταλύουσι τῆς ὁδοιπορίας τὰ στρατόπεδα.

Ἀπλήξ. ὁ μὴ πεπληγμένος.

Ἀπληστία. ἡ ἀδηφαγία. καὶ [6] παροιμία· Ἄπληστος πίθος. ὁ ἐν ᾅδου, ὁ τετρημένος. ἐπὶ τῶν πολλὰ ἐσθιόντων· ἀπὸ τοῦ περὶ τὰς Δαναΐδας μύθου, παρόσον ἀνιμῶσαι ἐκεῖναι ὕδωρ εἰς πίθον ἔβαλλον. [7] πάσχουσι δὲ περὶ τοῦτον τὸν πίθον αἱ τῶν ἀμυήτων ψυχαί.

Ἄπλητον. ἀπλήρωτον.

Ἁπλοΐδας. ἁπλᾶς χλανίδας. ἐν Ἐπιγράμματι·

—— Οἷα δὲ πυρὶ
Ἔσκεπε τὴν κούρην ἁπλοῒς ἐκταδίη.

καὶ Ἁπλοϊκὸς, ὁ ἁπλοῦς καὶ ἀπέριτος. καὶ Ἁπλοϊκώτερος.

Ἄπλοοι. ἀδύνατοι πλέειν.

Ἁπλοῦν θύλακον πάτει. ἐπὶ τῶν εὐκαταφρονήτων.

Ἁπλότης διττή. ἡ μὲν ἔμφρων καὶ δικαία· ἡ δὲ ἀνόητος καὶ ἄδικος. ἔπειτα καὶ τὴν νῦν ποικιλίαν ἐμφύεσθαι τοῖς μὲν μετὰ δικαιοσύνης καὶ φρονήσεως· τοῖς δὲ μετ' ἀδικίας καὶ ἀμαθίας. εἶναι γὰρ δὴ πάλαι καὶ τὰ κατὰ τὸν θνητὸν τοῦτον περιπολοῦντα ἐξ ἀνάγκης, ὥς φησι Πλάτων. ἀλλ' ἧττον κακοήθης, ὡς νῦν ἐστι, καὶ ἁπλούστερα, καὶ οὐκ ἐν βάθει ἐνὶ ταῖς ψυχαῖς ἐγκεκαυμένα ἀνίατα. πολλὴ γάρ ἐστιν ἡ [8] μεταφορὰ τῶν πάλαι κακῶν πρὸς τὰ νέα, καὶ οὐ ποσό-

Ἁπλᾶς. Calliſtratus ait calceos ſic appellari, qui unam tantum habent ſoleam.

Ἄπλαστος. Verus. Sincerus. Non ſimulatus. *Præterea ſuavis quædam gravitas & verecundia non ſimulata in vultu ejus eminens effecit, ut philoſophus eum crebro aſpiceret, & ſic adoleſcentis ingenium magis magiſque perſpiceret.* Ἄπλαστος etiam ſignificat magnus, terribilis. [Sophocles:] *Quem fatalis inſania tenet.*

Ἄπλετον. Infinitum. Quod comprehendi nequit.

Ἁπλῆ. Simplex. Unius generis.

Ἁπλήγιος. Simplex. Adſpiratur. Eupolis *Urbibus:*

Non eſt curioſus, ſed ſimplex.

Et Ἁπληγὶς, veſtis modica. Ariſtophanes *Anagyro: Ex mea vero læna tres alias veſtes ſimplices faciens.*

Ἀπληκεύω. In aliquem locum ex itinere diverto. Et Ἄπληκτον, caſtra, ſeu locus, in quem exercitus ex itinere divertit.

Ἀπλήξ. Non percuſſus.

Ἀπληστία. Edacitas. Et proverbium: *Inexplebile dolium.* Illud nempe pertuſum, quod apud Inferos eſſe dicebatur. In voraces dicitur [hoc proverbium; cujus origo eſt] a fabula Danaidum, quoniam illæ aquam hauſtam in dolium pertuſum infundebant. Circa hoc autem dolium plectuntur animæ illorum, qui ſacris initiati non ſunt.

Ἄπλητον. Inexplebile.

Ἁπλοΐδας. Lænæ ſimplices. In Epigrammate:

————*Ut igne autem*
Tegebat puellam læna ſimplex expanſa.

Et Ἁπλοϊκός. Simplex. Non verſutus. Et Ἁπλοϊκώτερος, ſimplicior.

Ἄπλοοι. Qui navigare non poſſunt.

Ἁπλοῦν θύλακον πάτει. *Simplicem ſaccum calca.* Dicitur de iis, qui contemptui obnoxii ſunt.

Ἁπλότης. Simplicitas. Hæc duplex eſt; una cum prudentia & juſtitia conjuncta; altera vero ſtulta & injuſta. Eodem modo calliditas, quæ hominibus ineſt, alia quidem prudentiæ & juſtitiæ affinis eſt; alia vero cum injuſtitia & inſcitia conjuncta. * * * * ut Plato ait: ſed minus maligna, quam nunc, & ſimpliciora, neque alte animis inſita, & inſanabilia. Ingens enim differentia eſt inter antiqua & nova mala, quippe quæ non ſolum quantitate, ſed etiam qualitate morum, τητι μόνον κρειττόνων τε καὶ χειρόνων, ἀλλὰ καὶ ποιότητι τρόπων.

---

[1] Ἁπλᾶς. Καλλίστρατός φησι τὰ μον.] Ex Harpocratione: ad quem vide Mauſſacum.

[2] Καὶ ἅμα αὐτοῖς ἐπιθέουσα σεμν.] Hoc fragmentum ex Damaſcio Suidas deprompſit: idemque legitur apud Photium in Excerptis ex illo ſcriptore pag. 1046.

[3] Ἐπέστρεχεν] Apud Photium rectius legitur ἐπέστρεφεν, quam lectionem in verſione ſecutus ſum.

[4] Τὸν αἶσ' ἄπλαστος ἴσχει] Hæc ſunt verba Sophoclis in *Ajace* pag. 16. v. 256. ut Portus monuit.

[5] Ἄπληκτον] Male in prioribus Edit. excuſum eſt ἄπληκον, cujus loco ſcribendum eſt ἄπληκτον. A ſcriptoribus enim Græcis inferioris ætatis caſtra vocari ἄπληκτα pluribus exemplis oſtendit Ducangius in Gloſſario Græco.

[6] Καὶ παροιμία· Ἄπληστος πίθος] De hoc proverbio prolixe agit Zenobius Centur. II. Adag. VI. quem adi. Vide etiam infra v. Εἰς τετρημένον πίθον.

[7] Πάσχουσι δὲ περὶ τοῦτον τὸν πίθον αἱ τῶν ἀμυήτων ψυχαί] Vide Platonem in *Gorgia*, pag. 300.

[8] Ἡ μεταφορά] Puto legendum ἡ διαφορά. quam lectionem in verſione ſecutus ſum.

Ἁπλοῦν. ἀπερίεργον. ἢ τὸ μηδὲν ἐκ τῆς ἑαυτοῦ ἐπινοίας πλάττον.

Ἀπλουστέρας. Θουκυδίδης λέγει ναῦς, οὐ τὰς ἀπλοῦς παντελῶς, ἀλλὰ τὰς διὰ πληρώματος ἔνδειαν καὶ ἀπλόους ἱσταμένας.

Ἁπλῷ λόγῳ. τῷ χωρὶς προσθήκης. καὶ Ἁπλῶς παρὰ Ἀριστοτέλει λέγεται, ὃ χωρὶς προσθήκης λεγόμενον ἀληθές ἐστιν. ὁ γὰρ Αἰθίοψ, πῆ λευκὸς ὤν, κατὰ γὰρ τοὺς ὀδόντας, οὐκέτι καὶ ἁπλῶς ἐστι λευκός. ὃ δὲ δεῖται προσθήκης πρὸς τὸ ἀληθὲς εἶναι, τοῦτο οὐκ ἔστιν ἁπλῶς. ὁ γὰρ Αἰθίοψ οὐκ ἔστι λευκὸς, διότι χωρὶς προσθήκης. προστεθέντος δὲ τοῦ κατά τι, ἀληθὲς γίνεται. κατὰ γὰρ τοὺς ὀδόντας. ἀλλὰ καὶ σπουδαῖοι τινὲς κατά τι. λέγεται δὲ καὶ οὕτως, οὐ τὸν ἁπλοῦν τρόπον. ἀντὶ τοῦ παραυτίκα παρὰ τοῖς παλαιοῖς. Καὶ αὖθις· Οὐδὲ γὰρ ἁπλῶς λόγους τινὰς ἐποιήσαντο, ἀλλὰ καὶ βῆμα ὑψηλὸν ἠγέρθη, καὶ ἐπ' αὐτοῦ εἰκόνες τοῦ Νέρωνος ἐπέθησαν.

Ἁπλῶς. ἐξ ἀνάγκης. ἢ ὡς πρῶτον, καὶ μὴ κατ' ἄλλο. Ἁπλῶς δὲ οὐδὲν εἰδότες τῶν μελλόντων ἔγνωσαν· ἐξ αὐτῆς δὲ τῆς ἐμφάσεως τῶν πρεσβέων [1] ὀττευόμενοι, εἰς παντοδαπὰς οἰμωγὰς ἐνέπιπτον.

Ἁπλῶς. χωρὶς προσθήκης. Πολύβιος· Οὗ καιρὸς ἀφυέστερος οὐ γέγονεν ἁπλῶς. ἀντὶ τοῦ, ἐξ ἀνάγκης. ἢ ὡς πρῶτον.

Ἄπλωτα πελάγη. τὰ Ἀτλαντικὰ, καὶ Ἑσπέριος ὠκεανὸς, καὶ Ἑῷος. Ἄπλωτον γὰρ, τὸ ἄπλευστον.

Ἄπλυτον πώγωνα. σκώπτων εἶπε.

Ἄπνους.[2] Φασὶν [3] Ἐμπεδοκλέα Παυσανίαν ὑφηγήσασθαι τὸν Ἄπνουν. [4] εἶναι δὲ τὸν Ἄπνουν τοιοῦτον, ὡς λ' ἡμέρας συντηρεῖν ἄπνουν καὶ ἄσιτον τὸ σῶμα. ἦν δὲ οὗτος καὶ γόης. καὶ φησὶ περὶ αὐτοῦ·

Φάρμακα [5] δ' ὅσσα γεγᾶσι κακῶν καὶ γήραος ἄλκαρ,

Πεύσῃ, ἐπεὶ μούνῳ σοι ἐγὼ κρανέω τάδε πάντα.

Παύσεις δ' ἀκαμάτων ἀνέμων μένος, οἵ τ' ἐπὶ γαῖαν

Ὀρνύμενοι πνοιαῖσι καταφθινύθουσιν ἄρουραν·
Καὶ πάλιν, ἢν κ' ἐθέλεσθα, παλίντονα πνεύματ' ἐπάξεις.
Θήσεις δ' ἐξ ὄμβροιο κελαινοῦ καίριον αὐχμὸν

Ἀνθρώποις· θήσεις δὲ καὶ ἐξ αὐχμοῖο θερείου

vel meliorum, vel deteriorum, differunt.

Ἁπλοῦν. Simplex. Non affectatum. Vel, quod nihil ex ingenio ſuo confingit.

Ἀπλουστέρας. Thucydides ita vocat naves, non eas, quæ ad navigationem prorſus ſunt inutiles, ſed eas, quæ propter inopiam remigum & nautarum [in portu] otioſæ ſtant.

Ἁπλῷ λόγῳ. Simpliciter & abſque limitatione. Et Ἁπλῶς apud Ariſtotelem dicitur, quod ſimpliciter & abſque limitatione verum eſt. Æthiops enim, cum aliqua tantum in parte albus ſit (eſt enim albus dentibus) non eſt ſimpliciter albus. Quod vero limitatione indiget, ut verum ſit, id ſimpliciter verum non eſt. Æthiops enim non eſt albus; ſimpliciter nimirum, & abſque limitatione. Si vero addatur *ſecundum quid*, verum eſt, [Æthiopem eſſe album.] Eſt enim albus dentibus. Sic etiam quidam boni ſunt *ſecundum quid*: quod Græci etiam vocant οὐ τὸν ἁπλοῦν τρόπον, i. e. non ſimpliciter. Et [Ἁπλῶς] apud veteres pro παραυτίκα, ſtatim. *Non enim ſimpliciter verba fecerunt, ſed etiam excelſum tribunal excitarunt, in quo Neronis imagines collocatæ ſunt.*

Ἁπλῶς. Neceſſario. Vel, ut primum, nec propter aliud. *Simpliciter quidem, quid eventurum eſſet, ignorabant: ſed ex ipſo vultu legatorum [mala] augurantes, in omnigenos queſtus & ejulatus effundebantur.*

Ἁπλῶς. Abſque limitatione. Polybius: *Quo nullum unquam tempus magis alienum exſtitit.* Item neceſſario.

Ἄπλωτα πελάγη. Maria, quæ navigari non poſſunt: qualia ſunt mare Atlanticum, Oceanus Occidentalis & Orientalis. Ἄπλωτον enim ſignificat innavigabile.

Ἄπλυτον πώγωνα. Illotam barbam. Sic cavillandi gratia [Comicus] dixit.

Ἄπνους. Exanimis. Ajunt Pauſaniam in iis, quæ de *Exanimi* ſcripſit, Empedocle uſum eſſe magiſtro. [Dicit autem Heraclides,] *Exanimem* illam per triginta dies corpus abſque ſpiritu & cibis conſervaſſe. Hic [Empedocles] etiam magus fuit. Sic enim de ſe inquit:

Omnia medicamenta, quibus mala & ſenectus
propulſantur,
Ex me diſces, quoniam ego ſolus hæc tibi expediam.
Sedabis autem indomitorum vim ventorum,
qui in terram
Irruentes flatibus corrumpunt arva:
Et rurſus, ſi voles, eos in terram induces.

Poſt imbrem etiam tempeſtivam efficies ſiccitatem
Hominibus: & viciſſim poſt ſiccitatem fœcundos induces

---

[1] Ὀττευόμενοι] In prioribus Edit. peſſime legitur οἱ γινόμενοι: cujus loco ſcribendum eſt ὀττευόμενοι (i. e. augurantes) ut recte legitur intra v. Ὀττευομένη, ubi fragmentum hoc repetitur.

[2] Ἄπνους. φασὶν Ἐμπεδοκλ. Παυσ. ὑφηγ.] Totum hunc articulum deſcripſit Suidas ex Laert. *Empedocle*, ut Portus etiam monuit.

[3] Ἐμπεδ. Παυσαν. ὑφηγ. τὸν ἄπνουν] Lege ex Laertio, Ἐμπ. Παυσανίᾳ ὑφηγήσατο τὰ περὶ τὴν ἄπνουν. Hanc lectionem in verſione ſecutus ſum.

[4] Εἶναι δὲ τὸν ἄπνουν τοιοῦτον, ὡς λ' ἡμ.] Vide viros doctos ad Laertium *Empedocle*, & præcipue Menagium ad Prooemium Laertii.

[5] Φάρμακα δ' ὅσσα γεγᾶσι κακῶν καὶ γ.] Hunc & ſequentes verſus ex Laertio emendavi, qui in prioribus Edit. fœdiſſimis mendis obſcurati ſunt.

Ῥεύματα δενδρεόθρεπτα, τά τ' ἐν θέρει ἄησαντα.
Ἄξεις δ' ἐξ ἀΐδαο καταφθιμένου μένος ἀνδρός.

Καὶ ποτ' Ἐτησίων σφοδρῶς πνευσάντων, ὡς τοὺς καρποὺς λυμῆναι, κελεύσας ὄνους ἐκδαρῆναι, καὶ ἀσκοὺς ποιῆσαι, περὶ τοὺς λόφους καὶ τὰς ἀκρωρείας διέτεινε πρὸς τὸ συλλαβεῖν τὸ πνεῦμα. λήξαντος δὲ, Κωλυσάνεμον κληθῆναι.

Ἀπνευστί. ἀπονητί.

Ἀπὸ, καὶ ἄποθεν, διὰ τοῦ ο μικροῦ· ἀπωτάτω δέ.

Ἀποβαλομένη. δι' ἑνὸς λάμβδα· ἀντὶ τοῦ ἀποβαλοῦσα.

Ἄπο. πόῤῥω. μακράν. Ἐν τοῖς Οὔσβαϊς τοῦ κινδύνου ἄπο ἐγένετο, ἀποδράσας τὰ ξίφη.

Ἀποβαδίζειν. οὐδὲν πλέον τοῦ βαδίζειν δηλοῖ.

Ἀποβάθρας. καὶ τὰ λάσανα, ἃ λέγονται οἱ χυτρόποδες. καὶ τὰ μαγειρεῖα, ὅπου τῇ βουλῇ σκευάζεται μετὰ τὰς θυσίας κρέα.

Ἀπὸ βαλβίδος. ἀπ' ἀρχῆς.

Ἀποβάτης.[1] ἱππικόν τι ἀγώνισμά ἐστι. καὶ Ἀποβῆναι, τὸ ἀγωνίσασθαι τὸν ἀποβάτην. Ἀποβατικοὶ δὲ τροχοὶ, οἱ ἀπὸ τούτου τοῦ ἀγωνίσματος.

Ἀποβαίη, καὶ Ἀποβαίνει, γενικῇ. ὡς τὸ, Ἀποβάντες τῶν ἵππων.

Ἀποβεβιωκέναι. ἀποθανεῖν. Ἀνάγκη μὴ ἀποκρύπτειν, ὡς ἂν μὴ ὑπόνοια γένηται σφίσι τοῦ ἀποβεβιωκέναι αὐτόν.

Ἀποβλεπόμενοι. ἀντὶ τοῦ θαυμάζοντες. οὕτως Αἰσχίνης.

Ἀπόβλεπτον. ἔνδοξον. Ἄνδρα τῇ Περσικῇ πολιτείᾳ διὰ τὴν ἀξίαν ἀπόβλεπτον.

Ἀποβλίσαι. ἀποπιέσαι. [2] Ἀριστοφάνης·

--- Λωποδύτης παίει ῥοπάλῳ με τὸ νῶτον,

Κἀγὼ πίπτω μέλλων τε βοᾶν· ὁ δ' ἀπέβλισε θοιμάτιόν μου.

Ἀποβλύζων. ἀναβάλλων. ἀπεμῶν.

Ἀποβουκολίσας. ἐξαπατήσας. ἐκβαλών. ἀποδιώξας. ἀποπλανήσας. [3] Οἱ δὲ τοὺς ἁλώσοντας ἀποβουκολίζουσιν, ἀποσκευάζονταί τε τὸν κίνδυνον.

Ἀπὸ [4] βραδυσκελῶν ὄνων ἵππους. ἐπὶ τῶν ἀπὸ εὐτελῶν ἐπὶ μείζονα μεταπηδώντων.

Ἀποβράσματα. τὰ πίτυρα παρὰ Καλλιμάχῳ.

Οὐδὲν [5] ἀπέβρασε φαῦλον ἀλετρίς.

Ἀποβύσαντες. ἀποκλείσαντες.

Ἀπογαλακτίζω. γενικῇ. ἀντὶ τοῦ ἀφιστῶ τοῦ γάλακτος, ἢ ἀποπαύω. ἡ γὰρ ἀπὸ ἐνταῦθα ἀπόπαυσιν καὶ ἀποπλήρωσιν σημαίνει τοῦ γάλακτος.

Flatus ventorum, qui æſtate ſpirare ſolent.
Defunctos etiam in vitam revocabis.

Cum Eteſiæ aliquando vehementer ſpirarent, adeo ut fruges læderent, juſſit aſinos excoriari, & utres confici, quos promontoriis & montibus ad ventum excipiendum obtendit. Eo igitur ceſſante, Κωλυσάνεμον appellatum fuiſſe ajunt.

Ἀπνευστί. Sine labore.

Ἀπὸ, & ἄποθεν, per ο parvum ſcribuntur. Ἀπωτάτω vero [per ω magnum.]

Ἀποβαλομένη. Per unum λ, pro ἀποβαλοῦσα, quæ amiſit.

Ἄπο. Longe. Procul. *In his Usbais procul a periculo fuit, fugiens gladios.*

Ἀποβαδίζειν. Nihil plus ſignificat, quam ſimplex βαδίζειν, ire, incedere.

Ἀποβάθρας. Sic etiam vocantur ollæ, alias χυτρόποδες dictæ. Item loca, in quibus Senatui poſt ſacrificia carnes apparantur.

Ἀπὸ βαλβίδος. Ab initio. A principio.

Ἀποβάτης. Sic appellatur certamen quoddam equeſtre. Et Ἀποβῆναι, certamine illo certare. Et Ἀποβατικοὶ τροχοὶ, rotæ currus, ab illo certamine ſic dictæ.

Ἀποβαίη, & Ἀποβαίνει, genitivo junguntur. Ut, Ex equis deſcendentes.

Ἀποβεβιωκέναι. Mortuum eſſe. *Non eſt occultandus, ne ſuſpicio illis oboriatur, eum mortuum eſſe.*

Ἀποβλεπόμενοι. Admirantes. Sic Æſchines.

Ἀπόβλεπτον. Honoratum. Illuſtrem. *Virum ob dignitatem apud Perſas illuſtrem.*

Ἀποβλίσαι. Exprimere. [Eripere.] Ariſtophanes:

--- *Graſſatore clava tergum meum percutiente,*
Cado, clamare volens. At ille pallium mihi abſtulit.

Ἀποβλύζων. Ejiciens. Evomens.

Ἀποβουκολίσας. Qui decepit. Qui in errorem induxit. *Illi vero captos blandis verbis decipiunt, periculumque amoliuntur.*

Ἀπὸ βραδυσκελῶν ὄνων ἵππω. *A tardis aſinis ad equos.* Dicitur de illis, qui a minoribus ad majora tranſeunt.

Ἀποβράσματα. Sic apud Callimachum vocantur furfures. [Et Ἀπέβρασε, furfur excrevit.] *Nihil furfuris molitrix a tritico ſecrevit.*

Ἀποβύσαντες. Qui obſtruxerunt.

Ἀπογαλακτίζω. Genitivo jungitur. Ablacto. Præpoſitio enim ἀπὸ hic ſignificat ceſſationem a lacte hauriendo.

---

[1] Ἀποβάτης. ἱππικόν τι ἀγ.] Quale certamen hoc fuerit docet Etymologus, quem vide. Confer etiam Harpocrationem, ex quo Suidas ſua deſcripſit.

[2] Ἀριστοφάνης] *Acharnenſ.* pag. 565. (388. Ed. Baſ. P.) Vide etiam ſupra v. Ἀπέβλισεν.

[3] Οἱ δὲ τοὺς ἁλώσοντας ἀποβουκ.] Hæc ſunt verba Theophylacti Simocattæ lib. III. cap. VII. ubi pro ἁλώσοντας rectius legitur ἁλόντας.

[4] Ἀπὸ βραδυσκελῶν ὄνων ἵππους] Zenobius & Diogenianus habent, Ἀπὸ βραδυσκελῶν ὄνων ἵππος ἀροῦσιν; i. e. *E tardo aſino equus prodiit.* Wolfius legit, Ἀπὸ βραδυσκελῶν ὄνων ἐφ' ἵππους: quod non eſt repudiandum.

[5] Οὐδὲν ἀπέβρασε φαῦλον ἀλ.] Fragmentum hoc auctius legitur infra v. Εἰργνία.

'Από γὰρ ὀλῦμαι. ὑπέρβατον. ἀπόλλυμαι γάρ. Ἀριστοφάνης

'Από¹ γὰρ ὀλῦμαι, μὴ μαθὼν γλωττοστροφεῖν.

Ἀπογενέσθαι. ἢ ὑστερῆσαι σημαίνει, ἢ ἀποθανεῖν. ἄμφω Θουκυδίδης.

Ἀπογειῶσαι. ἀποθεμελιῶσαι.

Ἀπογνούς. Δημοσθένης μὲν ἀντὶ τοῦ ἀπελπίσας. Δείναρχος δὲ, ἀντὶ τοῦ ἀποψηφισάμενος.

Ἀπογνωστέον. δεῖ ἀπογινώσκειν.

Ἀπογινώσκω. Ἀπογνοὺς τὰ τῶν Καρχηδονίων πράγματα ὁ Φαίδων. Καὶ, Τέλεον ἀπογνοὺς τὸν Φιλήμονα. Καὶ, Ἀπογνόντες τὴν σωτηρίαν.

Ἀπόγνοια. ἀπόγνωσις. ²Θουκυδίδης. Ἐνέπρησαν δὲ τὰ πλοῖα, ὅπως ἀπόγνοια ᾖ τοῦ ἄλλο τι ἢ κρατεῖν τῆς γῆς.

Ἀπόγονοι. οἱ ἔκγονοι. Ἀπώγωνες δὲ, οἱ μὴ ἔχοντες πώγωνα.

Ἀπὸ γραμμῆς. οἷον, ἀπ' ἀρχῆς. ἐκ μεταφορᾶς τῆς τῶν δρομέων ἀφετηρίας καὶ γραμμῆς, ἣν ἄφεσιν καὶ βαλβίδα καλοῦσιν.

Ἀπογράφειν. καὶ Ἀπογραφή. οἱ τῷ δήμῳ χρήματα ὀφείλοντες ἐκ καταδίκης, καὶ μὴ ἀποδιδόντες μέχρι τῆς ἐνάτης πρυτανείας, ἐς τὸ δεσμωτήριον ἀπεκλείοντο, μήτ' ἐγγυητὰς καταστῆσαι δυνάμενοι τοῦ ὀφλήματος.

Ἀπογραφή.³ ἐπειδὰν τις λέγῃ τινὰ ἔχειν τι τῶν τῆς πόλεως, ὁ ἐναγόμενος ἀπογραφὴν ποιεῖται, δηλῶν ὅσα τε ἔχει, καὶ ὅθεν τὰ χρήματα. μή ποτε καὶ εἶδός τινός ἐστι δίκης ἡ ἀπογραφή. εἰ γὰρ ἀρνοῖτό τις μὴ ἔχειν, ⁴ἀπογραφῆς ἐκρίνετο, ὡς οὐκ ὀρθῶς γεγενημένης τῆς ἀπογραφῆς. οὕτω Δημοσθένης ἐν τῷ κατ' Ἀνδροτίωνος. Ἀπογραφὴ, ἡ ἀπαρίθμησις. Ὁ Καῖσαρ Αὔγουστος, ὁ μοναρχήσας, εἴκοσιν ἄνδρας τοὺς ἀρίστους τὸν βίον καὶ τὸν τρόπον ἐπιλεξάμενος, ἐπὶ πᾶσαν τὴν γῆν τῶν ὑπηκόων ἐξέπεμψε· δι' ὧν ἀπογραφὰς ἐποιήσατο τῶν τε ἀνθρώπων, καὶ τῶν οὐσιῶν, αὐτάρκη τινὰ προστάξας τῷ δημοσίῳ μοῖραν ἐκ τούτων εἰσφέρεσθαι. αὕτη ἡ ἀπογραφὴ πρώτη ἐγένετο, τῶν πρὸ αὐτοῦ τοὺς κεκτημένους τι μὴ ἀφαιρουμένων; ὡς εἶναι τοῖς εὐπόροις δημόσιον ἔγκλημα τὸν πλοῦτον. Ἀπόγραφος δέ. ⁵Ὀνησίκριτος ὡς ἀπόγραφος ἐξ ἀρχετύπου δευτερεύει. τουτέστι, τοῦ Ξενοφῶντος.

Ἀπογράφω. αἰτιατικῇ. Σὺ δὲ ἀπόγραφε δικαίως ἡμᾶς.

Ἀπογράψαι. τὸ γράψασθαι. καὶ οἷον σημειώσασθαι δηλοῖ.

'Από γὰρ ὀλῦμαι. Hyperbatum eſt, pro ἀπόλλυμαι γάρ. Ariſtophanes:

Peribo enim, quia linguam verſatilem non habeo.

Ἀπογενέσθαι. Vel ſignificat ſerius venire, vel mori. Utraque ſignificatio reperitur apud Thucydidem.

Ἀπογειῶσαι. Fundamenta ponere.

Ἀπογνούς. Apud Demoſthenem hæc vox ſignificat, qui ſpem omnem abjecit. Apud Dinarchum vero, qui reum abſolvit.

Ἀπογνωστέον. Deſperandum eſt.

Ἀπογινώσκω. Deſpero de aliqua re. *Phædon de Carthaginenſium rebus deſperans.* Et, *Omnino de Philemone deſperans.* Et, *De ſalute deſperantes.*

Ἀπόγνοια. Deſperatio. Thucydides: *Incenderunt autem naves, ut nulla niſi terræ occupandæ ſpes illis relinqueretur.*

Ἀπόγονοι. Poſteri. Qui genus ab aliquo ducunt. Ἀπώγωνες vero, qui barbam non habent.

Ἀπὸ γραμμῆς. A principio. Per tranſlationem ductam a curſorum carceribus & linea, unde curſus initium fit; quam ἄφεσιν & βαλβίδα vocant.

Ἀπογράφειν, & Ἀπογραφή. Qui populo mulctam debebant, eamque ante nonam Prytaneiam non perſolverant, nec debiti ſui ſponſores dare poterant, in carcerem conjiciebantur.

Ἀπογραφή. Cum quis dicit, alterum poſſidere aliquid, quod ad Remp. pertineat, is, qui accuſatur, bona ſua profitetur, addens, unde ea habeat. Forte tamen Ἀπογραφὴ eſt etiam ſpecies actionis. Si quis enim negaret, ſe aliquid habere, is actionem ἀπογραφῆς contra alterum inſtituebat, quaſi deſcriptione non recte facta. Sic Demoſthenes in Oratione contra Androtionem. Et Ἀπογραφὴ, bonorum profeſſio. Cenſus. Imperator Auguſtus viginti viros ſpectatæ virtutis & integritatis delectos in omnes provincias miſit, qui & hominum & bonorum cenſum inſtituerent, juſſitque juſtam inde partem in ærarium inferri. Hic primus fuit cenſus: cum illi, qui eum anteceſſerant, quidvis poſſeſſoribus eripuiſſent; adeo ut publicum crimen eſſet divitem eſſe. Et Ἀπόγραφος, ab exemplari deſcriptus. *Oneſicritus [Xenophonte] tanto inferior habendus eſt, quanto exemplar archetypo.*

Ἀπογράφω. Deſcribo. *Tu vero nos juſte deſcribe.*

Ἀπογράψαι. Deſcribere. Adnotare.

---

[1] 'Από γὰρ ὀλῦμαι, μὴ μαθὼν γλ.] Ariſtophanes *Nubibus* pag. 71. (102. Ed. Baſ. *P.*)

[2] Θουκυδίδης] Lib. III. cap. LXXXV.

[3] Ἀπογραφή. ἐπειδὰν τις λέγῃ τινὰ ἔχειν τι τῶν τῆς πόλ.] Ex Harpocratione: ad quem vide Valeſium.

[4] Ἀπογραφῆς ἐκρίνετο] Apud Harpocrationem legitur, ἀπογραφῆς ἐκείνου. Sed utraque lectio ferri poteſt, utpote ſenſui hujus loci ſatis accommodata. Nam ἀπογραφῆς ἐκείνου ſignificat id, quod in verſione expreſſimus. Si vero ἀπογραφεὶς ἐκρίνετο legatur, locus hic ita vertendus eſt: *Si quis negaret, ſe aliquid habere, & bona ejus deſcriberentur, actionem contra alterum inſtituebat* &c. Sciendum enim eſt, ſi quis mala fide alterius bona olim deſcripſiſſet & ad magiſtratum detuliſſet, eum mille drachmis mulctatum fuiſſe, ut apparet ex initio orationis, quam Demoſthenes adverſus Nicoſtratum ſcripſit.

[5] Ὀνησίκριτος ὡς ἀπόγραφος ἐξ ἀρχετύπου δευτερεύει] Hæc ſunt verba Laertii lib. VI. Segm. LXXXIV.

Ἀποδαρθεῖν. ἀποκοιμηθῆναι.

Ἀποδασμόν. μοῖραν τινά. Ὁ δὲ στρατηγὸς ἀποδασμόν τινα τοῦ στρατοῦ ἀπολέξας, ἐκελεύετο προπορεύεσθαι. Καὶ αὖθις· Ἐκ τῶν Σαρακηνῶν ἀποδασμὸν εἰς τὴν Περσίδα [1]διαχωρείσας, μέρη τινὰ τῆς Βαβυλωνίας προενομεύσατο.

Ἀποδάσομαι. ἀπομερίσομαι.

Ἄποδας. τοὺς Οὔννους φασί. καὶ ἔστιν ἐν τῷ Ἀκροσφαλεῖς.

Ἀποδέκται. [2] ἄρχοντες κληρωτοί, δέκα τὸν ἀριθμὸν κατὰ φυλήν, οἵτινες παρελάμβανον καὶ ἀπεδέχοντο τὰ γραμματεῖα τῶν ὀφειλόντων τῷ δημοσίῳ. εἶτα ἐζητοῦντο τὰ ὀφειλόμενα, καὶ τὰ ἀποδιδόμενα χρήματα σὺν τῇ βουλῇ ἐμέριζον εἰς ἃ χρὴ ἀναλίσκειν. καὶ γενομένης τῆς καταβολῆς τῶν ὀφειλομένων χρημάτων, ἀπήλειφον τὰ γραμματεῖα δημόσια.

Ἀποδέον. τὸ ἀπαρέσκον. καὶ Ἀποδεόντων, λειπόντων, ἀπολειπομένων. καὶ Ἀποδεῖν, τὸ ἀπολείπεσθαι. [3]Ἰώσηπος· Ὡς ὀλίγον ἀποδεῖν τῶν ἀχθοφορούντων ζώων, ἤτοι ὀρέων, τὸν πεζὸν ἄνδρα. † Τόσον δὲ ἀποδεῖν τοῦ τὴν πεπορισμένην ἤδη αὐτῷ καὶ ἀπὸ γένους προσήκουσαν βασιλείαν ἀφελέσθαι.

Ἀποδέχομαι. ὁμολογῶ. Ἀποδέχομαί σε τῶν τρόπων, καὶ ἀποδέχομαί σου τοὺς τρόπους.

Ἀποδείκνυμί σοι χελιδόνα. ἴσον τῷ μαρτύρομαι.

Ἀπόδειξις [4]ὅρου διαφέρει. δεῖ πρῶτον ζητῆσαι περὶ ὅρου, ἆρα μία ἐστὶ μέθοδος, καθ' ἣν πάντων τῶν ὄντων δυνατὸν τοὺς ὅρους ἀποδοῦναι· ἢ πολλαί. καὶ εἰ μία, τίς αὕτη. εἰ δὲ πολλαί, πόσαι τὸν ἀριθμόν, καὶ ποῖαι. καὶ ὅταν εὕρωμεν τοσάσδε, καὶ τοιάσδε, ὑπογραφῇ, ἢ ὁρισμῷ, ἄλλη πάλιν ἡμᾶς διαδέχεται ζήτησις, ποίαις τῶν μεθόδων ἐπὶ ποίων πραγμάτων χρηστέον. καὶ ὅταν εὕρωμεν τοῦτο, ἐπειδὴ ὁ ὁρισμὸς ἐκ γενῶν ἐστι καὶ διαφορῶν, τί τοῦ προκειμένου πράγματός τὸ γένος, καὶ τίνες αἱ διαφοραί· ἵνα συμπλέξαντες τὰς συστατικὰς διαφορὰς τῷ γένει, ἀποδῶμεν αὐτοῦ τὸν ὁρισμόν. ἔστι δὲ καὶ ἑτέρα χαλεπότης. ᾧ μὲν γὰρ πρώτως τι ἐνυπάρχει, τοῦτο καὶ καθ' ἑαυτὸ ὑπάρχει. καθ' αὑτὸ δέ ἐστι τὸ κατ' οὐσίαν. οὐκέτι δὲ καὶ εἴ τι καθ' αὑτὸ ὑπάρχει, τοῦτο καὶ πρώτως ὑπάρχει. τὸ γὰρ ζῶον τῷ ἀνθρώπῳ καθ' αὑτὸ μὲν ὑπάρχει, οὐ πρώτως δέ. διὸ κἂν μὴ ᾖ ἄνθρωπος, ζῶόν ἐστιν. ὥστε οὐ πρώτως τῷ ἀνθρώπῳ τὸ ζῶον ὑπάρχει. ὁμοίως δὲ καὶ τὸ σχῆμα τῷ τριγώνῳ καθ' αὑτὸ μέν, οὐ μέντοι πρώτως. ἡ δὲ κυρίως ἀπόδειξις ἐκ τῶν καθ' αὑτὸ καὶ πρώτως ὑπαρχόντων γίνεται. καὶ ἁπλῶς, ἡ ἐκ τῶν αἰτίων [5] τὰ αἴτια πιστουμένη, καὶ

Ἀποδαρθεῖν. Dormire. Obdormiviſſe.

Ἀποδασμόν. Partem. Portionem. *Dux vero partem exercitus delegit, eamque præire juſſit.* Et iterum: *Parte Saracenorum in Perſiam miſſa, partes quaſdam Babyloniæ depopulatus eſt.*

Ἀποδάσομαι. Dividam. Diſtribuam.

Ἄποδας. Sic Hunnos vocant. Vide in v. Ἀκροσφαλεῖς.

Ἀποδέκται. Receptores. Hi erant viri deni, pro Tribuum numero, ſorte lecti, quibus tradebantur tabulæ illorum, qui Reipubl. aliquid debebant. Deinde in debita inquirebant, & pecuniam perſolutam cum conſenſu Senatus in uſus neceſſarios impendebant. Debito autem ſoluto, nomina debitorum ex publicis tabulis expungebant.

Ἀποδέον. Quod diſplicet. Et Ἀποδεόντων, qui deſunt, vel abſunt. Et Ἀποδεῖν, deeſſe, differre. Joſephus: *Ut pedites ab onuſtis jumentis parum differrent.* † *Tantum abeſſe, ut ipſi auferat regnum, quod ei jam traditum erat, & jure hæreditario ad ipſum pertinebat.*

Ἀποδέχομαι. Probo. Aſſentior. Ἀποδέχομαί σε τῶν τρόπων, & ἀποδέχομαί σου τοὺς τρόπους (mores tuos probo) utrumque dicitur.

Ἀποδείκνυμί σοι χελ. *Oſtendo tibi hirundinem.* Idem valet, ac μαρτύρομαι, teſtor.

Ἀπόδειξις. *Demonſtratio* a definitione differt. Primum de definitione quærendum eſt, utrum una ſit ratio, ſecundum quam omnium rerum definitiones tradi poſſint, an vero plures. Et, ſi una tantum, quænam hæc ſit. Sin plures, quot illæ ſint numero, & quales. Quum autem deſcriptione vel definitione tot & tales invenerimus, rurſus alia quæſtio nos excipit: Quibus methodis quibus in rebus ſit utendum. Quum autem hoc invenerimus, quoniam definitio ex generibus & differentiis conſtat, quærendum, quodnam ſit rei propoſitæ genus, & quæ differentiæ, ut differentiis, quæ rem conſtituunt, cum genere conjunctis, ejus definitionem tradamus. Eſt & alia difficultas. Cui enim primum aliquid ineſt, id per ſe quoque exiſtit. Per ſe autem exiſtit, quod habet ſubſtantiam. Non tamen etiam ſi quid per ſe eſt, id etiam primum eſt. Animal enim per ſe quidem homini ineſt: ſed non primum. Quamobrem, quamvis homo non eſſet, animal tamen eſſet. Quare non primum homini animal ineſt. Eodem etiam modo figura ineſt triangulo, per ſe quidem: ſed non primum. Propria vero *demonſtratio* fit ex iis, quæ per ſe & primum ſunt; & (ut paucis rem expediam) quæ ex cauſis

---

[1] Διαχωρείσας] Sic habet unus MS. Pariſ. Alter vero χωρείσας. At in prioribus Edit. excuſum eſt χωρήσας.

[2] Ἀποδέκται. ἄρχοντες κληρωτοί, δέκα τὸν ἀριθ.] Hic locus in MSS. Pariſ. ita legitur: Ἀποδέκται. Ἀρχή τις ἐστὶ παρ' Ἀθηναίοις. δέκα δὲ ἦσαν, οἱ παραλαβόντες τὰ γραμματεῖα ἀπαλείφουσι τὰ καταβαλλόμενα χρήματα τῆς βουλῆς ἐναντίον ἐν τῷ βουλευτηρίῳ, καὶ πάλιν ἀποδιδόασι τὰ γραμματεῖα τῷ δημοσίῳ. Sic etiam legitur apud Harpocrationem.

[3] Ἰώσηπος] *De Bello Jud.* lib. III. pag. 836. ubi locus iſte ſic legitur: Ὡς ὀλίγον ἀποδεῖν τῶν ἀχθοφορούντων ὀρέων τὸν πεζόν.

[4] Ἀπόδειξις ὅρου διαφέρει. δεῖ πρ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, excerpſit Suidas ex Philopono in lib. I. Ariſtot. *de Anima*, A. 7.

[5] Τὰ αἴτια πιστουμένη] Legendum eſt τὰ αἰτιατὰ πισ. ut apud Philoponum.

ἐκ τῶν καθόλου τὰ μερικώτερα. Ἡ δὲ ἐκ τῶν αἰτιατῶν τὰ αἴτια πιστουμένη, τεκμηριώδης ἀπόδειξις λέγεται. οἷον, τὸ δεῖξαι ἐκ τῶν φωτισμῶν τῆς σελήνης ὅτι σφαιρική. εἰ γὰρ ἐδείκνυτο, διότι σφαιρική, διὰ τοῦτο φωτίζεσθαι οὕτως, τοῦτο ἂν εἴη κυρίως ἀπόδειξις. ἐκ γὰρ τοῦ αἰτίου τὸ αἰτιατὸν ἐδείκνυτ' ἄν. οὐ κεχρήμεθα δὲ ἐνταῦθα τῇ δείξει ταύτῃ, διότι τὸ αἰτιατὸν πρὸς ἡμᾶς σαφέστερόν ἐστι φύσει τοῦ αἰτίου. Τεκμηριώδης δὲ ἀπόδειξις καὶ τὸ ἐκ τοῦ καπνοῦ τὸ πῦρ εὑρεῖν καὶ κατανοῆσαι. καὶ ἂν μὲν πάντως ἕπηται τὸ αἰτιατὸν τῷ αἰτίῳ, τεκμήριον τοῦτο λέγεται. τεκμήριον δέ ἐστι τὸ ἄλυτον σημεῖον. ἂν δὲ μὴ πάντως ἕποιτο, σημεῖον μὲν ἂν λέγοιτο, τεκμήριον δὲ οὐκ ἔστιν, διότι μηδὲ ἄλυτόν ἐστι· οἷον ὡς τὸ, ὠχρά ἐστιν, ἐπειδὴ τέτοκεν. οὐ πάντως γὰρ τῇ ὠχρότητι παρακολουθεῖ τὸ τετοκέναι. Ἀπόδειξις δέ ἐστι μέθοδος διὰ συλλογισμῶν συλλογιστική, ὅταν ἐξ ἀληθῶν καὶ πρώτων ὁ συλλογισμὸς γίνηται.

Ἀποδειροτομεῖ. ἀποκόπτει τοὺς αὐχένας.

Ἀποδημεῖν. γενικῇ. μὴ παρεῖναι. [1] Ἀριστοφάνης Νεφέλαις· Ἐχρῆν αἰθρίας οὔσης ὕειν αὐτὸν, ταύτας δ' ἀποδημεῖν.

Ἀπὸ δή. Ἀπὸ δὴ τούτων πάντων ἀναπειθόμενος τῶν πλεονεκτημάτων, πάντα τὸν ἀνθιστάμενον τιθεὶς ἐν δευτέρῳ, εὐθαρσῶς ἐπῄει. συνηνεχθήτην δὴ ἄμφω ἀλλήλοιν. Δέξιππος.

Ἀποδιατρίψουσι. ἐγχρονίσουσι. χρονοτριβήσουσιν.

Ἀποδιδόμενοι. [2] Ἀντιφῶν ἀντὶ τοῦ Ἀποδιδόντες. καὶ Ἀποδιδόμεθα, γενικῇ, ἀντὶ τοῦ ἀποδίδομεν, ἢ πιπράσκομεν.

Ἀποδικεῖν. ἀντὶ τοῦ ἀπολογεῖσθαι. οὕτως Ἀντιφάνης.

Ἀποδιοπομπεῖσθαι. αἰτιατικῇ. ἀποπέμπεσθαι πρὸς τὸν προστρόπαιον Δία, καὶ οἱονεὶ καθαίρεσθαι, ἢ ἱλάσκεσθαι. Τοὺς νυκτικόρακας εἰς τοὺς ὄρνεις ἀποδιοπομποῦνται. καὶ Ἀποδιοπομπείσθω, ἀποδιωκέσθω.

Ἀπὸ δὶς ἑπτὰ κυμάτων. ἐκ μεταφορᾶς τῶν ἐπὶ φόνοις καθαιρομένων. οὗτοι γὰρ δὶς ἑπτὰ κύμασι πλύνουσι τὰ ἱμάτια.

Ἀποδοκιμάσας.[3] ὡς ἄχρηστον ἐκφαυλίσας. [4] Ὁ δὲ Ἀννίβας ἀποδοκιμάσας τὸν ἐξ ἀρχῆς ὑπάρχοντα αὐτοῖς καθοπλισμὸν, ἅμα τῷ νικῆσαι τῇ πρώτῃ μάχῃ, παραχρῆμα τοῖς Ῥωμαίων ὅπλοις καθώπλισε τὰς δυνάμεις.

Ἀπὸ δόξης. ἀπὸ εἰκασμοῦ.

Ἀποδόσθαι. πωλῆσαι. καὶ Ἀπόδου, πώλησον.

Ἀποδράς. ἀποφυγών. καὶ Ἀποδράναι.

effecta probat, & ex univerſalibus particularia. Quæ vero ex effectis cauſas probat, illa τεκμηριώδης Ἀπόδειξις vocatur: ut, ſi ex lunæ illuminatione eam globoſam eſſe demonſtres. Si enim, quia globoſa eſt, demonſtraretur eam ideo ſic illuminari, hæc eſſet proprie *demonſtratio*. Nam ex cauſa effectus demonſtraretur. Ea autem demonſtratione hic non utimur, quia effectus apud nos natura evidentior eſt quam cauſa. Τεκμηριώδης ἀπόδειξις etiam vocatur, cum ex fumo ignem deprehendimus & demonſtramus. Et quidem, ſi effectus cauſam omnino ſequatur, id vocatur τεκμήριον. Τεκμήριον enim eſt certum & irrefutabile alicujus rei ſignum. Quod ſi [effectus cauſam] non neceſſario ſequatur, id σημεῖον quidem dicitur, non autem τεκμήριον, quia non eſt irrefutabile: veluti ſi quis dicat, pallida eſt, quia peperit. Non enim neceſſario ſequitur, aliquam peperiſſe, quia pallida eſt. *Demonſtratio* autem eſt methodus quæ per ratiocinationes aliquid colligit, quod fit, cum ex veris & primis [principiis] argumentatio conſtat.

Ἀποδειροτομεῖ. Cervicem amputat.

Ἀποδημεῖν. Abeſſe. Peregrinari. Genitivo jungitur. Ariſtophanes *Nubibus: Atqui oportebat cælo ſereno [Jovem] pluere, has vero [nubes] abeſſe.*

Ἀπὸ δή. *His igitur rebus omnibus, quibus aliis præſtare ſe videbat, inductus, omneſque adverſarios impares ſibi judicans, fidenti animo eum adortus eſt. Ambo igitur inter ſe congreſſi ſunt.* Dexippus.

Ἀποδιατρίψουσι. Tempus terent. Immorabuntur.

Ἀποδιδόμενοι. Antiphon dixit pro ἀποδιδόντες, reddentes. Et Ἀποδιδόμεθα, cum genitivo, pro ἀποδίδομεν, vendimus.

Ἀποδικεῖν. Cauſam coram judice dicere. Sic Antiphanes.

Ἀποδιοπομπεῖσθαι. Accuſativo jungitur. Amandare ad Jovem Piacularem, & quodammodo luſtrare & expiare. *Nycticoraces ad aves amandant.* Et Ἀποδιοπομπείσθω, abigatur, repellatur.

Ἀπὸ δὶς ἑπτὰ κυμ. *A bis ſeptem fluctibus.* Per tranſlationem ductam ab illis, qui ob cædem luſtrantur. Illi enim bis ſeptem fluctibus veſtes abluunt.

Ἀποδοκιμάσας. Qui aliquid ut inutile ſprevit & rejecit. *Annibal vero, damnato genere armorum, quo [milites ejus] ante uſi fuerant, poſt primam ſtatim victoriam copias ſuas armis Romanorum armavit.*

Ἀπὸ δόξης. Per opinionem. Per conjecturam.

Ἀποδόσθαι. Vendidiſſe. Et Ἀπόδου. Vende.

Ἀποδράς. Qui aufugit. Et Ἀποδρᾶναι, aufugere.

---

[1] Ἀριστοφάνης Νεφέλαις· Ἐχρῆν αἰθ.] Apud Ariſtoph. *Nub.* pag. 148. (82. Ed. Baſ.) ſic hodie legitur:
Καί τοι 'χρῆν αἰθρίας ὕειν αὐτὸν, ταύτας δ' ἀποδημεῖν.

[2] Ἀποδιδόμενοι. Ἀντιφ.] Ex Harpocratione.

[3] Ἀποδοκιμάσας. ὡς ἄχρηστον ἐκφ.] Vide ſupra v. Ἀποδοκιμάζειν.

[4] Ὁ δὲ Ἀννίβας ἀποδοκιμάσας τὸν ἐξ ἀρχ. ὑπ.] Hæc ſunt verba Polybii lib. xviii. cap. xxiv. ut Jac. Gronovius recte obſervavit.

Ἀποδρέψεσθε. ἀποβρυγήσετε. [1] Οὗ καὶ πίονα τυρὸν ἀποδρέψεσθε.

Ἀποδρύφω. ἐκδέρω.

Ἀποδύντες.[2] ἀντὶ τοῦ ἀποδυσάμενοι. ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν, οἳ ἀποδύονται τὴν ἔξωθεν στολὴν, ἵνα εὐτόνως [3] χορεύσωσιν. Ἀριστοφάνης· Ἀλλ' ἀποδύντες τοῖς ἀναπαίστοις ἐπίωμεν.

Ἀποδυσπετεῖ. ἀποδύρεται. Δυσθετούμενοι τοῖς συμβαίνουσιν ἀποδυσπετεῖν ἀναγκάζονται.

Ἀπὸ ἕθεν. ἀπὸ ἑαυτοῦ.

Ἀποζῆν.[4] τὸ εὐτελῶς ζῆν. ζῆν δὲ, τὸ μετὰ τρυφῆς καὶ πολυτελείας. Τοσαῦτα ἀγαθὰ ἀγαπῶν κεκτῆσθαι, ὅσα ἀποζῆν ἀπ' αὐτῶν. ἀντὶ τοῦ μέτρια.

Ἀπόζων. γενικῇ. ἀποπνέων.

Ἀπόειπε.[5] ἀπάρνησαι.

Ἀποθανεῖν. Ἐάν [6] τις αὐτὸ μόνον εἰδῇ, καὶ τῷ μερισμῷ τῆς ἐννοίας διαλύσῃ τὰ ἐμφανταζόμενα αὐτῷ, οὐκέτι ἄλλο τι ὑπολήψεται αὐτὸ εἶναι, ἢ φύσεως ἔργον. Φύσεως δὲ ἔργον εἴ τις φοβεῖται, παιδίον ἐστί. τοῦτο μέντοι οὐ μόνον φύσεώς ἐστιν, ἀλλὰ καὶ συμφέρον αὐτῇ. πῶς ἅπτεται Θεοῦ ἄνθρωπος, καὶ κατὰ τί ἑαυτοῦ μέρος;

Ἀποθάνω. αὐθυπότακτον. Καὶ ἀποθάνωμεν, ὁμοίως. Ἀποθανόντος αὐτῷ τοῦ πατρὸς, ἀπέπισε πολλὰ χρήματα.

Ἄποθεν.[7] χωρίς. ἢ πόρρωθεν.

> Ῥινοῦ [8] χερμαστῆρος εὔστροφα κῶλα τιταίνων
> Ἀλκιμένης πτανῶν εἶργον ἄπωθε νέφος.

Καὶ αὖθις· Ῥουφῖνος δὲ οἱ μεταξὺ ἐπανήκων ἐνέτυχε πόλεως Νισίβιδος οὐ μακρὰν ἄποθεν. καὶ Ἄποθέν γέ ποθεν, ἀπό τινος μέρους [9] ἰσημέρου.

Ἀποθέσθαι. ἀποθησαυρίσαι, ἀποταμιεῦσαι. Ὁ δὲ βουλόμενος μηδένα χρόνον ἀργὸν ποιεῖν, προέθετο τὸ τοῦ χειμῶνος ἄπρακτον εἴς τινας χρείας ἀποθέσθαι.

Ἀποθεσπίσαι. δογματίσαι. ἐκθέσθαι. εἰπεῖν.

Ἀπόθετον. τὸ ἀποτεθησαυρισμένον.

Ἀποθήκην. ἀντὶ τοῦ ἀποστροφήν. Φίλιστος.

Ἀποθλίβειν. ἐν τῷ Βλιμάζειν.

Ἀπόθητος. ὁ μὴ ποθούμενος.

Ἀποθνήσκοντας [10] ἐν πολέμῳ ὁρῶ τοὺς περὶ πλείστου ποιουμένους τὸ ζῆν, καὶ ζῶντας, ὅσοι τοῦ ζῆν ἀπεγνώκεισαν. κἀγὼ μαχήσομαι ὡς ἀποθανούμενος, καὶ οἶδ' ὅτι περιέσομαι. Λάκων γάρ εἰμι ἄνωθεν, καὶ οἶδα τὴν πρὸς Λεωνίδαν ἐπιστολὴν τῶν τελῶν· Μα-

Ἀποδρέψεσθε. Decerpetis. [Rodetis.] *Ubi & pinguem caſeum rodetis.*

Ἀποδρύφω. Excorio.

Ἀποδύντες. [Interdum dicitur] pro ἀποδυσάμενοι, i. e. qui ſe ad aliquam rem accinxerunt. Per tranſlationem ductam ab athletis, qui veſtem exteriorem exuere ſolent, ut contentius luctentur. Ariſtophanes: *Sed ad certamen nos accingentes Anapæſtis eos inceſſamus.*

Ἀποδυσπετεῖ. Luget. [Ægre fert. Animo concidit.] *Malis vexati animo concidere coguntur.*

Ἀπὸ ἕθεν. A ſe.

Ἀποζῆν. Tenuiter & parce vivere. Ζῆν vero, in deliciis & luxu vivere. *Iis bonis contentus erat, unde victitare vitamque tolerare poſſet.*

Ἀπόζων. Genitivo jungitur. Redolens. Odorem ſpirans.

Ἀπόειπε. Nega. Recuſa.

Ἀποθανεῖν. Mori. *Si quis ipſam tantum* [*mortem*] *intueatur, & cogitatione ab illa ſubmoveat, quæ prima ſpecie imaginationem noſtram terrent, nihil aliud eam eſſe putabit, quam naturæ opus. Naturæ vero opus quiſquis formidat, puer eſt. Hoc autem non ſolum eſt naturæ opus, ſed etiam illi conducit.* [*Conſiderandum etiam eſt,*] *quomodo & qua ſui parte homo Deum attingat.*

Ἀποθάνω. Moriar. Subjunctivus. Et Ἀποθάνωμεν, itidem. *Patre ejus mortuo multum pecuniæ perſolvit.*

Ἄποθεν. Seorſim. Item, procul, eminus. *Fundæ e corio factæ & ſaxa jaculantis* bene *tortas rotans habenas ego Alcimenes volucrum procul arcui nubem.* Et rurſus: *Rufinus vero inter redeundum in ipſum incidit, non procul ab urbe Niſibide.* Et Ἄποθέν γέ ποθεν, alicunde.

Ἀποθέσθαι. Reponere. Recondere. *Ille vero, cum nullum tempus ocioſum traducere vellet, hibernum ocium negociis quibuſdam neceſſariis impendere ſtatuit.*

Ἀποθεσπίσαι. Decretum ferre. Exponere. Pronuntiare.

Ἀπόθετον. Repoſitum. Reconditum.

Ἀποθήκην pro ἀποστροφήν dixit Philiſtus.

Ἀποθλίβειν. Exprimere. Vide in voce Βλιμάζειν.

Ἀπόθητος. Qui non deſideratur.

Ἀποθνήσκοντας ἐν πολ. *Video illos, qui vitam plurimi faciunt, in bello mori, & illos vivere, qui de ſalute deſperaverant. Quamobrem & ego ut moriturus pugnabo, & ſcio me ſuperſtitem fore. Lacon enim ſum a prima generis origine, & ſcio, quid Ephori ad Leonidam ſcripſerint:*

---

[1] Οὗ καὶ πίονα τυρὸν ἀπ.] Hæc verba decerpta ſunt ex Epigrammate in mures, quod exſtat Anthol. lib. I. cap. XXXIII. pag. 70.

[2] Ἀποδύντες. ἀντὶ τοῦ ἀποδ.] Vide quæ de ſignificatione hujus vocis notamus infra ad v. Ἡ δεῖ κτλ.

[3] Χορεύσωσιν] Malim παλαίσωσιν, i. e. luctentur.

[4] Ἀποζῆν. τὸ εὐτελῶς ζῆν.] Hæc repetuntur infra v. Ζῆν.

[5] Ἀπόειπε. ἀπάρνησαι] Ex Schol. Homeri ad Il. Γ. v. 406.

[6] Ἐάν τις αὐτὸ μόνον εἰδῇ καὶ τῷ μερ.] Hæc, & quæ ſequuntur, ſunt verba Marci Antonini Imperatoris lib. II. §. XII.

[7] Ἄποθεν] Sic MSS. Pariſ. In prioribus vero Edit. male ſcriptum ἄπωθεν, per ω.

[8] Ῥινοῦ χερμαστῆρος εὔστρ.] Diſtichum hoc legitur Anthol. lib. III. cap. XVI. Ep. I.

[9] Ἰσημέρου] Hanc vocem, tanquam ſupervacaneã, delendã cenſeo.

[10] Ἀποθνήσκοντας ἐν πολ.] Elegans hoc fragmentum depromptũ eſt ex Syneſii Epiſt. CXIII.

χέσθαι ὡς τεθναξόμενοι, καὶ οὐ τεθνάξονται.

Ἀπόθου. ἀποβαλοῦ. Ἀπώθου δὲ, ὤθησον.

Ἀποθώμεθα. αὐθυπότακτον. ἀντὶ τοῦ ἀποβαλλώμεθα.

Ἀποθραυσθῇς. ἐκπέσῃς. [1] Μηδ᾽ εἰς ὀρχηστρίδος εἰσάττῃς (τουτέστιν εἰσέλθῃς) μήποτε τῆς εὐκλείας ἀποθραυσθῇς.

Ἀποθρέξεις. συναποδράσεις. οὕτω Πλάτων.

Ἀποθρώσκοντα. ἀποπηδῶντα.

Ἀποθύμια. λυπηρά. τὰ μὴ καταθύμια.

Ἀπὸ θυμοῦ. Δείσας οὖν μὴ ἀπὸ θυμοῦ γένηται τῷ βασιλεῖ, μὴ θαρσήσας αὐτὸν ἐπιβαίνει τοῦ πορθμείου. Καὶ αὖθις· Τοῖς μὲν ὀλίγοις τε, καὶ ὧν ὄφελός τι ἐν παντὶ ἔθνει, ἀπὸ θυμοῦ εἶναι τὰς λεηλασίας. Καὶ [2] ἀπὸ θυμοῦ. μισητός. Ἐπεὶ δὲ οὐκ ἀπὸ θυμοῦ ἦν αὐτοῖς ἄρχων ὁ Αὔγαρος.

Ἀποθυννίζω. τὸ ἀποπέμπομαι, καὶ παραλογίζομαι.

Ἀπὸ [3] ἵππων ἐπ᾽ ὄνους. ἐπὶ τῶν κατὰ τὸ χεῖρον τρεπομένων.

Ἄποκα πρόβατα. ἄκουρα.

Ἀποκαθεύδουσιν. ἀντὶ τοῦ ἀποκοιτοῦσιν. Εὔπολις. τουτέστι γυναῖκα χωρίζεσθαι ἀνδρὸς, καὶ ἀφίστασθαι.

Ἀποκαθιστῶν. διδούς. χαριζόμενος. [4] Σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί. τουτέστι τὴν τῶν ἐθνῶν βασιλείαν, τὴν προτέραν δεσποτείαν ἀποδιδούς.

Ἀποκακήσαντες. [5] ἀφροντιστήσαντες. [6] Παρὰ δὲ Σώφρονι ἀποκακήσαντες.

Ἀπὸ [7] καλοῦ ξύλου κἂν ἀπάγξασθαι. θέλει λέγειν, ὅτι βέλτιόν ἐστι χρῆσθαι τοῖς γενναίοις στρατηγοῖς καὶ δεδοκιμασμένοις, ἢ τοῖς φαύλοις. κἂν γὰρ δέῃ παθεῖν, κρεῖττον ἀπ᾽ ἀγαθοῦ ἢ φαύλου πάσχειν. καὶ Ἀριστοφάνης·

Κἄν τι σφαλῆτ᾽, ἐξ ἀξίου γοῦν τοῦ ξύλου.

Ἀποκαραδοκία. προσδοκία. καὶ Ἀποκαραδοκῶν. [8] προσδοκῶν. Ὁ δὲ καθῆστο ἐν τῇ παρεμβολῇ, ἀποκαραδοκῶν, ὅποι καὶ τύχης χωρήσοι τὰ πράγματα. σημαίνει δὲ καὶ τὴν ἀνελπιστίαν.

Ἀποκαρτερήσαντα. ἑαυτὸν λιμῷ ἢ ἀγχόνῃ τοῦ βίου ἐξαγαγόντα. [9] Λυκοῦργον τὸν Λακεδαιμόνιον νομοθέτην, μετὰ τὸ θεῖναι τοὺς νόμους, ἐλθόντα εἰς Κρήτην ἀποκαρτερῆσαι, ὅπως μὴ αὐτοὺς ἀναγκασθείη λῦσαι. Καὶ αὖθις· Ὁ δὲ Ἀναξαγόρας ἐλθὼν ἐν Λαμψάκῳ, καὶ ἀποκαρτερήσας, τὸν βίον κατέστρεψε.

Pugnent ut mox morituri, & non morientur.

Ἀπόθου. Depone. Abjice. Ἀπώθου vero, repelle.

Ἀποθώμεθα. Subjunctivus, pro ἀποβαλλώμεθα, abjiciamus.

Ἀποθραυσθῇς. Excidas. *Neque in ſaltatricis domum ingrediaris, ne forte bona tua exiſtimatione excidas.*

Ἀποθρέξεις. Curſu aufugies. Sic Plato.

Ἀποθρώσκοντα. Proſilientem.

Ἀποθύμια. Moleſta. Ingrata.

Ἀπὸ θυμοῦ. [Diſplicens. Ingratum.] *Veritus igitur, ne Regi id diſpliceret, cum nulla ſpe animum ejus confirmaſſet, pontonem intravit.* Et iterum: *Et paucioribus quidem illas prædationes diſplicere.* Et ἀπὸ θυμοῦ, inviſus. *Quoniam vero Abgarus Præfectus illis non erat inviſus.*

Ἀποθυννίζω. Repudio. Decipio.

Ἀπὸ ἵππων ἐπ᾽ ὄνους. *Ab equis ad aſinos.* In eos, qui [a melioribus] ad deteriora tranſeunt.

Ἄποκα πρόβατα. Pecora intonſa.

Ἀποκαθεύδουσιν. Secubant. Eupolis. Dicitur de uxore, quæ a marito ſe ſeparat.

Ἀποκαθιστῶν. Dans. Largiens. [Reſtituens.] *Tu es ille, qui hæreditatem meam mihi reſtituis.* Hoc eſt, qui gentium regnum & priorem dominationem mihi reddis.

Ἀποκακήσαντες. Quibus nihil curæ eſt. Securi. Apud Sophronem.

Ἀπὸ καλοῦ ξύλου κἂν ἀπ. *E nobiliori ligno vel ſuſpendar.* Significare vult, præſtare fortibus & ſpectatæ virtutis ducibus uti, quam malis & ignavis. Nam ſi quid incommodi pati oporteat, præſtare illud boni quam mali [ducis] culpa pati. Et Ariſtophanes: *Et ſi quid peccaveritis, ex meliori ſaltem ligno [ſuſpendamini.]*

Ἀποκαραδοκία. Expectatio. Et Ἀποκαραδοκῶν, expectans. *Ille vero in caſtris ſedebat, expectans, quem eventum res habituræ eſſent.* Significat etiam deſperationem.

Ἀποκαρτερήσαντα. Qui vel inedia vel laqueo mortem ſibi conſcivit. [*Ferunt*] *Lycurgum, Lacedæmoniorum legiſlatorem, poſtquam leges tuliſſet, in Cretam profectum inedia vitam finiviſſe, ne ipſe eas abrogare cogeretur.* Et rurſus: *Anaxagoras autem Lampſacum profectus inedia vitam finivit.*

---

[1] Μηδ᾽ εἰς ὀρχηστρίδος εἰσ.] Apud Ariſtophanem *Nubib.* pag. 180. (109. Ed. Baſ. P.) locus hic ita legitur:

Μηδ᾽ εἰς ὀρχηστρίδος εἰσιέναι, ἵνα μὴ πρὸς ταῦτα κεχηνὼς
Μήλῳ βληθεὶς ὑπὸ πορνιδίου, τῆς εὐκλείας ἀποθραυσθῇς.

Vide infra v. Ἄχρηστα, & v. Εἰσάττειν.

[2] Καὶ ἀπὸ θυμοῦ. μισητός. Ἐπεὶ δὲ οὐκ ἀπὸ θ.] Locum hunc, qui in prioribus Edit. mutilus eſt, ex MSS. ſupplevi.

[3] Ἀπὸ ἵππων ἐπ᾽ ὄνους] Huic proverbio contrarium eſt illud: Ἀπὸ βραδυσκελῶν ὄνων ἐφ᾽ ἵππους: de quo vide ſupra ſuo loco.

[4] Σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί] Hæc ſunt verba Davidis Pſalm. XVI, 5.

[5] Ἀφροντιστήσαντες] Hæc interpretatio potius convenit voci Ἀποκηδήσαντες. Vide Heſych. h. v.

[6] Παρὰ δὲ Σώφρονι ἀποκακήσαντες] Hæc nihili ſunt, & ex voce Ἀποκηδήσαντες (quam vide) inepte huc tranſlata.

[7] Ἀπὸ καλοῦ ξύλου κἂν ἀπ.] Hæc, & quæ ſequuntur, leguntur etiam ſupra v. Ἄξιον.

[8] Προσδοκῶν] Hæc vox a prioribus Edit. abeſt, quam ex 2 MSS. Pariſ. revocavi.

[9] Λυκοῦργον τὸν Λακεδαιμόνιον νομ.] Hoc fragmentum legitur etiam v. Ἀποκαρτερῆσαι.

Ἀπὸ¹ καταδυομένης. λείπει, ὅ, τι ἂν λάβῃς, κέρδος. ἀπὸ τῶν ἐμπόρων ἡ μεταφορὰ, οἱ καταδυομένης τῆς νεὼς, ὅ, τι ἂν λάβωσι, κέρδος ἡγοῦνται.

Ἀποκαταλλάξαι. φιλοποιῆσαι.

Ἀποκατέστην.² ἀπεδόθην. ³Ἀποκατέστη τοῖς περὶ τὸν ⁴Ζὶχ τὰ ὀφειλόμενα χρήματα τῶν ζ΄ ἐνιαυτῶν.

Ἀποκαυλίζεσθαι⁵ τὸν μηχανικὸν κριόν.

Ἀποκαίνυμι.⁶ νικῶ. ἀπὸ τοῦ καίνω, τὸ φονεύω, καίνυμι, ἐκαινύμην. μεταφορικὴ δὲ ἡ λέξις. κυρίως γὰρ ἐπὶ τῶν φονευόντων καὶ νικώντων λαμβάνεται. ἢ παρὰ τὸ αἴνυσθαι καὶ λαμβάνειν ἆθλον τοὺς νικῶντας.

Ἀποκεκλήκαμεν. ἀπηγορεύσαμεν. καὶ ⁷Ἀριστοφάνης Ὄρνισιν· Ἀποκεκλήκαμεν διογενεῖς θεοὺς μηκέτι τὴν πόλιν διαπερᾶν.

Ἀποκεκραιπαλισμένος. τῆς κραιπάλης ἀπαλλαγεὶς καὶ μέθης.

Ἀποκεκρουσμένον. οἷον ἠκρωτηριασμένον. ἀποκεκλασμένον, καὶ κεκολοβωμένον. ⁸Δός μοι κυλίκιον, τὸ χεῖλος ἀποκεκρουσμένον. ποτήριον. Ἀριστοφάνης Ἀχαρνεῦσιν.

Ἀποκεκύφαμεν. Ἀριστοφάνης· ⁹Οἱ γὰρ ἄνδρες, ὥσπερ λαμπτηροφόροι ὄντες, ἀποκεκύφαμεν. οἱ γὰρ λυχνοφοροῦντες κεκύφασι διὰ τὸν ἄνεμον.

Ἀποκείλαντες. ἀποκλίναντες.

Ἀποκείραντες, καὶ κείραντες, ἑκατέρως λέγουσιν.

Ἀποκεῖσθαι πόῤῥω. ἀτιμάζεσθαι. οὕτω Κρατῖνος.

Ἀποκηδήσαντες.¹⁰ Ὅμηρος.¹¹ παρὰ δὲ Σώφρονι ἀποκακήσαντες, ἀφροντιστήσαντες. καὶ Ἀποκηδήσονται, τὴν λύπην ἀφαιρήσονται.

Ἀποκήρυκτον. ἀλλότριον. ¹²ὅτι ὁ λέγων τοὺς ἀποκηρύκτους φαύλους εἶναι ἁπλῶς, δόξαι ἂν λέγειν ἐξ ἀνάγκης τοιούτους αὐτοὺς εἶναι· οὐ μὴν οὕτως ἔχει. ἐνδέχεται γάρ τινα μὴ τοιοῦτον εἶναι ἀποκήρυκτον γενόμενον. Θεμιστοκλέα γοῦν ἀποκήρυκτόν φασι γενέσθαι· οὐ μὴν φαῦλος ἦν. καὶ ¹³Ἀποκηρύττοντες, ἀντὶ τοῦ πιπράσ-

Ἀπὸ καταδυομένης. *Ex [nave,] quæ ſubmergitur.* Deſideratur, quidquid ceperis, lucrum eſt cenſendum. Tranſlatio ducta eſt a mercatoribus, qui, cum navis ſubmergitur, quodcunque naufragio eripuerint, id in lucro ponunt.

Ἀποκαταλλάξαι. Reconciliare.

Ἀποκατέστην. Reſtitutus ſum. *Zichio debita ſeptem annorum pecunia reddita eſt.*

Ἀποκαυλίζεσθαι. Dicitur de ariete, machina bellica, cum roſtrum ejus defringitur vel decurtatur.

Ἀποκαίνυμι. Vinco. A verbo καίνω, quod ſignificat occido. A καίνυμι fit ἐκαινύμην. Eſt vocabulum metaphoricum. Proprie enim dicitur de illis, qui aliquos interficiunt & vincunt. Vel deductum eſt ab αἴνυμαι, quod ſignificat accipio; quod victores accipiant præmium.

Ἀποκεκλήκαμεν. Interdiximus. Ariſtophanes *Avibus: Interdiximus, ne Dii, Jove nati, urbem noſtram amplius tranſirent.*

Ἀποκεκραιπαλισμένος. Cui crapula & ebrietas deceſſit.

Ἀποκεκρουσμένον. Mutilatum. Fractum. Decurtatum. Ariſtophanes *Acharnenſibus: At da mihi poculum, cujus labrum eſt fractum.* [Κυλίσκιον hic idem ſignificat quod] ποτήριον.

Ἀποκεκύφαμεν. Corpore incurvato incedimus. Ariſtophanes: *Nam nos viri, tanquam lucernam ferentes, incurvati incedimus.* Qui enim lucernas ferunt, cernui incedunt propter ventum.

Ἀποκείλαντες. Declinantes.

Ἀποκείραντες, & κείραντες, utrumque [eodem ſenſu] dicitur.

Ἀποκεῖσθαι πόῤῥω. Contemni. Nullo in honore haberi. Sic Cratinus.

Ἀποκηδήσαντες. Negligentes. Homerus. Apud Sophronem vero accipitur pro ἀποκακήσαντες, malis ſuccumbentes. Et Ἀποκηδήσονται, a triſtitia & mœrore liberabuntur.

Ἀποκήρυκτον. Abdicatum. Qui ſimpliciter dicit, abdicatos eſſe improbos, dicere videtur, eos neceſſario tales eſſe. Non tamen ita ſe res habet. Nam fieri poteſt, ut aliquis, qui fuerit abdicatus, non ſit talis. Themiſtoclem enim abdicatum fuiſſe dicunt: qui tamen malus non fuit. Item ἀποκηρύττοντες ac-

---

1 Ἀπὸ καταδυομένης] In proverbio hoc interpretando Eraſmus a vero ſenſu procul aberravit, qui eam ob cauſam caſtigatur ab Henr. Steph. in Animadverſ. ad Adag. Eraſmi pag. 21, 22. quem conſule.

2 Ἀποκατέστην. ἀπεδόθην. Ἀποκατ.] Locum hunc antea mutilum ex 2 MSS. Pariſ. ſupplevi.

3 Ἀποκατέστη τοῖς περὶ τὸν Ζὶχ τὰ ὀφειλ.] Hæc ſunt verba Menandri in *Excerpt. Legat.* ab Hœſchelio editis, pag. 143.

4 Ζὶχ] Hoc nomine primaria quædam dignitas apud Perſas appellabatur, ut teſtatur Menander in iiſdem Excerptis, pag. 133. Id autem propterea moneo, ne quis vocabulum Ζὶχ ſpurium eſſe exiſtimans temere aſſentiatur MSS. Pariſ. in quibus pro περὶ τὸν Ζὶχ, legitur, περὶ τὸν ζ΄ χρόνον, i. e. *circa ſeptimum annum*: quæ παραδιόρθωσις procul dubio profecta eſt a librariis, quibus nomen Ζὶχ ſuſpectum erat. Fateor & me lectionem MSS. Pariſ. olim probaſſe, & vocabulum Ζὶχ, tanquam ſpurium, damnaſſe, antequam incidiſſem in locum Menandri, ex quo fragmentum hoc a Suida depromptum eſt.

5 Ἀποκαυλίζεσθαι] Hoc vocabulo de ariete, machina bellica, uſus eſt Thucydides lib. II. cap. LXXVI. ut notarunt jam alii.

6 Ἀποκαίνυμι. νικῶ. ἀπὸ τοῦ καίνω.] Eadem habet Etymologus.

7 Ἀριστοφάνης Ὄρνισιν] Pag. 415. *P.*

8 Δός μοι κυλίκιον, τὸ χ.] Apud Ariſtoph. *Acharnenſ.* pag. 393. (280. Ed. Baſ. *P.*) locus hic ita legitur:

———Ἀλλά μοι δὸς ἓν μόνον
Κυλίσκιον, τὸ χεῖλος ἀποκεκρουσμένον.

9 Οἱ γὰρ ἄνδρ.] Apud Ariſtoph. *Lyſiſtr.* pag. 897. (563. Ed. *P.*) locus hic aliter legitur; quem vide.

10 Ἀποκηδήσαντες. Ὅμηρος. παρὰ δὲ Σώφρ.] Locus hic turbatus eſt, quem ſic conſtituendum puto: Ἀποκηδήσαντες. ἀφροντιστήσαντες. Ὅμηρος. παρὰ δὲ Σώφρονι ἀποκακήσαντες. καὶ Ἀποκηδήσονται &c. Hunc ordinem in verſione ſecutus ſum.

11 Ὅμηρος] Il. Ψ. v. 413. ubi Scholiaſta τὸ ἀποκηδήσαντε exponit ἀφροντιστήσαντε, ἀμελήσαντε.

12 Ὅτι ὁ λέγων τοὺς ἀποκ.] Hæc, & quæ ſequuntur uſque ad οὐ μὴν φαῦλος ἦν, ſunt verba Alex. Aphrod. in lib. II. Topic. p. 96.

13 Καὶ ἀποκηρύττοντες, ἀντὶ τοῦ πιπρ.] Ex Harpocratione.

κοντες. οὕτω Δημοσθένης καὶ Πλάτων. οἱ δέ φασι διαφέρειν ἐκποίητον ἀποκηρύκτου· ὅτι ὁ μὲν ἀποκήρυκτος ἐπὶ κολάσει ἐκβάλλεται· ὁ δὲ ἐκποίητος ὑπὸ τοῦ φύσει πατρὸς εἰς ἕτερον οἶκον δίδοται προθέσει.

conſilio a patre naturali in alteram familiam

Ἀποκινδυνεύοντες. ἀποτολμῶντες, ἀποδειλιῶντες. Ὁ δὲ Σερτώριος, ὁ τῶν Ῥωμαίων στρατηγός, καίπερ θρασέως τῶν Ἰβήρων ἐκ τοῦ τὰ πλείω κατορθοῦν ἐχόντων, οὐκ ἀποκινδυνεῦσαί ποτε ἐτόλμησεν.

Ἀποκινεῖν. τὸ ἀπέρχεσθαι, καὶ ἀποτρέχειν. λέγεται καὶ ἐπὶ πλοίων καταγομένων καὶ ὁρμιζομένων ἀποκινεῖν ταῖς κώπαις.

Ἀπόκινος.[1] εἶδος ὀρχήσεως.

Ἀποκλήρωσις. μέρος εἰς ἀμείνονα λῆξιν. Ἀποκληρῶσαι θεοποιῷ φροντίδι οὐδὲν ὤκνησε. λῆξις δέ ἐστι μερίς, παῦσις, κληρονομία.

Ἀπόκλητοι. κεκλημένοι. Οὐ[2] τὴν κοινὴν προσδεξάμενοι σύνοδον, οὔτε τοῖς Ἀποκλήτοις συμμεταδόντες, τὰς αὐτῶν κρίσεις διαλαβόντες, πόλεμον ἐξήνεγκαν. Καὶ αὖθις Πολύβιος· Τριάκοντα τῶν Ἀποκλήτων προεχειρίσαντο τοὺς συνεδρεύοντας μετὰ τοῦ βασιλέως. Καὶ αὖθις· Ὁ δὲ συνῆγε τοὺς Ἀποκλήτους, καὶ διαβούλιον ἀνεδίδου περὶ τῶν ἐνεστώτων.

Ἀπόκλιμα τῶν ὀρέων. ἀντὶ τοῦ ἀπόνευμα.

Ἀποκναίει.[3] διαφθείρει. ἀποκόπτει.[4] ἀπολλύει. λυπεῖ. ὀδυνᾷ.

Ἀποκναίειν. ἐνοχλεῖν. παρενοχλεῖν.

Τί[5] οὐ καθεύδεις; σύ μ' ἀποκναίεις περιπατῶν. Μένανδρος Μισουμένῳ. † Οὐ[6] γὰρ ἀποκναίω τῷ μεγέθει τῆς ἀρετῆς τὸν ἄνδρα, λέγω δὴ τὸν Ἡρακλέα, ἐν δευτέρῳ τιθείς· εἰ καὶ τῷ[7] παραλλήλῳ λειπόμεθα. Φησὶ[8] Σιμόκατος Θεοφύλακτος. Καὶ αὖθις· Οἱ[9] ἄνθρωποι ἐπὶ Ἰουστινιανοῦ ὑπὸ τῶν φορολόγων ἀγχόμενοι καὶ ἀποκναιόμενοι τόκοις ὀφλημάτων ἀειρρύτοις τισί, δυσθανατοῦντες ἀκούσιοι διεβίωσαν.

Ἀπόκνιζε.[10] ἀπόσκαλλε, ἢ ἀπότιλλε.

Ἀποκοπῆναι[11] τῶν ἰχνῶν τὴν κύνα λέγουσιν, ὅταν μηκέτι εὑρίσκῃ τὰ ἴχνη.

Ἀποκόπους. ἐκτομίας. καὶ ἀντὶ τοῦ ἀσθενεῖς δὲ κεῖται.

Ἀποκραιπαλισμός. κραιπάλης ἀπαλλαγὴ καὶ μέθης.

Ἀπόκριμα. κατάκριμα.

cipitur pro πιπράσκοντες, vendentes. Sic Demoſthenes & Plato. Alii vero dicunt ἐκποίητον ab ἀποκήρυκτος differre. Ἀποκήρυκτος enim is dicitur, qui pœnæ cauſa [ex familia] ejicitur. Ἐκποίητος vero, qui certo [per adoptionem] datur.

Ἀποκινδυνεύοντες. Audentes. Periculum ſubeuntes. Item, præ metu periculum fugientes. *Sertorius, Romanorum dux, quamvis ob ſecunda prælia Iberis audacia & animi creviſſent, non tamen belli fortunam tentare auſus eſt.*

Ἀποκινεῖν. Abire, & curſu diſcedere. De navibus etiam quæ ad littus appelluntur & portum ſubeunt dicitur ἀποκινεῖν ταῖς κώπαις.

Ἀπόκινος. Saltationis genus.

Ἀποκλήρωσις. Portio hæreditatis melioris * * * * * Λῆξις ſignificat partem, ceſſationem, hæreditatem.

Ἀπόκλητοι. Evocati. Vocati. *Non expectato communi concilio, nec re cum Apocletis communicata, de propria ipſorum voluntate & judicio bellum ſuſceperunt.* Et iterum Polybius: *Triginta ex Apocletis elegerunt, qui Regi aſſiderent.* Et iterum: *Ille vero coegit Apocletos, & cum ipſis de præſenti rerum ſtatu conſultare cœpit.*

Ἀπόκλιμα τῶν ὀρέων. Montium declivitas.

Ἀποκναίει. Corrumpit. Amputat. Perdit. Dolore afficit. Vexat. Cruciat.

Ἀποκναίειν. Turbare. Vexare. *Cur non dormis? moleſtiam enim mihi exhibes ambulando.* Menander *Odioſo.* † *Non enim vereor magnitudine virtutis Herculem poſtponere: tametſi alioqui, quem cum eo conferamus, non habeamus.* Sic Theophylactus Simocatta inquit. Et iterum: *Sub Juſtiniano homines a tributorum exactoribus graviter affligebantur, & perpetuis uſuris vexati nec mori facile poterant, & vitam inviti trahebant.*

Ἀπόκνιζε. Abrade. Avelle. Vellica.

Ἀποκοπῆναι τῶν ἰχνῶν. Dicitur de cane, cum veſtigia amplius invenire non poteſt.

Ἀποκόπους. Exſectos. Significat etiam infirmos.

Ἀποκραιπαλισμός. Liberatio a crapula & ebrietate.

Ἀπόκριμα. Condemnatio.

---

[1] Ἀπόκινος. εἶδος ὀρχήσεως] Ex Scholiaſta Ariſtoph. ad *Equit.* pag. 289.

[2] Οὐ τὴν κοινὴν προσδεξάμενοι σύνοδον, οὔτε τοῖς Ἀποκλ.] Hæc deſcripta ſunt ex Polyb. lib. iv. cap. v. ubi ſic legitur: Οὔτε κοινὴν τῶν Αἰτωλῶν προσδεξάμενοι σύνοδον, οὔτε τοῖς Ἀποκλήτοις συμμεταδόντες, οὐδὲ μὴν ἄλλο τῶν καθηκόντων οὐδὲν πράξαντες, κατὰ δὲ τὰς αὐτῶν ὁρμὰς καὶ κρίσεις διαλαβόντες &c.

[3] Ἀποκναίει. διαφθείρει. ἀποκ.] Ex Scholiaſta Ariſtoph. ad *Veſpas* pag. 480.

[4] Ἀπολλύει] In prioribus Edit. excuſum eſt ἀποκνίζει. Sed ἀπολλύει habent MSS. Pariſ. & Schol. Ariſtoph. loco laudato.

[5] Τί οὐ καθεύδεις; σύ μ' ἀποκν. περιπατῶν. Μένανδρος Μισ.] Et hæc ex Scholiaſta Ariſtoph. ad *Veſpas* excerpſit Suidas.

[6] Οὐ γὰρ ἀποκναίω τῷ μεγέθει τῆς ἀρ.] Apud Theophylactum Simocattam lib. ii. cap. xviii. unde fragmentum hoc depromptum eſt, legitur, οὐ γὰρ ἀποκνέω: quam lectionem in verſione ſecutus ſum.

[7] Τῷ παραλλήλῳ λειπόμεθα] Sic recte legitur in 2 MSS. Pariſ. itemque apud Theophyl. Simoc. loco laudato, & infra v. Σάπειρ, ubi fragmentum hoc repetitur. Priores vero Edit. minus recte hic exhibent τῶν παραλλήλων λειπόμεθα.

[8] Σιμόκατος] Priores Edit. male exhibent Τιμόκρατος, cujus loco Σιμόκατος ex 2 MSS. Pariſ. repoſui.

[9] Οἱ ἄνθρωποι ἐπὶ Ἰουστιν. ὑπὸ τῶν φορολόγων ἄγχ.] Hæc apud Procopium in *Hiſtor. Arcana* me legiſſe memini.

[10] Ἀπόκνιζε] Sic duo MSS. Pariſ. habent. In prioribus vero Edit. excuſum eſt ἀπόκνυζε, per υ.

[11] Ἀποκοπῆναι τῶν ἰχνῶν τὴν κύνα λέγουσιν, ὅταν μηκ. εὑρ. τὰ ἴχνη] Hæc apud Artemidorum me legiſſe memini.

Ἀποκρίθητι. Δημοσθένης· Ἀπόκριναι, δεῦρο μοι παρελθών. Ἀποκρινεῖται δὲ λέγουσι μᾶλλον, ἢ ἀποκριθήσεται. Μένανδρος Κανηφόρῳ·

Ὁ δ' ἀποκρινεῖται, κἂν ἐγὼ λέγοιμί σοι
Ὑποβολιμαῖα. ὡς μηδὲν ἀποκρινούμενα δ'
Οὕτω λαλεῖν. ——

Καὶ [1] Ἀπόκρισις, ἡ ἀπολογία. οὕτω Λυσίας καὶ Ἀντιφῶν. ἀλλὰ καὶ Δημοσθένης λέγει ἐν τῷ κατ' Αἰσχίνου, ὡς προείρηται.

Ἀποκρότῳ. τραχείᾳ. [2] Οἱ δὲ ἀπεχωλοῦντο ἐν γῇ ἀποκρότῳ τε καὶ συνεχῶς ταλαιπωροῦντες.

Ἀποκρούεσθαι. αἰτιατικῇ. ἀποβάλλεσθαι.

Ἀποκτείνω. φονεύω. καὶ Ἀποκτεῖναι, φονεῦσαι. καὶ Ἀποκτείνῃς, αὐθυπότακτον.

Ἀποκτιννύναι. φονεῦσαι. Ἀποκτιννῦσι λέγουσι μᾶλλον, ἢ ἀποκτιννύει. Κρατῖνος Βουκόλοις· [3] Καὶ πρὸς τὸν οὐρανὸν σκιαμαχῶν ἀποκτιννῦσι ταῖς ἀπειλαῖς. [4] Καὶ Ἀπεκτόνασιν, οὐκ ἀπεκτάκασι. Μισοῦσι μὲν, ὦ πάτερ, Θράσωνα· ἀπεκτάκασι δ' οὔ.

Ἀπόκοιτος. πόῤῥω τῆς κοίτης. [5] Ὁ δὲ τῇ δοκήσει καταπαννυχίζετο τῆς δειλίας ἀπόκοιτος.

Ἀποκυηθέν. τεχθέν. καὶ Ἀποκυΐσκω, τὸ γεννῶ.

Ἀπολαβόντες. ἐναποκλείσαντες. Οἱ δὲ τὴν στρατιὰν αὐλῶσι στενοῖς καὶ δυσεμβόλοις ἀπολαβόντες, ἐς διαλλαγὰς ἐλθεῖν αἰσχρὰς ἠνάγκασαν. Καὶ Ἰώσηπος· Διώξαντες ἀπολαμβάνουσι τοὺς πολεμίους ἐν κοίλῳ χωρίῳ, καὶ πάντας κτείνουσι. Καὶ αὖθις· Τὸ γὰρ χωρίον ἀμφοτέροις ἤρεσε· τοῖς μὲν, ὅτι ἀπολαβόντες εἰς αὐτὸ τοὺς Ῥωμαίους ὑποσπόνδους ἀφῆκαν, πρὸς ἔνδειξιν ὧν προευηργέτηντο.

Ἀπολακτίζω. Καὶ [6] ἀπελάκτισεν ὁ ἠγαπημένος. τουτέστιν, ἀπεσκίρτησεν.

Ἀπολαύειν. γενικῇ. Ἀπολαύειν οὐκ ἐπὶ τῶν ἡδέων μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἐναντίων τάττουσιν. ὡς Ἰσοκράτης· Δέδοικα μή τι κακὸν ἀπολαύσαιμι. Καὶ Μαρκελλῖνος περὶ Θουκυδίδου φησίν· Οὔτε [7] Κλέων, οὔτε Βρασίδας, ὁ αἴτιος τῆς συμφορᾶς, ἀπέλαυσε λοιδορίας, ὡς ἂν τοῦ συγγραφέως ὀργιζομένου.

Ἀπολαχεῖν. τὸ διανείμασθαι τὰ πατρῷα, καὶ ἄλλα [8] τινὰ δόντα πρός τινας. καὶ ἀπολαχεῖν. Διαλαχεῖν δὲ, τὸ διανεμεῖσθαι οἱ ῥήτορες εἰρήκασι. Ἀντιφῶν· Ὁπόταν ἄνθρωποι βούλοιντο χρήματα διαλαγχάνειν. [9] Ἀπολαχεῖν, ἀντὶ τοῦ διαλαχεῖν. οὕτω Λυσίας καὶ Ἀριστοφάνης καὶ Ἀντιφῶν.

Ἀπολάψεις. [10] ἐὰν διὰ τοῦ ε ἀπολέψεις, τουτέστιν, ἀπολεπίσεις. [11] Ἀπολέψαντα τὸ λέμμα. Ἀπολε-

Ἀποκρίθητι. Reſponde. [Pro eodem dicitur etiam ἀπόκριναι.] Demoſthenes: *Huc progreſſus reſponde mihi.* Dicitur autem potius ἀποκρινεῖται quam ἀποκριθήσεται. Menander *Caniſtrifera*: ** ***** Et Ἀπόκρισις, oratio, qua reus ſe in judicio defendit. Sic Lyſias & Antipho. Quin etiam Demoſthenes, ut ante dictum, vocem hanc eo ſenſu accepit in oratione contra Æſchinem.

Ἀποκρότῳ. Aſpera. *Illi vero in aſpero ſolo aſſidue cum moleſtiis conflictantes claudi fiebant.*

Ἀποκρούεσθαι. Accuſativo jungitur. Repellere.

Ἀποκτείνω. Occido. Et Ἀποκτεῖναι, occidere. Et Ἀποκτείνῃς, ſubjunctivus.

Ἀποκτιννύναι. Interficere. Dicitur potius ἀποκτιννῦσι quam ἀποκτιννύει. Cratinus *Bubulcis*: *Et aerem vanis ictibus verberans [hoſtem] minis occidit.* Et Ἀπεκτόνασι dicitur, non ἀπεκτάκασι. *Oderunt quidem, o pater, Thraſonem, non autem interfecerunt.*

Ἀπόκοιτος. Procul a lecto cubans. *Ille vero ſecure & abſque metu ſe ibi pernoctare poſſe putabat.*

Ἀποκυηθέν. Partu in lucem editum. Et Ἀποκυΐσκω, genero, pario.

Ἀπολαβόντες. Intercipientes. Intercludentes. *Illi autem exercitum vallibus anguſtis & aditu difficilibus interceptum ad fœdas pacis conditiones adegerunt.* Et Joſephus: *Hoſtes perſequuntur, eoſque in loco concavo circumventos omnes interficiunt.* Et iterum: *Ille locus utriſque placuit, partim quidem, quod in eo circumventos Romanos fide data liberos dimiſiſſent, ut oſtenderent, ſe beneficiorum acceptorum eſſe memores.*

Ἀπολακτίζω. Recalcitro. *Et recalcitravit dilectus.*

Ἀπολαύειν. Genitivo jungitur, & non ſolum de rebus gratis & jucundis, ſed etiam contrariis dicitur. Ut Iſocrates: *Vereor, ne quo malo afficiar.* Et Marcellinus de Thucydide inquit: *Neque Cleonem neque Braſidam, calamitatis illius auctorem, iratus ſcriptor ſtilo maledico inſectatus eſt.*

Ἀπολαχεῖν. Bona paterna dividere. Διαλαχεῖν vero apud Oratores [ſimpliciter] dividere ſignificat. Antiphon: *Cum homines pecuniam dividere voluerint.* Ἀπολαχεῖν interdum pro ſimplici λαχεῖν ponitur. Sic Lyſias, Ariſtophanes, & Antipho.

Ἀπολάψεις. Si per ε ἀπολέψεις, ſignificat, decorticabis, corticem detrahes. [Ut apud

---

[1] Ἀπόκρισις, ἡ ἀπολογία. οὕτω Λυσίας] Ex Harpocratione.

[2] Οἱ δὲ ἀπεχωλοῦντο ἐν γῇ ἀποκρότῳ τε καὶ συν. κτλ.] Hæc ſunt verba Thucydidis lib. VII. cap. XXVII.

[3] Καὶ πρὸς τὸν οὐρανὸν σκιαμ.] Metrum fragmenti hujus prorſus turbatum eſt, de quo in integrum reſtituendo deſpero.

[4] Καὶ ἀπεκτόνασιν, οὐκ ἀπεκτάκασι] Imo ſcribendum potius eſt, καὶ ἀπεκτόνασι λέγεται καὶ ἀπεκτάκασι. Vide ſupra v. Ἀπεκτάκασι.

[5] Ὁ δὲ τῇ δοκήσει καταπαννυχίζετο τῆς δειλίας ἀπ.] Hæc ſunt verba Theophyl. Simocattæ lib. v. cap. I.

[6] Καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος] Deuteron. XXXII. 15.

[7] Οὔτε Κλέων, οὔτε Βρασίδας, ὁ αἴτιος τῆς συμφ.] Idem fragmentum legitur ſupra v. Ἀπήλαυσε.

[8] Καὶ ἄλλα τινὰ δόντα πρός τινας. καὶ ἀπολαχεῖν] Hæc verba, tanquam ſupervacanea, delenda cenſeo, quoniam quid ad hunc locum faciant, non video.

[9] Ἀπολαχεῖν, ἀντὶ τοῦ διαλαχεῖν] Reſcribe ex Harpocratione, Ἀπολαχεῖν, ἀντὶ τοῦ ἁπλοῦ τοῦ λαχεῖν.

[10] Ἀπολάψεις. ἐὰν διὰ τοῦ ε ἀπολ.] Hæc, & quæ ſequuntur, deſcripta ſunt ex Schol. Ariſtoph. ad *Nubes* pag. 172. ubi quædam rectius leguntur, quam hic apud Suidam.

[11] Ἀπολέψαντα τὸ λέμμα] Hæc decerpta ſunt ex Ariſtoph. *Avib.* pag. 572. (394. Ed. Baſ. *P.*)

πίσαντα ὥσπερ ᾠοῦ. ἐὰν δὲ ἀπολάψῃς, ἐκπίῃς. ἀπὸ τῶν κυνῶν ἡ μεταφορὰ, καὶ ὅσα λάπτοντα πίνει. καταστρέφει δὲ εἰς ἀποκερδανεῖς, ἀφαρπάσεις, ἀποσπάσεις. [1] Ὅμηρος· Λάπτοντες γλώσσῃσι. καὶ Ἀριστοφάνης Νεφέλαις· Γνοὺς [2] ἀπολάψεις ὅ, τι πλεῖστον δύνασαι ταχέως.

Ἀπολεγόμενος. παραιτούμενος. Πολύβιος· Ὁ δὲ παρῃτεῖτο τοὺς Ἀχαιοὺς, ἀπολεγόμενος τὴν ἀρχήν. καὶ Ἀπολέγοντα, ἀπαγορεύοντα. ἀποτρέποντα. Γράμματά [3] τε ἄντικρυς ἀπολέγοντα τοῖς πρέσβεσιν ἔγραφε, μηδαμῶς προΐεσθαι τὰ φρούρια Πέρσαις.

Ἀπόλεκτοι. ἐξαίρετοι. ἔκκριτοι. ἐκλελεγμένοι. Ξενοφῶν· [4] Αἱ δὲ εἰς [5] τοὺς δεσπότας ἀποκείμεναι, ἀπόλεκτοι ἦσαν.

Ἀπολωλεκώς. ἀπολέσας.

Ἀπολελοιπότες. [6] ἀντὶ τοῦ νενικηκότες. ἡ μεταφορὰ ἀπὸ τῶν δρομέων. οἱ γὰρ νικῶντες ἀπολείπουσι τοὺς ἡττωμένους. οὕτως Ἰσοκράτης ἐν Παναθηναϊκῷ καὶ Πανηγυρικῷ.

Ἀπολέμητον. ἀνενόχλητον. [7] Καταίραντες εἰς χώραν εὐδαίμονα, καὶ πολλῶν χρόνων ἀπολέμητον.

Ἀπόλεμος. ὁ μὴ ἰσχύων, ἢ ὁ μὴ εἰδὼς πολέμου. Ἀπόλεμος γὰρ ἦν, καὶ ὑπὸ νόσου ποδάγρας οὔτε αἱ χεῖρες οὔτε οἱ πόδες ἐτύγχανον ἄρτιοι. Τίθεται δὲ καὶ ἐπὶ τῶν μηδεμίαν πρόφασιν ἐχόντων πολέμου, δρασάντων δὲ τὰ πολεμίων.

Ἀπὸ λεπτοῦ μίτου τὸ ζῆν ἠρτῆσθαι. Τοῖς οὖν ἐν τῷ τοιῷδε πλέουσιν ἀπὸ λεπτοῦ μίτου φασὶν ἠρτῆσθαι τὸ ζῆν. ἡ παροιμία ἐπὶ τῶν ἐν ἐσχάτοις κινδύνοις ὄντων.

Ἀπόληγε. παύου.

Ἀπολιβάξεις. [8] συντόμως ἀναχωρήσεις. Λιβὰς γὰρ ἡ σταγὼν, ἧς οὐδὲν ταχύτερον ἐν τῷ πίπτειν. Ἀριστοφάνης·

Οὐκ ἀπολιβάξεις, ὦ κάκιστ' ἀπολούμενε.

Ἀπολιγαίνει. [9] θορυβεῖ. ὀξέως βοᾷ. παρὰ τὸ λιγύ. Ἀριστοφάνης·

Ἢν δ' ἀπολιγαίνῃ, τοὺς ἀγορανόμους καλῶ.

ἀντὶ τοῦ, τοὺς ἱμάντας, οὓς οἱ ἀγορανόμοι ἔχοντες ἔτυπτον.

Ἀπόλιδας. ἀγεννεῖς, ὡς μὴ οἰκοῦντας ἐν πόλει. ἀπαιδεύτους.

Ἄπολις. ἐν τῷ Γενέθλιος.

Ἀπολλινάριος, Λαοδικεὺς τῆς Συρίας, γεγονὼς ἐν ἡμέραις [10] Κωνσταντίνου καὶ Ἰουλιανοῦ τοῦ Παραβάτου, καὶ ἕως τῆς ἀρχῆς Θεοδοσίου τοῦ μεγάλου, σύγχρονος Βασιλείου καὶ Γρηγορίου, τῶν ἐκ Καππαδοκίας

Ariſtophanem] Ἀπολέψαντα τὸ λέμμα, i. e. Detracto velamine, quaſi ovi putamine. Si vero ſcribatur ἀπολάψῃς, ſignificabit, ebibas, exhaurias: per tranſlationem ductam a canibus, & cæteris animalibus, quæ lambendo bibunt. Senſus vero eſt, lucraberis, auferes. Et Homerus: *Lambentes linguis.* Et Ariſtophanes *Nubibus: Gnarus quamplurimum poteris cito hauries.*

Ἀπολεγόμενος. Recuſans. Polybius: *Ille vero deprecabatur Achæos, imperium recuſans.* Et Ἀπολέγοντα, vetantem, interdicentem. *Literaſque ſcripſit, diſerte Legatis interdicentes, ne caſtella Perſis dederent.*

Ἀπόλεκτοι. Eximii. Egregii. Electi. Xenophon: *Quæ vero dominis reſervabantur, erant eximiæ.*

Ἀπολωλεκώς. Qui perdidit.

Ἀπολελοιπότες. Qui vicerunt. Tranſlatio ducta eſt a curſoribus. Qui enim vincunt victos a tergo relinquunt. Sic Iſocrates in *Panathenaico* & *Panegyrico.*

Ἀπολέμητον. Nullo bello vexatum. *Cum perveniſſent in regionem omnibus rebus abundantem, & per multos annos nullo bello vexatā.*

Ἀπόλεμος. Imbellis. Vel belli non peritus. *Propter valetudinem enim infirmam bello intereſſe non poterat, & morbo podagra manus pedeſque ejus debilitati erant.* Dicitur etiam de illis, qui, cum nullam belli cauſam habeant, hoſtilia tamen patrant.

Ἀπὸ λεπτοῦ μίτου τὸ ζῆν ἠρτ. A tenui filo vita pendet. *Navigantium igitur vitam a tenui filo pendere dicunt.*

Ἀπόληγε. Deſine. Ceſſa.

Ἀπολιβάξεις. Celeriter recedes. Λιβὰς enim eſt gutta, qua nihil celerius inter cadendum. Ariſtophanes: *Non celeriter hinc faceſſes, o ſceleſtiſſime, quem peſſimum exitium manet?*

Ἀπολιγαίνει. Tumultuatur. Acute vociferatur. A voce λιγύ. Ariſtophanes: *Si vero tumultum excitet, ædiles vocabo.* Id eſt lora, quibus ædiles alios verberabant.

Ἀπόλιδας. Ignobiles, ut qui civitate carent. Indoctos.

Ἄπολις. Vide in voce Γενέθλιος.

Ἀπολλινάριος. Apollinaris, ex Laodicea Syriæ, vixit temporibus Conſtantini & Juliani Parabatæ, uſque ad imperium Theodoſii majoris, æqualis Baſilii & Gregorii, virorum ad-

---

1 Ὅμηρος] Il. Π. v. 161.

2 Ἀπολάψεις] Apud Ariſtophanem hodie legitur ἀπολέψεις.

3 Γράμματά τε ἄντικρυς ἀπολ. τοῖς πρ.] Fragmentum hoc depromptum eſt ex Procop. *de Bello Perſ.* lib. I. cap. XXII.

4 Ξενοφῶν· Αἱ δὲ εἰς τοὺς δεσπότας ἀποκ.] Eadem verba Xenophontis leguntur etiam ſupra v. Ἀπέκειντο, & infra v. Βάλανος; eademque citat Athenæus lib. XIV. pag. 651. ubi de palmis agit.

5 Εἰς τοὺς δεσπότας ἀποκ.] Lege τοῖς δεσπόταις ἀποκ. ut apud Xenophontem, & ipſum Suidam ſupra v. Ἀπέκειντο.

6 Ἀπολελοιπότες. ἀντὶ τοῦ νενικ. ἡ μεταφ.] Ex Harpocratione.

7 Καταίραντες εἰς χώραν εὐδαίμονα, καὶ πολλ. χρ. ἀπολ.] Hæc ſunt verba Polybii lib. III. cap. XC.

8 Ἀπολιβάξεις. συντόμως ἀναχωρήσεις. Λιβὰς γὰρ ἡ σταγ.] Ex Scholiaſta Ariſtoph. ad *Aves*, pag. 609. (399. Ed. Baſ. *P.*)

9 Ἀπολιγαίνει. θορυβεῖ. ὀξέως β.] Ex Scholiaſta Ariſtoph. ad *Acharnenſ.* pag. 417. (299. Ed. Baſ. *P.*)

10 Κωνσταντίνου] In Codice Vaticano, ut Pearſonius monuit, legitur Κωνσταντίου, quod magis probem.

θαυμαζομένων. ἐγένετο δὲ γνώριμος ἀμφοτέρων, καὶ Λιβανίου τοῦ σοφιστοῦ, καὶ ἄλλων τινῶν. οὗτος οὐ μόνον γραμματικὸς, καὶ τὰ ἐς τὴν ποίησιν δεξιὸς, ἀλλὰ πολλῷ πλείω καὶ ἐς φιλοσοφίαν ἐξήσκητο, καὶ ῥήτωρ ἦν ἀμφιδέξιος. οὗτος ἔγραψε καταλογάδην κατὰ Πορφυρίου τοῦ δυσσεβοῦς τόμους λ΄, καὶ δι' ἡρώων ἐπῶν πᾶσαν τὴν τῶν Ἑβραίων γραφήν. ἔγραψε δὲ καὶ ἐπιστολὰς, καὶ ἄλλα πολλὰ εἰς τὴν Γραφὴν ὑπομνήματα. Τοῦ δέ γε Ἀπολλιναρίου καὶ [1] Φιλοστόργιος μνήμην πεποίηται ἐν τῇ κατ' αὐτὸν ἱστορίᾳ, καὶ φησίν· Ἀπολλινάριος γὰρ ἤκμαζε κατ' ἐκείνους τοὺς χρόνους ἐν τῇ Λαοδικείᾳ τῆς Συρίας, καὶ Βασίλειος ἐν Καισαρείᾳ τῆς Καππαδοκίας, καὶ Γρηγόριος ἐν τῇ Ναζιανζῷ. σταθμὸς δὲ οὗτος ὁ τόπος ἐστὶ τῆς αὐτῆς Καππαδοκίας. τρεῖς δὲ οὗτοι ἄνδρες τότε τοῦ Ὁμουσίου προυμάχουν κατὰ τοῦ Ἑτερουσίου, μακρῷ πάντας παρενεγκόντες τοὺς πρότερον καὶ ὕστερον ἄχρις ἐμοῦ τῆς αἱρέσεως προστάντας, ὡς παῖδα παρ' αὐτοῖς κριθῆναι τὸν Ἀθανάσιον. τῆς τε γὰρ ἔξωθεν καλουμένης παιδεύσεως ἐπὶ πλεῖστον οὗτοι προεληλύθεισαν, καὶ τῶν ἱερῶν γραφῶν, ὁπόσα εἰς ἀνάγνωσιν καὶ τὴν πρόχειρον μνήμην ἐτέλει, πολλὴν εἶχον τὴν ἐμπειρίαν. καὶ μάλιστά γε αὐτῶν ὁ Ἀπολλινάριος. οὗτος γὰρ δὴ καὶ τῆς Ἑβραΐδος διαλέκτου ἐπαΐειν οἷός τ' ἦν. καὶ μὴν καὶ συγγράφειν ἕκαστος ἐς τὸν αὐτοῦ τρόπον ἦν ἱκανώτατος. τῷ μέν γε Ἀπολλιναρίῳ τὸ ὑπομνηματικὸν εἶδος τῆς λέξεως μακρῷ ἄριστα εἶχε. Βασίλειος δὲ πανηγυρίσαι λαμπρότατος ἦν. τῷ δέ γε Γρηγορίῳ καὶ παρ' ἀμφοτέροις ἐξεταζομένῳ μείζω βάσιν εἰς συγγραφὴν εἶχεν ὁ λόγος. καὶ ἦν εἰπεῖν Ἀπολλιναρίου μὲν ἁδρότερος· Βασιλείου δὲ σταθερώτερος. τοσαύτης δὲ αὐτοῖς ἐν τῷ λέγειν καὶ γράφειν δυνάμεως οὔσης, καὶ τὸ ἦθος οὐδὲν ἧττον οἱ ἄνδρες παρείχοντο πρὸς τὴν τῶν πολλῶν θέαν ἐπαγωγότατον. ὥστε καὶ οἷς ὁρῶντο, καὶ οἷς ἔλεγον, καὶ ὁπόσα γράφοντες διεδίδοσαν, διὰ πάντων ἦγον εἰς τὴν ἑαυτῶν κοινωνίαν τοὺς καθ' ὁτιοῦν αὐτῶν εὐμαρέστερον ἁλίσκεσθαι δυναμένους. Τοσαῦτα περὶ αὐτῶν ὡς ἐν παραδρομῇ Φιλοστόργιος ὁ Ἀρειανὸς ἔγραψεν.

Ἀπολλινάριος. [2] οὗτος ἀνεφάνη μετὰ Παῦλον τὸν Σαμοσατέα, πρόεδρος Λαοδικείας τῆς Συρίας, ματαιοφροσύνης ἑτέρας ἡγησάμενος. τῶν γὰρ Ἀρριανῶν ἄψυχον πάντη λεγόντων τὴν τοῦ Κυρίου σάρκα, αὐτὸς ἔφη, ὅτι σάρκα μὲν ἐμψυχωμένην ψυχῇ ζωτικῇ ἀνέλαβεν ὁ Κύριος, νοῦν δὲ τὸν ἡμέτερον οὐ προσήκατο. μηδὲ γὰρ δεηθῆναί φησι τὴν σάρκα ἐκείνην ἀνθρωπίνου νοὸς, ἡγεμονευομένην ὑπὸ τοῦ αὐτὴν ἐνδεδυκότος Θεοῦ λόγου. ἀλλὰ [3] μηδὲ χωρεῖν αὐτῇ δύναμιν παρὰ τὴν θείαν. ταῦτα ὑποθέμενος διατείνεται, μίαν εἶναι τὴν φύσιν τοῦ Λόγου καὶ τῆς [4] σαρκὸς, ὡς ἅτε τῆς σαρκὸς ἀτελοῦς οὔσης εἰς τὸ εἶναι ἄνθρωπον,

mirabilium, quos Cappadocia tulit. Fuit autem notus utrique, & Libanio Sophiſtæ, & aliis quibuſdam. Hic non ſolum grammaticus & poeta eximius, ſed etiam multo magis in philoſophia exercitatus fuit, & orator inſignis. Hic oratione ſoluta contra impium Porphyrium libros XXX ſcripſit, & verſibus heroicis totam Hebræorum ſcripturam reddidit. Epiſtolas item ſcripſit, & multos in ſacram Scripturam commentarios. Hujus Apollinaris Philoſtorgius etiam in ſua hiſtoria mentionem fecit his verbis. *Apollinaris illis temporibus Laodiceæ Syriæ floruit, & Baſilius Cæſareæ Cappadociæ, & Gregorius Nazianzi. Eſt autem Nazianzum ejuſdem Cappadociæ ſtatio. Hi tres viri tunc pro Homouſio contra Heterouſium propugnabant, longo intervallo ſuperantes omnes illos, qui & ante & poſt ad meam uſque ætatem hæreſis illius defenſores fuerunt; adeo ut præ iis Athanaſius puer judicaretur. Nam & in diſciplinis profanis maximos fecerant progreſſus, &, quod ad lectionem & promptam memoriam adtinet, in ſacris literis haud parum verſati erant: præſertim vero Apollinaris, qui & linguam Hebraicam intelligebat. Horum unſquiſque in ſuo genere ſtilo plurimum valebat. Apollinaris enim eo orationis genere, quod commentariis ſcribendis eſt aptiſſimum, excellebat. Baſilius in panegyrico genere dicendi palmam ferebat. Gregorii vero cum utroque comparati ſtilus magis erat fundatus & ſolidus. Nam & Apollinari in dicendo erat uberior, & Baſilio gravior. Cum autem tanta eſſent & dicendi & ſcribendi facultate præditi, iis etiam fuere moribus, quibus oculi multitudinis maxime allicerentur. Itaque & aſpectu, & oratione, & ſcriptis paſſim editis, in ſuam ſententiam & familiaritatem pertrahebant omnes, qui ulla ratione pertrahi commode poterant.* Hæc de iis Philoſtorgius Arrianus obiter ſcripſit.

Ἀπολλινάριος. Hic, poſt paulum Samoſatenum Laodiceæ Syriæ præſul, alterius delirii auctor exſtitit. Nam cum Arriani prorſus inanimem Domini carnem dicerent: hic carnem quidem anima vitali præditam aſſumpſiſſe dicebat Dominum, mentem vero noſtram non admiſiſſe. Neque enim opus fuiſſe ajebat humana mente illi carni, quæ a Dei Verbo, quod illam induiſſet, gubernaretur: ac ne aliam quidem mentem capere potuiſſe, præter divinam. Hoc fundamento jacto, unam eſſe naturam contendit Verbi & carnis, perinde ac ſi caro imperfecta ſit ad hominem conſtituendum, & proinde minime διὰ τοῦτο μὴ ἄξιον φύσιν ὀνομάζεσθαι. Μεθ' ὃν ἀναφαίνεται Θεόδωρος, ὁ Μοψουεστίας πρόεδρος τῆς Κιλικίας.[1] Ἐγένοντο δὲ Ἀπολλινάριοι δύο, πατὴρ καὶ υἱός. ὁ μὲν πατὴρ Ἀλεξανδρεύς· γήμας δὲ εἰς Λαοδίκειαν τῆς Συρίας ἴσχει υἱὸν Ἀπολλινάριον. ἄμφω δὲ συνήκμαζον Ἐπιφανίῳ τῷ σοφιστῇ, ὃν ἀκμάζοντα τότε ἠσπάζοντο. Θεόδοτος δὲ, ὁ τῆς Λαοδικείας Ἐπίσκοπος, μηδενὶ τρόπῳ ἀποσπάσαι αὐτοὺς ἐξ αὐτοῦ δυνηθεὶς, ἄμφω τῆς κοινωνίας ἐζημίωσεν. ὕβριν τε ἡγεῖται ὁ παῖς Ἀπολλινάριος τὰ γινόμενα,[2] καὶ τῇ ἐννοίᾳ τοῦ σοφιστικοῦ θαῤῥῶν καινοτομεῖ καὶ αὐτὸς αἵρεσιν, ἣ νῦν ἐπιπολάζει, τὸ ὄνομα τοῦ εὑρόντος ἔχουσα. οἱ δέ φασι, διενεχθῆναι αὐτοὺς πρὸς Γεώργιον. ἑώρων γὰρ αὐτὸν ἀλλόκοτα δογματίζοντα. οὗτος δὲ ὁ Ἀπολλινάριος βαθμοὺς ἐπὶ τῆς θείας φύσεως δοξάζειν ἐτόλμησε, καὶ μύθους τινὰς ταῖς θείαις ἐπαγγελίαις συνέζευξεν.

---

[1] Καὶ Φιλοστόργιος μνήμην πεπ.] Vide Excerpta ex Philoſtorgio lib. VIII. cap. XI.

[2] Ἀπολλινάριος. οὗτος ἀνεφάνη μετὰ Παῦλον τὸν Σαμοσ.] Hæc, & quæ ſequuntur uſque ad verba illa ἄξιον φύσιν ὀνομάζεσθαι, deſcripta ſunt ex libello Theodori Presbyteri *de Incarnat. Domini*, qui ad calcem Gelaſii Cyziceni editus eſt Pariſ. A. M.D.IC.

[3] Μηδὲ χωρεῖν αὐτῇ δύναμιν παρὰ τὴν θ.] Emenda & ſupple ex Theodoro Presbytero, μηδὲ χωρεῖν αὐτὴν ἄλλην νοερὰν δύναμιν &c.

[4] Τῆς σαρκὸς, ὡς ἅτε τῆς σαρκὸς ἀτελ.] Sic locum hunc, qui in prioribus Edit. mutilus eſt, ex 2 MSS. Pariſ. & Theodoro Presbytero in integrum reſtitui.

‡

2/3

Ἀπολιταργιεῖς. [3] ἀποδραμῇ. ἀποσκιρτήσειας ἀπὸ τῆς θύρας. ἔνεστι δὲ ἐν τῇ λέξει τὸ ταργὸν, ὅπερ ἐστὶ τὸ ταχὺ, καὶ τὸ λίαν. Οὐ ταχέως οὖν, φησὶν, ἀποδραμῇ; Λιταργισμοὺς δὲ ἐκάλουν καὶ τὰ σκιρτήματα. Ἀριστοφάνης Νεφέλαις·

Οὔκουν ἀνύσας τι θᾶττον ἀπολιταργιεῖς
Ἀπὸ τῆς θύρας; ——

ἔστι καὶ ἀπολιταργεῖν.

Ἀπολογίζω. τὸ ἀποδιώκω καὶ ἀποβάλλω ὅπερ οὐ προσδέχομαι. σημαίνει δὲ καὶ τὸ ἀπολογαριάζω. καὶ τὸ Ἀπολογίσασθαι, τὸ ἐπεξελθεῖν ἕκαστα. Δημοσθένης.

Ἀπολογισμός. [4] Πολύβιος· Ὁ δὲ Ξάνθιππος παραγενόμενος εἰς χεῖρας ἔφερε τοῖς ἄρχουσι τοὺς ἀπολογισμοὺς, παρὰ τί νῦν σφαλείησαν, καὶ πῶς δύναιντο τοὺς ἐναντίους νικᾷν.

Ἀπόλογος Ἀλκινόου. ἐπὶ τῶν φλυαρούντων, καὶ μακρὸν ἀποτεινόντων λόγον.

Ἀπολλόδωρος, Ἀθηναῖος, κωμικός. ἐποίησε δράματα μζ΄, ἐνίκησεν ε΄.

Ἀπολλόδωρος, Γελῷος, κωμικὸς, σύγχρονος τοῦ κωμικοῦ Μενάνδρου. δράματα αὐτοῦ [5] Ἀποκαρτερῶν, ἢ Φιλάδελφοι. [6] Δευσοποιός. Ἱέρεια. [7] Γραμματόδειπνος. [8] Ψευδαίας. Σίσυφος. [9] Αἰσχρίων.

Ἀπολλόδωρος Ταρσεὺς, τραγικός. Δράματα αὐτοῦ, Ἀκανθοπλὴξ, Τεκνοκτόνος, Ἕλληνες, Θυέστης, Ἱκέτιδες, Ὀδυσσεύς.

digna, quæ natura appelletur. Poſt hunc exſtitit Theodorus, Mopſueſtiæ in Cilicia præſul. † Fuerunt autem duo Apollinares, pater & filius. Pater Alexandrinus fuit, qui ducta uxore Laodiceæ in Syria filium habuit Apollinarem. Ambo autem eodem tempore floruerunt, quo Epiphanius Sophiſta, quem & florentem tunc coluerunt. Theodotus vero, Laodiceæ Epiſcopus, cum eos nulla ratione ab ipſo avellere poſſet, ambos a communione excluſit. Id factum Apollinaris filius contumeliæ loco ducens, & Sophiſtica dicendi facultate fretus, ipſe quoque novam hæreſin condidit, quæ ab auctoris nomine appellata etiamnum viget. Sunt qui dicant, eos a Georgio diſſenſiſſe, quod eum abſurda docentem viderent. Hic Apollinaris gradus quoſdam in natura divina ſtatuere non dubitavit, fabulaſque nonnullas promiſſionibus divinis adjunxit.

Ἀπολιταργιεῖς. Celeriter abibis. A foribus reſilies. Ineſt enim in hoc verbo vocabulum ταργὸν, quod ſignificat velox, & valde. *Nonne igitur*, inquit, *ocius hinc recedes?* Λιταργισμοὺς etiam vocabant ſaltus. Ariſtophanes *Nubibus: Nonne igitur properabis & ocius hinc a janua recedes?* Dicitur etiam ἀπολιταργεῖν.

Ἀπολογίζω. Repello & rejicio, ſive, non admitto. Significat etiam ſupputo. Et Ἀπολογίσασθαι, ſingula verbis perſequi. Demoſthenes.

Ἀπολογισμός. Ratio. Polybius: *Xanthippus vero, cum veniſſet, magiſtratibus aperte demonſtravit rationes* [*eorum, quæ dixerat,*] *cauſiſque cladis acceptæ expoſitis, quomodo hoſtem vincere poſſent, docuit.*

Ἀπόλογος Ἀλκινόου. *Apologus Alcinoi.* De iis dicitur, qui futili & prolixo ſermone utuntur.

Ἀπολλόδωρος. Apollodorus, Athenienſis, Comicus. Fabulas ſcripſit XLVII. Vicit V.

Ἀπολλόδωρος. Apollodorus, Gelous, Comicus. Eodem tempore vixit, quo Menander Comicus. Ejus fabulæ ſunt, *Apocarterōn*, ſive *Philadelphi. Deuſopœus. Hieria. Grammatodipnus. Pſeudajax. Siſyphus. Æſchrion.*

Ἀπολλόδωρος. Apollodorus, Tarſenſis, Tragicus. Ejus fabulæ ſunt, *Acanthoplex*, *Tecnoctonos*, *Hellenes*, *Thyeſtes*, *Hicetides*, *Ulyſſes*.

---

[1] Ἐγένοντο δὲ Ἀπολλινάριοι δύο, πατὴρ καὶ υἱός. ὁ μὲν πατ.] Hæc, & quæ ſequuntur uſque ad verba illa ἀλλόκοτα δογματίζοντα, deſcripta ſunt ex Socratis Hiſtor. Eccleſ. lib. II. cap. XLVI. ut a Pearſonio quoque obſervatum eſſe video.

[2] Καὶ τῇ ἐννοίᾳ τοῦ σοφιστικοῦ θαῤῥῶν] Emenda & ſupple ex Socrate, καὶ τῇ εὐπορίᾳ τοῦ σοφιστικοῦ λόγου θαῤῥῶν: quam lectionem in verſione expreſſi.

[3] Ἀπολιταργιεῖς. ἀποδραμῇ. ἀποσκ.] Ex Scholiaſta Ariſtoph. ad *Nubes*, pag. 194. (119. Ed. Baſ. *P.*)

[4] Πολύβιος] Lib. I. cap. XXXII.

[5] Ἀποκαρτερῶν] Fabulæ hujus nomen πληθυντικῶς citatur ab Athenæo, Stobæo, & ipſo Suida infra v. Σπουδάζω.

[6] Δευσοποιός.] Sic habent MSS. Pariſ. In prioribus vero Edit. legitur Δευσοποιοί, in plurali.

[7] Γραμματόδειπνος] Forte ſcribendum eſt Γραμματειδιοποιός, auctore Polluce, qui lib. VII. cap. XXXIII. pag. 371. Apollodorum Geloum fabulam eo nomine appellatam ſcripſiſſe tradit.

[8] Ψευδαίας] Fabulam hanc laudat Jul. Pollux lib. X. cap. XXXI.

[9] Αἰσχρίων] Priores Edit. habent Αἰσχίων. Sed in uno MS. Pariſ. exaratum reperi Αἰσχρίων: quam lectionem etiam exhibet codex Vaticanus, teſte Pearſonio.

Ἀπολλόδωρος, Ἀσκληπιάδου, γραμματικὸς, εἷς τῶν Παναιτίου τοῦ Ῥοδίου φιλοσόφου καὶ Ἀριστάρχου τοῦ γραμματικοῦ μαθητῶν, Ἀθηναῖος τὸ γένος. ἦρξε δὲ πρῶτος τῶν καλουμένων τραγιάμβων.

Ἀπολλοκράτης. ὄνομα κύριον.

Ἀπολλοφάνης, Ἀθηναῖος, κωμικὸς ἀρχαῖος. Δράματα αὐτοῦ, Δάλις, Ἰφιγέρων, Κρῆτες, Δανάη, Κένταυροι.

Ἀπολώλαμεν, καὶ ἀπολώλασιν Ἀττικῶς. Ἀπολώλεισαν δὲ, ὑπερσυντελικός.

Ἀπόλλων, Ἀπόλλωνος. καὶ ἡ κλητικὴ, ὦ Ἄπολλον. Ὅτι ὁ Ἀπόλλων ὑποφήτης ἐστὶ τοῦ πατρὸς, καὶ παρ' ἐκείνου λαμβάνει τὰς μαντείας, καὶ τοῖς ἀνθρώποις ἐκφέρει. καὶ ζήτει ἐν τῷ Διὸς Φήμη.

Ἀπολωλεκώς. ἀπολέσας.

Ἀπολωλώς. ἀρσενικόν. καὶ Ἀπολωλὸς, οὐδέτερον.

Ἀπολλώνεια ἔργα. τὰ τοῦ Ἀπόλλωνος.

Ἀπολλωνιὰς,[1] Ἀττάλου, πατρὸς Εὐμένους τοῦ βασιλέως, γαμετή· ἥτις δημότις οὖσα, βασίλισσα ἐγεγόνει, καὶ ταύτην διεφύλαξε τὴν ὑπεροχὴν μέχρι τῆς τελευταίας ἡμέρας, οὐχ ἑταιρικὴν προσφερομένη πιθανότητα, σωφρονικὴν δὲ καὶ πολιτικὴν σεμνότητα καὶ καλοκαγαθίαν. τέτταρας γὰρ υἱοὺς γεννήσασα, πρὸς πάντας τούτους ἀνυπέρβλητον ἐφύλαξεν εὔνοιαν καὶ φιλοστοργίαν μέχρι τελευτῆς, καίτοι χρόνον οὐκ ὀλίγον ὑπερβιώσασα τἀνδρός. πλὴν οἵγε περὶ τὸν Ἄτταλον ἐν τῇ παρεπιδημίᾳ καλὴν περιεποιήσαντο φήμην, ἀποδιδόντες τῇ μητρὶ τὴν καθήκουσαν χάριτα καὶ τιμήν. ἄγοντες γὰρ ἐξ ἀμφοῖν ταῖν χεροῖν μέσην αὐτῶν τὴν μητέρα, [2]παρῄεσαν τά τε ἱερὰ καὶ τὴν πόλιν μετὰ τῆς θεραπείας. ἐφ' οἷς οἱ θεώμενοι μεγάλως τοὺς νεανίσκους ἀπεδέχοντο καὶ κατηξίουν, καὶ μνημονεύοντες τῶν περὶ Κλέοβιν καὶ Βίτωνα, συνέκρινον τὰς αἱρέσεις αὐτῶν, καὶ τὸ τῆς προθυμίας τῆς ἐκείνων λαμπρὸν τῷ τῆς ὑπεροχῆς τῶν βασιλέων ἀξιώματι συναναπληροῦντες. ταῦτα ἐτελέσθη ἐν Κυζίκῳ, μετὰ τὴν διάλυσιν τὴν πρὸς Προυσίαν τὸν βασιλέα.

Ἀπολλωνιὰς λίμνη. Ὅτι Ἄτταλος, ὁ τῆς Ἀσίας βασιλεύς, Νικομήδει τῷ Μονόδοντι πολεμήσας, ἐκράτησε τῆς αὐτοῦ χώρας. ἀλλ' ὁ μὲν Ῥωμαίους ἐπικαλεσάμενος ἀνέλαβε τὴν ἀρχήν. Ἄτταλος δὲ τὴν αὐτοῦ μητέρα Ἀπολλωνιάδα μεταλλάξασαν κατὰ τὸ μέγιστον ἱερὸν Περγάμου κατέθετο, ὅπερ αὐτὸς ἐδείματο, τήν τε γείτονα λίμνην αὐτῇ προσωνόμασεν.

Ἀπολλωνιάτης. καὶ Ἀπολλωνίτις χώρα.

Ἀπολλώνιον. βραχέως. τὸ ἱερὸν τοῦ Ἀπόλλωνος. οὕτω[3] καὶ παρὰ Θουκυδίδῃ ἀναγνωστέον. Ποσειδώνιον, τὸ τοῦ Ποσειδῶνος. ὡς Ἀθήναιον, τὸ τῆς Ἀθηνᾶς· καὶ

Ἀπολλόδωρος. Apollodorus, Aſclepiadis F. Grammaticus, unus ex Panætii Rhodii Philoſophi & Ariſtarchi Grammatici diſcipulis, Athenienſis genere. Primus uſus eſt verſibus illis, qui *Tragiambi* vocantur.

Ἀπολλοκράτης. Apollocrates. Nomen proprium.

Ἀπολλοφάνης, Apollophanes, Athenienſis, Comicus antiquus. Ejus fabulæ ſunt, *Dalis, Iphigeron, Cretenſes, Danae, Centauri.*

Ἀπολώλαμεν & ἀπολώλασιν Atticorum eſt. Ἀπολώλεισαν vero, pluſquam perfectum.

Ἀπόλλων. Apollo, Apollinis. Et vocativus, ὦ Ἄπολλον, o Apollo. Apollo eſt patris miniſter, & ab illo accepta oracula hominibus tradit. Quære in Διὸς Φήμη.

Ἀπολωλεκώς. Qui perdidit.

Ἀπολωλώς. Eſt maſculinum. Ἀπολωλὸς vero, neutrum.

Ἀπολλώνεια ἔργα. Apollinis opera.

Ἀπολλωνιάς. Apollonias, Attali, patris Eumenis Regis, uxor: quæ, cum eſſet plebeia, Regina facta eſt, idque faſtigium uſque ad exitum vitæ retinuit, non meretriciis verborum illecebris utens, ſed modeſtia, morumque gravitate quadam civili, & probitate. Cum enim quatuor filios peperiſſet, erga hos omnes incredibilem benevolentiam & amorem ad obitum uſque conſervavit, quamvis non parvo tempore marito ſuperſtes vixerit. Cæterum, Attalus cum fratre in adventu [matris in urbem Cyzicum,] obſequio atque honore matri, ut par erat, præſtito, maximam laudem eſt adeptus. Matrem enim ambo mediam utraque manu deducentes, templa ac cætera urbis loca cum comitatu regio perluſtrarunt. Proinde univerſi, qui aderant, hoc ſpectaculo delectati, adoleſcentes vehementer laudabant, & Cleobidis ac Bitonis factum memoria repetentes, utrumque inter ſe comparabant; atque inſigni illorum alacritati regale horum faſtigium æquabant. Hæc Cyzici geſta ſunt poſt pacem cum Pruſia Rege factam.

Ἀπολλωνιὰς λίμνη. Apolloniadis lacus. Attalus, Aſiæ Rex, Nicomedi Monodonti bello illato regionem ejus in poteſtatem ſuam redegit. Ille vero, implorato Romanorum auxilio, regnum recepit. Attalus autem matrem defunctam Pergami in maximo templo, quod ipſe ædificarat, condidit, & vicinum lacum de ejus nomine appellavit.

Ἀπολλωνιάτης. Apolloniates. Et Ἀπολλωνίτις χώρα, Apollonitis regio.

Ἀπολλώνιον. Apollinis templum. Corripit penultimam. Sic & apud Thucydidem legendum eſt. Ποσειδώνιον, templum Neptuni;

---

[1] Ἀπολλωνιάς, Ἀττάλου, πατρὸς Εὐμένους τοῦ βασ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Polybii apud Conſtantinum in Collectaneis a Valeſio editis, pag. 113. unde Suidas ea deſcripſit.

[2] Παρῄεσαν] In Collectaneis Conſtantini loco laudato ſcriptum eſt περιῄεσαν, quam lectionem præ altera probo.

[3] Οὕτω καὶ παρὰ Θουκυδίδῃ ἀναγν.] Reſpicit Suidas ad locum Thucydidis, qui exſtat lib. II. cap. XCI. ubi recte legitur Ἀπολλώνιον.

Διονύσιον, καὶ Δημήτριον, καὶ πάντα τὰ τοιαῦτα, ὁμώνυμα τοῖς ἀνδρωνυμικοῖς. τὸ δὲ Ποσειδάνιον δῆλον ὅτι Δωρικόν.

Ἀπολλώνιος Ἀλεξανδρεὺς, ἐπῶν ποιητὴς, διατρίψας ἐν Ῥόδῳ, υἱὸς Σιλλέως, μαθητὴς Καλλιμάχου, σύγχρονος Ἐρατοσθένους καὶ Εὐφορίωνος καὶ Τιμάρχου, ἐπὶ Πτολεμαίου τοῦ Εὐεργέτου ἐπικληθέντος, καὶ διάδοχος Ἐρατοσθένους γενόμενος ἐν τῇ προστασίᾳ τῆς ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκης.

Ἀπολλώνιος Τυανεὺς, φιλόσοφος, υἱὸς Ἀπολλωνίου, καὶ μητρὸς πολίτιδος τῶν ἐπιφανῶν, [1] ὃν κύουσα ἡ μήτηρ ἐπιστάντα δαίμονα ἐθεάσατο, λέγοντα, ὡς αὐτὸς εἴη ὃν κύει. εἶναι δὲ Πρωτέα τὸν Αἰγύπτιον. ὅθεν ὑπειλῆφθαι αὐτὸν Πρωτέως εἶναι υἱόν. καὶ ἤκμαζε μὲν ἐπὶ Κλαυδίου καὶ Γαΐου καὶ Νέρωνος, καὶ μέχρι Νέρβα, ἐφ' οὗ καὶ μετήλλαξεν. ἐσιώπησε δὲ κατὰ Πυθαγόραν πέντε ἔτη. εἶτα ἀπῆρεν εἰς Αἴγυπτον, ἔπειτα εἰς Βαβυλῶνα πρὸς τοὺς μάγους, κἀκεῖθεν ἐπὶ τοὺς Ἄραβας, καὶ συνῆξεν ἐκ πάντων τὰ μυρία καὶ περὶ αὐτοῦ θρυλλούμενα μαγγανεύματα. συνέταξε δὲ τοσαῦτα· Τελετὰς, [2] ἢ περὶ θυσιῶν. Διαθήκην. Χρησμούς. Ἐπιστολάς. Πυθαγόρου βίον. Εἰς τοῦτον ἔγραψε Φιλόστρατος ὁ Λήμνιος τὸν φιλοσόφῳ πρέποντα βίον. [3] Ὅτι Ἀπολλώνιος ὁ Τυανεὺς ἐς σωφροσύνην ὑπερεβάλετο τοῦ Σοφοκλέους. Ὁ μὲν γὰρ λυττῶντα ἔφη καὶ ἄγριον δεσπότην ἀποφυγεῖν, ἐλθόντα εἰς γῆρας· ὁ δὲ Ἀπολλώνιος ὑπ' ἀρετῆς καὶ σωφροσύνης οὐδὲ ἐν μειρακίῳ ἡττήθη τούτου. [4] Ὅτι Φιλόστρατος λέγει περὶ Ἀπολλωνίου, θειότερον ἢ Πυθαγόραν τῇ σοφίᾳ προσελθεῖν, τυραννίδων τε ὑπεράραντα, καὶ γενόμενον κατὰ χρόνους οὔτ' ἀρχαίους, οὔτ' αὖ νέους. ὃν οὔπω οἱ ἄνθρωποι γινώσκουσιν ἀπὸ τῆς ἀληθινῆς φιλοσοφίας, ἣν φιλοσόφως τε καὶ ὑγιῶς ἐπήσκησεν. ἀλλ' ὁ μὲν τὸ, ὁ δὲ τὸ ἐπαινεῖ τἀνδρός. οἱ δὲ, ἐπειδὴ μάγοις Βαβυλωνίων καὶ Ἰνδῶν Βραχμᾶσι καὶ τοῖς ἐν Αἰγύπτῳ Γυμνοῖς συνεγένετο, μάγον ἡγοῦνται αὐτὸν, καὶ διαβάλλουσιν ὡς μὴ σοφὸν, κακῶς γινώσκοντες. Ἐμπεδοκλῆς τε γὰρ αὐτὸς, καὶ Πυθαγόρας, καὶ Δημόκριτος, ὁμιλήσαντες μάγοις, καὶ πολλὰ δαιμόνια εἰπόντες, οὔπω ὑπήχθησαν τῇ τέχνῃ. Πλάτων δὲ βαδίσας ἐς Αἴγυπτον, καὶ πολλὰ τῶν ἐκεῖ προφητῶν τε καὶ ἱερέων ἐγκαταμίξας τοῖς ἑαυτοῦ λόγοις, καὶ καθάπερ ζωγράφος ἐσκιαγραφημένοις ἐπιβαλὼν χρώματα, οὔπω μαγεύειν ἔδοξε, καί τοι πλεῖστα ἀνθρώπων φθονηθεὶς ἐπὶ σοφίᾳ. οὐδὲ γὰρ τὸ αἰσθέσθαι πολλὰ καὶ προγνῶναι διαβάλλοι ἂν τὸν Ἀπολλώνιον, ἐφ' οἷς προὔλεγεν, ἐς τὴν σοφίαν ταύτην. ἢ οὔπω διαβεβλήσεται καὶ Σωκράτης ἐφ' οἷς προὔλεγε, καὶ [5] Ἀναξαγόρας, ὃς Ὀλυμπιάσιν, ὁπότε ἥκιστα ὗοι, προελ-

ut Ἀθήναιον, templum Minervæ. Sic & Διονύσιον, & Δημήτριον, & omnia ſimilia nominum virilium formam habent. Ποσειδάνειον vero vocabulum eſſe Doricum manifeſtum eſt.

Ἀπολλώνιος. Apollonius Alexandrinus, poeta Epicus, qui Rhodi vixit: filius Sillei, diſcipulus Callimachi, æqualis Eratoſthenis, Euphorionis, & Timarchi, tempore Ptolemæi Euergetæ, & poſt Eratoſthenem Alexandrinæ bibliothecæ præfectus.

Ἀπολλώνιος Τυανεύς. Apollonius Tyaneus, Philoſophus, Apollonii filius, & matre illuſtri cive natus, quo gravida mater Dæmonem adſtantem vidit, qui dixit, ſe illum eſſe, quem geſtaret in utero. Se autem eſſe Proteum Ægyptium. Unde factum, ut Protei filius eſſe crederetur. Floruit temporibus Claudii, Caii, & Neronis, ad Nervam uſque, ſub quo deceſſit. More Pythagorico quinquennium tacuit. Poſt in Ægyptum abiit: unde Babylonem ad Magos, & inde ad Arabes ſe contulit, & plurima illa, quæque fama de eo celebrat, artis magicæ experimenta undique conquiſivit. Scripta ejus hæc ſunt: Initia, ſive de Sacrificiis. Teſtamentum. Oracula. Epiſtolæ. Vita Pythagoræ. Hujus vitam Philoſopho dignam Philoſtratus Lemnius deſcripſit. Hic Apollonius Tyaneus Sophoclem vitæ caſtitate ſuperavit. Is enim ſenex dixit, ſe [amorem] tanquam furioſum & ſævum dominum profugiſſe: at Apollonius pro virtute & continentia ſua ne adoleſcens quidem ab amore victus eſt. Eundem Philoſtratus ſcribit divinius philoſophiam tractaſſe quam Pythagoram, & tyrannorũ potentiam ſuperaſſe, &, cum temporibus nec antiquis nec recentioribus vixerit, ignorari ab hominibus, quam vere, quam pure ſancteque philoſophatus fuerit. Sed alius aliud in hoc viro laudat. Alii vero, quia cum Babyloniorum Magis, & Indorum Brachmanibus, & Ægyptiorum Gymnis verſatus eſt, eum pro mago habent, & ut ſapientiæ expertem calumniantur: male utique de viro iſto judicantes. Nam & Empedocles, & Pythagoras, & Democritus, magorum uſi conſuetudine, & multa divina effati, ob artem illam male non audiunt. Plato vero quamvis in Ægyptum profectus fuerit, & multa prophetarum ſacerdotumque ejus regionis dicta ſcriptis ſuis immiſcuerit, & tanquam pictor imaginibus rudi tantum modo delineatis colores addiderit, haud tamen magus habitus eſt, quamvis ob ſapientiam plurimum invidiæ ſibi contraxerit. Neque enim, quia Apollonius multa præſenſit, & quæ eventura erant, prædixit, recte quis eum artis magicæ inſimulaverit. Alioqui enim & Socrates criminandus eſt ob ea, quæ præθὼν ὑπὸ κωδίῳ ἐς τὸ στάδιον ἐπὶ προῤῥήσει ὄμβρου. καὶ ἄλλα τινὰ ὑπὲρ Ἀναξαγόρου προσθέντες, ἀφαιροῦνται τὸν Ἀπολλώνιον τὸ κατὰ σοφίαν προγινώσκειν. Δοκεῖ οὖν μοι μὴ περιϊδεῖν τὴν τῶν πολλῶν [1] ἄνοιαν, ἀλλ᾽ ἐξακριβῶσαι τὸν ἄνδρα τοῖς τε χρόνοις, καθ᾽ οὓς εἶπέν τι καὶ ἔπραξε, τοῖς τε σοφίας τρόποις, ὑφ᾽ ὧν ἔψαυσε τοῦ δαιμόνιός τε καὶ θεῖος νομισθῆναι. Ξυνείλεκται δέ μοι τὰ μὲν ἐκ πόλεων, ὁπόσαι αὐτοῦ ἤρων· τὰ δὲ ἐξ ἱερῶν, ὁπόσα ὑπ᾽ αὐτοῦ ἐπανήχθη παραλελυμένα τοὺς θεσμοὺς ἤδη· τὰ δὲ ἐξ ὧν ἕτεροι πρὸς αὐτὸν, ἢ αὐτὸς πρὸς ἄλλους ἔγραφεν. Ἐπέστελλε δὲ βασιλεῦσι, σοφισταῖς, φιλοσόφοις, Ἠλείοις, Ἰνδοῖς, Αἰγυπτίοις, ὑπὲρ Θεῶν, ὑπὲρ ἠθῶν, ὑπὲρ νόμων, [2] παρ᾽ οἷς ὅ, τι ἂν πράττοι. τὰ δὲ ἀκριβέστερα παρὰ Δάμιδος ἀκηκοώς. [3] Οὗτος Ἀπολλώνιος ὁ Τυανεὺς διαμνημονευτικὸς τις ἦν εἴπερ τις ἄλλος, ὃς τὴν μὲν φωνὴν σιωπῇ κατεῖχε, πλεῖστα δὲ ἀνελέγετο, καὶ τὸ μνημονικὸν ἑκατοντούτης γενόμενος ἔῤῥωτο ὑπὲρ τὸν Σιμωνίδην. καὶ ὕμνος αὐτῷ τις ἐστὶν εἰς μνημοσύνην, ὃν ᾖδεν, ἐν ᾧ πάντα μὲν ὑπὸ τοῦ χρόνου μαραίνεσθαί φησιν, αὐτόν γε μὴν τὸν χρόνον ἀγήρω τε καὶ ἀθάνατον ὑπὸ τῆς μνημοσύνης εἶναι. Ὅτι [4] Ἀπολλώνιος οὗτος τάδε περὶ Ἀναξαγόρου ἔφη· καὶ γὰρ Κλαζομένιον ὄντα, καὶ ἀγέλαις καὶ καμήλοις τὰ ἑαυτοῦ [5] ἀναθέντα, εἰπεῖν, προβάτοις μᾶλλον ἢ ἀνθρώποις φιλοσοφῆσαι. ὁ δὲ Θηβαῖος Κράτης καταπόντωσε τὴν οὐσίαν, οὔτε προβάτοις ποιήσας ἐπιτήδειον, οὔτε ἀνθρώποις.

---

[1] Ὃν κύουσα ἡ μήτηρ ἐπιστάντα δαίμονα ἐθ.] Hæc, & quæ ſequuntur uſque ad verba illa Πρωτέως εἶναι υἱὸν, ex Heſychio Mileſio deſcripſit Suidas. Confer etiam Philoſtrat. in Vita Apoll. Tyan. lib. I. cap. III.

[2] Ἢ περὶ θυσιῶν] Hujus operis mentionem facit Euſebius *de Præpar. Evang.* lib. IV. cap. XIII.

[3] Ὅτι Ἀπολλ. ὁ Τυαν. ἐς σωφροσ. ——— ἡττήθη τούτου] Hæc leguntur apud Philoſtr. de V. A. lib. I. cap. X.

[4] Ὅτι Φιλόστρατος λέγει περὶ Ἀπολλωνίου, θειότερον ἢ Πυθαγ. ——— τὰ δὲ ἀκριβέστερα παρὰ Δάμιδος ἀκηκοώς] Philoſtratus lib. I. cap. I. & II.

[5] Καὶ Ἀναξαγόρας, ὃς Ὀλυμπιάσιν, ὁπότε ἥκιστα ὗοι, προελθ.] Hunc locum Suidas mutilavit, quem Philoſtratus auctiorem exhibet.

Ἀπολλώνιος [6] ἕτερος, Τυανεὺς, φιλόσοφος νεώτερος, γεγονὼς ἐπὶ Ἀδριανοῦ τοῦ βασιλέως, ὡς Ἀγρέσφων ἐν τῷ περὶ Ὁμωνύμων.

Ἀπολλώνιος Ἀλεξανδρεὺς, ὁ κληθεὶς Δύσκολος, πατὴρ Ἡρωδιανοῦ, τοῦ τεχνογράφου γραμματικοῦ· [7] Ὃς ἔγραψε τάδε. Περὶ μερισμοῦ τῶν τοῦ λόγου μερῶν βιβλία τέσσαρα. Περὶ συντάξεως τῶν τοῦ λόγου μερῶν, δ´. Περὶ ῥήματος, ἤτοι [8] Ῥηματικὸν, ἐν βιβλίοις πέν-

dixit: itemque Anaxagoras, qui Olympiis, cum minime plueret, pelle tectus, ad imbrem prædicendum, in ſtadium proceſſit. Cum igitur & alia quoque de Anaxagora commemorent, Apollonium tamen negant vi ſapientiæ futura præſcire potuiſſe. Tantæ igitur ignorantiæ hominum obviam eundum eſſe duxi, ſimulque accurate inveſtigandum, quibus temporibus vir iſte aliquid dixerit aut fecerit, & quibus inſtitutis, quove ſapientiæ genere admirandus ac divinus appellari meruerit. Hæc autem a me collecta ſunt, partim ex urbibus, quæ ipſum adamarunt: partim ex templis, quorum ritus & ſacra collapſa ab ipſo reſtituta ſunt; partim denique ex iis, quæ alii ad ipſum, aut ipſe ad alios ſcripſit. Scripſit autem ad Reges, Sophiſtas, Philoſophos, Elienſes, Delphos, Indos, Ægyptios, de Diis, moribus, legibus, aliiſque. Quæ vero certiora ſunt, ex Damide audivi. Hic Apollonius Tyaneus memoria, ſi quiſquam alius, pollebat: qui ut plurimum quidem ſilebat, multa vero animo verſabat, &, cum centeſimum ætatis annum ageret, memoriæ firmitate Simonidem ſuperabat. Exſtat etiam hymnus ejus in memoriam, quem canere ſolebat, in quo omnia a tempore conſumi dicit, ipſum vero tempus beneficio memoriæ expers ſenii & immortale eſſe. Idem de Anaxagora dixit, eum, cum Clazomenius eſſet, & gregibus cameliſque ſua depaſcenda daret, pecudibus potius quam hominibus philoſophatum eſſe. Crates vero Thebanus opes ſuas in mare demerſit, eaque ratione effecit, ut nec pecudes nec homines utilitatem aliquam ex illis perciperent.

Ἀπολλώνιος ἕτερος. Apollonius alius, Tyaneus, Philoſophus junior, qui vixit temporibus Adriani Imperatoris, ut Agreſphon in libro *de Iis, qui eodem nomine appellati fuerunt*, tradit.

Ἀποσπεύδοντας. κωλύοντας. καὶ Ἀποσπευδούσης. κωλυούσης. ἐμποδιζούσης. Ἀποσπευδούσης καὶ τῆς γυναικὸς, καὶ τῶν παίδων. καὶ γὰρ οὗτοι συνῆσαν αὐτῷ. † Ὁ δὲ τὴν Ἑλένην ἀπέσπευδε τοὺς Τρῶας ἀποδοῦναι.

Ἀποσποδῦσαι.[3] ἀφανίσαι. ἀπὸ τῆς σποδοῦ. αὕτη γὰρ ἀφανίζει τὴν προϋπάρξασαν ὕλην τῶν ξύλων. ἢ ἀποκρῦσαι, ἀφανίσαι, καὶ τυπτόμενον ἐκβαλεῖν. Ἀριστοφάνης Ὄρνισιν·

Ἀποσποδῆσαι τοὺς ὄνυχας τῶν δακτύλων.

Ἀπόσπονδον. ἐχθρὰν, μισητήν. [4] Πισίδης·

Ταύτην ἀφέντες τὴν ἀπόσπονδον μέθην,
Καὶ πᾶσαν ἰλὺν ἀλλοφύλων ᾀσμάτων.

Ἀποσπουδάζων. παυόμενος τῆς σπουδῆς. ἀμελῶν.

Ἀποσπώντων. βιαίως ἑλκόντων. Αἱ δὲ καταφεύγουσιν ἐπὶ τὴν Ἄρτεμιν. βαρβάρου δὲ πικρῶς ἐγκειμένου, καὶ τῶν δορυφόρων ἀποσπώντων, κἀκείνων ἀπρὶξ ἐχομένων, διασπᾶται ὁ κατὰ τοῦ τραχήλου ὅρμος.

Ἀπόστα. οὐ [5] μόνον ἀπόστηθι λέγουσιν, ἀλλὰ καὶ παράστα. Μένανδρος Παιδίῳ· Ἐνταῦθ᾽ ἀπόστα μικρόν. Δὶς ἐξαπατῶντι· Ἐμοὶ παράστα· τὴν θύραν κόψας ἐγὼ καλῶ τιν᾽ αὐτῶν.

Ἀπόστασις. ἀποχώρησις ἐκ διαστήματος. Πολύβιος· Οὐδενὸς ἐπεγνωκότος τῶν πολιτῶν τὸ συμβαῖνον διὰ τὴν ἀπόστασιν, ἅτε μεγάλης οὔσης τῆς πόλεως. Ἀπόστασις, καὶ ἡ Ἀποστασία ἀπό τινος πρός τινα. Ὁ δὲ ἀμείβεται τὸν εὐεργέτην ἀποστάσει. καὶ Ἀποστασίου δίκη, ἡ κατὰ τῶν ἀπελευθέρων, ὅταν ἀποστῶσι τῶν ἀπελευθερωσάντων.

Ἀποστασίου.[6] δίκη τίς ἐστι κατὰ τῶν ἀπελευθερωθέντων δεδομένη τοῖς ἀπελευθερώσασιν, ἐὰν ἀφιστῶνται ἀπ᾽ αὐτῶν, ἢ προστάτην ἕτερον ἐπιγράφωνται, καὶ ἃ κελεύουσιν οἱ νόμοι, μὴ ποιῶσι. καὶ τοὺς μὲν ἁλόντας δεῖ δούλους εἶναι· τοὺς δὲ νικήσαντας τελέως λοιπὸν ἐλευθέρους.

Ἀποστασίου δίκη. ὅταν δοῦλος ὑπὲρ ἐλευθερίας ἐνίστηται, φάσκων, μὴ [7] προσήκειν τοῖς δοῦλον αὐτὸν ἀντιποιουμένοις. Ἀπροστασίου δέ. Τῶν [8] μετοίκων ἕκα-

Et Ἀποστρέχωμεν, avertamus. Menander.

Ἄποσον. Quod quantitate & menſura caret. Ἄπωσον vero, per ω, repelle.

Ἀποσπάδας. Avulſos. Ἀποσπάδοντας vero, eunuchos, ſive caſtratos.

Ἀποσπάσας. Qui avulſit. *Ille vero, cum hinc ipſum avulſiſſet, plagas ei inflixit.*

Ἀποσπεύδοντας. Impedientes. Prohibentes. Et Ἀποσπευδούσης. Prohibentis. Impedientis. *Uxore vero & liberis prohibentibus. Nam & hi cum eo erant.* † *Ille vero obſtitit, quo minus Trojani Helenam redderent.*

Ἀποσποδῆσαι. Delere. Perdere. A σποδὸς, cinis. Ligna enim, in cinerem redacta, omnino pereunt. Vel, repellere, e medio tollere, verberibus cæſum ejicere. Ariſtophanes *Avibus: Ungues digitorum prorſus attriviſſe.*

Ἀπόσπονδον. Inimicam. Odioſam. Piſides:

Hanc valere jubentes inviſam ebrietatem,
Et omnem fæcem peregrinarum cantionum.

Ἀποσπουδάζων. A ſtudio deſiſtens. Negligens.

Ἀποσπώντων. Violenter abſtrahentium. *Illæ ad Dianam confugiunt. Cum vero Barbarus acriter eas perſequeretur, & ſatellites violenter [e templo] eas abſtraherent; illæ vero firmo amplexu [Deæ ſimulacrum] tenerent, monile colli dilaceratum eſt.*

Ἀπόστα. Abſiſte. Non ſolū enim dicunt ἀπόστηθι, ſed & [ἀπόστα: uti παράστηθι &] παράστα. Menander *Puero: Huc recede paululum.* Et *Bis decipiente: Mihi adſta: januam pulſans vocabo aliquem illorum.*

Ἀπόστασις. Diſtantia. Intervallum. Polybius: *Cum nullus civium audiviſſet id, quod acciderat, propter locorum intervallum. Urbs enim magna erat.* Ἀπόστασις etiam ſignificat defectionem ab aliquo ad aliquem. *Ille autem ab eo defecit, eamque pro beneficiis gratiam ipſi retulit.* Et Ἀποστασίου δίκη dicitur actio, quæ inſtituitur contra libertos, qui a patronis defecerunt.

Ἀποστασίου δίκη. Eſt actio, quæ datur patronis contra libertos, ſi ab ipſis deficiant, vel alium patronum ſibi adſciſcant, nec faciant ea, quæ leges jubent. Et victos quidem manet ſervitus: victores vero in poſterum omnino ſunt liberi.

Ἀποστασίου δίκη. Eſt actio, cum ſervus libertatem ſibi vindicat, dicens, nihil juris illos in ſe habere, qui ſe in ſervitutem aſſerant. Actio

---

[1] Ἀποστρέχωμεν] Sic quidem omnes Edit. habent; idque Portus bona fide ſecutus eſt. Sed nemini dubium fore puto, quin legendum ſit ἀποτρέπωμεν: quam lectionem in verſione expreſſi.

[2] Ἀποσπάδοντας] Potius ἀποσπάδωνας, a σπάδων, σπάδωνος.

[3] Ἀποσποδῆσαι. ἀφανίσαι. ἀπὸ τῆς σπ.] Ex Scholiaſta Ariſtoph. ad *Aves*, pag. 542. (368. Ed. Baſ. *P.*)

[4] Πισίδης] Semel moneo, omnia quæ apud Suidam leguntur Piſidis fragmenta, uno tantum vel altero excepto, deprompta eſſe ex libris ejus ſcriptoris hodie non amplius exſtantibus.

[5] Οὐ μόνον ἀπόστηθι λέγουσιν, ἀλλὰ καὶ παρ.] Non improbo conjecturam Porti, qui locum hunc, cui aliqua deeſſe videntur, ſic legendum putabat. Οὐ μόνον ἀπόστηθι λέγουσιν, ἀλλὰ καὶ ἀπόστα· ὡς καὶ παράστηθι, καὶ παράστα.

[6] Ἀποστασίου. δίκη τίς ἐστι κατὰ τῶν ἀπελ.] Ex Harpocratione: ad quem conſule Mauſſacum. Vide etiam Thomam Magiſtrum, Ammonium, & Petitum in Commentar. ad Leg. Attic. pag. 181.

[7] Μὴ προσήκειν τοῖς δοῦλον αὐτὸν ἀντιπ.] Hic locus in prioribus Edit. mendoſus eſt, quem nunc demum ex MSS. Pariſ. emendatum damus.

[8] Τῶν μετοίκων ἕκαστος πρὸς.] Vide infra v. Ἀπροστασίου, & v. Νέμουσι προστάτην.

τος προστάτην ἔχουσι κατὰ νόμον ἕνα τῶν ἀστῶν, καὶ δι' αὐτοῦ τό, τε μετοίκιον τίθεται κατ' ἔτος, καὶ τὰ ἄλλα διοικεῖται. ὅταν οὖν τις δοκῶν εἶναι μέτοικος προστάτην μὴ ἔχῃ, ἢ μὴ δῷ τὸ μετοίκιον, ἢ ἀστὸς εἶναι φάσκῃ, παρεγγεγραμμένος εἰς τὴν πολιτείαν, ὁ βουλόμενος δίκην εἰσάγει πρὸς αὐτόν, ἥτις λέγεται Ἀπροστασίου.

Ἀποστατήσω. ἀποχωρισθῶ. Ἀῤῥιανός· Ἀποστατήσω οὐδὲ ἐγὼ τοῦ ἔργου. Καὶ αὖθις· Οὐκ ἔστιν ὅστις ἀποστατήσας τοῦ τείχους ἐλέγετο.

Ἀποσταυροῦντες. σταυροῖς περικλείοντες. [1] Κύκλῳ τὸ νησίζον τῆς χεῤῥονήσου ὠχύρουν, ἀποσταυροῦντες καὶ περιχαρακοῦντες.

Ἀποσταίην. μακρὰν γενοίμην.

Ἀποστέγειν. Μήτε μὴν τειχῶν ἔχειν περίβολον, οἷον ἀποστέγειν καὶ ἀναστέγειν τοὺς πολεμίους καρτερόν. οἷον ἀπερύκειν, κωλύειν.

Ἀποστέρησις. τὸ τὰ ἀλλότρια λαβόντας κατέχειν. Καὶ ὅταν ἐλεημοσύνην μὴ παρέχωμεν, ἐν ἴσῳ τοῖς ἀποστεροῦσι κολαζόμεθα.

Ἀποστέρξας. αἰτιατικῇ. καρτερικῶς ὑπομείνας. Ὁ δὲ τροφῆς οὐ προσιέμενος, ἀλλ' ἀποστέρξας, εὐγενῶς τὸν βίον κατέστρεψεν.

Ἀποστερητίδα. Ἀριστοφάνης [2] Νεφέλαις·

--- Οἴμοι· τίς ἂν δῆτ' ἐπιβάλοι
Ἐξ ἀρνακίδων γνώμην ἀποστερητίδα;

ἔπαιξε δὲ πρὸς τὸ ἀρνεῖσθαι, παρονομάσας ἀπὸ τῶν ἀρνῶν καὶ τοῦ ἀρνεῖσθαι τοὺς δανειστάς. τὸ δὲ ἀποστερητίδα, ἅμα μὲν ἀπὸ τοῦ ἀποστερεῖν, ἅμα δὲ καὶ ἀντὶ τοῦ περιβόλαιον.

Ἀπόστηθι. ἀποχώρει. καὶ Ἀποστῆναι, ἀποχωρεῖσθαι. [3] Τὸ γὰρ ἀποστῆναι χαλεπὸν ἀεὶ φύσεως, ἣν ἔχει τις ἀεί. καί τοι πολλοὶ ταῦτ' ἔπαθον. ξυνόντες γνώμαις ἑτέρων μετεβάλλοντο τοὺς τρόπους.

Ἀποστησάμενοι. [4] ἀντὶ τοῦ πρὸς σταθμὸν παραλαβόντες. Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον. καὶ Ἀποστήσονται, οἷον σταθμῷ λάβωσιν ἴσον. καὶ Ἀποστήσασθαι, ἀποδοῦναι χρέος.

Ἀποστολάς. [5] ἀποπέμψεις. δῶρα. [6] Καὶ ἀποστελλόμενος [7] μετὰ στρατιᾶς εἰς πόλεμον παρασκευῆς. † Τῶν δὲ πλοίων τὰ μὲν συντριβόμενα ταῖς ἀποστολαῖς. τουτέστι ταῖς ἀποπέμψεσι. καὶ Ἀποστελλόμενοι οὐ μόνον οἱ πεμπόμενοι ἐκ προσταγμάτων τῶν ἀπολυόντων ἀλλὰ καὶ οἱ παραπεμπόμενοι ἀποδημεῖν μέλλοντες, ἀποστελλόμενοι ἐλέχθησαν. καὶ [8] Ἀποστολεῖς, οἱ ἐπὶ τῆς ἐκπομπῆς τῶν τριήρων ἀποδεδειγμένοι.

vero ἀπροστασίου ab hac diverſa eſt. Secundum leges enim ſinguli inquilini patronum habent unum ex civibus, per quem & tributum, μετοίκιον vocatum, quotannis penditur, & reliqua adminiſtrantur. Quum igitur inquilinus aliquis aut patronum non habet, aut tributum non pendit, aut civem ſe eſſe dicit, albo civium falſo inſcriptus, cuilibet licet actione eum perſequi, quæ vocatur ἀπροστασίου.

Ἀποστατήσω. Recedam. Arrianus: *Ne ego quidem ab opere recedam.* Et rurſus: *Nec ullus eſt, qui a muro receſſiſſe dicatur.*

Ἀποσταυροῦντες. Vallis cingentes, ſive munientes. *Ambitum peninſulæ, qua mari cingitur, muniverunt, [omnes ab illa parte aditus] vallis & ſudibus præcludentes.*

Ἀποσταίην. Procul abſim.

Ἀποστέγειν. Arcere, Prohibere. *Nec [urbem] circundatam eſſe muris ſatis firmis ad hoſtium vim ſuſtinendam & arcendam.*

Ἀποστέρησις. Fraudatio, qua res alienas intervertimus. *Et cum pauperibus ſtipem non damus, æque plectimur, ac illi, qui alios jure ſuo fraudant.*

Ἀποστέρξας. Accuſativo jungitur. Qui fortiter toleravit. *Ille vero nullo cibo ſumpto inedia generoſe vitam finivit.*

Ἀποστερητίδα. Fraudatricem. Ariſtophanes *Nubibus: Hei mihi! quis me docebit commentum aliquod, quo fœneratores fraudare poſſim.* Alluſit Comicus ad verbum ἀρνεῖσθαι, quoniam τὸ ἀρνακίδων tam ab ἀρνῶν, quam ἀρνεῖσθαι deduci poteſt. Ἀποστερητίδα vero ab ἀποστερεῖν quidem dictum eſt, ſed tamen ita formatum, ut pro genere quodam pallii accipi videatur.

Ἀπόστηθι. Recede. Et Ἀποστῆναι. Disjungi. Recedere. *Difficile eſt, a natura, qua quis præditus eſt, recedere. Quanquam multis hoc accidit, ut ab aliis perſuaſi mores mutarint.*

Ἀποστησάμενοι. Qui res aliquas ad libram expenſas accepit. Demoſthenes in oratione contra Timotheum. Et Ἀποστήσονται, portionem æquo pondere accipient. Et Ἀποστήσασθαι. Debitum reddere.

Ἀποστολάς. Ablegationes. Dona. *Et cum exercitu inſtructo ad bellum miſſus eſt.* † *Navium quædam attritæ erant, quod ad [crebras expeditiones] miſſæ eſſent.* Et Ἀποστελλόμενοι non ſolum dicuntur illi, qui aliorum juſſu aliquo mittuntur; ſed etiam illi, quos peregre profecturos proſequimur. Et Ἀποστολεῖς, qui deſignati ſunt emittendarum triremium præfecti. Demoſthenes pro Cteſi-

---

[1] Κύκλῳ τὸ νησίζον τῆς χεῤῥον.] Hæc ſunt verba Polybii lib. IV. cap. LVI.

[2] Ἀριστοφάνης Νεφέλαις] Pag. 168. (99. Ed. Baſ. P.)

[3] Τὸ γὰρ ἀποστῆναι χαλεπὸν ἀεὶ φ.] Hæc ſunt verba Ariſtoph. *Veſpis*, pag. 534.

[4] Ἀποστησάμενοι. ἀντὶ τοῦ πρὸς σταθμ.] Ex Harpocratione.

[5] Ἀποστολάς. ἀποπέμψεις. δῶρα] Vide Caſaub. ad Theophr. *Charact.* pag. 166.

[6] Καὶ ἀποστελλόμενος μετὰ στρ.] Pearſonius ad marginem Suidæ ſui notavit, locum hunc in quodam MS. ſic legi: Καὶ Ἀπόστολος, ὁ ἀποστελλόμενος &c. quod valde placet. Secundum iſtam ergo lectionem locus hic ita vertendus eſt: *Et* Ἀπόστολος, *qui cum exercitu inſtructo ad bellum mittitur.*

[7] Μετὰ στρατιᾶς εἰς πόλεμον παρασκ.] Rectius legeris, μετὰ στρατιᾶς καὶ παρασκευῆς εἰς πόλεμον.

[8] Καὶ Ἀποστολεῖς, οἱ ἐπὶ τῆς ἐκπ.] Hæc, & quæ ſequuntur, deſcripta ſunt ex Harpocratione.

Ἀπόστολοι δὲ, αἱ τῶν νεῶν ἐκπομπαί. οὕτω Δημοσθένης, τὸ μὲν ἐν τῷ ὑπὲρ Κτησιφῶντος· τὸ δὲ ἐν [1] πρώτῳ Φιλιππικῶν.

Ἀποστολικὴ [2] πολιτεία. τουτέστιν, ὀφθαλμῶν ἀκρίβεια, γλώσσης ἐγκράτεια, σώματος δουλαγωγία, φρόνημα ταπεινὸν, ἐννοίας καθαρότης, ὀργῆς ἀφανισμός. Ἀγγαρευόμενος προστίθει· [3] τυπτόμενος ἐπίβαλλε· ἀποστερούμενος μὴ δικάζου· μισούμενος ἀγάπα· διωκόμενος ἀνέχου· βλασφημούμενος παρακάλει· νεκρώθητι τῇ ἁμαρτίᾳ· συσταυρώθητι τῷ Χριστῷ· ὅλην τὴν ἀγάπην μετάθες ἐπὶ τὸν Κύριον.

Ἀποστοματίζειν. ἀπὸ μνήμης λέγειν, καὶ ἀπὸ στόματος, ἄνευ γραμμάτων. καὶ Ἀπὸ στόματος (ὡς ἡμεῖς) τὸ μὴ διὰ γραμμάτων, ἀλλ' ἀπὸ μνήμης. Φιλήμων Νεμομένοις·

Ἀπὸ στόματος ἅπαντ', ἐὰν βούλησθ', ἐρῶ.

Κρατῖνος δὲ ταυτὸ τοῦτ' ἀπὸ γλώττης, Νόμοις· Ἀλλὰ, μὰ Δί', οὐκ οἶδα ἔγωγε γράμματ', οὐδ' ἐπίσταμαι αὐτὰ, ἀλλ' ἀπὸ γλώττης φράσω σοι. μνημονεύω γὰρ καλῶς. Θουκυδίδης ζ'. Καὶ ἵκοντ' εἰς τὰς Ἀθήνας οἱ ἀπὸ τοῦ Νικίου, ὅσα τε ἀπὸ γλώττης αὐτοῖς εἴρητο εἶπον. Πλάτων Θεαιτήτῳ· Ἀτὰρ τίνες ἦσαν οἱ λόγοι; ἔχοις ἂν διηγήσασθαι; Οὐ μὰ τὸν Δί' [4] οὔκουν οὔγε ἀπὸ στόματος. ἀλλ' ἐγραψάμην μὲν [5] τοῦτ' εὐθὺς οἴκαδ' ἐλθὼν ὑπομνήματα. καὶ Ἀποστοματίζειν φασὶ τὸν διδάσκαλον, ὅταν κελεύει τὸν παῖδα λέγειν ἄττα ἀπὸ στόματος.

Ἀποστομοῦν. ἀποφράττειν. [6] Προέθετο τὰς διώρυγας ἀποστομοῦν τὰς ἐπιφανεστάτας.

Ἀποστρακισθῆναι. ἐξορισθῆναι. ἐν ὀστράκοις γὰρ τὸ πρὶν ἐγράφοντο αἱ ἐξορίαι. Ὅτι ἀποστρακισθῆναί φασι Κίμωνα, τῇ ἀδελφῇ Ἐλπινίκῃ συγκοιμηθέντα, ὑπὸ Ἀθηναίων. ἀντὶ τοῦ ἐξορισθῆναι.

Ἀποστροφή. ἀντὶ τοῦ [7] καταστροφή.

Ἀποστυγοῦντες. μισοῦντες. Ἰώσηπος· Ἀντίοχος ἀποστυγήσας. † Φαβρίκιος ἡγεμὼν καθίσταται τοῦ πρὸς τὸν Πύῤῥον πολέμου. [8] ἀντικαθεζομένων γὰρ τῶν στρατοπέδων ἀλλήλοις, νυκτὸς φυλάξας τις ὡς τὸν Φαβρίκιον ἀφικνεῖται, δηλητηρίῳ φαρμάκῳ ἀνελεῖν τὸν Πύῤῥον ὑφιστάμενος, ἥν τι δοθείη πρὸς αὐτοῦ χρημάτων ὠφέλεια. ὃν ὁ Φαβρίκιος ἀποστυγήσας τῆς ἐπιχειρήσεως ἀποπέμπει τῷ Πύῤῥῳ δέσμιον. ἀγασθεὶς δὲ τὸ πραχθὲν ὁ Πύῤῥος, ἀναβοῆσαι λέγεται· Οὗτός ἐστι καὶ οὐκ ἄλλος Φαβρίκιος, ὃν δυσχερέστερον ἄν τις παρατρέψοι τῆς οἰκείας ἀρετῆς, ἢ τῆς συνήθους πορείας τὸν ἥλιον.

phonte. Ἀπόστολοι vero vocantur ipſæ claſſes, quæ aliquo mittuntur. Idem in prima Philippica.

Ἀποστολικὴ πολιτεία. *Apoſtolica vivendi ratio hæc eſt: Oculorum caſtitas, linguæ continentia, corporis ſubactio, animus modeſtus, cogitatio pura; iræ exſtirpatio. Ad aliquid faciendum coactus, plus præſta: fraudatus, ne in judicium accerſe: odio habentem te ama: perſequentem te patienter fer: maledictis laceſſitus, precare: mortuus ſis peccato: una cum Chriſto crucifigaris: dilectionem omnem in Dominum transfer.*

Ἀποστοματίζειν. Memoriter & ſine ſcripto aliquid recitare. Et Ἀπὸ στόματος, ut nos dicere ſolemus, ſignificat, non ex ſcripto, ſed ex memoria aliquid dicere. Philemon *Nemomenis: Memoriter omnia, ſi vultis, dicam.* Cratinus vero *Legibus* hoc ipſum ἀπὸ γλώττης vocat. *Sed, per Jovem, literas neſcio: at memoriter hæc tibi dicam. Memini enim probe.* Thucydides libro VII. *Et qui a Nicia miſſi fuerant, cum Athenas veniſſent, dixerunt omnia, quæ ipſis non ſcripto ſed ore præcepta erant.* Plato *Theæteto: At quinam fuerunt iſti ſermones? Poſſeſne eos narrare? Nequaquam, per Jovem, memoriter. At tunc quidem ſtatim domum abiens eos in commentarios retuli.* Et Ἀποστοματίζειν dicitur magiſter, cum puerum memoriter aliquid recitare jubet.

Ἀποστομοῦν. Obturare. Obſtruere. *Foſſas maxime inſignes terra obruere ſtatuerat.*

Ἀποστρακισθῆναι. Teſtarum ſuffragiis in exilium pelli. Teſtis enim ſententia exilii olim inſcribebatur. *Aiunt Cimonem ab Athenienſibus in exilium pulſum fuiſſe, quod cum ſorore Elpinice concubuiſſet.*

Ἀποστροφή. Refugium.

Ἀποστυγοῦντες. Odio proſequentes. Joſephus: *Antiochus odio proſequutus.* † *Fabricius dux belli adverſus Pyrrhum creatur. Cum autem exercitus caſtra haberent vicina, quidam noctu captata temporis opportunitate Fabricium adiit, ſe veneno Pyrrhum necaturum eſſe pollicens, ſi pecunia ſibi daretur. Quem Fabricius ob ſcelus illud peroſus, vinctum Pyrrho remittit. Pyrrhus autem factum hoc admiratus exclamaſſe fertur: Is eſt Fabricius, & non alius, quem difficilius a ſua virtute, quam Solem a conſueto curſu, averteris.*

---

[1] Ἐν πρώτῳ Φιλιππ.] Pag. 18. ubi Oratoris verba hæc ſunt: Εἰς ἃ τοσαῦτα ἀναλίσκετε χρήματα, ὅσα οὐδ' εἰς ἕνα τῶν ἀποστόλων. i. e. *In qua tantos facitis ſumptus, quantos in nullam unquam claſſem.*

[2] Ἀποστολικὴ πολιτεία. τουτέστιν, ὀφθαλμῶν ἀκρίβεια, γλώσσης ἐγκρ.] Elegans hic locus excerptus eſt ex Homilia Baſilii Magni in S. Baptiſmum (Tom. I. pag. 484.) ut monuit Ritterhuſius ad Iſidor. Pelus. lib. IV. Epiſt. XXXIII. Notandum autem, quam Suidas hic vocat Ἀποστολικὴν πολιτείαν, a Baſilio M. loco laudato appellari Εὐαγγελικὴν πολιτείαν.

[3] Τυπτόμενος ἐπίβαλλε] Hæc verba videntur eſſe additamentum librarii cujuſdam, quoniam apud Baſilium M. loco laudato non leguntur.

[4] Οὔκουν οὔγε ἀπὸ στόματος] Lege, ut apud Platonem, οὔκουν οὕτω γ' ἀπὸ στόμ.

[5] Τοῦτ' εὐθύς] Emenda ex Platone τότ' εὐθύς.

[6] Προέθετο τὰς διώρυγας ἀποστ.] Apud Polybium lib. V. cap. XII. unde hunc locum ſumptum eſſe exiſtimat Jac. Gronovius, legitur ἐναστομοῦν, quod contrariæ eſt ſignificationis τῷ ἀποστομοῦν.

[7] Καταστροφή] Apud Harpocrationem, ex quo Suidas, rectius legitur καταφυγή: quod in verſione ſecutus ſum.

[8] Ἀντικαθεζομένων γὰρ τῶν στρατοπ.] Vide Pæanium, Græcum Eutropii interpretem, pag. 73. apud quem eandem de Fabricio hiſtoriam leges.

Ἀποσυκάζεις.[1] συκοφαντεῖς. δοκιμάζεις. Ἀποσυκάζειν γὰρ τὸ τὰ πέπειρα σῦκα [2]διαλέγειν. διόπερ προσέθηκε, πιέζων. ἐκθλίβοντες γὰρ δοκιμάζομεν τὰ σῦκα, εἰ πέπειρά ἐστιν, ἢ μή. ἐπεὶ τοίνυν συκάζειν λέγεται καὶ τὸ συκοφαντεῖν, καὶ τὸ σῦκα κλέπτειν, ἅπαξ εἰπὼν τὸ συκάζειν, ἐπήνεγκε τὸ πιέζων, ἅμα μὲν, ὡς ἐπὶ σύκων, ἅμα δὲ, ἐπεὶ καὶ αὐτὸς θλίβει τοὺς συκοφαντουμένους. καὶ πιέζει δωροδοκῶν καὶ διασείων τοὺς ὑπευθύνους, τουτέστι, τοὺς μὴ λογισμοῖς προσεσχηκότας τῆς ἀρχῆς, ἧς ἐπιστεύθησαν. ἐχρήσατο οὖν τῇ λέξει, ἀφ' οὗ καὶ συκοφάντης κέκληται. τὸ γὰρ παλαιὸν τίμια παρὰ τοῖς Ἀθηναίοις ἦν τὰ σῦκα, καὶ εἴ τις διαβληθῇ κλέπτων σῦκα, ἐκολάζετο. Φαίνειν δὲ ἔλεγον καὶ τὸ κατηγορεῖν.

Ἀποσυστῆσαι. οὐδὲν πλέον τοῦ συστῆσαι σημαίνει.

Ἀποσφαλείς. παρατραπείς. ὀλισθήσας. τῆς εὐθείας ἐκτραπείς.

Ἀποσφαλμήσας. ἀποπηδήσας. ἀποσκιρτήσας. Πολύβιος· Ὁ [3]δὲ ἵππος ἀπὸ τῆς πληγῆς ἀποσφαλμήσας ἐφέρετο ῥύδην διὰ τοῦ μεταξὺ τόπου τοῦ στρατοπέδου. ἢ ἀντὶ τοῦ σφαλείς. Καὶ ἀλλαχοῦ· Ὁ δὲ ἵππος ὁ τοῦ Σκιπίωνος ἐδυσχέρησε μὲν ἀπὸ τῆς πληγῆς, οὐ μὴν ὁλοσχερῶς ἐσφάλμησε. διόπερ ὀρθὸς ἀπέπεσεν ἐπὶ τὴν γῆν ὁ Σκιπίων. Πολύβιος.

Ἀπὸ σφείων. ἀφ' ἑαυτῶν.

Ἀποσφήλωσις. ἡ ἀποτυχία.

Ἀποσφύδου[4] καρτερεῖν.

Ἀποσχεδιάζειν. εἰκῇ καὶ παραχρῆμα λέγειν. καὶ Ἀποσχεδιάσας. συντομεύσας. ἢ ψευσάμενος. καὶ Ἀποσχεδιάζουσιν, ἀντὶ τοῦ ἐκ τοῦ παρατυχόντος λέγουσιν. Καὶ[5] μέντοι ὠμοτάτην κατὰ τῶν αἰχμαλώτων ἀποσχεδιάζουσι ψῆφον, καὶ πάντας ἀνεῖλον ἄρρενάς τε καὶ θηλείας. τοὺς δὲ παῖδας διέσωζον διὰ τὸ ἄωρον τῆς ἡλικίας.

Ἀπόσχῃ.[6] αὐθυπότακτον. ἀντὶ τοῦ ἀποσχέσθαι ποιήσεις.

Ἀποσχῆναι. ἀπενεχθῆναι.

Ἀποσχοινίσαντες.[7] ἀποστερήσαντες.

Ἀποταμιεύεται. ἀποκλείει.

Ἀπόταξις.[8] τὸ χωρὶς τετάχθαι τοὺς πρότερον ἀλλήλοις συντεταγμένους εἰς τὸ [9]ὑπηρετεῖν τὸν ὡρισμένον φόρον. [10]Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Σαμοθρακῶν φόρου.

Ἀποταυρούμενος. θρασυνόμενος.

Ἀποσυκάζεις. Calumniaris. Exploras. Tentas. Ἀποσυκάζειν enim ſignificat ficus maturas decerpere, vel explorare. Quamobrem addidit πιέζων, i. e. premens. Ficus enim premendo explorare ſolemus, utrum maturæ ſint an non. Quoniam igitur συκάζειν ſignificat & calumniari, & ficus furari, cum ſemel dixiſſet συκάζειν, ſubjicit πιέζων, tum, quaſi de ficubus loquens, tum, quia & ipſe premebat eos, quos calumniis vexabat. Muneribus enim inhians concuſſione vexabat eos, qui ad rationes magiſtratus ſibi commiſſi non fuerant attenti. Uſus eſt ergo vocabulo, a quo & συκοφάντης dictus eſt. Olim enim ficus apud Athenienſes in pretio habebantur: unde in fures earum pœna erat conſtituta. Φαίνειν vero etiam accuſare vocabant.

Ἀποσυστῆσαι. Verbum hoc nihil plus ſignificat, quam ſimplex συστῆσαι. Commendare.

Ἀποσφαλείς. Qui aberravit. Qui excidit. A via recta abductus.

Ἀποσφαλμήσας. Qui deſiliit. Qui reſiliit. Vel, prolapſus. Polybius: *Equus vero propter vulnus acceptum reſiliens, magno impetu per locum inter caſtra medium ferebatur.* Et alibi: *Scipionis autem equus graviter quidem vulnere afflictus erat, non tamen omnino conciderat. Quare Scipio rectus in terram delapſus eſt.* Polybius.

Ἀπὸ σφείων. A ſe ipſis. A ſe.

Ἀποσφήλωσις. Spe vel voto ſuo fruſtrari.

Ἀποσφύδου καρτερεῖν. * * * *

Ἀποσχεδιάζειν. Temere & ex tempore dicere. Et Ἀποσχεδιάσας. Qui compendioſe dixit. Vel, qui mentitus eſt. Et Ἀποσχεδιάζουσιν. Ex tempore dicunt. *Quinetiam crudeliſſimam in captivos ſententiam ſtatim tulerunt, omneſque mares & fœminas interfecerunt: at pueris propter immaturam ætatem pepercerunt.*

Ἀπόσχῃ. Eſt ſubjunctivus modus. Prohibebis. Arcebis.

Ἀποσχῆναι. Ablatum fuiſſe.

Ἀποσχοινίσαντες. Qui aliquem ab aliqua re diſjunxerunt, vel excluſerunt.

Ἀποταμιεύεται. Recondit.

Ἀπόταξις. Cum ſeparantur illi, qui ante non ſinguli ſed juncti ſtatutum tributum pendebant. Antipho in oratione de tributo Samothracum.

Ἀποταυρούμενος. Ferociens.

---

[1] Ἀποσυκάζεις. συκοφαντεῖς. δοκ. Ἀποσ.] Vide Scholiaſtam Ariſtoph. ad *Equit.* pag. 302.

[2] Σῦκα διαλέγειν] Poſterior vox mihi ſuſpecta eſt. Quare malim quod apud Scholiaſtam Ariſtoph, loco laudato legitur: Συκάζειν, τὸ ἀποθλίβειν τὰ σῦκα. i. e. *Συκάζειν dicitur ficus premendo explorare.*

[3] Ὁ δὲ ἵππος ἀπὸ τῆς πληγῆς ἀποσφ.] Idem fragmentum Polybii legitur infra v. Ὑπεραλγής, ubi pro ἀποσφαλμήσας legitur ὑπεραλγής: quæ differentia notanda eſt.

[4] Ἀποσφύδου καρτερεῖν] Citius ex pumice aquam, quam ex his ſenſum aliquem elicere queas. Videntur enim eſſe ſomnium inepti cujuſdam librarii: quæ proinde fruſtra quis interpretari & illuſtrare conetur.

[5] Καὶ μέντοι ὠμοτάτην κατὰ τῶν αἰχμ.] Hæc, & quæ ſequuntur, ſunt verba Theoph. Simoc. lib. I. cap. XIII. ut Pearſonius obſervavit.

[6] Ἀπόσχῃ. αὐθυπ. ἀντὶ τοῦ ἀποσχ.] Reſpexit Suidas ad verſum illum Homer. Il. Z. v. 96.

Αἴ κεν Τυδέος υἱὸν ἀπόσχῃ Ἰλίου ἱρῆς.
Si Tydei filium ab Ilio ſacro arcuerit.

In hoc verſu Poetæ τὸ ἀπόσχῃ eſt tertiæ perſonæ; cum tamen Suidas id ita interpretetur, ac ſi eſſet ſecundæ perſonæ ab ἀπόσχωμαι; quod ſecus eſt.

[7] Ἀποσχοινίσαντες. ἀποσ.] Vide ſupra v. Ἀποσχοινίζειν.

[8] Ἀπόταξις. τὸ χωρὶς τετ.] Ex Harpocratione.

[9] Ὑπηρετεῖν] Scribe ὑποτελεῖν, ut apud Harpocrationem.

[10] Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Σαμοθρακῶν φόρου] Sic locum hunc, ante mendoſum, ex Harpocratione emendavi.

Ἀπόταφος.[1] ὁ ἀπεστερημένος τῶν προγονικῶν τάφων. οὕτω Δείναρχος.

Ἀπωτάτω. πορρωτάτω. διὰ τοῦ ω μεγάλου.

Ἀποτεθρίακεν.[2] ἀντὶ τοῦ ἔτιλεν, ψιλὸν εἰργάσατο. κυρίως δὲ ἀπεφύλλισε συκᾶς. θρῖα γὰρ τὰ φύλλα τῆς συκῆς. Ἀριστοφάνης·

Τίς τῶν Ὀδομάντων τὸ πέος ἀποτεθρίακεν;

Ὀδόμαντες δὲ ἔθνος Θρακικόν. ἐλεαίνοντο δὲ καὶ ἀπετίλλοντο οἱ Θρᾶκες τὰ αἰδοῖα, καὶ ἀποσεσυρμένα εἶχον αὐτά. Φασὶ δὲ αὐτοὺς Ἰουδαίους εἶναι. καὶ Ἀποτεθηριωμένοι. ἀπηγριωμένοι. εἴρηται δὲ κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν τεθείων, ἅπερ ἐστὶν ἄγρια καὶ ἄγονα φυτά.

Ἀποτέλειοι. οἱ κατὰ πόλεις ἡγεμόνες τῶν Ἰουδαίων.

Ἀποτέμνω. αἰτιατικῇ. τὸ ἀποκόπτω.

Ἀποτεμεῖται. [3] ἀποχωρισθεῖεν.

Ἀποτετικέναι. ἀποδοῦναι.

Ἀποτεύξασθαι. ἀποτυχεῖν.

Ἀποτείνεται. ἐκτείνεται. φιλονεικεῖ.

Ἀποτειχίζων. ἀποφράσσων. Ἀποτειχίσας δὲ τὴν γαστέρα, οὐδενὶ τῶν φαρμάκων ἔτι εἰμὶ ἁλώσιμος, οὐδ' ἂν ἄδην ἐμφορῶμαι τοῦ φαρμάκου. καὶ [4] Ἀποτειχίσαι, τὸ ἀπολαβεῖν τείχει, καὶ ἀποκλεῖσαι τῆς ἐξόδου. καὶ Ἀποτετειχισμένος, ὁ ἀπειλημμένος καὶ ἀποκεκλεισμένος τῷ τείχει. οὕτως Ἀντιφῶν καὶ Θουκυδίδης. καὶ Ἀποτείχισις, ἡ τῶν τειχῶν ἀφαίρεσις.

Ἀπὸ τῆς ἴσης. [5] Θουκυδίδης· Οὐδ' αὐτοὶ ἀπὸ τῆς ἴσης κοινὰς στρατείας ἐποιοῦντο. οἷον, ἀπὸ τῆς ἰδίας ἑκάστου οὐσίας τὸ [6] φθάνον.

Ἀποτίμησιν. τέλος. ἢ φόρον.

Ἀποτιμηταὶ,[7] καὶ Ἀποτιμᾶν, καὶ τὰ ἀπ' αὐτῶν. Οἱ [8] μισθούμενοι τοὺς τῶν ὀρφανῶν οἴκους παρὰ τοῦ Ἄρχοντος, ἐνέχυρα τῆς μισθώσεως παρείχοντο. ἔδει δὲ τὸν Ἄρχοντα πέμπειν τινὰς ἀποτιμησομένους τὰ ἐνέχυρα· καὶ ἐλέγοντο τὰ μὲν ἐνέχυρα, ἀποτιμήματα· οἱ δὲ ἀποτιμησάμενοι, ἀποτιμηταί· τὸ δὲ ἔργον, ἀποτιμᾶν. [9] Καὶ οἱ προῖκα γυναικὶ γαμουμένῃ δόντες, ᾔτουν παρὰ τοῦ ἀνδρὸς ὑπὲρ τῆς προικὸς ἐνέχυρον, οἰκίαν, ἢ χωρίον ταύτης ἄξιον. ἐλέγετο δὲ ὁ μὲν διδοὺς τὸ ἀποτίμημα, ἐνεργητικῶς ἀποτιμᾶν· ὁ δὲ λαβὼν, ἀποτιμᾶσθαι. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων ὀφλημάτων, ὡς καὶ Δημοσθένης ἐν τῷ κατ' Ὀνήτορος δευτέρῳ.

Ἀπότιμος. [10] οὕτω φησὶ Σοφοκλῆς ἀπότιμον θεὸν τὸν λιμόν· τουτέστι, τὸν μὴ μετέχοντα τῆς τιμῆς. Θεῶν γάρ ἐστι τὸ εὐεργετεῖν τοὺς ἀνθρώπους· ὁ δὲ φθείρει καὶ ἀπόλλυσιν.

Ἄποτις, ἀπότιδος.

Ἀποτίσεις χοῖρε γίγαρτα. οἷον, ὧν κατέφαγες ἀπο-

Ἀπόταφος. Qui majorum ſepulcris eſt privatus. Sic Dinarchus.

Ἀπωτάτω. Longiſſime. Per ω magnum.

Ἀποτεθρίακεν. Pilos evulſit. Pilis nudavit. Proprie, ficus foliis ſpoliavit. Θρῖα enim ſunt folia ficus. Ariſtophanes: *Quis Odomantum penem pilis nudavit?* Odomantes erant gens Thracica. Thraces autem pudenda vellere & nudare ſolebant: quos Judæos eſſe aiunt. Et Ἀποτεθηριωμένοι. Efferati. Per metaphoram ab agreſtibus & ſterilibus plantis, quæ τέθεια vocantur.

Ἀποτέλειοι. Sic vocabantur Præſides vel Præfecti inter Judæos, qui ſingulis urbibus præerāt.

Ἀποτέμνω. Accuſativo jungitur. Abſcindo.

Ἀποτεμεῖται. Separabit. Abſcindet.

Ἀποτετικέναι. Reddidiſſe. Perſolviſſe.

Ἀποτεύξασθαι. Excidere [ſpe vel voto.]

Ἀποτείνεται. Extenditur. Contendit.

Ἀποτειχίζων. Muro muniens. *Cum autem ventrem ut muro quodam muniverim, nullum venenum poſthac nocere mihi poteſt, etiamſi largam ejus copiam hauriam.* Et Ἀποτειχίσαι, muro cingere, & exitu intercludere. Et Ἀποτετειχισμένος. Muro cinctus & interclusus. Sic Antipho & Thucydides. Et Ἀποτείχισις dicitur de urbe, quæ muris nudatur.

Ἀπὸ τῆς ἴσης. Ex æquo. Thucydides: *Neque ipſi ex æquo communes expeditiones ſuſcipiebant.* Ἀπὸ τῆς ἴσης hic ſignificat, æquali tributo pro cujuſque facultatibus collato.

Ἀποτίμησιν. Vectigal. Vel, tributum.

Ἀποτιμηταὶ, & Ἀποτιμᾶν, & quæ inde derivantur. Qui pupillorum domos ab Archonte conducebant, pignora conductionis dabant. Oportebat autem Archontem aliquos mittere, qui pignora æſtimarent. Et ipſa quidem pignora vocabantur ἀποτιμήματα: qui vero ea æſtimabant, ἀποτιμηταί: res ipſa, ἀποτιμᾶν. Sic etiam qui mulieri nubenti dotem dabant, a viro pignus dote dignum petebant, veluti domum, vel fundum. Qui igitur pignus dabat active dicebatur ἀποτιμᾶν: at qui accipiebat, ἀποτιμᾶσθαι. Eadem & in aliis debitis eſt ratio, ut docet Demoſthenes in oratione ſecunda contra Onetorem.

Ἀπότιμος. Inhonoratus. Sophocles Famem vocat Deam ἀπότιμον, i. e. honoris expertem. Deorum enim eſt, homines afficere beneficiis. Illa vero eos conſumit & perdit.

Ἄποτις, ἀπότιδος. Non potans. Non bibens.

Ἀποτίσεις χοῖρε γίγαρτα. *Dependes, porce, aci-*

---

[1] Ἀπόταφος. ὁ ἀπεστερημένος τῶν προγ.] Ex Harpocratione. Vide etiam Heſych. & Etymol.

[2] Ἀποτεθρίακεν, ἀντὶ τοῦ ἔτιλεν, ψιλ.] Ex Scholiaſta Ariſtoph. ad *Acharnenſ.* pag. 378. (268. Ed. Baſ. *P.*) Vide etiam infra v. Ὀδόμαντες, & Πέος.

[3] Ἀποχωρισθεῖεν] Sic habet unus MS. Pariſ. quæ lectio magis mihi placet, quam τὸ ἀποχωρήσειεν, quod priores Edit. exhibent.

[4] Καὶ Ἀποτειχίσαι, τὸ ἀπολαβ. τείχει, καὶ ἀποκλ. τῆς ἐξ. καὶ Ἀποτετ. ὁ ἀπειλ.] Locus hic in prioribus Edit. & corruptus eſt & confuſus, quem ex MSS. Pariſ. & Harpocratione in integrum reſtitui.

[5] Θουκυδίδης] Lib. 1. cap. xv.

[6] Τὸ φθάνον] Has duas voces delendas puto. Sunt enim ſupervacaneæ, nec ad hunc locum quicquam faciunt.

[7] Ἀποτιμηταὶ, καὶ Ἀποτιμᾶν, καὶ τὰ ἀπ' αὐτ.] Totum hunc articulum ex Harpocratione deſcripſit Suidas.

[8] Οἱ μισθούμενοι τοὺς τῶν ὀρφ.] Vide Petitum *de Leg. Attic.* pag. 491.

[9] Καὶ οἱ προῖκα γυναικὶ γαμ.] Vide Petitum *de Leg. Att.* pag. 454

[10] Οὕτω φησὶ Σοφοκλῆς] In *Oedipo Tyran.* pag. 160. ut Portus obſervavit.

δώσεις πλείονα. ἐπὶ τὴν μείζονα τιμωρίαν ὧν ἥμαρτον διδόντων.

Ἀποτομία. τραχύτης. ἐναντίωσις. Οἱ δὲ διὰ τὴν ἀποτομίαν τῆς ἀποκρίσεως οὐ τὸ τυχὸν δέος εἶχον περὶ αὑτούς. καὶ Ἀπότομον, σκληρόν.

Ἄπορον. ζήτει ἐν τῷ Ἄγευστος θοίνης.

Ἀπὸ τοῦ δή. ἀπὸ τοῦ νῦν. Ἀριστοφάνης Νεφέλαις.

Ἀπὸ τοῦ κρατίστου. Μετὰ δυνάμεως. Ἅτε πεπειθαρχηκότων Καρχηδονίων ἀπὸ τοῦ κρατίστου πᾶσι τοῖς ἐπιταττομένοις. Καὶ Πολύβιος· Καὶ τὸ μὲν παλαιὸν ἀπὸ τοῦ κρατίστου ἐγένετο παρὰ Ῥωμαίοις ἡ μονομαχία. ἐν δὲ τοῖς καθ' ἡμᾶς πολλαὶ ὁδοὶ εὕρηνται.

Ἀπὸ τοῦ πράγματος. ἀντὶ τοῦ ἄπωθεν.

Ἀπὸ τοῦ φρονεῖν ἀποσπάσας. τουτέστι, τὴν φρόνησιν αὐτοῦ ἀφελόμενος.

Ἀπὸ τῶν οὐχ ὁμοίων. ἐξ ἀνομοίων. Ἀμυνόμενοι ἀπὸ τῶν οὐχ ὁμοίων ὅπλων, ὅμως τῇ οἰκείᾳ ἀλκῇ θαῤῥοῦντες.

Ἀποτραχηλίζοντες. ἀπάγχοντες. Εὐνάπιος· Καὶ οἱ μὲν αὐτοὺς διέφθειρον σχοινίοις ἀποτραχηλίζοντες. Καὶ αὖθις· Οὐ [1] μὴ παύσησθε τῶν ψηφισμάτων, πρὶν ἂν ὑμᾶς τοῦ σκέλους λαβών τις ἐκτραχηλίσῃ.

Ἀποτραχύνεται. θρασύνεται.

Ἀπότριψις, μέλλησις, ἀπάγγελσις, ἀγώνισις, προάγγελσις, τέκμαρσις, κάθεξις, πλάνησις, διάφευξις, ἐφόρμησις, ὅπλισις, ξένισις, κύφισις, βλάψις, ἐπαίνεσις, ψόφησις, διάρπασις, γυναίκισις, λάλησις, ὁμοιοκατάληκτα ὀνόματα. καὶ Ἀποτριβόμενος, ἀντὶ τοῦ ἐμποδίζων, ἀπείργων. Ὁ [2] δὲ Ἀννίβας ἐν κακοῖς ὢν ἔμενε, τοὺς πολεμίους ἀποτριβόμενος.

Ἀποτρόπαιοι. φαῦλοι. μισεῖσθαι ἄξιοι. ἢ ἀποτρέποντες τὰ κακά. οὕτω γὰρ ἐδόκουν ἀποτρόπαιοί τινες εἶναι καὶ ἀλεξίκακοι.

Ἀποτροπιαζόμενοι. ἀποτρεπόμενοι, ἀποστρεφόμενοι, καὶ μισοῦντες. [3] Εἰώθασι τῶν ἀναιρουμένων εἰς τὰς κεφαλὰς ἀπομάσσειν τὰ ξίφη, ὥσπερ ἀποτροπιαζόμενοι τὸ μύσος, τὸ ἐν τῷ φόνῳ. καὶ Ἀποτροπίασμα, ἐξίλασμα, ἀποτρέπον τὰ μὴ προσήκοντα. [4] ἢ τὸ ἀποτροπῆς ἄξιον. οἷον ἀποτρόπαιον.

Ἀποτρόφους. τοὺς μὴ ὄντας τροφίμους τῆς φιλοσοφίας.

Ἀπότρωκτον [5] ἄλφιτον. τοῦτο δέ φασι τὸ ἀπότρωκτον πρῶτον εὑρεῖν Ἐπίχαρμον.

Ἀποτρύειν. [6] Σοφοκλῆς· Οὐκ ἀποτρύειν ἐλπίδα τὴν ἀγαθὴν χρῆναί σε. ἀνάλγητα γὰρ οὐδ' ὁ πάντα κραίνων βασιλεὺς ἐπέβαλε θνητοῖσι Ζεύς.

nos. Hoc eſt, plura reddes, quam devoraſti. Dicitur in eos, qui pœnas peccatis graviores luunt.

Ἀποτομία. Aſperitas. Nimius rigor. Nimia ſeveritas. *Illi vero propter aſperitatem reſponſi non leviter ſibi timebant.* Et Ἀπότομον. Durum. Rigidum.

Ἄπορον. Quære in Ἄγευστος θοίνης.

Ἀπὸ τοῦ δή. Ab hoc tempore. Ariſtophanes *Nubibus*.

Ἀπὸ τοῦ κρατίστου. Bona fide. Sincere. *Carthaginenſes enim bona fide omnibus imperatis paruerant.* Et Polybius: *Et olim quidem apud Romanos ſingularia certamina bona fide fiebant. Noſtris vero temporibus multæ fraudes inventæ ſunt.*

Ἀπὸ τοῦ πράγματος. Procul a negotio.

Ἀπὸ τοῦ φρονεῖν ἀποσπ. Qui alicui ſanam mentem ademit.

Ἀπὸ τῶν οὐχ ὁμ. Imparibus. *Imparibus quidem armis ſe defendentes, at fortitudine ſua freti,* [*ſtrenue pugnarunt.*]

Ἀποτραχηλίζοντες. Strangulantes. Eunapius: *Et illi quidem eos funibus ſtrangulatos necarunt.* Et iterum: *Non prius decreta facere deſinetis, quam quis vos crure prehenſo præcipites agat.*

Ἀποτραχύνεται. Exaſperatur.

Ἀπότριψις, μέλλησις, ἀπάγγελσις, ἀγώνισις, προάγγελσις, τέκμαρσις, κάθεξις, πλάνησις, διάφευξις, ἐφόρμησις, ὅπλισις, ξένισις, κύφισις, βλάψις, ἐπαίνεσις, ψόφησις, διάρπασις, γυναίκισις, λάλησις, ſunt nomina ſimiliter deſinentia. Et Ἀποτριβόμενος, impediens, arcens. *Annibal, quamvis malo loco res ejus eſſent, perſtitit tamen, & hoſtes repulit.*

Ἀποτρόπαιοι. Averſandi. Fugiendi. Odio digni. Vel, mala avertentes. Exiſtimabantur enim quidam eſſe [Dii] malorum averruncatores.

Ἀποτροπιαζόμενοι. Avertentes. Averſantes. Odio proſequentes. Solebant veteres in capita eorum, quos occiderant, gladios abſtergere, quaſi hac ratione piaculum cæde commiſſum expiaturi. Et Ἀποτροπίασμα, expiatio, qua mala avertuntur. Et Ἀπότροπον, dignum quod averruncetur, vel, abominandum.

Ἀποτρόφους. Qui philoſophiæ non ſunt alumni.

Ἀπότρωκτον ἄλφιτον. Eſculenta farina. Hanc Epicharmum ajunt primum inveniſſe.

Ἀποτρύειν. Sophocles: *Dico enim, non oportere te ſpem bonam penitus abjicere. Non enim vitam omni dolore carentem Rex omnium Jupiter mortalibus dedit.*

---

[1] Οὐ μὴ παύσησθε τῶν ψηφισμ.] Fragmentum hoc (quod depromptum eſt ex *Ariſtoph. Lyſiſtr.* pag. 882.) non pertinet ad vocem Ἀποτραχηλίζειν, ſed Ἐκτραχηλίζειν.

[2] Ὁ δὲ Ἀννίβας ἐν κακοῖς ὢν ἔμενε, τοὺς πολ.] Hæc ſunt verba Polybii lib. III. cap. CII. ut Jac. Gronovius obſervavit.

[3] Εἰώθασι τῶν ἀναιρουμένων εἰς τὰς κεφ.] Vide infra v. Μασχαλισθῆναι.

[4] Ἢ τὸ ἀποτροπῆς ἄξιον] Locus hic mutilus eſt, quem ex Schol. Soph. in *Ajacem* pag. 37. ſic ſupplebis: Καὶ Ἀπότροπον, τὸ ἀποτρόπαιον, ἤγουν τῆς ἀποτροπῆς (hodie legitur ἀποστροφῆς) καὶ ἀποτροπιασμοῦ ἄξιον.

[5] Ἀπότρωκτον ἄλφιτον. τοῦτο δέ φ.] Eadem leguntur ſupra v. Ἄλφι, ubi vide quæ notavimus.

[6] Σοφοκλῆς] *Trachin.* pag. 335. ut Portus obſervavit.

Ἀπολυμπάνισον. [1] ἀκλεῶς τι φόνευσον. ἔστιν ἐν τῷ Τυμπανίζεσθαι.

Ἀπ' οὔατος ἄγγελος ἔλθοι. παρὰ Καλλιμάχῳ. τουτέστι δύσφημος. μὴ ἄξιος τοῦ ἀκουσθῆναι.

Ἀπουργοὶ[2] γωνίαι. εὐτελεῖς. εἰς ἃς τὰ σαρώματα συνῆγον.

Ἀπουρία. ἡ ἐξ ἀνίσων γάμων σπορὰ, ἀπὸ δούλης, ἢ δούλου γενομένη.

Ἀπουρώσαντας. [3] Πολύβιος· Τότε μὲν ἐς τὴν Μυνδίαν ἀπουρώσαντας καθορμισθῆναι μὴ χρωμένους οὐρίῳ πνεύματι.

Ἀπουσιάσει. Ὁ δὲ εἰς τὴν αὐτοῦ θυγατέρα ἀπουσιάσει. τῆς οὐσίας μέρος δώσει.

Ἀποφαντικός. σημαίνει κυρίως τὸν ἐκφαίνοντά τι νόημα, εἴτε διὰ καταφάσεως, εἴτε δι' ἀποφάσεως. σημαίνει[4] δὲ ἰδικῶς καὶ τὸν μὴ συγκατατιθέμενον.

Ἀποφαντόν. ἢ καταφαντόν. ἔστιν ἐν τῷ Ἀξίωμα.

Ἀπόφασις. Δημοσθένης ἐν τῷ πρὸς Φαίνιππον τὸ ἀποφαίνειν διὰ γραμμάτων κατὰ μέρος ὁπόσην οὐσίαν ἔχει, [5] ὅπερ ἐν ταῖς ἀντιδόσεσι μάλιστα γίνεται. καλεῖται δὲ αὐτὸ καὶ ἀπογραφή.

Ἀποφάσκει. ἀπαγορεύει. ἢ ἀποφαντικῶς λέγει τι.

Ἀποφαίνει. φανεροποιεῖ. Ἀποφένει δὲ, διὰ τοῦ ε ψιλοῦ, ἀντὶ τοῦ φονεύει.

Ἀποφέρειν. ἀποδιδόναι. Ἀριστοφάνης· Καὶ ταῦτ' ἀποφέρειν πάντα, κοὐκ ἀποστερεῖν τὰ δεδανεισμένα.

Ἀποφεύγειν. αἰτιατικῇ. καὶ Ἀποφυγγάνειν. ἐν τῷ κατὰ Ἀριστοκράτους Δημοσθένης.

Ἀποφηλικίζει. βιάζεται. ἀπὸ τῶν ὠμὰ σῦκα τρωγόντων καὶ ἐπὶ τὰ ἄλλα μετῆκται.

Ἀπόφημι. ἀποφαίνομαι. καὶ Ἀποφῆναι, ἀποδεῖξαι.

Ἀπόφημον. δύσφημον. Ἡ γλῶττα ἡ ἀπαίδευτος καὶ ἀμαθὴς τῇ τε ἄλλῃ καὶ ταύτῃ ἐπίσπαστα παλαμᾶται, καὶ μέν τοι καὶ ἐς τὸ ἀπόφημόν τε καὶ βλάσφημον καταλισθαίνει.

Ἀποφθεγγόμενος. μαντευόμενος.

Ἀποφθίμενον. ἀποθανόντα.

Δέξαι[6] μ' ἀποφθίμενον τὸν κύνα Διογένη.

καὶ Ἀποφθίσειν. ἀνελεῖν. θανατῶσαι. [7] Τεῦκρός φησι πρὸς τὸν νεκρὸν τοῦ Αἴαντος·

--- Εἶδες, ὡς χρόνῳ
Ἔμελλέ σ' Ἕκτωρ καὶ θανὼν ἀποφθίσειν;

Ἀπολυμπάνισον. Crudeliter interfice. Vide in v. Τυμπανίζεσθαι.

Ἀπ' οὔατος ἀγγ. *Nuntius infauſtus & triſtis veniat.* Apud Callimachum.

Ἀπουργοὶ γωνίαι. Anguli viles, ſive loca vilia, in quæ purgamenta ſordeſque converrebant.

Ἀπουρία. Ex inæqualibus nuptiis, ex ſerva, vel ſervo, procreata ſoboles.

Ἀπουρώσαντας. Adverſo vento uſos. Polybius: *Tunc quidem in Myndiam adverſo vento delatos fuiſſe.*

Ἀπουσιάσει. Bonorum ſuorum partem dabit. *Filiæ ejus bonorum ſuorum partem dabit.*

Ἀποφαντικός. Proprie ſignificat eum, qui, ſive affirmans, ſive negans, aliquid enuntiat. Speciatim vero eum, qui aliquid negat.

Ἀποφαντὸν, & καταφαντόν. De utroque vide ſupra v. Ἀξίωμα.

Ἀπόφασις. Demoſthenes in oratione contra Phænippum ſic vocat deſcriptionem bonorum, qua particulatim indicatur, quantum quis in bonis habeat: id quod in permutationibus locum maxime habebat. Idem etiam vocatur ἀπογραφή.

Ἀποφάσκει. Interdicit. Vel, enuntiat aliquid.

Ἀποφαίνει. Declarat. Manifeſtum facit. Ἀποφένει vero, per ε, occidit.

Ἀποφέρειν. Reddere. Ariſtophanes: *Et hæc reddere omnia, nec fraudare creditores.*

Ἀποφεύγειν, & Ἀποφυγγάνειν. Fugere. Aufugere. Demoſthenes in oratione contra Ariſtocratem.

Ἀποφηλικίζει. Vim infert. Cogit. Ab illis, qui crudas ficus edunt, etiam ad alia trãsfertur.

Ἀπόφημι. Declaro. Pronuntio. Et Ἀποφῆναι. Demonſtraſſe. Declaraſſe.

Ἀπόφημον. Quod eſt mali ominis. *Lingua indocta & rudis tum alia peccat, tum etiam verba abominanda & maledicta ſæpe profert.*

Ἀποφθεγγόμενος. Vaticinans. Oraculum edens.

Ἀποφθίμενον. Mortuum. *Suſcipe mortuum me Canem Diogenem.* Et Ἀποφθίσειν. Necare. Occidere. Teucer Ajacis cadaver alloquens dicit:

--- Vides, ut tandem
Hector, vel mortuus, te perditurus erat.

---

[1] Ἀκλεῶς] Sic habent omnes Editiones. At in Codice Vaticano, ut Pearſonius monuit, ſcriptum eſt εὐκλεῶς; quæ vera eſt lectio.

[2] Ἀπουργοὶ γωνίαι. εὐτελ.] Eadem habet Heſychius.

[3] Πολύβιος· Τότε μὲν ἐς τὴν Μυνδ.] Fragmentum hoc Polybii legitur in Collectaneis Conſtant. a Valeſio editis, pag. 73.

[4] Σημαίνει δὲ ἰδικῶς καὶ τὸν μὴ συγκ.] Recte monuit Portus, confundi hic a Suida τὸ ἀποφαντικὸς cum ἀποφατικός. Poſteriori enim vocabulo ſignificatio ea quadrat, quam Suidas priori tribuit.

[5] Ὅπερ ἐν ταῖς ἀντιδόσεσι μάλιστα γίν.] Ut hæc recte intelligantur, ſciendum eſt, Athenis olim viros trecentos ex ditioribus ſelectos fuiſſe, qui Trierarchiæ munus obirent. Inter hos ſi quis eſſet, qui ſumptibus λειτουργίας illius ferendis par amplius non eſſet, ei claſſe illa excedere licebat, ſi quem inter reliquos cives ſe locupletiorem oſtendiſſet. Quod ſi ergo is, qui deſignabatur, ſe ditiorem eſſe fateretur, in trecentos alterius loco referebatur: ſin negaret, facultates inter ſe permutabant, poſtquam ſincere & bona fide profeſſi fuiſſent, quantum in bonis haberent. Permutatio illa dicebatur ἀντίδοσις: profeſſio vero & deſcriptio bonorum ἀπόφασις & ἀπογραφή, ut Suidas hoc loco docet.

[6] Δέξαι μ' ἀποφθίμενον τὸν κύνα Διογ.] Supple & emenda ex Anthol. lib. III. cap. XXXIII. pag. 420.

Δέξαι με, εἰ καί σοι μέγα βέβριθεν ὀκρυόεσσα
Βᾶρις ἀποφθιμένων, τὸν κύνα Διογένη.

Quamvis triſtis tua cymba mortuis onuſta ſit, ſuſcipe me Canem Diogenem. Alloquitur Charontem.

[7] Τεῦκρός φησι πρὸς τὸν νεκρ.] Apud Sophoclem in *Ajace* pag. 59. ut Portus monuit.

Ἀποφλαυρίζοντες.[1] ἐπιτωθάζοντες. ἐξευτελίζοντες. ἢ ὡς πονηρὸν ἀποστρεφόμενοι. ἀεὶ γὰρ τὸ φλαῦρον ἐπὶ τοῦ πονηροῦ τάττεται. καὶ Ἀπεφλαύριζεν, ἐκάκιζεν. Ὁ δὲ τούτοις ἀντέπραττε, καὶ ἀπεφλαύριζε τὰ λεγόμενα.

Ἀποφορᾶν.[2] ἀντὶ τοῦ ἀπενεγκεῖν, καὶ διάστημα ποιῆσαι μεταξύ. οὕτως Ἰσαῖος. [3] καὶ Ἀποφορὰ παρὰ Ἡροδότῳ, ἡ τελουμένη παρὰ τῶν δούλων τοῖς δεσπόταις.

Ἀποφορτίσασθαι. ἀποβαλεῖν φορτίον.

Ἀποφώλιοι. ξένοι. οἱ φυλὴν μὴ νέμοντες. οὕτως Αἰσχύλος. ἢ [4] ἀπαίδευτοι. Φωλεοὶ γὰρ τὰ παιδευτήρια, ὥς φασιν οἱ Ἴωνες.

Ἀποφράδες ἡμέραι. ἐν αἷς τοῖς κατοιχομένοις χοὰς ἐπιφέρουσιν. ἢ αἱ πρὸς πράξεις ἀνεπιτήδειοι. Ἀππιανός· [5] Μέγα τοῦτο Ῥωμαίοις πάθος ἐγένετο, καὶ πλήθους ἕνεκα, καὶ ἀξιώματος εὐγενοῦς οἴκου, καὶ πανωλεθρίας. καὶ τὴν ἡμέραν ἀποφράδα τίθενται. Ἢ Ἀποφράδες, μιαραὶ ἡμέραι, μάλιστα ἐν αἷς τὰ ἐναγίσματα.

Ἀποφοιβάζων. ἀποκαθαίρων. ἢ χρησμῳδῶν. μαντευόμενος.

Ἀποφοιτᾶν. ἀποπηδᾶν. ἀναχωρεῖν.

Ἀποφυσήσας τὴν σποδὸν τῶν ἐν κριβάνῳ ὠπτημένων. Σφηξὶν [6] Ἀριστοφάνης·

Κᾆπειτ' ἀνελών μ' ἀποφυσήσας,
Εἰς ὀξάλμην ἔμβαλε θερμήν.

Ἀποχετεύονται. μεταφέρονται.

Ἀποχειροβίων. τῶν ἐκ χειρῶν ζώντων, καὶ ταῖς τέχναις προσκαθημένων.

Ἀποχειροτονηθῆναι. γενικῇ. ἀποστραφῆναι. ἀποδοκιμασθῆναι. [7] Ἀριστοφάνης·

Σπονδῶν φέρουσα τῇ πόλει κίστην πλέαν
Ἀποχειροτονηθῆναι τρὶς ἐν τῇ ἐκκλησίᾳ.

Ἐπὶ [8] Κλεωνύμου γὰρ πρεσβευσαμένων Λακεδαιμονίων, ἐστασίασαν ἐν τῇ ἐκκλησίᾳ, ἀντειπόντος Κλέωνος. Καὶ αὖθις· Ὁ δὲ [9] Φιλιππικὸς ἀποχειροτονεῖται παραυτίκα, καὶ Κομαντίολον ὁ βασιλεὺς στρατηγὸν ἀνίστησιν.

Ἀποχώρησις. ἀντὶ τοῦ ἀποστροφή.

Ἀποχρᾶν. ἐξαρκεῖν. Ἡρόδοτος. καὶ Ἀποχρῶν, ἐξαρκοῦν. Τοῖς τε ἄλλοις ἐπάρας, καὶ ὅτι ἀποχρῶν ἔσται τοῖς ἀμφ' αὐτὸν ὠνεῖσθαι τὰ ἐπιτήδεια τῆς ξυμβαινούσης τιμῆς. καὶ Ἀποχρώσης. ἀρκούσης.

Ἀπόχρη. δοτικῇ. ἀρκεῖ.

Ἀποχρησάμενος. Τῶν [10] βαρβάρων ἐξαίτησιν

Ἀποφλαυρίζοντες. Deridentes. Contemnentes. Vel, ut malum averſantes. Τὸ φλαῦρον enim ſemper malum ſignificat. Et Ἀπεφλαύριζεν, contemnebat, vituperabat. *Ille vero his adverſabatur, & contemnebat ea quæ dicebantur.*

Ἀποφορᾶν. Penſionem per certa temporum intervalla ſolvere. Sic Iſæus. Et Ἀποφορὰ apud Herodotum vocatur merces, quæ dominis a ſervis penditur.

Ἀποφορτίσασθαι. Onus abjicere. Exonerare.

Ἀποφώλιοι. Peregrini. Qui nullius ſunt tribus. Sic Æſchylus. Vel, indocti. Φωλεοὶ enim ab Ionibus vocantur Scholæ, in quibus adoleſcentes inſtituuntur.

Ἀποφράδες ἡμέραι. Dies, quibus defunctis inferiæ fiunt. Vel, dies inauſpicati & atri. Appianus: *Magna hæc Romanis clades fuit, tam propter [cæſorum] multitudinem, quam dignitatem nobilis familiæ, ejuſque internecionem. Quare dies ille ater habitus eſt.* Ἀποφράδες ἡμέραι dicuntur dies inauſpicati & inominales: præcipue vero illi, quibus mortuis libatur.

Ἀποφοιβάζων. Purgans. Luſtrans. Vel, oraculum edens. Vaticinans.

Ἀποφοιτᾶν. Reſilire. Recedere.

Ἀποφυσήσας τὴν σπ. *Cum cinerem [a piſcibus] in clibano aſſatis flatu disjeceris.* Ariſtophanes *Veſpis: Deinde accipe me, &, poſtquam flatu diſſipaveris cinerem, quo obſitus ſum, injice me in calidam oxalmen.*

Ἀποχετεύονται. Per canales in alium locum derivantur.

Ἀποχειροβίων. Illorum, qui manibus victum ſibi quærunt, & artes ſellularias exercent.

Ἀποχειροτονηθῆναι. Genitivo jungitur. Suffragiis rejici. Ariſtophanes: *Ferentem civitati ciſtam fœderum plenam ter in concione rejectam fuiſſe.* Tempore enim Cleonymi, cum Lacedæmonii legatos miſiſſent, inter Athenienſes, contradicente Cleone, ortum eſt diſſidium. Et iterum: *Philippico vero confeſtim imperium abrogatur, & Comantiolus a Rege dux creatur.*

Ἀποχώρησις. Diſceſſus. Abitus.

Ἀποχρᾶν. Sufficere. Herodotus. Et Ἀποχρῶν. Sufficiens. *Cum & aliis rationibus animos ipſis addidiſſet, dixiſſetque, ſe effecturum, ut milites ſui res ad victum neceſſarias æquo ſemper pretio emere poſſent.* Et Ἀποχρώσης, ſufficientis.

Ἀπόχρη. Dativo jungitur. Sufficit. Satis eſt.

Ἀποχρησάμενος. Abutens. *Cum autem Go-*

---

[1] Ἀποφλαυρίζοντες. ἐπιτωθ.] Vide ſupra v. Ἀπεφλαύριζον.

[2] Ἀποφορᾶν. ἀντὶ τ.] Apud Harpocrationem, ex quo Suidas, legitur Ἀποφορὰν. ἀντὶ τ. Vide ibi Mauſſacum, quem locus hic non parum torſit.

[3] Καὶ ἀποφορὰ παρὰ Ἡροδότῳ, ἡ τλ.] Significationem hujus vocis pluribus exemplis erudite illuſtrat Valeſius in Notas Mauſſaci ad Harpocrationem h. v. quem vide.

[4] Ἢ ἀπαίδευτοι. Φωλεοὶ γὰρ τὰ παιδ.] Vide Euſtath. ad Odyſſ. E. pag. 1529.

[5] Μέγα τοῦτο Ῥωμαίοις π.] Fragmentum hoc Appiani, quod repetitur infra v. Ἐλεεινὸς, ad hiſtoriam de cæde Fabiorum referendam eſſe ex veſtigiis ſenſus apparet.

[6] Σφηξὶν Ἀριστοφάνης] Pag. 451. (322. Ed. Baſ. P.)

[7] Ἀριστοφάνης] *Pace.* pag. 671. (459. Ed. Baſ. P.)

[8] Κλεωνύμου] Sic habet unus MS. Pariſ. itemque codex Vaticanus, teſte Pearſonio. In prioribus vero Edit. minus recte legitur Κλεινύμου.

[9] Ὁ δὲ Φιλιππικὸς ἀποχειροτον. παρ. καὶ Κομ. ὁ βασ. στρατ. ἀν.] Hæc ſunt verba Theophylacti Simocattæ lib. III. cap. V. in fine, & cap. VI. initio, ut Pearſonius quoque obſervavit.

[10] Τῶν βαρβάρων ἐξαίτησιν σπονδῶν π.] Fragmentum hoc Fulv. Urſinus & Caſaubonus Polybio tribuunt, cum ſit Joannis Antiocheni, ut patet ex Collectaneis Conſtantini a Valeſio editis, pag. 838. ubi idem locus exſtat.

σπονδῶν ποιησαμένων, ὧν μεταδοὺς, οὐκ ἀποχρησάμενος τοῖς προτερήμασι, μεγίστην παρὰ τοῖς βαρβάροις δικαιοσύνης ἀπέλιπε δόξαν. ἀντὶ τοῦ, οὐ κατεπαρθείς. Καὶ αὖθις· [1] Οἱ δὲ περὶ Πόπλιον ἠπείγοντο σπεύδοντες συνάψαι καὶ συναποχρήσασθαι ταῖς τῶν βαρβάρων ὁρμαῖς.

Ἀποχρώντως. αὐτάρκως. ἱκανῶς. Ἀριστοφάνης Ταγηνισταῖς·

Ἀλλὰ στεφάνωσαι. καὶ γὰρ ἡλικίαν ἔχεις
Ἀποχρῶσαν ἤδη. ——————

Ὁ δὲ ἦν δεινὸς ἀνὴρ, καὶ παιδείας ἀποχρώντως ἔχων.

Ἀποψηφίζω. γενικῇ. Ἀλλὰ νομίζεις ἡμᾶς ἀποψηφιεῖσθαί σου.

Ἀποψηφίζονται. [2] Δείναρχος ἐν τῷ κατ' Ἀρχεστράτου. ἀντὶ τοῦ καταδικάζουσιν αὐτὸν μὴ εἶναι πολίτην. καὶ τὸ πρᾶγμα δὲ Δημοσθένης Ἀποψήφισιν καλεῖ.

Ἀποψηφισθέντα. [3] Εἴ τις ξένος ἔδοξεν εἶναι, καὶ οὐ πολίτης, τοῦτον ἐν ταῖς διαψηφίσεσι τῶν δήμων ἀπεψηφίζοντο οἱ δημόται, καὶ ἐλέγετο ἀπεψηφισμένος. εἶτα εἰσήγετο εἰς τὸ δικαστήριον, καὶ ἐκρίνετο ξενίας, καὶ εἰ μὲν ἑάλω, ἐπιπράσκετο ὡς ξένος· εἰ δὲ ἐκράτει, ἀνελαμβάνετο εἰς τὴν πολιτείαν. οὕτως Δημοσθένης. Τίς γὰρ ὑμῶν οὐκ οἶδεν ἀποψηφισθέντα Ἀντιφῶντα; ζήτει ἐν τῷ Διαψήφισις.

Ἀποψοφεῖν. τὸ πέρδεσθαι. εὐσχημόνως λέγων. εὐσχημονέστερον δὲ, διαπνεῖν, καὶ ἀποπνεῖν.

Ἀποψώμενον. καὶ Ἀποψώμεθα. καθαιρόμενοι τὴν πυγήν. [4] Ἀριστοφάνης Πλούτῳ·

Ἀποψώμεθα δ' οὐ λίθοις ἔτι
Ἀλλὰ σκοροδίοις. ——————

τουτέστι τοῖς τῶν σκορόδων φύλλοις.

Ἀποψύχειν. τὸ ἀποθνήσκειν. ἐν πρώτῃ Θουκυδίδης. σημαίνει δὲ καὶ τὸ ξηραίνειν. ὡς τὸ, Ἀποψύχειν ἐν τῷ κλιβάνῳ λίνα τὰ ὑγρανθέντα.

Ἀπώγωνες. οἱ μὴ ἔχοντες πώγωνα.

Ἀπῳδὸν μέλος. τὸ μὴ ἀρέσκον. τὸ τῆς ᾠδῆς ἀλλότριον. καὶ Ἀπῳδὸς, ὁ κακόηχος. ὁ ἀπὸ τῆς ᾠδῆς.

Ἄπωθεν. χωρὶς, ἢ πόῤῥωθεν. Ῥουφῖνος δὲ οἱ μεταξὺ ἐπανήκων ἐνέτυχε, πόλεως Νισίβιδος οὐ μακρὰν ἄπωθεν.

Ἀπώθησαν. ἐξέβαλον.

Ἀπώθητον. τὸ ἐξωθούμενον. καὶ Ἀπωθοῦ, περισπωμένως, ἀντὶ τοῦ ὤθησον. Ἀπόθου δὲ, ἀντὶ τοῦ ἀποβαλοῦ, διὰ τοῦ ο μικροῦ.

Ἀπώλεσας [5] τὸν οἶνον, ἐπιχέας ὕδωρ. ἐπὶ τῶν τὰ καλῶς πρότερον γενόμενα ὕστερον μικροῦ τινος ἕνεκεν κακοῦ ἀναστρεπόντων. ἢ ἐπὶ τῶν ἃ χαρίζονται δηλούν-

thi ſupplices pacem peterent, eam ipſis conceſſit, nec victoria inſolenter uſus eſt. Quam ob cauſam maximam juſtitiæ gloriam apud Barbaros reliquit. Hic τὸ ἀποχρησάμενος ſignificat elatus. Et iterum: *Publius vero feſtinabat, ut prælium cum hoſte committeret, & integro animorum impetu uteretur.*

Ἀποχρώντως. Sufficienter. Satis. Ariſtophanes *Tageniſtis: Sed caput corona. Ætas enim tua ſatis matura eſt.* † *Ille vero erat vir ſtrenuus, nec ineruditus.*

Ἀποψηφίζω. Genitivo jungitur. Suffragiis abſolvo. *An exiſtimas nos te abſoluturos eſſe?*

Ἀποψηφίζονται. Sententiam ferunt, eum non eſſe civem. Dinarchus in oratione contra Archeſtratum. Et Demoſthenes rem ipſam Ἀποψήφισιν vocat.

Ἀποψηφισθέντα. Si quis peregrinus & non civis eſſe videretur, eum populares latis ſuffragiis ex civium albo expungendum cenſebant: iſque dicebatur ἀπεψηφισμένος. Poſtea in judicium introductus peregrinitatis accuſabatur; &, ſi convictus fuiſſet, ut peregrinus vendebatur: ſin viciſſet, in civitatem recipiebatur. Sic Demoſthenes: *Quis enim veſtrum non novit, Antiphontem a popularibus peregrinitatis damnatum fuiſſe.* Quære in v. Διαψήφισις.

Ἀποψοφεῖν. Sic honeſte *pedere* vocatur. Honeſtius vero eſt διαπνεῖν & ἀποπνεῖν.

Ἀποψώμενον. Abſtergentem. Et Ἀποψώμεθα, nates abſtergimus. Ariſtophanes *Pluto: Nates non amplius abſtergimus lapidibus, ſed alliorum foliis.*

Ἀποψύχειν. Animam efflare. Mori. Thucydides libro primo. Significat etiam ſiccare. Ut, *In furno lina humida ſiccare.*

Ἀπώγωνες. Imberbes.

Ἀπῳδὸν μέλος. Carmen ingratum, nec auribus placens. Quod cantum habet inſuavem. Et Ἀπῳδὸς, qui ingratum ſonum edit. A cantu alienus.

Ἄπωθεν. Seorſum. Procul. *Ruffinus vero inter redeundum non procul ab urbe Niſibide ei occurrit.*

Ἀπώθησαν. Ejecerunt. Expulerunt.

Ἀπώθητον. Quod expellitur. Et Ἀπωθοῦ cum circumflexo, pro ὤθησον, pelle, trude. Ἀπόθου vero, per ο, depone, abjice.

Ἀπώλεσας τὸν οἶνον, ἐπιχ. *Perdidiſti vinum aqua infuſa.* Dicitur in eos, qui, quæ recte antea fecerant, ob parvum aliquod malum

---

[1] Οἱ δὲ περὶ Πόπλιον ἠπείγοντο &c.] Hæc ſtilum Polybii redolent. Vide eum lib. 1. cap. XLV.

[2] Ἀποψηφίζονται. Δείναρχος ἐν τῷ κατὰ Ἀρχ.] Ex Harpocratione.

[3] Ἀποψηφισθέντα. Εἴ τις ξένος &c.] Vide ſupra v. Ἀπεψηφισμένος, & infra v. Διαψήφισις: itemque Petit. de *Leg. Attic.* pag. 134.

‡

[4] Ἀριστοφάνης Πλούτῳ] Pag. 82. (41. Ed. Baſ. *P.*)

[5] Ἀπώλεσας τὸν οἶνον, ἐπιχ.] Vide Gatakerum in Miſcell. Poſthum. cap. v. pag. 452.

των καὶ μὴ ἀκέραια παρεχομένων. αὕτη δὲ ἡ παροιμία γέγονεν ἐκ τοῦ Ἀριστίου Κύκλωπος, ὥς φησι Χαμαιλέων ἐν τῷ περὶ Σατύρων.

Ἀπωλεύτων. ἀντὶ [1] πώλων. Τὰ τέκνα αὐτῶν ἀθροίσαντες εἴς τινα ἅλω, καὶ ἱπποαγέλην ἐπελάσαντες ἀπωλεύτων, μάλα ἀνοίκτως ἀλοῶντες διέφθειραν.

Ἀπώλεια. ἡ διαφθορά.

Ἀπώμοτον. ἀπηγορευμένον. φευκτόν. ἔξω ὅρκου γενόμενον, καὶ ἀποίητον.

Τί δ' ἐστ' Ἀθηναίοισι πρᾶγμ' ἀπώμοτον;

Εὔπολις ἐν ταῖς Πόλεσι. καὶ Ἀπώμοτον. ἀπὸ ὠμότητος μὴ γίνεσθαι, καὶ ἐξόμνυσθαι.

Ἀπ' ὤμοιϊν. ἀπὸ τῶν ὤμων.

Ἀπώνατο. εὐηργετεῖτο. ὠφελεῖτο. [2] Ἀγαθίας· Ἀπώνατο οὖν τῆς προπετείας οὐκ ἐν καλῷ. περὶ Θευδιβέρτου λέγων τοῦ Φράγγων βασιλέως. καὶ Ἀπώνητο. ὠφελείας ἔτυχεν, ἀπήλαυσεν, ὠφελήθη. Αἰλιανός. Οὐ μὴν [3] ἀπώνητο οὐδέν, ἀλλὰ ἐξέζεσε ζῶν κακοῖς θηρείοις· οἱ μέν, εὐλαῖς· οἱ δέ, ὅτι οὐ ταύταις, φθειρσί γε μήν.

Ἄπωσον. τὸ δίωξον. ὤθησον. καὶ Ἀπῶσμαι.

Ἀπωστός. ἐκδεδιωγμένος. καὶ Ἀπωστόν. τὸ ἀπωθητόν.

Ἀπωτέρω. πόρρω. μακράν.

Ὑπὲρ [4] γὰρ οὐχὶ τῶν ἀπωτέρω φίλων,
Ἀλλ' αὐτὸς αὐτοῦ τοῦτ' ἀποσκεδῶ μύσος.
Ὅς τις γὰρ ἦν ἐκεῖνον ὁ κτανών, τάχ' ἂν
Κἄμ' ἂν τοιαύτῃ χειρὶ τιμωρεῖν θέλοι.

τουτέστιν, οὐ μόνον ὑπὲρ τοῦ ἀνῃρημένου βασιλέως ἄξιον ποιήσασθαι τὴν ἀναζήτησιν, ἀλλὰ καὶ αὐτοῦ ἐμοῦ. ὁ γὰρ ἐκείνῳ ἐπιχειρήσας, ἴσως κἀμοὶ ἐπιβουλεύσει. καὶ Ἀπώτερος. ὁ μακρότερος.

Ἀπωστός. ἐκδεδιωγμένος. [5] Σοφοκλῆς·

Τέλος δ' ἀπωστὸς γῆς ἀποῤῥιφθήσομαι,
Δοῦλος λόγοισιν ἀντ' ἐλευθέρου φανείς.

Τεῦκρός φησιν Αἴαντος ἀναιρεθέντος. Καὶ αὖθις· Ἀπωστὸς πρότερον ὑπὸ Θησέως ἐξ Ἀθηνῶν γενόμενος. καὶ Ἀπωστόν, τὸ ἀπωθητόν.

Ἀπραγμάτευτον. [6] ἀνεπινόητον. Δείσαντες οὖν τὸ ἀπραγμάτευτον, λυπρᾶς οὔσης αὐτῶν τῆς γῆς, καὶ πάσης ἀθρόον ἀγορᾶς διακλεισθέντες ἐν ἀκαρεῖ χρόνῳ ἐκινδύνευον διαφθαρῆναι.

Ἀπραγμόνως. ἐλευθέρως. ἀντὶ τινὸς ἐξετάσεως. Ἰάμβλιχος· Εἶτα ἐάσατε οὕτως ἀπραγμόνως ἀποθανεῖν.

irrita reddunt. Vel in eos, qui, quæ aliis donant, adulterant, nec ſincera præbent. Hoc proverbium depromptum eſt ex Ariſtiæ *Cyclope*, ut ait Chamæleon *de Satyris*.

Ἀπωλεύτων. Pullis carentium. [Indomitorum.] *Liberos illorum in aream quandam congregatos, & ab equis indomitis, quos immiſerant, conculcatos, crudeliter necarunt.*

Ἀπώλεια. Perditio. Pernicies.

Ἀπώμοτον. Quod quis jurejurando negavit ſe facturum eſſe. Fugiendum. Quod præter jusjurandum fit. *Quid eſt quod non Athenienſes vel jurati negent ſe facturos eſſe?* Eupolis *Urbibus*. Et Ἀπώμοτον. * * *

Ἀπ' ὤμοιϊν. Ab humeris.

Ἀπώνατο. Fructum percepit. Utilitatem percepit. Agathias: *Malum igitur temeritatis ſuæ fructum percepit.* Loquitur de Theodiberto Francorum Rege. Et Ἀπώνητο, utilitatem vel commodum ex aliqua re conſecutus eſt. Fructum percepit. Ælianus: *Nullum tamen commodum inde conſecutus eſt: ſed vivus malis animalculis ſcatuit; quæ alii quidem vermes, alii vero pediculos fuiſſe ajunt.*

Ἄπωσον. Pelle. Repelle. Perſequere. Et Ἀπῶσμαι. Pulſus, repulſus ſum.

Ἀπωστός. Pulſus. Repulſus. Et Ἀπωστόν. Pulſum. Repulſum.

Ἀπωτέρω. Longe. Procul. [Sophocles:] *Non enim amicorum procul diſſitorum, ſed mei ipſius gratia hoc ſcelus ulciſcar. Quiſquis enim fuit, qui illum interfecit, fortaſſe me quoque eadem manu occidere volet.* Id eſt, non ſolum Regis occiſi gratia inquiſitionem fieri oportet: ſed etiam mei ipſius cauſa. Qui enim illi manus intulit, fortaſſe mihi quoque inſidiabitur. Et Ἀπώτερος. Remotior.

Ἀπωστός. Expulſus. Sophocles: *Tandem vero domo expulſus contemptui omnibus ero, ex libero verbis [domini] ſervus factus.* Hæc Teucer inquit Ajace occiſo. Et iterum: *Prius a Theſeo Athenis pulſus.* Et Ἀπωστόν. Pulſum. Expulſum.

Ἀπραγμάτευτον. Non curioſe excogitatum. Vel, non exquiſita arte elaboratum, nec magno labore paratum. [Item, negotiatione carens.] *Metuentes igitur, ne negotiatione privarentur, cum terra ipſorum parum eſſet fœcunda, omni commeatu repente intercluſi, parum abfuit, quin omnes perirent.*

Ἀπραγμόνως. Libere. Sine inquiſitione. Iamblichus: *Deinde ſinite eum ſic ſine moleſtia mori.*

---

[1] Ἀντὶ πώλων] Hæc interpretatio falſa eſt, quippe quæ voci ἄπωλος, non vero ἀπώλευτος convenit. Quid autem ἀπώλευτος ſignificet, vulgata Lexica docent.

[2] Ἀγαθίας] Lib. 1. pag. 15.

[3] Οὐ μὴν ἀπώνητο οὐδ.] Vide infra v. Εὐλαί.

[4] Ὑπὲρ γὰρ οὐχὶ τῶν ἀπωτ.] Hæc, & quæ ſequuntur, ſunt verba Sophoclis in *Oedip. Tyran.* pag. 155. ut Portus monuit.

[5] Σοφοκλῆς] In *Ajace* pag. 58. ut Portus obſervavit.

[6] Ἀπραγμάτευτον] Ἀπραγμάτευτον ſignificat quod non magno labore paratum eſt, quo ſenſu vocabulum illud capitur a Gregor. Nazianz. p. 320. lin. ult. ubi convivium non magno labore paratum & inſtructum ἀπραγμάτευτον πανδαισίαν vocat. In exemplo vero, quod Suidas hic ſubjungit, aliam habet ſignificationem, ut Lector ex verſione noſtra diſcere poterit.

Ἀπραγμοσύνη. ἡ καταφρόνησις. ἡ ἀμέλεια. [1] Ὁ δὲ Ἰουστινιανὸς ἄδικον αὐτῶν ἀπεκάλει τὴν ἐς Κουτριγούρους ἀπραγμοσύνην. καὶ Ἀπραγμοσύνη, εἶδος ἄνθους. [2] Ἀριστοφάνης Νεφέλαις· Μίλακος ὄζων καὶ ἀπραγμοσύνης. ἀντὶ τοῦ, πάσης εὐωδίας ὄζων καὶ ἀσφαλείας. ἢ οὐ πολυπραγμονῶν. οἱ δὲ, ὅτι ἀπραγμοσύνη φυτὸν ἐν Ἀκαδημίᾳ φυόμενον.

Ἀρίδες. Scobinæ. Inſtrumentum fabrile. A recto ἀρίς. [In Epigrammate:] *Curvaſque & utrinque vinctas ſcobinas.* Et iterum: *Et limæ, & ſcalprum.* Ἄρις vero, qui naſo caret.

Ἀριδείκετος. Valde clarus & illuſtris. Ἀρίδηλος vero, valde manifeſtus.

Ἀριαῖος. Ariæus. Nomen proprium.

Ἀριζήλη. Valde clara. Valde manifeſta. Et Ἀρίζηλος, maſculinum.

---

[1] Ἐν ῥαψῳδίᾳ εἴκοσι καὶ τ.] Lego ἐν ῥαψῳδίαις εἴκοσι καὶ τέσσαρσιν. Rhapſodia enim hic ſignificat librum, ſive partem integri operis: quo ſenſu partes poematis Homerici *Rhapſodias* vulgo vocari notum eſt.

[2] Ἀῤῥιανὸς, Νικομηδ.] Vide de eo Photium in *Bibliotheca*, & Voſſium *de Hiſtor. G.* itemque Meurſium in *Bibliotheca Græca.*

[3] Ἀρίβαλλος] In MSS. Pariſ. exaratum eſt ἀρύβαλλος, per υ: & ſic legitur etiam hodie in loco illo Ariſtoph. quem Suidas paulo poſt adducit; itemque infra ſuo loco.

[4] Ἔστι δὲ] Non dubito quin ſcribendum ſit ἔτι δέ. Lectio enim vulgata ineptum parit ſenſum, quoniam non convenit dicere, aliquem *Bacchica* ſcripſiſſe, & in eo opere de Cereris myſteriis egiſſe.

[5] Φέρεται] Sic habet unus MS. Pariſ. itemque Codex Vatic. ut Pearſonius teſtatur. In duobus vero reliquis MSS. Pariſ. exaratum eſt ἐπιγράφεται, quæ lectio minus placet: nec γράφεται, quod priores Edit. exhibent.

[6] Ἔγραψε δὲ καὶ τελετὰς Διονύσου] Hoc opus procul dubio intellexit Clemens Alexandr. *Strom.* lib. IV. pag. 381. ubi ait: Καὶ Ἀριγνώτη ἡ τὰ περὶ Διονύσου γραψαμένη. Vulgatæ Edit. Clementis exhibent περὶ Διονυσίου, quod manifeſte corruptum eſt.

[7] Καὶ γυρὰς ἀμφιδέτους ἀρίδας] Verba hæc leguntur Anthol. lib. VI. cap. XXVII. Epigr. III.

[8] Αἵ τ' ἀρίδες ξυστήρ τε] Verba hæc decerpta ſunt ex Epigrammate quodam, quod ex codice MS. Anthologiæ ineditæ integrum exhibuimus ſupra Ἀμφίξω.

Ἀριήκοον. ὀξυήκοον. εὐπειθῆ.

Ἀριθμῶ. αἰτιατικῇ. καὶ Ἀριθμοῦντα. καταλέγοντα. καὶ ἀριθμοῦντά τινας τοῖς δορυφόροις. † [1] Ὅτι οἱ Πυθαγόρειοι πάντα ἀριθμὸν προσηγόρευον. ὁ δὲ ἀριθμὸς συμπληροῦται τοῖς δέκα. ὁ δὲ δέκα σύνθεσις τῶν τεσσάρων. καὶ διὰ τοῦτο τὸν ἀριθμὸν πάντα τετρακτὺν ἔλεγον.

Ἄριμα. ὄρη. καὶ Ἀριμάνιος, Θεὸς παρ' Αἰγυπτίοις.

Ἀριμάσπειος. τόπος. καὶ Ἀριμασπὸς, ἐθνικόν.

Ἀριμαθέμ. ὄνομα τόπου. καὶ Ἀριμαθαῖος, ἀπὸ τούτου.

Ἀρίμινον. ὄνομα πόλεως. καὶ Ἀριμίνιος, ὄνομα ἐθνικόν.

Ἄρινον. τὸ νάπυ.

Ἀριοβαρζάνης. ὄνομα κύριον.

Ἀρίων, Μηθυμναῖος, λυρικὸς, Κυκλέως υἱὸς, γέγονε κατὰ τὴν λή Ὀλυμπιάδα. τινὲς δὲ καὶ μαθητὴν Ἀλκμᾶνος ἱστόρησαν αὐτόν. ἔγραψε δὲ Ἄισματα· Προοίμια εἰς ἔπη β. λέγεται καὶ τραγικοῦ τρόπου εὑρετὴς γενέσθαι, καὶ [2] πρῶτος χορὸν στῆσαι, καὶ διθύραμβον ᾆσαι, καὶ [3] ὀνομάσαι τὸ ᾀδόμενον ὑπὸ τοῦ χοροῦ, καὶ Σατύρους εἰσενεγκεῖν ἔμμετρα λέγοντας. Φυλάσσει δὲ τὸ ω καὶ ἐπὶ γενικῆς.

Ἀριπρεπής. ὁ διάδηλος.

Ἄρις. ὁ μὴ ἔχων ῥῖνα.

Ἀρίσβη. πόλις τῆς Βοιωτίας.

Ἀρίσημος. Φανερὸς ἐν πολέμοις.

Ἄριστα. κάλλιστα. καὶ παροιμία· Ἄριστα χωλὸς [4] ὑφεῖ. ἐπὶ τῶν τὰ οἰκεῖα κακὰ μᾶλλον αἱρουμένων, ἢ ἀλλότρια ἀγαθά.

Ἀρίσταρχος, Ἀλεξανδρεὺς θέσει, τῇ δὲ φύσει Σαμόθρᾳξ, πατρὸς Ἀριστάρχου. γέγονε δὲ κατὰ τὴν ρνϛ Ὀλυμπιάδα, ἐπὶ Πτολεμαίου τοῦ Φιλομήτορος, οὗ καὶ τὸν υἱὸν ἐπαίδευσεν. λέγεται δὲ γράψαι ὑπὲρ ω βιβλία ὑπομνημάτων μόνων. μαθητὴς δὲ γέγονε Ἀριστοφάνους τοῦ γραμματικοῦ, καὶ Κράτητι τῷ γραμματικῷ Περγαμηνῷ πλεῖστα διημιλλήσατο ἐν Περγάμῳ. μαθηταὶ δὲ αὐτοῦ γραμματικοὶ περὶ τοὺς μ' ἐγένοντο. τελευτᾷ δὲ ἐν Κύπρῳ, ἑαυτὸν ὑπεξαγαγὼν ἐνδείᾳ τροφῆς, νόσῳ τῇ ὕδρωπι ληφθείς. ἔτη δὲ αὐτοῦ τῆς ζωῆς οβ'. καὶ παῖδας μὲν κατέλιπεν Ἀρίσταρχον καὶ Ἀρισταγόραν. ἄμφω δὲ ἐγένοντο εὐήθεις, ὥστε καὶ ἐπράθη ὁ Ἀρίσταρχος. Ἀθηναῖοι δὲ ἐλθόντα παρ' αὐτοῖς ἐξωνήσαντο.

Ἀριήκοον. Acute audientem. Obedientem. Dicto audientem.

Ἀριθμῶ. Numero. Et Ἀριθμοῦντα, numerantem. † Pythagorei omnia appellabant numerum. Numerus autem denario completur. Denarius vero ex quaternario componitur. Quamobrem omnem numerum quaternionem appellarunt.

Ἄριμα. Arima, montes. Et Arimanius, Deus apud Ægyptios.

Ἀριμάσπειος. Locus quidam. Et Ἀριμασπὸς, nomen gentile.

Ἀριμαθέμ. Arimathem. Nomen loci. Et Arimathæus, qui eſt ex illo loco.

Ἀρίμινον. Ariminum. Nomen urbis. Et Ariminius, nomen gentile.

Ἄρινον. Sinapi.

Ἀριοβαρζάνης. Ariobarzanes. Nom. propriũ.

Ἀρίων. Arion, Methymnæus, Lyricus, Cyclei filius, vixit Olympiade trigeſima octava. Quidam etiam ipſum Alcmanis diſcipulum fuiſſe tradiderunt. Scripſit Cantica, & Prooemia ad verſus bis mille. Fertur etiam tragici modi inventor fuiſſe, & primus chorum inſtituiſſe, & dithyrambum ceciniſſe & ita nominaſſe, quod a choro canitur, & Satyros introduxiſſe verſibus loquentes. Retinet autem τὸ ω etiam in genitivo.

Ἀριπρεπής. Valde illuſtris & excellens.

Ἄρις, ἄρινος. Naſo carens.

Ἀρίσβη. Ariſbe. Urbs Bœotiæ.

Ἀρίσημος. In bellis clarus.

Ἄριστα. Optime. Et proverbium. *Claudus optime ſubat*. Dicitur de illis, qui ſua mala alienis bonis præferunt.

Ἀρίσταρχος. Ariſtarchus, habitatione Alexandrinus; natione vero Samothrax, patrem habuit Ariſtarchum, vixitque Olympiade CLVI. tempore Ptolemæi Philometoris, cujus etiam filium erudiit. Fertur ſcripſiſſe ultra octingentos libros, eoſque commentariorum tantum. Diſcipulus fuit Ariſtophanis Grammatici, & cum Cratete, Grammatico Pergameno, Pergami ſæpiſſime contendit. Diſcipulos Grammaticos habuit circiter XL. In Cypro aqua intercute laborans mortem inedia ſibi conſcivit. Vixit annos LXXII. filioſque reliquit Ariſtarchum & Ariſtagoram, qui ambo ſtupidi fuerunt; adeo ut Ariſtarchus venderetur: quem tamen Athenienſes redemerunt.

---

[1] Ὅτι οἱ Πυθαγόρειοι πάντα ἀριθμὸν προσηγ.] Hæc, & quæ ſequuntur, leguntur in Excerptis ex Vita Pythagoræ apud Photium Cod. CCXLIX. pag. 1313. unde ea Suidas deſcripſit.

[2] Καὶ πρῶτος χορὸν στῆσαι] Scholiaſta Ariſtoph. *Avib.* pag. 606. Ἀντίπατρος δὲ καὶ Εὐφρόνιος ἐν τοῖς ὑπομνήμασι φασὶ, τοὺς κυκλίους χοροὺς στῆσαι πρῶτον Λᾶσον τὸν Ἑρμιονέα. οἱ δὲ ἀρχαιότεροι Ἑλλάνικος καὶ Δικαίαρχος, Ἀρίονα τὸν Μηθυμναῖον. Idem etiam teſtatur Proclus apud Photium pag. 985.

[3] Καὶ ὀνομάσαι τὸ ᾀδόμ.] In omnes me verſavi partes, ut loco huic, quem ſuſpectum habeo, medicinam aliquam reperirem: ſed fruſtra. Quare eruditus Lector de eo cogitet velim.

[4] Ὑφεῖ] Scribendum eſt οἰφεῖ, ut apud Diogenianum. Euſtathius quoque ad Il. Γ. pag. 403. eandem lectionem confirmat; cujus verba adſcribam: Δῆλον δὲ, ὅτι ἀπ' αὐτῶν καὶ παροιμία φέρεται τὸ, Ἄριστα χωλὸς οἰφεῖ. Ἐπήρουν μὲν γὰρ, φασὶν, Ἀμαζόνες ἀρρένων σκέλος, ἢ δεξιὰν χεῖρα. Σκυθῶν δὲ προκαλουμένων αὐτὰς αὐταῖς συνοικεῖν, ὡς ἀπηρώτοις οὖσι κατὰ Παυσανίαν, Ἀντιάνειραν φασὶ μίαν τῶν Ἀμαζόνων, θρασεῖαν οὖσαν καὶ ἀκόλαστον, εἰπεῖν· Ἄριστα χωλὸς οἰφεῖ ὡς ὠχευμένων αὐτῶν τοῖς χωλοῖς.

Ἀρίσταρχος[1] Τεγεάτης, ὁ τῶν τραγῳδιῶν ποιητὴς, νοσεῖ τινα νόσον· εἶτα δὲ αὐτὸν ἰᾶται Ἀσκληπιὸς, καὶ προστάττει χαριστήρια τῆς ὑγείας. ὁ δὲ ποιητὴς τὸ δρᾶμα τὸ ὁμώνυμόν οἱ νέμει. Θεοὶ δὲ ὑγείας μὲν οὐκ ἄν ποτε μισθὸν αἰτήσαιεν, οὐδ' ἂν λάβοιεν. ἢ πῶς ἄν; εἴ γε τὰ μέγιστα ἡμῖν φρενὶ φιλανθρώπῳ καὶ ἀγαθῇ παρέχουσι προῖκα, ἥλιόν τε ὁρᾶν, καὶ τοῦ Θεοῦ τοῦ τοσούτου τῆς παναρκοῦς ἀμισθὶ [2] μεταλαμβάνειν ἀκτῖνος, καὶ χρῆσιν ὕδατος, καὶ πυρὸς συντέχνου μυρίας ἐπιγονὰς, καὶ ποικίλας ἅμα καὶ συνεργοὺς ἐπικουρίας, καὶ ἀέρος σπᾶν, καὶ ἔχειν τροφὴν ζωῆς τὸ ἐξ αὐτοῦ πνεῦμα. ἐθέλουσι δὲ ἄρα τοῖσδε τοῖς μικροῖς μήτε ἀχαρίστους εἶναι, μήτε ἀμνήμονας ἡμᾶς, καὶ ἐν τούτοις ἀμείνονας ἀποφαίνοντες. Οὗτος δὲ ὁ Ἀρίσταρχος σύγχρονος ἦν Εὐριπίδῃ· ὃς πρῶτος εἰς τὸ νῦν αὐτῶν μῆκος τὰ δράματα κατέστησεν. καὶ ἐδίδαξε μὲν τραγῳδίας ἑβδομήκοντα, ἐνίκησε δὲ δύο, βιοὺς ὑπὲρ ἔτη ρ'.

Ἀρίσταρχος Τεγ. Ariſtarchus Tegeates, poeta Tragicus, morbo quodam laborans ab Æſculapio ſanatur, qui ei præcepit, ut pro reddita ſanitate gratiam ſibi referret. Poeta igitur fabulam cognominem ipſi dedicavit. At vero Dii mercedem pro ſanitate nec exigent unquam, nec recipient. Quomodo enim? Cum nobis maxima quæque bona pro amore & benignitate ſua erga genus humanum gratis largiantur, ut & ſolem videamus, & tanti Dei radiis omnia illuſtrantibus ſine mercede fruamur: aquæ etiam uſum nobis præbeant, itemque ignis, cujus beneficio & ope infinitæ commoditates vitæ noſtræ accedunt. Aerem præterea haurire nos ſinant, ut ſpiritu ejus vitam noſtram ſuſtentemus. Dum igitur exiguam ejuſmodi gratiam a nobis referri ſibi jubent, id volunt, ne ingrati nec beneficiorum immemores ſimus; per hæc ipſa meliores nos reddentes. Hic Ariſtarchus æqualis fuit Euripidis: qui primus dramata ad eam, quam nunc habent, prolixitatem produxit. Docuit Tragœdias LXX. vicit duabus. Obiit centenario major.

Ἀρίσταρχος. οὗτος τὴν ἐν Ἐφέσῳ μόναρχον εἶχεν ἐξουσίαν ἐκ τῶν Ἀθηναίων ἥκων κλητός. ἐκάλουν δὲ αὐτὸν ἄρα οἱ προσήκοντες, ὅτι ἐμμελῶς τε καὶ σὺν κηδεμονίᾳ αὐτῶν ἦρξεν ἔτεσιν ε'. ὑπανέστη δὲ ἐκ τῶν Ἀθηναίων, ὅτε Ἅρπαγος Κῦρον τὸν Καμβύσου παῖδα ἐπὶ τὴν σὺν Πέρσαις ἀπόστασιν ἐπάρας ἔτυχεν.

Ἀρισταίνετος. ὄνομα κύριον.

Ἀρίσταινος.[3] Φιλοποίμην καὶ Ἀρίσταινος οἱ Ἀχαιοὶ συνέβησαν οὐ τὴν φύσιν μίαν ἔχειν, οὔτε τὴν αἵρεσιν τῆς πολιτείας. ἦν γὰρ ὁ μὲν Φιλοποίμην εὖ πεφυκὼς καὶ κατὰ σῶμα καὶ κατὰ ψυχὴν πρὸς τὰς πολεμικὰς χρείας. ὁ δ' ἕτερος πρὸς τὰ πολιτικὰ καὶ λογικὰ τῶν διαβουλίων. τῇ δ' αἱρέσει κατὰ τὴν πολιτείαν τοῦτο διέφερον ἀλλήλων. τῆς γὰρ Ῥωμαίων ὑπεροχῆς ἤδη τοῖς Ἑλληνικοῖς πράγμασιν ἐμπλεκομένης ὁλοσχερῶς, κατά τε τοὺς Φιλιππικοὺς καὶ Ἀντιοχικοὺς καιροὺς Ἀρισταίνετος ἦγε τὴν ἀγωγὴν τῆς πολιτείας οὕτως, ὥστε πᾶν τὸ πρόσφορον μὲν Ῥωμαίοις ἐξ ἑτοίμου ποιεῖν· ἔνια δὲ καὶ πρὶν ἢ προστάξαι ἐκείνους. ἐπειρᾶτο μέν τοι γε τῶν νόμων ἔχεσθαι δοκεῖν, καὶ τὴν τοιαύτην ἐφείλκετο φαντασίαν, εἴκων ὁπότε τούτων ἀντιπίπτοι τις προδήλως τοῖς ὑπὸ Ῥωμαίων γραφομένοις. ὁ δὲ Φιλοποίμην ὅσα μὲν εἴη τῶν παρακαλουμένων ἀκόλουθα τοῖς νόμοις καὶ τῇ συμμαχίᾳ πάντα συγκατήνει καὶ συνέπραττεν ἀπροφασίστως. ὅσα δὲ τούτων ἐκτὸς ἐπιτάττοιεν, οὐχ οἷός τ' ἦν ἐθελοντὴς συνυπακούειν, ἀλλὰ τὰς μὲν ἀρχὰς ἔφη δεῖν δίκαιον[4] ἡγεῖσθαι· μετὰ δὲ ταῦτα, πάλιν ἀξιοῦν. εἰ δὲ μηδ' οὕτως πείθοιεν, τέλος οἷον ἐπιμαρτυρομένους εἴ-

Ἀρίσταρχος. Hic Athenis accerſitus ſummæ rerum Epheſi ſolus præfuit, Evocarunt autem eum cognati & affines, quod per annos quinque magna cum cura & fide ipſis præfuiſſet. Athenis diſceſſit eo tempore, quo Harpagus Cyrum, Cambyſis filium, una cum Perſis ad defectionem impulit.

Ἀρισταίνετος. Ariſtænetus. Nomen proprium.

Ἀρίσταινος. Philopœmenes & Ariſtænus Achæi neque ingenio ſimili fuerunt, neque eandem in Republ. ſectam ſequebantur. Nam Philopœmenes quidem & animo & corpore ad res militares egregie factus; contra Ariſtænus ad res civiles conſilio & eloquentia promptior erat. Inter utriuſque autem in Republ. gerenda inſtitutum id interfuit. Nam cum Romanorum potentia bello Philippico & Antiochico penitus ſe rebus Græciæ immiſcuiſſet, Ariſtænus quidem ita Rempubl. moderabatur, ut, quicquid e re populi Romani eſſet, lubentiſſime faceret; quædam etiam ultro, antequam pop. Rom. mandaſſet. Interim tamen operam dabat, ut leges ubique ſervare videretur, atque eam ſpeciem præ ſe ferebat: cedens interdum, ſi qua lex mandatis populi Romani aperte repugnabat. At Philopœmenes & ipſe quidem poſtulatis Romanorum, quæcunque a legibus ac fœdere gentis Achæorum non diſcedebant, ſine controverſia aſſentiebatur: quæcunque vero præter leges & fœdera imperabantur, adduci non poterat, ut eis ſponte pareret: ſed primo quidem rationibus contra allatis, deinde vero precibus contendendum eſſe ajebat. Quod ſi ne ſic quidem flectere illos potuiſſent, tunc demum

---

[1] Ἀρίσταρχος Τεγεάτης ——— ἀμείνονας ἀποφαίνοντες] Hæc ex libro deperdito Æliani *de Providentia* deſcripta eſſe colligo ex iis, quæ leguntur infra v. Θεόπομπος, Θεοδ. ubi ſimilis hiſtoria de Theopompo ab Æſculapio ſanato ex Æliano narratur.

[2] Μεταλαμβάνειν] Sic ex MSS. Pariſ. reſcripſi. Priores enim Edit. minus recte habent λαμβάνειν.

[3] Φιλοποίμην καὶ Ἀρίσταινος οἱ Ἀχαιοὶ συνέβ.] Hæc, & omnia quæ ſequuntur uſque ad finem articuli, ſunt verba Polybii apud Conſtantinum in Excerptis a Valeſio editis pag. 122. unde ea Suidas deprompſit.

[4] Δίκαιον ἡγεῖσθαι] Caſaubonus & Valeſius reſcribendum cenſent δικαιολογεῖσθαι: quod probo. Lectio enim vulgata nihil ad ſenſum loci hujus facit.

χῇ, καὶ τότε ποιεῖν τὸ παραγγελλόμενον.

Ἀρισταῖος. εἷς τῶν Γιγάντων, ὃς περιεσώθη. [1] Ἀριστεὺς δὲ, Ἀριστέως. καὶ Ἀριστίων ὡσαύτως. [2] ἔστι δὲ Σάμιος μὲν, ἢ Πλαταιεὺς· ἐκ μειρακυλλίου δὲ ἑταῖρος Δημοσθένους. ἐπέμφθη δὲ ὑπ᾽ αὐτοῦ πρὸς Ἡφαιστίωνα ἕνεκα διαλλαγῶν. μνημονεύει αὐτοῦ Ὑπερείδης ἐν τῷ κατὰ Δημοσθένους. † Ὅτι ἐν τῷ ὄρει τῆς Σικελίας, τῷ λεγομένῳ Αἴτνῃ, Ἀρισταῖον μόνον τὸν Γίγαντα περισωθῆναί φασι· καὶ οὔτε πῦρ οὐράνιον ἐπ᾽ αὐτὸν ἦλθεν, οὔτε Αἴτνη πιέζει αὐτόν.

Ἀρίσταιχμος. ὄνομα κύριον.

Ἀριστέας, [3] Δημοχάριδος, ἢ Καυστροβίου, Προκοννήσιος, ἐποποιός. τὰ Ἀριμάσπεια καλούμενα ἔπη. ἔστι δὲ ἱστορία τῶν Ὑπερβορέων Ἀριμασπῶν, βιβλία γ'. τούτου φασὶ τὴν ψυχὴν, ὅταν ἐβούλετο, ἐξιέναι καὶ ἐπανιέναι πάλιν. γέγονε δὲ κατὰ Κροῖσον καὶ Κῦρον, Ὀλυμπιάδι ν'. [4] ἔγραψε δὲ οὗτος καὶ καταλογάδην Θεογονίαν, εἰς ἔπη ά.

Ἀριστερά. τὰ μωρά. δεξιὰ δὲ, τὰ συνετά. [5] Σοφοκλῆς περὶ Αἴαντός φησιν·

Οὔποτε γὰρ φρενόθεν γ᾽ ἐπ᾽ ἀριστερὰ,
Παῖ Τελαμῶνος, ἔβης.

Ἀριστείδης, [6] Ἀδριανεὺς, σοφιστής· Ἀδριανοὶ δὲ πόλις Μυσίας, τῆς νῦν Βιθυνίας· Πολέμωνος τοῦ Σμυρναίου Ῥήτορος μαθητὴς, υἱὸς Εὐδαίμονος, φιλοσόφου τε καὶ ἱερέως γενομένου τοῦ ἐν τῇ πατρίδι αὐτοῦ ἱεροῦ τοῦ Διός. οἱ δὲ Εὐδαίμονα τὸν πατέρα αὐτοῦ γράφουσιν. ἠκροάσατο δὲ Ἡρώδου κατὰ τὰς Ἀθήνας, καὶ ἐν Περγάμῳ Ἀριστοκλέους· γεγονὼς ἐπί τε Ἀντωνίνου τοῦ Καίσαρος, καὶ διατείνας μέχρι Κομόδου. [7] τῶν δὲ λόγων παρ᾽ οὐδενὶ πέρας εὕροι τις ἂν, ἄλλως δὲ ἄλλοις ἐπιτευχθέντας.

Ἀριστείδης, ὁ Λυσιμάχου, πένης ὢν διὰ τὸν τρόπον ἄνευ ὅρκων ἐπιστεύετο. καὶ Καλλίου ποτὲ κρινομένου παρελθὼν εἶπεν, ἐμοὶ τὸν ἄνδρα χαρίσασθε· καὶ ἔτυχε. τοῦ δὲ χρυσίον ἀντιπέμψαντος, παρῃτήσατο, εἰπών· Ὁ μὲν Καλλίου βίος τῆς Ἀριστείδου χρῄζει πενίας· ἡ δὲ Ἀριστείδου πενία καταφρονεῖ τοῦ Καλλίου πλούτου. οὗτος Θεμιστοκλεῖ ποτε ἀντεπολιτεύσατο. συμπρεσβεύων δὲ αὐτῷ, τὴν ἔχθραν, εἶπεν, ἔσω τῶν ὁρίων ἀφῶμεν, ὁμονοῶμεν δὲ ὑπὲρ τῆς πόλεως. οὕτω δὲ ἦν δίκαιος, ὡς μέλλοντος αὐτοῦ ἐξοστρακίζεσθαι ἀπὸ τῆς ἀγροικίας τις ὄστρακον αὐτῷ ἐπιδιδοὺς (ἠγνόει δὲ τὸν ἄνδρα,) γράφειν ἠξίου τὸν ἐξωστρακισμένον. τοῦ δὲ ἐρωτήσαντος, τί Ἀριστείδης αὐτὸν λυποίη· πάνυ δίκαιος ὢν ἔφη. καὶ γελάσας ὁ Ἀριστείδης ἔγραψε ψῆφον.

tanquam Divum fidem conteſtatos cedere atque imperata facere oportere.

Ἀρισταῖος. Ariſtæus, unus Gigantum, qui ſolus interitum effugit. Ἀριστεὺς vero Ἀριστέως, eſt nomen proprium: uti & Ἀριστίων. Is autem erat Samius vel Platæenſis, & ab ineunte ætate Demoſthenis ſodalis & familiaris : a quo miſſus eſt ad Hephæſtionem amicitiæ reconciliandæ cauſa. Meminit ejus Hyperides in oratione contra Demoſthenem. † Ariſtæum Gigantem in Ætna Siciliæ monte ſolum interitum evaſiſſe ferunt. Nam nec ignis cœleſtis eum tetigit, nec Ætna pondere ſuo eum preſſit.

Ἀρίσταιχμος. Ariſtæchmus. Nomen propr.

Ἀριστέας. Ariſteas, Democharidis aut Cauſtrobii filius, Proconneſius, poeta Epicus, ſcripſit carmina, quæ vocantur *Arimaſpea*; ſive hiſtoriam Arimaſporum Hyperboreorum, libris tribus conſtantem. Hujus animam, quoties vellet, ex corpore exiiſſe & eodem remeaſſe ferunt. Vixit Crœſi & Cyri tempore, Olympiade L. Idem etiam ſoluta oratione nonnulla ſcripſit; nec non *Theogoniam* verſibus circiter mille.

Ἀριστερά. Læva. Stulta. Δεξιὰ vero, dextra, ſive prudentia prædita. Sophocles de Ajace inquit: *Nunquam enim, fili Telamonis, læva mente fuiſti.*

Ἀριστείδης. Ariſtides, Adrianenſis (Adriani vero eſt urbs Myſiæ, quæ nunc Bithynia vocatur) Sophiſta, Polemonis Smyrnæi Rhetoris diſcipulus, filius Eudæmonis Philoſophi, flaminis Dialis in patria ſua. Athenis Herodem, & Pergami Ariſtoclem audivit; floruitque Antonini Imperatoris tempore, & vitam uſque ad Commodum produxit. Orationum ejus certus non eſt numerus, quoniam varia earum circumferuntur volumina.

Ἀριστείδης. Ariſtides, Lyſimachi filius, cui, quamvis pauperi, propter vitæ integritatem injurato etiam fides habebatur. Hic cum aliquando judicium, in quo Callias reus peragebatur, præteriret, virumque iſtum ſibi condonari peteret, id, quod voluit, impetravit. Callia igitur pecuniam ipſi mittente, eam repudiavit, dicens: Calliæ quidem vita Ariſtidis paupertate indiget; Ariſtidis vero paupertas Calliæ opes contemnit. Idem cum aliquando in Reip. adminiſtratione Themiſtoclis eſſet æmulus, & una cum ipſo legationem obiret, inimicitias, inquit, intra patriæ fines deponamus, & ſententiis pro Republ. conſpiremus. Fuit autem adeo juſtus, ut, cum Athenienſes oſtraciſmo eum mulctare decreviſſent, & ruſticus quidam, Ariſtidem

---

[1] Ἀριστεὺς δὲ, Ἀριστέως. καὶ Ἀριστίων ὡσ.] Ex Harpocratione patet, poſt Ἀριστέως addendum eſſe ὄνομα κύριον. Senſus enim hujus loci eſt, Ἀριστεὺς eſſe nomen proprium viri, uti & Ἀριστίων.

[2] Ἔστι δὲ Σάμιος μὲν ——— ἐν τῷ κατὰ Δημοσθένους] Ex Harpocratione.

[3] Ἀριστέας, Δημοχ.] Vide de eo Voſſium *de Hiſtor. Gr.* & Meurſium in *Bibliotheca Græca*.

[4] Ἔγραψε δὲ οὗτος καὶ καταλογάδην Θεογ.] Locum hunc mutilum eſſe non dubito, quem ſic legerim & diſtinxerim: Ἔγραψε δὲ οὗτος καὶ καταλογάδην τινά. καὶ Θεογονίαν &c. Hanc lectionem in verſione ſecutus ſum.

[5] Σοφοκλῆς] In *Ajace* pag. 12. *P.*

[6] Ἀριστείδης Ἀδρ.] De hoc vide Philoſtratum lib. II. *de Vit. Soph.* pag. 578. & ſeqq.

[7] Τῶν δὲ λόγων παρ᾽ οὐδενὶ πέρας εὕροι τις ἂν, ἄλλως δὲ ἄλλοις ἐπιτ.] Hic locus eſt obſcurus & male interpunctus, quem ſic legerim: Τῶν δὲ λόγων παρ᾽ οὐδενὶ πέρας. εὕροι δέ τις ἂν ἄλλως ἄλλοις ἐπιτευχθέντα.

ὁ αὐτὸς διέτριψεν ἐν Αἰγίνῃ φυγών. Ξέρξου δὲ ὡς αὐτὸν ἐν τῇ φυγῇ πρεσβευσαμένου, καὶ τρισχιλίους Δαρεικοὺς, ὅτε ἐπήει τὴν Ἑλλάδα, διδόντος, οὐδὲν ἐπιστρέφεσθαι ἔφη τοῦ Περσικοῦ πλούτου, τοιαύτῃ χρώμενος διαίτῃ. ἔτυχε δὲ οὐκ ἐπιμελῆ τὸν ἄρτον προσφερόμενος Ἀριστείδης. καὶ Μιλτιάδῃ μάλιστα ἐῴκει. ἑκάτερος τούτων ἄριστος ἐγένετο. Ἀριστείδης μὲν δίκαιος· ὁ δὲ Μιλτιάδης ἐν Μαραθῶνι ἐστρατήγησε. τοῦ δὲ ἐν Μαραθῶνι πολέμου μέμνηται, διότι τὰ μὲν ἄλλα κατορθώματα κοινῇ πᾶσα ἡ Ἑλλὰς πεποίηται· τὸ δὲ ἐν Μαραθῶνι, μόνοι οἱ Ἀθηναῖοι.

non noſcens, teſtulam ei traderet, rogans, ut nomen illius, qui patria pellendus eſſet, ei inſcriberet; & is ex eo quæreret, quanam re Ariſtides ipſum offendiſſet? ruſticus reſponderit: Nimia juſtitia. Ridens igitur Ariſtides ſuffragium in teſta ſcripſit. Idem patria pulſus in Ægina commoratus eſt: in quo exilio cum Xerxes Græciam invadens per legatos tria millia Daricorum ei obtuliſſet, negavit ſe, dum ea victus ratione uteretur, Perſicas opes curare. Forte autem tunc pane cibario veſcebatur. † Ariſtides Miltiadi ſimillimus fuit: uterque optimus. Ariſtides quidem juſtus: Miltiades autem ad Marathonem belli [adverſus Perſas] dux fuit. Pugnæ vero Marathoniæ præcipue mentionem facit, quia cæteræ quidem res in bellis præclare geſtæ univerſæ Græciæ communes ſunt: pugnæ vero Marathoniæ gloria ad ſolos Athenienſes pertinet.

Ἀριστεῖον. τὸ τοῖς ἀριστεύσασι διδόμενον ἔπαθλον.

Ἀριστεῖον. Præmium fortitudinis, ſive, quod datur illis, qui ſtrenue & fortiter pugnarunt.

Ἀρίστιος [1] Κύκλωψ. μέμνηται τούτου Χαμαιλέων ἐν τῷ περὶ Σατύρων.

Ἀρίστιος Κύκλωψ. Ariſtiæ Cyclops. Hujus meminit Chamæleon in libro de Satyris.

Ἀριστήσατε, γεύσατε. Ἀρίστισον δὲ, διὰ τοῦ ι. [2] Ἀριστοφάνης Ὄρνισι· Τούτους μὲν ἄγων μετὰ σοῦ ἀρίστισον εὖ.

Ἀριστήσατε. Prandete. Ἀρίστισον vero, per ι, prandio excipe. Ariſtophanes *Avibus*: *Hos quidem domum tuam deductos prandio excipe.*

Ἀριστίνδην. κατ' ἐκλογὴν καὶ αἵρεσιν τῶν ἀρίστων νομοθετῶν.

Ἀριστίνδην. Secundum delectum virtutis. Secundum electionem optimorum Legiſlatorum.

Ἀρίστιππος, Ἀριτάδου, ἀπὸ Κυρήνης, φιλόσοφος, Σωκράτους ἀκουστής· ἀφ' οὗπερ ἡ Κυρηναϊκὴ κληθεῖσα αἵρεσις ἤρξατο. πρῶτος δὲ τῶν Σωκρατικῶν μισθοὺς ἐπράξατο. Ξενοφῶντι δὲ εἶχε δυσμενῶς· καὶ ἦν ἱκανὸς ἁρμόσασθαι καὶ χρόνῳ καὶ τόπῳ. καὶ τῶν μὲν [3] παρόντων ἀπέλαυε, καὶ ἡδονὴν μετεδίωκε· πόνῳ δὲ ἀπόλαυσιν οὐδεμίαν ἐθήρα τῶν οὐ παρόντων. ὅθεν Διογένης βασιλικὸν κύνα αὐτὸν ἐκάλει. Ἀποφθέγματα δὲ αὐτοῦ πλεῖστα καὶ ἄριστα. [4] διήκουσε δὲ αὐτοῦ ἡ θυγάτηρ Ἀρήτη, ἀφ' ἧς ὁ παῖς αὐτῆς ὁ νέος Ἀρίστιππος, ὃς ἐκλήθη Μητροδίδακτος. οὗ Θεόδωρος, ὁ Ἄθεος ἐπικληθεὶς· εἶτα Θεός· τοῦ δὲ Ἀντίπατρος· τοῦ δὲ Ἐπιτιμήδης ὁ Κυρηναῖος· τοῦ δὲ [5] Παραβάτης· τοῦ δὲ Ἡγησίας ὁ [6] Πεισίθνητος· τοῦ δὲ Ἀννίκερις, [7] ὁ Πλάτωνα λυτρωσάμενος.

Ἀρίστιππος. Ariſtippus, Aritadæ filius, Cyrenæus, Philoſophus, Socratis auditor, a quo ſecta, quæ Cyrenaica vocatur, orta eſt. Hic primus fuit Socraticorum, qui mercedem a diſcipulis exegit. Idem adverſus Xenophontem inimicitias geſſit: eaque fuit ingenii dexteritate, ut & tempori & loco ſeſe accommodare noſſet. Rerum præſentium voluptate libenter fruebatur: ex abſentibus vero ut voluptatem aliquam perciperet, nullo modo laborabat. Hinc Diogenes illum canem regium vocabat. Scite dicta plurima protulit & optima. Audivit eum Arete filia; cujus filius eſt Ariſtippus minor, *Metrodidactus* appellatus. Hujus auditor fuit Theodorus, *Atheus* cognominatus, & poſtea *Deus*. Hujus Antipater: Antipatri Epitimedes Cyrenæus: Epitimedis Parabates: Parabatæ Hegeſias, *Piſithanatus* dictus: Hegeſiæ denique Anniceris, qui Platonem redemit.

Ἀρίστιππος, Σωκράτους ὁμιλητὴς, ἐν πᾶσι τὴν ἡδονὴν ἀσπαζόμενος, καὶ ἐπίχαρις. λέγεται δὲ ὅτι καὶ τοῦ παιδὸς αὐτοῦ φέροντος ἀργύριον, καὶ ἀχθομένου τῷ βάρει, τὸ βαροῦν ἀπόβαλε, ἔφη. ἐπιβουλευόμενος δὲ ἐν πλῷ δι' ἃ ἐπήγετο, εἰς τὴν θάλασσαν

Ἀρίστιππος. Ariſtippus, Socratis diſcipulus, in omnibus rebus voluptatem ſectabatur, feſtivumque ſeſe præbebat. Hic fertur, cum famulus ejus pecuniam ferret, & de onere quereretur, ei dixiſſe, ut onus abjiceret. Cum inter navigandum ob pecuniam, quam ἐξέβαλεν αὐτά. ἡ γὰρ τούτων, ἔφη, ἀπώλεια ἐμοὶ σωτηρία. Ἐπέσκωπτε δ' Ἀντισθένην ἀεὶ διὰ τὴν στρυφνότητα. καὶ πρὸς Διονύσιον τὸν Σικελίας τύραννον ἐλθὼν καὶ πίνων ἐνίκα, καὶ ὀρχήσεως τῆς ἄλλης κατῆρξεν, ἐνδὺς ἐσθῆτα ἁλουργῆ. Πλάτων δὲ, προσκομιζομένης αὐτῷ τῆς στολῆς, εἶπεν [1] Εὐριπίδου Ἰαμβικά·

---

[1] Ἀρίστιος Κύκλωψ] Scribe Ἀριστίου Κύκλωψ. Scripſerat enim Ariſtias fabulam, *Cyclops* vocatam, cujus meminit Suidas ſupra v. Ἀπώλεσας.

[2] Ἀριστοφάνης Ὄρνισι] Pag. 572. (394. Ed. Baſ. P.) ſed ubi male hodie legitur ἀρίστησον, per η. Priores quoque Edit. Suidæ hic exhibent ἀρίστησον; ſed ejus loco ἀρίστισον per ι ex MSS. Pariſ. repoſui.

[3] Παρόντων] Priores Edit. male exhibent πάντων, cujus loco παρόντων ex MSS. Pariſ. & Laertio repoſui.

[4] Διήκουσε δὲ αὐτοῦ ἡ θυγ.] Vide Laert. II. Segm. LXXXVI. ex quo Suidas.

[5] Παραβάτης] Suſpicor hunc Parabatem diverſum fuiſſe ab eo, cujus Suidas meminit ſupra v. Ἀννίκερις. Is enim Ariſtippum audiverat; cum hic Epitimedis auditor fuerit.

[6] Πεισίθνητος] Scribe Πεισιθάνατος, ut apud Laertium.

[7] Ὁ Πλάτωνα λυτρωσάμενος] Cum rationi temporum manifeſte repugnet, Annicerim illum, qui Platonem redemiſſe legitur, fuiſſe auditorem Hegeſiæ, qui tempore non exiguo poſt Platonem vixit; vel inducenda ſunt hæc verba, tanquam ſemidocti cujuſdam librarii additamentum, ut cenſet Menagius ad Laert. lib. II. Segm. LXXXVI. vel addita particula negante legendum eſt οὐχ ὁ τὸν Πλάτωνα λυτρωσάμενος. Fuerunt enim duo ſaltem Annicerides; quorum alter Platonis æqualis fuit, eumque redemit: alter vero eo recentior, qui ſectam inſtituit, ab ejus nomine *Anniceriam* vocatam, de quo hic locus Suidæ, vel potius Laertii, intelligendus eſt.

Οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι στολὴν,
Ἄῤῥην πεφυκὼς καὶ γένους ἐξ ἄῤῥενος.

Ἀρίστιππος δὲ δεξάμενος καὶ γελάσας εἶπε τοῦ αὐτοῦ ποιητοῦ·

— Καὶ [2] γὰρ ἐν βακχεύμασιν
Ὁ νοῦς ὁ σώφρων οὐ διαφθαρήσεται.

Ὑπὲρ φίλου δὲ ἀξιῶν, καὶ μὴ τυγχάνων, τῶν ποδῶν ἥψατο καὶ ἔπεσε· καὶ οὐ ταύτης ἐγὼ τῆς κολακείας αἴτιος, εἶπεν, ἀλλὰ Διονύσιος, ὁ ἐν γόνασι τὰς ἀκοὰς ἔχων.

Ἀριστογένης Θάσιος, ἰατρὸς, ἔγραψε βιβλία κδ'. ἐκρίθη δὲ περὶ διαίτης ἕν. Περὶ δυνάμεως ἕν. Περὶ δακέτων ἕν. Περὶ σπέρματος ἕν. Ὑγιεινὸν ἕν. Ἐπιστολικά. Ἐπιτομὴν Φυσικῶν βοηθημάτων πρὸς Ἀντίγονον.

Ἀριστογένης Κνίδιος, ἰατρὸς, δοῦλος Χρυσίππου τοῦ Φιλοσόφου. ἰάτρευσεν Ἀντιγόνῳ τῷ ἐπικληθέντι Γονατᾷ.

Ἀριστογείτων, Κυδιμάχου, ἢ Λυσιμάχου, Ἀθηναῖος, ῥήτωρ, μητρὸς δὲ ἀπελευθερικῆς· ὅστις ἐπεκαλεῖτο κύων διὰ τὴν ἀναίδειαν αὐτοῦ. ἐφονεύθη δὲ ὑπὸ Ἀθηναίων, λόγους ποιήσας, Ἀπολογίαν πρὸς Δημοσθένην τὸν στρατηγόν. πρὸς Λυκοῦργον. κατὰ Τιμοθέου. [3] κατὰ Τιμάρχου. [4] κατὰ Ὑπερίδου. κατὰ Θρασύλλου. Ὀρφανικόν. [5] ζήτει περὶ τούτου τοῦ Ἀριστογείτονος, μήποτέ ἐστιν οὗτος ὁ Ἁρμοδίου ἑταῖρος.

Ἀριστογείτων, Σκυδίμου, συκοφάντης. τούτου ὁ πατὴρ ὀφλήσας τῷ δημοσίῳ τελευτᾷ ἐν τῷ δεσμωτηρίῳ. καὶ αὐτὸς Ἀριστογείτων μετὰ ταῦτα ὡς κληρονόμος τοῦ ὀφλήματος [6] ἐδέθη. ἡ δὲ μήτηρ ἐπράθη ὑπὸ τοῦ δήμου. ἐν δὲ τῷ δεσμωτηρίῳ κλέψας γραμματεῖον κατεγνώσθη ὑπὸ τῶν δεσμωτῶν. καὶ τὴν ῥῖνα, οὗ τὸ γραμματεῖον ἔκλεψεν, ἔφαγεν. καὶ [7] Ζωβίαν ὑποδεξαμένην αὐτὸν φυγόντα, ἀξιοῦσαν εὖ παθεῖν, ὅτε ἴσχυεν, ἐπὶ τὸ τοῦ μετοικίου πωλητήριον ἤγαγεν, καὶ τὴν ἀδελφὴν ἐπ' ἐξαγωγῇ πέπρακεν. Ὑπερίδην δὲ ἐγράψατο παρανόμων ἐπὶ τῷ μετὰ Χαιρώνειαν ψηφίσματι, καὶ οὐχ εἷλεν.

ſecum habebat, inſidiis appeteretur, eam in mare abjecit; jacturam ejus ſalutem ſuam eſſe inquiens. Antiſthenem ob triſtem auſteritatem ſæpe deridebat. Cum ad Dionyſium Siciliæ Tyrannum veniſſet, potando vicit, purpureaque veſte indutus ſaltavit. Plato autem, [ſimili] veſte ad ſe allata, [eam repudiavit,] verſus hos Iambicos Euripidis pronuntians:

Non poſſum fœmineam induere veſtem,
Qui vir ſum, & virili genere natus.

Ariſtippus vero, ea accepta, cum riſu ſubjecit ejuſdem poetæ verſus:

——*Nam & in bacchationibus*
Mens ſana & ſobria non corrumpetur.

Amici gratia fruſtra aliquando [Dionyſium] rogans, genibus ejus advolutus eſt. Cumque, quod petierat, impetraſſet, non ego, inquit, adulationis hujus auctor ſum, ſed Dionyſius, qui aures in genibus habet.

Ἀριστογένης. Ariſtogenes Thaſius, medicus, XXIV. libros ſcripſit: inter quos excellunt, De ratione victus unus. De facultate unus. De venenatis animalibus unus. De ſemine unus. De valetudine tuenda unus. Liber epiſtolarum. Naturalium remediorum compendium ad Antigonum.

Ἀριστογένης. Ariſtogenes Cnidius, medicus, Chryſippi Philoſophi ſervus, & Antigoni Gonatæ medicus.

Ἀριστογείτων. Ariſtogiton, Cydimachi vel Lyſimachi filius, orator, Athenienſis, matre libertina natus, & propter impudentiam *Canis* cognominatus: qui ab Athenienſibus interfectus eſt. Scripſit orationes plures. Apologiam adverſus Demoſthenem belli ducem. Adverſus Lycurgum. Adverſus Timotheum. Adverſus Timarchum. Adverſus Hyperidem. Adverſus Thraſyllum. Orationem pro pupillis. † Quære de hoc Ariſtogitone, ſitne Harmodii ſodalis.

Ἀριστογείτων. Ariſtogiton. Scydimi filius, ſycophanta. Hujus pater, quod ærario pecuniam deberet, in carcere obiit. Poſtea vero & ipſe Ariſtogiton, ut illius debiti hæres, in vincula conjectus eſt; ejuſque matrem populus vendidit. In carcere tabulam furatus, & a captivis deprehenſus, naſum ejus, cui tabulam abſtulerat, præmordit. Idem Zobiam, quæ eum exulem ſuſceperat, gratiam ab eo, magnam jam in Republ. auctoritatem conſecuto, repetentem, ad inquilinorum forum deduxit, & ſororem in peregrinas terras abducendam vendidit. Hyperidem ob decretum poſt cladem Chæronenſem factum actione τῶν Παρανόμων perſecutus eſt, ſed fruſtra.

---

[1] Εὐριπίδου Ἰαμβικά] Locus Euripidis, quem Suidas hic citat, exſtat in *Bacchis*, v. 834. ſed ubi prior tantum verſus legitur, non etiam poſterior.

[2] Καὶ γὰρ ἐν Βακχεύμασιν ὁ νοῦς ὁ σώφρ.] Hic locus exſtat apud Euripidem *Bacchis*, v. 317. 318. ſed ubi pro ὁ νοῦς ὁ σώφρων legitur οὖσ' ἥ γε σώφρων: quam lectionem etiam agnoſcit Laertius lib. II. Seg. LXXXVIII.

[3] Κατὰ Τιμάρχου] Hujus orationis meminit Harpocratio v. Αὐτοκλείδης, & Tzetzes Chil. VI. v. 105.

[4] Κατὰ Ὑπερίδου] Meminit hujus orationis Tzetzes Chil. VI. v. 94.

[5] Ζήτει περὶ τούτου τοῦ Ἀριστογείτονος, μήποτέ ἐστιν οὗτος ὁ Ἁρμ. ἑταῖρος] Quis verba hæc inepti & ſemidocti cujuſdam librarii additamentum eſſe dubitet? Nemo enim niſi imperitiſſimus & in chronologia hiſtoriaque veteri plane hoſpes ignorare poteſt, Ariſtogitonem hunc diverſum omnino fuiſſe ab eo, qui Harmodii ſodalis fuit, quippe qui ducentis ſaltem annis ante noſtrum hunc vixit.

[6] Ἐδέθη] Hanc lectionem ex MSS. Pariſ. revocavi. Priores enim Edit. male exhibent ἐδόθη.

[7] Καὶ Ζωβίαν ὑποδεξαμένην αὐτὸν φυγ.] Vide infra v. Ἐξαγωγή.

Ἀριστόδημος,[1] Ἀριστοκράτους, Κύμης τῆς Ἰταλιώτιδος τύραννος, ἀνὴρ οὐ τῶν ἐπιτυχόντων ἕνεκα γένους· ὃς ἐκαλεῖτο μαλακὸς ὑπὸ τῶν ἀστῶν, καὶ σὺν χρόνῳ γνωριμωτέραν τοῦ ὀνόματος ἔσχε τὴν κλῆσιν, εἴθ' ὅτι θηλυδρίας ἐγένετο παῖς ὤν, καὶ τὰ γυναιξὶν ἁρμόττοντα ἔπασχεν· εἴθ' ὅτι πρᾶος τὴν φύσιν καὶ μαλακὸς εἰς ὀργήν.

Ἀριστόδημος. [2] Ἐπιτομὴν τῆς Καθόλου Ἡρωδιανοῦ ἔγραψε πρὸς Δαναόν.

Ἀριστοκλῆς,[3] Μεσσήνιος τῆς Ἰταλίας, φιλόσοφος Περιπατητικός. [4] συνέταξε δὲ περὶ [5] Φιλοσοφίας βιβλία δέκα. Πότερον σπουδαιότερος Ὅμηρος ἢ Πλάτων. καταλέγει δὲ ἐν τούτοις πάντας φιλοσόφους, καὶ δόξας αὐτῶν. ἔγραψε δὲ καὶ τέχνας ῥητορικάς. Περὶ Σαράπιδος. Ἠθικὰ βιβλία θʹ.

Ἀριστοκλῆς Λαμψακηνός, φιλόσοφος Στωϊκός. ἔγραψεν ἐξήγησιν τῶν Χρυσίππου περὶ τοῦ Πῶς ἕκαστα λέγομεν καὶ διανοούμεθα, βιβλία δʹ.

Ἀριστοκλῆς Περγαμηνός, σοφιστής, γεγονὼς ἐπί τε Τραϊανοῦ καὶ Ἀδριανοῦ. Τέχνην ῥητορικήν. Ἐπιστολάς. Περὶ ῥητορικῆς βιβλία εʹ. Μελέτας. Πρὸς τὸν βασιλέα ἐπὶ τῇ διανεμήσει τοῦ χρυσίου.

Ἀριστοκράτης,[6] Ῥοδίων στρατηγός· ὃς ἦν κατὰ τὴν ἐπιφάνειαν ἀξιωματικὸς καὶ καταπληκτικός· διόπερ ἐκ πάντων τούτων ὑπέλαβον οἱ Ῥόδιοι τελέως ἀξιόχρεων ἡγεμόνα καὶ προστάτην ἕξειν τοῦ πολέμου· διεψεύσθησαν δὲ τῶν ἐλπίδων. ἐλθὼν γὰρ εἰς τὰς πράξεις ὥσπερ ἐς πῦρ, καθάπερ τὰ κίβδηλα τῶν νομισμάτων, ἀλλοῖος ἐφάνη.

Ἀριστοκρατία. ἡ κράτησις τῶν ἀρίστων.

Ἀριστομάχη. ὄνομα κύριον.

Ἀριστομένης,[7] Ἀθηναῖος, κωμικὸς τῶν ἐπιδευτέρων τῆς ἀρχαίας κωμῳδίας, οἳ ἦσαν ἐπὶ τῶν Πελοποννησιακῶν, [8] Ὀλυμπιάδων πζʹ. [9] ἐπεκλήθη Θυροποιός.

Ἀριστόνικος Ἀλεξανδρεύς, γραμματικός. ἔγραψε περὶ [10] τῶν σημείων τῶν ἐν τῇ Θεογονίᾳ Ἡσιόδου· καὶ τῶν τῆς Ἰλιάδος καὶ Ὀδυσσείας ἀσυντάκτων ὀνομάτων βιβλία ςʹ.

Ἄριστον. περὶ ὥραν τρίτην. παρὰ τὸ εἰς ἀριστείαν παρέρχεσθαι. καὶ ἔστιν ἐν τῷ Δεῖπνον.

Ἀριστόδημος. Ariſtodemus, Ariſtocratis filius, Cumarum in Italia tyrannus, vir claro genere natus; qui a civibus *Mollis* appellabatur, eaque appellatione progreſſu temporis longe notior fuit, quam proprio nomine; ſive quod in pueritia fuiſſet effœminatus & muliebria paſſus: ſive quod miti eſſet ingenio & ad iram mollis.

Ἀριστόδημος. Ariſtodemus. Hic librum Herodiani, Ἡ Καθόλου inſcriptum, in compendium redegit.

Ἀριστοκλῆς. Ariſtocles, ex Meſſena urbe Italiæ oriundus, philoſophus Peripateticus. Scripſit de Philoſophia libros x. in quibus omnes Philoſophos & ipſorum opiniones recenſet. Utrum Homerus præſtantior an Plato? Scripſit etiam de Arte Rhetorica. De Sarapide. De moribus libros novem.

Ἀριστοκλῆς. Ariſtocles Lampſacenus, Philoſophus Stoicus, ſcripſit libros quatuor enarrationum in Chryſippum de ratione ſingula eloquendi & cogitandi.

Ἀριστοκλῆς. Ariſtocles Pergamenus, Sophiſta, qui Trajani & Adriani temporibus vixit. Scripſit artem Rhetoricam. Epiſtolas. De Rhetorica libros quinque. Declamationes. Ad Imperatorem de auri diſtributione.

Ἀριστοκράτης. Ariſtocrates, Rhodiorum Prætor, ſpecie quidem ipſa plenus dignitatis & terroris erat. Quamobrem Rhodii idoneum belli ducem atque egregium imperatorem ſe habere credebant: ſed ſpe ſua longe fruſtrati ſunt. Nam cum ad res gerendas tanquam ad ignem acceſſiſſet, inſtar adulterinæ monetæ longe alius apparuit.

Ἀριστοκρατία. Optimatum imperium.

Ἀριστομάχη. Ariſtomache. Nomen proprium.

Ἀριστομένης. Ariſtomenes, Athenienſis, Comicus, ex eorum numero qui antiquæ comœdiæ proximi fuerunt, & belli Peloponneſiaci tempore vixerunt, Olymp. LXXXVII. Hic Θυροποιός cognominatus fuit.

Ἀριστόνικος. Ariſtonicus Alexandrinus, Grammaticus. Scripſit de notis in Theogonia Heſiodi. Item de nominibus in Iliade & Odyſſea, quæ a communi conſtructione recedunt, libros VI.

Ἄριστον. Prandium, [quod ſumi ſolebat,] circa horam tertiam. Dictum eſt inde, quod eo ſumpto ad ἀριστείαν, i. e. ſtrenue fortiterque pugnandum ſe accingere ſolerent.

---

[1] Ἀριστόδημος, Ἀριστοκρ. Κύμης τῆς Ἰταλ. τύρ.] Articulum hunc deſcripſit Suidas ex Dionyſ. Halicarn. lib. VII. pag. 418.

[2] Ἐπιτομὴν τῆς Καθόλου Ἡρωδ.] Vide quæ notavimus infra ad v. Ἡρωδιανός.

[3] Ἀριστοκλῆς] De ſcriptoribus diverſis hujus nominis, eorumque ſcriptis egit Meurſius ad Ariſtoxenum pag. 145. quem vide.

[4] Συνέταξε δὲ περὶ φιλοσοφίας βιβλία δέκα. Πότερον σπουδ. Ὅμηρ. ἢ Πλ. καταλέγει δὲ ἐν τ.] Locus hic confuſus eſt, quem ſic in ordinem redigendum puto: Συνέταξε δὲ περὶ φιλοσοφίας βιβλία δέκα. καταλέγει δὲ ἐν τούτοις πάντας φιλοσόφους καὶ δόξας αὐτῶν. Πότερον σπουδαιότερος Ὅμηρος, ἢ Πλάτων. Hunc ordinem in verſione ſecutus ſum.

[5] Περὶ Φιλοσοφίας βιβλία δέκα] Ex hoc opere prolixa & luculenta fragmenta leguntur apud Euſebium *de Præp. Euang.* lib. XIV. cap. XVII. & ſeqq. Item, lib XV. cap. II. & XIV.

[6] Ἀριστοκράτης, Ῥοδίων στρατ.] Hæc, & quæ ſequuntur, ſunt verba Polybii, quæ leguntur in Collectaneis Conſtantini a Valeſ. editis, pag. 170. unde ea Suidas deprompſit.

[7] Ἀριστομένης, Ἀθην. Κωμ.] De ejus fabulis vide Meurſium in *Bibliotheca Attica*.

[8] Ὀλυμπιάδων] Peſſime. Lege Ὀλυμπιάδι.

[9] Ἐπεκλήθη Θυροποιός] Heſychius: Θυροποιός. οὕτως ἐκαλεῖτο Ἀριστομένης ὁ Κωμικὸς ποιητὴς σκωπτικῶς. Vide etiam infra v. Θυροκοπικοῦ.

[10] Περὶ τῶν σημείων] Intelliguntur hic notæ criticæ, quibus olim veterum libri diſtingui ſolebant: de quibus vide Epiphanium ἐν τῷ περὶ μέτρων: Laertium in *Platone* Segm. LXV. LXVI. & Iſidorum *Origin.* lib. I. cap. XX. De his notis criticis plures veterum ſcripſiſſe leguntur, de quibus nunc non agam. Id tantum moneo, Ariſtonicum, quem Suidas hic de notis Theogoniæ Heſiodi ſcripſiſſe tradit, ab Etymologo v. Λύχνος citari etiam ἐν τῷ περὶ σημείων Ὁμήρου; & ſimpliciter ἐν Σημείοις, v. Ἔρσαι, & v. Ὀπή.

Ἀριστόνικος,[1] ὁ τοῦ Πτολεμαίου τοῦ βασιλέως Αἰγύπτου εὐνοῦχος μὲν ἦν, ἐκ παιδίου δ' ἐγεγόνει σύντροφος τῷ βασιλεῖ. τῆς δ' ἡλικίας προβαινούσης ἀνδρωδεστέραν εἶχεν ἢ κατ' εὐνοῦχον τόλμαν καὶ προαίρεσιν. καὶ γὰρ φύσει στρατιωτικὸς ἦν, καὶ τὴν πλείστην διατριβὴν ἐποιεῖτο ἐν τούτοις, καὶ περὶ ταῦτα παραπλησίως καὶ κατὰ τὰς ἐντεύξεις ἱκανὸς ὑπῆρχε, καὶ τὸν κοινὸν νοῦν εἶχεν, ὃ σπάνιόν ἐστι. πρὸς εὐεργεσίαν ἀνθρώπων ἐπεφύκει καλῶς.

Ἀριστονομία. ἡ διανομὴ τῶν ἀρίστων.

Ἀριστόξενος,[2] υἱὸς Μνησίου, τοῦ καὶ Σπινθάρου, μουσικοῦ, ἀπὸ Τάραντος τῆς Ἰταλίας. διατρίψας δὲ ἐν Μαντινείᾳ φιλόσοφος γέγονε, καὶ μουσικῇ ἐπιθέμενος οὐκ ἠστόχησεν, ἀκουστὴς τοῦ τε πατρὸς, καὶ Λάμπρου τοῦ Ἐρυθραίου· εἶτα Ξενοφίλου τοῦ Πυθαγορείου, καὶ τέλος Ἀριστοτέλους· εἰς ὃν ἀποθανόντα ὕβρισε, διότι κατέλιπε τῆς σχολῆς διάδοχον Θεόφραστον, αὐτοῦ δόξαν μεγάλην ἐν τοῖς ἀκροαταῖς τοῦ Ἀριστοτέλους ἔχοντος. γέγονε δὲ ἐπὶ τῶν Ἀλεξάνδρου καὶ τῶν μετέπειτα χρόνων· ὡς εἶναι ἀπὸ τῆς ριά Ὀλυμπιάδος, σύγχρονος Δικαιάρχῳ τῷ Μεσσηνίῳ. [3] συνετάξατο δὲ Μουσικά τε καὶ Φιλόσοφα, καὶ Ἱστορίας, καὶ [4] παντὸς εἴδους παιδείας· [5] καὶ ἀριθμοῦ αὐτοῦ τὰ βιβλία εἰς υνγ'.

Ἀριστόξενος[6] Κυρηναῖος· ὅστις ὑπὸ τῆς ἀνυπερβλήτου τρυφῆς τὰς ἐν τῷ κήπῳ θρίδακας οἰνομέλιτι ἑσπέρας ἐπότιζε, καὶ χλωροὺς πλακοῦντας ἔλεγεν ἀναπέμπεσθαι αὐτῷ.

Ἀριστοτέλης,[7] υἱὸς Νικομάχου καὶ Φαιστιάδος (ὁ δὲ Νικόμαχος ἰατρὸς ἦν τοῦ τῶν Ἀσκληπιαδῶν γένους, ἀπὸ Νικομάχου τοῦ Μαχάονος) ἐκ Σταγείρων, πόλεως τῆς Θρᾴκης, φιλόσοφος, μαθητὴς Πλάτωνος, τραυλὸς τὴν φωνήν. καὶ ἀδελφοὺς μὲν ἔσχεν Ἀρίμνηστον καὶ Ἀριμνήστην· θυγατέρα δὲ ἀπὸ Πυθιάδος, τῆς θυγατρὸς Ἑρμείου τοῦ εὐνούχου· ὃς καὶ θλαδίας ὢν αὐτὴν ἔστερξε. γαμουμένη δὲ τρισὶν ἡ Ἀριστοτέλους θυγάτηρ, τεκνώσασα προτετελεύτηκεν Ἀριστοτέλους τοῦ πατρός. ἔσχε δὲ καὶ υἱὸν Νικόμαχον ἐξ Ἑρπυλλίδος παλλακῆς, ἣν [8] ἠγάγετο μετὰ [9] Πυθιάδα παρ' Ἑρμείου τοῦ εὐνούχου, ὅς τις ἦν ἄρχων Ἀταρνέως (χώρα δὲ αὕτη Τρῳάδος) Εὐβούλου δὲ τοῦ Βιθυνοῦ δοῦλος γεγονώς, ἔλαβε. καὶ αὐτοῦ Ἑρμείου παιδικὰ γενομένου Ἀριστοτέλους. ἦρξε δὲ ἔτη ιγ' τῆς Περιπατητικῆς κληθείσης φιλοσοφίας, διὰ τὸ ἐν περιπάτῳ ἤτοι κήπῳ διδάξαι ἀναχωρήσαντα τῆς Ἀκαδημίας, ἐν ᾗ Πλάτων ἐδίδαξεν. ἐγεννήθη δὲ ἐν

Ἀριστόνικος. Ariſtonicus. Hic Ptolemæi Regis Ægypti Eunuchus quidem fuit, a puero una cum Rege in aula educatus: ſed progreſſu ætatis fortior ac generoſior evaſit, quam Eunuchi natura ferat. Nam ſuopte ingenio erat bellicoſus, & aſſidue in rebus bellicis ſe exercebat. Idem in congreſſibus idonea dexteritate utebatur, quodque raro admodum contingit, moderati ac civilis animi erat, ac poſtremo ad bene de hominibus merendum natura propenſus.

Ἀριστονομία. Civitas bene conſtituta.

Ἀριστόξενος. Ariſtoxenus, filius Mneſiæ, qui & Spintharus vocabatur, Muſici, e Tarento, urbe Italiæ. Hic, cum Mantineæ commoraretur, philoſophus evaſit, & Muſicæ non infelicem operam navavit. Auditor fuit patris, & Lampri Erythræi; itemque Xenophili Pythagorei, & denique Ariſtotelis: quem defunctum convitiis inſectatus eſt, quod Scholæ ſucceſſorem Theophraſtum reliquiſſet, cum clarum ipſius inter Ariſtotelis auditores nomen eſſet. Vixit Alexandri & ſucceſſorum ejus temporibus, ab Olympiade CXI, æqualis Dicæarchi Meſſenii. Scripſit Muſica, Philoſophica, Hiſtorias, & omnigenæ eruditionis libros, numero CDLIII.

Ἀριστόξενος. Ariſtoxenus Cyrenæus, luxui adeo fuit deditus, ut lactucas in horto ſuo veſperi mulſo rigaret, dicens, virides inde placentas ſibi enaſci.

Ἀριστοτέλης. Ariſtoteles, Nicomachi & Phæſtiadis filius (Nicomachus autem medicus fuit ex Aſclepiadarum genere, a Nicomacho Machaonis filio oriundus) ex Stagira, urbe Thraciæ, philoſophus, diſcipulus Platonis, balba voce. Fratres habuit Arimneſtum & Arimneſtem: filiaque ipſi nata fuit ex Pythiade quam Hermias, licet eunuchus (quippe cujus teſticuli eliſi erant) genuerat. Tribus autem filia Ariſtotelis maritis nupta, cum liberos aliquot peperiſſet, ante patrem deceſſit. Habuit & filium Nicomachum ex Herpyllide concubina, quam poſt Pythiadem ab Hermia eunucho, qui princeps erat Atarni (Atarnus autem eſt regio Troadis) & Eubuli Bithyni ſervus fuerat, accepit. Hic Hermias Ariſtotelem adamavit. Ariſtoteles autem per XIII annos philoſophiæ Peripateticæ præfuit, ita appellatæ, quod cum Academiam, in qua Plato docuerat, liquiſſet, inambulans [in Lycio] philoſophiam audiτῇ ἐννενηκοστῇ ἐνάτῃ Ὀλυμπιάδι, καὶ ἀπέθανεν ἀκόνιτον πιὼν ἐν Χαλκίδι, διότι ἐκαλεῖτο πρὸς εὐθύνας, ἐπειδὴ [1] ἔγραψε Παιᾶνα εἰς Ἑρμείαν τὸν εὐνοῦχον. οἱ δέ φασι νόσῳ αὐτὸν τελευτῆσαι βιώσαντα ἔτη ο΄.

---

[1] Ἀριστόνικος, ὁ τοῦ Πτολεμαίου τοῦ βασιλ. Αἰγ. εὐν.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Polybii apud Conſtantinum in Collectaneis a Valeſio editis, pag. 114. unde ea Suidas deſcripſit.

[2] Ἀριστόξενος] De Ariſtoxenis egit Meurſius ad Ariſtoxenum: quem vide.

[3] Συνετάξατο δὲ Μουσικά τε καὶ Φιλ.] De Ariſtoxeni hujus ſcriptis vide Meurſium ad Ariſtoxenum, & in *Bibliotheca Græca*; itemque Jonſium *de Scriptor. Hiſtor. Phil.* lib. 1. cap. XIV. Ejus hodie exſtant Ἁρμονικῶν Στοιχείων, ſive *Harmonicorum Elementorum* libri III. quos Meurſius primus in lucem protulit.

[4] Καὶ παντὸς εἴδους παιδείας] In prioribus Edit. legitur καὶ παντὸς εἴδους καὶ παιδείας. Sed in 2 MSS. Pariſ. poſterius καὶ deeſt: quod in hac Editione ſecutus ſum.

[5] Καὶ ἀριθμοῦ αὐτοῦ τὰ βιβλ.] Putem legendum καὶ ἀριθμοῦνται αὐτοῦ τὰ βιβλία: quam ſuſpicionem Pearſonio etiam in mentem veniſſe video.

[6] Ἀριστόξενος Κυρηναῖος. ὅστις ὑπὸ τ.] Hæc, & quæ ſequuntur, ſunt verba Athenæi lib. 1. pag. 7.

[7] Ἀριστοτέλης, υἱὸς Νικομάχου καὶ Φαιστ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, deprompta ſunt ex Vita Ariſtotelis, ab Anonymo conſcripta, quam edidit Menagius ad Laertium lib. v. Seg. XXXV.

[8] Ἠγάγετο] Hæc vox delenda eſt, quoniam apud Anonymum in Vita Ariſtotelis non legitur, eandemque tanquam ſupervacaneam ſenſus & constructio reſpuunt.

[9] Μετὰ Πυθιάδα παρ' Ἑρμείου τοῦ Εὐν.] Cum hoc loco Suidæ conferenda ſunt quæ habet Laert. lib. v. Segm. IV.

Ἀριστοτέλης. [2] Τίμαιός φησι κατ' Ἀριστοτέλους, εἶναι αὐτὸν εὐχερῆ, θρασὺν, προπετῆ· ἀλλ' [3] οὐ σοφιστὴν ὀψιμαθῆ καὶ μισητὸν ὑπάρχοντα, καὶ τὸ πολυτίμητον ἰατρεῖον ἀποκεκλεικότα, καὶ πρὸς πᾶσαν αὐλὴν καὶ σκηνὴν ἐμπεπηδηκότα. πρὸς δὲ γαστρίμαργον, ὀψαρτυτὴν, ἐπὶ στόμα φερόμενον ἐν πᾶσι. δοκεῖ δή μοι τὰ τοιαῦτα μόλις ἄνθρωπος ἀγύρτης καὶ προπετὴς ἐπὶ δικαστηρίου ῥιψολογῶν ἀνεκτὸς φανῆναι. † Ὅτι Ἀριστοτέλης τῆς φύσεως γραμματεὺς ἦν, τὸν κάλαμον ἀποβρέχων εἰς νοῦν· ὃν οὐδὲν ἴσως ἐχρῆν τῶν χρησίμων, εἰ καὶ τεχνικώτερόν ἐστι καὶ περιττότερον ἐξειργασμένον, παραιτεῖσθαι. καὶ Ἀριστοτέλειος λόγος.

Ἀριστολόχεια. ἡ ἀρίστους γεννῶσα.

Ἀριστοφάνης, Ῥόδιος, ἤτοι Λίνδιος· οἱ δὲ Αἰγύπτιον ἔφασαν· οἱ δὲ [4] Καμιρέα· θέσει δὲ Ἀθηναῖος· ἐπολιτογραφήθη γὰρ παρ' αὐτοῖς· κωμικὸς, υἱὸς Φιλίππου, γεγονὼς ἐν τοῖς ἀγῶσι κατὰ [5] τὴν ριδ΄ Ὀλυμπιάδα, εὑρετὴς τοῦ τετραμέτρου καὶ ὀκταμέτρου· παῖδας σχὼν Ἀραρότα, Φίλιππον, Φιλέταιρον, κωμικούς. τινὲς δὲ αὐτὸν καὶ ἀπόδουλον ἱστορήκασι. [6] δράματα δὲ αὐτοῦ νδ΄. ἅπερ δὲ [7] πεπράχαμεν Ἀριστοφάνους δράματα ταῦτα· Ἀχαρνεῖς, Βάτραχοι, Εἰρήνη, Ἐκκλησιάζουσαι, Θεσμοφοριάζουσαι, Ἱππεῖς, Λυσιστράτη, Νεφέλαι, Ὄρνιθες, Πλοῦτος, Σφῆκες.

Ἀριστοφάνης [8] Βυζάντιος, γραμματικὸς, υἱὸς Ἀπελλοῦ ἡγουμένου στρατιωτῶν, μαθητὴς Καλλιμάχου καὶ Ζηνοδότου· ἀλλὰ τοῦ μὲν νέος, τοῦ δὲ παῖς ἤκουσε· πρὸς δὲ τούτοις καὶ Διονυσίου τοῦ Ἰάμβου, καὶ Εὐφρονίδα τοῦ Κορινθίου, ἢ Σικυωνίου. γέγονε δὲ [9] κατὰ τὴν ρμε΄ Ὀλυμπιάδα.

Ἀριστόχειρ. [10] ὁ γενναῖος περὶ τὰ ἀριστεῖα. καὶ Ἀ-

toribus traderet. Natus eſt Olympiade XCIX, & Chalcide hauſto aconito obiit, quod magiſtratus Pæanis in Hermiam ſcripti rationes ab eo exigeret. Alii vero eum morbo deceſſiſſe tradunt, poſtquam LXX annos vixiſſet.

Ἀριστοτέλης. Timæus de Ariſtotele dicit, eſſe eum hominem levem, audacem, & temerarium; Sophiſtamque ſero literis eruditum, & odioſum, & qui præclaram pharmacopolæ officinam clauſerit. [Idem paraſitum eum appellat,] qui aulas atque ædes omnes impudenter intrare ſoleret; prætereaque helluonem, & cupedinarium, ac gulæ ubique ſervientem. Quod ſi quis ex illa circumforanea ac ſcurrili turba hujuſmodi verba in judicio effutiret, ne ferendus quidem mihi videretur. † Ariſtoteles Naturæ ſcriba fuit, calamum in mentem intingens, quem fortaſſe nihil rerum utilium, quamvis artificioſius & accuratius elaboratum eſſet, repudiare oportebat. Et Ἀριστοτέλειος λόγος, oratio Ariſtotelica.

Ἀριστολόχεια. Præſtantem ſobolem gignens.

Ἀριστοφάνης. Ariſtophanes, Rhodius, ſive Lindius (quem tamen alii Ægyptium; alii vero Camirenſem dicunt) &, quod ad jus civitatis attinet, Athenienſis (ab iis enim in civitatem adſcriptus eſt) Comicus, filius Philippi, in ſcena certavit Olympiade CXIV, Tetrametri & Octametri inventor. Filios habuit Ararotem, Philippum, & Philæterum, Comicos. Quidam eum etiam ſervo genitum fuiſſe tradiderunt. Fabulæ ejus ſunt LIV. ex quibus ſuperſtites ſunt hæ: *Acharnenſes*, *Ranæ*, *Pax*, *Eccleſiazuſæ*, *Theſmophoriazuſæ*, *Equites*, *Lyſiſtrata*, *Nubes*, *Aves*, *Plutus*, *Veſpæ*.

Ἀριστοφάνης. Ariſtophanes Byzantius, Grammaticus, filius Apellis, qui ordines duxit, diſcipulus Callimachi & Zenodoti (quorum hunc juvenis, illum vero puer audivit) & præterea Dionyſii Iambi, & Euphronidæ Corinthii, vel Sicyonii. Vixit Olympiade CXLV.

Ἀριστόχειρ. Manu ſtrenuus. Et Ἀριστόχειρ ἀγών.

---

[1] Ἔγραψε Παιᾶνα εἰς Ἑρμείαν] Vide omnino Athenæum lib. XV. pag. 696. qui ipſum hymnum ab Ariſtotele in Hermiam conſcriptum (quem tamen Pæana fuiſſe negat) exhibet.

[2] Τίμαιός φησι κατ' Ἀριστοτέλους, εἶναι αὐτὸν εὐχ. —— ἀνεκτὸς φανῆναι] Hæc ſunt verba Polybii apud Conſtantinum in Collectaneis a Valeſio editis, pag. 46.

[3] Ἀλλ' οὐ σοφιστὴν ὀψ.] Hæc cum præcedentibus minime cohærent, ſed ſenſus eorum pendet ab iis quæ apud Conſtantinum quidem leguntur, hic vero vel ipſius Suidæ, vel librariorum negligentia omiſſa ſunt. En locum integrum, uti apud Conſtantinum legitur: Φησὶ γὰρ αὐτὸν εἶναι θρασὺν, εὐχερῆ, προπετῆ, πρὸς δὲ τούτοις κατατετολμηκέναι τῆς τῶν Λοκρῶν πόλεως, εἰπόντα τὴν ἀποικίαν αὐτῶν εἶναι δραπετῶν, οἰκετῶν, μοιχῶν, ἀνδραποδιστῶν· καὶ ταῦτα λέγειν αὐτόν φησιν οὕτως ἀξιοπίστως, ὥστε δοκεῖν ἕνα τῶν ἐστρατηγηκότων ὑπάρχειν, καὶ τοὺς Πέρσας ἐν ταῖς Κιλικίαις πύλαις ἄρτι παρατάξει νενικηκέναι διὰ τῆς αὐτοῦ δυνάμεως, ἀλλ' οὐ σοφιστὴν &c. i. e. interprete Valeſio: *Ait enim audacem illum ac levem & temerarium fuiſſe, ac de civitate Locrorum gnaviter mentitum, cum coloniam ex fugitivis mancipiis mœchis ac plagiariis collectam eſſe dixit: atque hæc illum ea auctoritate affirmare, quaſi unus e ducibus fuiſſet, & ad Cilicias portas noviſſime Perſas fudiſſet, ac non potius odioſus ſeroque eruditus eſſet Sophiſta* &c.

[4] Καμιρέα] Sic recte MSS. Pariſ. In prioribus vero Edit. minus recte legitur Καμιείρων, vel ut Edit Mediol. habet, Καμειρέαν. Τὸ ἐθνικὸν enim a Κάμιρος eſt Καμιρεύς, ut diſcimus ex Stephano Byzantio.

[5] Κατὰ τὴν ριδ΄ Ὀλυμπιάδα] Sic habent omnes Edit. ſed male. Diu enim ante illud tempus Ariſtophanes & vixit & fabulas ſuas docuit, ut ignorare non poſſunt, qui in hiſtoria veteri vel mediocriter verſati ſunt.

[6] Δράματα δὲ αὐτοῦ νδ΄] In uno MS. Pariſ. legitur, δράματα δ' αὐτοῦ μδ΄. Cæterum fabulas Ariſtophanis, quarum apud auctores veteres hodie adhuc ſuperſtites mentio fit, diligenter recenſet Meurſius in *Bibliotheca Græca*, quem vide.

[7] Πεπράχαμεν] Vocem hanc ſuſpectam habeo. Quid enim ea hic ſignificare poteſt? Forte legendum eſt εὑρήκαμεν.

[8] Ἀριστοφάνης Βυζάντιος] Ariſtophanis hujus ſcripta & opera recenſet Meurſius in *Bibliotheca Græca*: a quo tamen duo prætermiſſa ſunt, quæ hic addam. Unum eſt Συγγενικά, ſive *De nominibus cognationis & affinitatis*, cujus meminit Euſtathius ad Il. Z. pag. 648. his verbis: Ἰστέον δὲ, ὅτι ἐν τοῖς Ἀριστοφάνους τοῦ Γραμματικοῦ Συγγενικοῖς εὑρηταί τις διαφορὰ τοῦ ἑκυροῦ καὶ πενθεροῦ. Φησὶ γὰρ, ὡς πενθερὸς μὲν ὁ τῆς γυναικὸς πατὴρ τῷ νυμφίῳ, καὶ πενθερὰ ἡ μήτηρ. ἑκυρὸς δὲ ὁ τοῦ ἀνδρὸς πατὴρ τῇ νύμφῃ, καὶ ἑκυρὰ ἡ μήτηρ &c. Alterum eſt σύγγραμμα περὶ Αἰγίδος, cujus mentionem facit idem Euſtathius ad Iliad. E. pag. 603. ubi ſic inquit: Ὁ δὲ Γραμματικὸς Ἀριστοφάνης ἰδιόν τι σύγγραμμα περὶ Αἰγίδος προενεγκὼν, ἄλλα τε τινὰ λέγει, οὐ πάνυ γλαφυρὰ &c. Præterea ſcripſerat Ariſtophanes περὶ ἡλικιῶν, ſive ὀνομασίας ἡλικιῶν, in quo opere de nominibus ætatum egerat. Hujus meminit Euſtathius ad Il. I. pag. 772. 58. ad Odyſſ. M. pag. 1720. 25. Odyſſ. P. pag. 1817. 19. & ad Odyſſ. Ξ. pag. 1752.11. ex quibus locis ultimus tantum a Meurſio obſervatus eſt.

[9] Κατὰ τὴν ρμε΄ Ὀλυμπ.] Sic recte habent MSS. Pariſ. Priores vero Edit, hic gravi mendo laborant, quippe in quibus legitur, κατὰ τὴν με΄ Ὀλυμπιάδα, omiſſo ρ΄: quæ immanis eſt differentia.

[10] Ἀριστόχειρ. ὁ γενναῖος περὶ τὰ ἀρ.] Ex Scholiaſta Sophocl. ad *Ajacem*, pag. 55. ut Portus obſervavit.

εὐστόχως ἀγών.

Ἀρίστων, ὁ Πλάτωνος πατήρ. Τῶν τε Πλάτωνος τοῦ Ἀρίστωνος ἀναπέπλησται δογμάτων. καὶ οὔτε ὁ Τίμαιος αὐτὸν ἀποδράσειεν ἄν, εἰ καὶ σφόδρα [1]γραμματικῇ θεωρίᾳ πεποίκιλται, καὶ τὰς τῆς φύσεως ἀνιχνεύει κινήσεις· οὔτε ὁ Φαίδων, οὔτε ὁ Γοργίας· οὐμενοῦν οὐδὲ ἄλλος τις τῶν γλαφυρῶν καὶ ἀγκυλωτέρων διαλόγων, ὁποῖος ὁ Παρμενίδης.

Ἀριστώνυμος, κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἥλιος ῥιγῶν, [2]ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς. βασιλεύοντος Πτολεμαίου τοῦ Φιλαδέλφου, καὶ τοῦ μετ' αὐτὸν τοῦ Φιλοπάτορος· καὶ προέστη τῆς τοῦ βασιλέως βιβλιοθήκης μετὰ Ἀπολλώνιον, ἔτος ἄγων ξδʹ. διασκευασθεὶς δὲ ὡς βουλόμενος πρὸς Εὐμένη φυγεῖν, ἐφυλάχθη ἐν εἱρκτῇ χρόνον τινά. ἠφείθη δέ, καὶ ὑπὸ στραγγουρίας τελευτᾷ, ἔτη βεβιωκὼς οζʹ. συγγράμματα δὲ αὐτοῦ πάνυ πολλά.

Ἀρίστρατος. ὄνομα κύριον.

Ἀρίστυλλος. αἰσχροποιὸς ἦν. [3]Ἀριστοφάνης·

-- Τοῦτ' ἤδη δεινὸν ἀκοῦσαι,
Εἴ γε φιλήσειεν Ἀρίστυλλος, φάσκων αὐτοῦ πατέρ' εἶναι.

καὶ Ἀρίστυλλος κεχηνώς. [4]Ἀριστοφάνης·

Σὺ δ' ὡς Ἀρίστυλλος ὑποχάσκων ἐρεῖς,
Ἕπεσθε μητρὶ χοῖροι.

οὗτος αἰσχροποιός, ὃς διὰ τὴν αἰσχρουργίαν αὐτοῦ ἀεὶ ἐκεχήνει.

Ἀρίστοιχος. ὄνομα κύριον.

Ἀριφράδης. οὗτος λοιδορεῖται ἀεὶ γυναιξὶ συνών. κιθαρῳδὸς δὲ ἦν. [5]Ἀριστοφάνης· Ἀριφράδης ἐστὶ μὲν πονηρός. ἀλλὰ τοῦτο μὲν καὶ βούλεται. ἔστι δ' οὐ μόνον πονηρός· οὐ γὰρ οὐδ' ἂν ᾐσθόμην· οὐδὲ παμπόνηρος. ἀλλὰ καὶ προσεξεύρηκέ τι. τὴν γὰρ αὐτοῦ γλῶτταν, αἰσχροῖς ἥδον. τουτέστι τὸ αἰδοῖον τοῦ ἀνθρώπου καὶ τὸ σπέρμα. Ἀριφράδης δέ, Πολύμνηστος, καὶ Οἰώνιχος ἀρρητοποιοί. καὶ Πολυμνήστεια καὶ αὐτὴ κωμῳδεῖται ἐπ' αἰσχρότητι. [6]Εἴ τις οὖν τοιοῦτον ἄνδρα μὴ σφόδρα φυλάττεται, μή ποτ' ἐκ τοῦ αὐτοῦ μεθ' ἡμῶν πίεται ποτηρίου. Καὶ αὖθις· [7]Ἀρίφραδες, παῦσαι ληρῶν.

Certamen in quo ſtrenue & fortiter res gerenda eſt.

Ἀρίστων. Ariſto, Platonis pater. *Et Platonis filii Ariſtonis dogmata penitus imbibit: quippe quem nec Timæus fugiat, quamvis recondita eruditione Grammatica plenus ſit, & naturæ motus ſcrutetur: neque Phœdo; neque Gorgias: quin nec ullus alius elegantiorum & ſubtiliorum dialogorum, qualis eſt Parmenides.*

Ἀριστώνυμος. Ariſtonymus, Comicus. Inter hujus fabulas eſt *Sol algens*, quam laudat Athenæus in *Dipnoſophiſtis*. [Vixit] regnante Ptolemæo Philadelpho, & ſucceſſore ejus Philopatore: ac poſt Apollonium regiæ Bibliothecæ præfuit, annum agens LXIIII. Idem, cum fugam moliretur ad Eumenem, ad aliquod tempus in carcere cuſtoditus eſt. Poſtea vero dimiſſus ex ſtranguria deceſſit anno ætatis LXXVII. Scripta ejus permulta ſunt.

Ἀρίστρατος. Ariſtratus. Nomen proprium.

Ἀρίστυλλος. Ariſtyllus. Hic fellator erat. Ariſtophanes: *Hoc quidem fœdum eſt dictu. [Sed multo fœdius,] ſi te oſculetur Ariſtyllus, dicens ſe patrem tuum eſſe.* Et, Ariſtyllus hians. Ariſtophanes:

Tu vero ut Ariſtyllus hians dices,
Sequamini matrem porcelli.

Hic Ariſtyllus erat fellator, & propter fœdum oris abuſum hiare ſemper ſolebat.

Ἀρίστοιχος. Ariſtœchus. Nomen proprium.

Ἀριφράδης. Ariphrades. Hic male audiebat, quod cum mulieribus ſemper verſaretur. Erat autem citharœdus. Ariſtophanes: *Ariphrades eſt improbus: (ſed id quidem affectat) neque improbus ſolum (quod quidem non facile cognoviſſem) imo totus ex improbitate conflatus: ſed præterea etiam adinvenit aliquid. Linguam enim ſuam fœdis voluptatibus polluit, pudenda lingens.* Ariphrades enim, Polymneſtus, & Oeonichus, ore & lingua ad obſcœnas voluptates abutebantur. Polymneſtia quoque & ipſa ejuſdem obſcœnitatis cauſa a Comicis exagitabatur. *Quiſquis igitur ejuſmodi virum toto animo non deteſtatur, cum eo ex eodem poculo bibere recuſo.* Et iterum: *Ariphrades, deſine ineptire.*

Ἀρίφρων. ὁ [8]κακῶς φρονῶν.

Ἀρρίχους. [9]θηλυκόν, τὰς ἀρρίχους. ἡ ἀρρίχη. ἐξηγοῦνται δέ τινες κόφινοι. ἡγητέον οὖν ἐκ μὲν τοῦ αὐτοῦ γένους εἶναι. διάφορον δέ τι. λέγουσι δὲ καὶ νῦν ἔτι σωράκων τι εἶδος ἀρρίχους. Ὅτι αἱ ἀρρίχαι εἶδος κοφίνων, οὓς εἰώθασι διὰ σχοινίων ἀνιμᾶν.

Ἀρίφρων. Valde prudens.

Ἀρρίχους. Corbes. Eſt generis fœminini. [Legitur enim apud Ariſtophanem] τὰς ἀρρίχους. Dicitur etiam ἡ ἀρρίχη. Quidam vocem illam interpretantur cophini. Sed exiſtimandum eſt [ἀρρίχους & κοφίνους] eſſe quidem ejuſdem generis; nonnihil tamen diverſa. Et noſtro adhuc tempore quoddam vaſorum vimineorum genus, in quo ficus portantur, ἀρρίχους vocant. Ἀρρίχαι ſunt genus cophinorum, quos funiculis ſurſum trahere ſolent.

---

[1] Γραμματικῇ] Legerim potius γεωμετρικῇ.

[2] Ὡς Ἀθήναιος ἐν Δειπνοσ.] Lib. VII. cap. VIII.

[3] Ἀριστοφάνης] *Ecclesiaz.* pag. 743. (499. Ed. Baſ. *P.*) ex quo loco Suidas ſupplendus eſt.

[4] Ἀριστοφάνης] *Pluto* pag. 35.

[5] Ἀριστοφάνης. Ἀριφράδης ἐστὶ μὲν πον.] Locus hic apud Ariſtoph. *Equit.* pag. 359. (254. Ed. Baſ. *P.*) ſic legitur & diſtinguitur:

Ἀριφράδης. πονηρός. ἀλλὰ τοῦτο μὲν καὶ βούλεται.
Ἔστι δ' οὐ μόνον πονηρός, οὐ γὰρ οὐδ' ἂν ᾐσθόμην·
Οὐδὲ παμπόνηρος, ἀλλὰ καὶ προσεξεύρηκέ τι.
Τὴν γὰρ αὐτοῦ γλῶτταν αἰσχραῖς ἡδοναῖς λυμαίνεται &c.

Sic etiam apud Suidam ſcribendum eſt.

[6] Εἴ τις οὖν τοιοῦτον ἄνδρα μ.] Lege & diſtingue ex Ariſtophane:

Ὅστις οὖν τοιοῦτον ἄνδρα μὴ σφόδρα βδελύττεται,
Οὔποτ' ἐκ ταὐτοῦ μεθ' ἡμῶν πίεται ποτηρίου.

Hanc lectionem in verſione ſecutus ſum.

[7] Ἀρίφραδες, παῦσαι ληρῶν] Ex Ariſtoph. *Ecclesiaz.* pag. 727. (488. Ed. Baſ. *P.*) ubi legitur, παῦσαι λαλῶν.

[8] Ὁ κακῶς φρ.] Malim ὁ καλῶς φρονῶν.

[9] Ἀρρίχους. θηλυκόν, τὰς ἀρρ.] Ex Scholiaſta Ariſtoph. ad *Aves* pag. 603. (417. Ed. Baſ. *P.*)

Ἄρθμια. φίλια. [1]Ἡρόδοτος· Ἀθηναίων μὴ ἐόντων ἄμμιν ἀρθμίων, τοῖς δὲ βαρβάροις συμμάχων. καὶ Ἀρθμήσαντες,[2] φίλοι γενόμενοι.

Ἀρθρέμβολα. ὀνόματα βασανιστηρίων. παρὰ τὸ ἐξαρθροῦν τὸν ἐμβαλλόμενον.

Ἀρθροπέδαν.

Ἀρθροπέδαν[3] στεῖράν τε[4] καὶ ὠλεσίβωλον ἀρούρης Σφῦραν. ——————

Ἀρκάδας μιμούμενοι. παροιμία ἐπὶ[5] τῶν ἑτέροις πονούντων. οἱ γὰρ Ἀρκάδες μαχιμώτατοι Ἑλλήνων γενόμενοι, ἰδίᾳ ἐνίκησαν μὲν οὐδένα· ἑτέροις δὲ συμμαχοῦντες, πολλούς. ταύτῃ δὲ τῇ παροιμίᾳ κέχρηται Πλάτων ἐν Πεισάνδρῳ. διὰ γὰρ τὸ τὰς κωμῳδίας αὐτὸς ποιῶν ἄλλοις παρέχειν διὰ πενίαν, Ἀρκάδας μιμεῖσθαι ἔφη.

Ἀρκαδία χώρα. καὶ ὄνομα κύριον. ὅτι[6] Ἀρκαδίας τῆς δευτέρας γυναικὸς Ζήνωνος στήλη ἐστὶν ἐν Ἀρκαδιαναῖς, ἐν τοῖς πλησίον μέρεσι τῶν βάθρων τῶν λεγομένων Τόπων,[7] ἐν τῷ τοῦ Ἀρχιστρατήγου· ἔνθα Ζήνων ἔκρινε τοὺς μετὰ Βασιλίσκου, καὶ[8] Σέκρετον τὸν τόπον ἐποίησεν. τῆς δὲ ἑτέρας αὐτοῦ γυναικὸς πρώτης Ἀριάδνης καὶ αὐτοῦ Ζήνωνος ἐν τῇ βασιλικῇ πύλῃ. καὶ παροιμία·

Ἀρκαδίαν[9] μ' αἰτεῖς; μέγα μ' αἰτεῖς· οὔτοι δώσω. ἐπὶ τῶν τὰ μεγάλα καὶ μὴ συμφέροντα αἰτούντων.

Ἀρκάδιος, γραμματικὸς, Ἀντιοχεύς. ἔγραψε περὶ ὀρθογραφίας. Περὶ συντάξεως τῶν τοῦ λόγου μερῶν. Ὀνομαστικὸν θαυμάσιον.

Ἀρκαῖος. ὄνομα κύριον.

Ἀρκεσίλαος. ὄνομα κύριον. φιλόσοφος. καὶ ἔστιν ἐν τῷ Φημί.

Ἄρκευθος. εἶδος φυτοῦ ἀκανθῶδες, οὗ τὴν ὀδμὴν πάντα τὰ ἑρπετὰ ἀποστρέφονται.

Ἀρκεῖν. βοηθεῖν. Γέγονε γὰρ οὗτος οὐδαμῶς εὐκαταφρόνητος, ἀλλ' ἱκανὸς ἀρκεῖν καὶ προστατεῖν πραγμάτων.

Ἄρκειος κεφαλή. καὶ Ἄρκειον κρέας. Ἄρκιον δὲ, τὸ ἱκανὸν καὶ ὠφέλιμον.

Ἀρκούντως ἔχει. ἀπηρτισμένως εἶναι.

Ἄρκου παρούσης τὰ ἴχνη ζητεῖς. ἐπὶ τῶν τὰ παρόντα ζητεῖν προσποιουμένων.

Ἄρθμια. Amica. Herodotus: *Si Athenienſes non ſint nobis amici, ſed cum Barbaro ſocietatem ineant.* Et Ἀρθμήσαντες, qui amici facti ſunt.

Ἀρθρέμβολα. Inſtrumenta, quibus homines torquentur. Inde dicta, quod illorum, quibus admoventur, artus locis ſuis moveant.

Ἀρθροπέδαν. [Inſtrumentũ quoddam ruſticũ.] *Arthropedam & glebas frangentem malleum* [*Alcimus Minervæ dedicavit.*]

Ἀρκάδας μιμούμενοι. *Arcadas imitantes.* Proverbium de iis, qui [non ſibi, ſed] aliis laborant. Arcades enim, cum bellicoſiſſimi Græcorum eſſent, ſibi quidem & ſuo nomine bellum gerentes vicerunt neminem: aliis vero opem ferentes, multos. Hoc proverbio uſus eſt Plato *Piſandro.* Is enim, cum pauper eſſet, comœdias a ſe compoſitas aliis vendebat: unde eum Arcadas imitari dixit.

Ἀρκαδία. Arcadia, regio, & nomen proprium. Arcadiæ, ſecundæ uxoris Zenonis, ſtatua collocata eſt in thermis Arcadianis, prope gradus, qui vocantur Topi, in regione S. Michaelis Archangeli: ubi Zeno judiciũ exercuit in eos, qui Baſiliſci partes ſecuti fuerant, & locum illum fecit Secretum. Primæ autem uxoris ejus Ariadnæ, & ipſius Zenonis ſtatuæ collocatæ ſunt ad portam regiam [domus, vocatæ Æreæ.] Et proverbium: *Arcadiam a me petis? rem magnam petis: non tibi dabo.* Dicitur de iis, qui magna nec utilia petunt.

Ἀρκάδιος. Arcadius, Grammaticus, Antiochenus, ſcripſit de Orthographia. De Conſtructione partium orationis. Onomaſticum admirabile.

Ἀρκαῖος. Arcæus. Nomen proprium.

Ἀρκεσίλαος. Arceſilaus. Nomen proprium. Philoſophus. Vide in verbo Φημί.

Ἄρκευθος. Plantæ ſpinoſæ genus, cujus odorem omnia reptilia averſantur.

Ἀρκεῖν. Opem ferre. *Hic enim nullo modo contemnendus erat, ſed ſatis idoneus ad opem ferendam aliis, & ad res, quibus præerat, gerendas.*

Ἄρκειος κεφαλή. Urſinum caput. Et Ἄρκειον κρέας, urſina caro. Ἄρκιον vero, ſufficiens, vel idoneum, & utile.

Ἀρκούντως ἔχει. Satis eſt. Res eſt perfecta & abſoluta.

Ἄρκου παρούσης. *Urſæ præſentis veſtigia quæris.* De iis, qui ſe præſentia quærere ſimulant.

---

[1] Ἡρόδοτος] Libro IX. pag. 326. ut Portus monuit.

[2] Ἀρθμήσαντες] Homer. Il. H. v. 302.

[3] Ἀρθροπέδαν στεῖράν τε καὶ ὠλεσ.] Verba hæc decerpta ſunt ex Epigrammate quodam Phanii, quod ex codice MS. Anthologiæ ineditæ integrum exhibemus alibi.

[4] Στεῖράν τε] In Anthologia inedita legitur στημόν τε: ſed utraque lectio, ſi non corrupta, ſaltem obſcuræ eſt ſignificationis, & de qua nihil apud Grammaticos reperias.

[5] Ἐπὶ τῶν ἑτέροις πον.] Apud Zenobium & Diogenianum legitur, ἐπὶ τῶν ἄλλως πονούντων: quod interpres vertit: *In eos, qui fruſtra laborant.* Sed male. Legendum enim eſt, ἐπὶ τῶν ἄλλοις πονούντων. Proverbio huic ſimile eſt illud, quo utitur Joannes Tzetzes in Epiſtola quadam inedita (quæ exſtat inter reliquas ejus Epiſtolas ἀνεκδότους in Cod. Biblioth. Reg. Pariſ. 2565.) Τετράδι δὲ, ὡς ἔοικε, γεννηθεὶς, ἄλλοις πονῶ. Alludit ad labores Herculis.

[6] Ὅτι Ἀρκαδίας τῆς δευτέρας γυν. —— ἐν τῇ βασιλικῇ πύλῃ] Hæc totidem pene verbis leguntur etiam apud Codinum *de Origin. Conſtant.* Num. XXXVII. pag. 19. eademque repetuntur infra v. Στήλη.

[7] Ἐν τῷ τοῦ Ἀρχιστρατήγου] Codinus habet ἐν τοῖς τοῦ Ἀρχιστρατήγου μέρεσιν; quorum verborum idem eſt ſenſus, ſcilicet, *in regione S. Archangeli Michaelis*; ut recte Lambecius. Hac enim ſignificatione vox Ἀρχιστράτηγος apud Græcos recentiores frequenter capitur, ut vel ex Ducangii Gloſſario Græco conſtat. Porti igitur verſio ferenda non erat, qui locum hunc ſic verterat: *In prætoris domo,* i. e. *in prætorio.*

[8] Σέκρετον] De ſignificatione hujus vocis vide Lambecium ad Codinum loco laudato, & Valeſium ad Amm. Marcell. pag. 87.

[9] Ἀρκαδίαν μ' αἰτεῖς; μέγα μ' αἰτεῖς· οὔ τοι δ.] Proverbium hoc, ſive potius oraculum, legitur etiam apud Diogenianum, Herodotum lib. I. pag. 16. Stephanum Byzantium v. Τεγέα; Euſtathium ad Homerum pag. 301. & alios.

Ἄρκτος[1] φιλεῖν ἄνθρωπον ἐκτόπως ηὔχει.
Εἶθ' ὕστερον ἐρασθεῖσα αὐτοῦ παραβύστῳ.

ἀντὶ τοῦ ἐν ἀποκρύφῳ. ἐν μυστηρίῳ.

Ἀρκῶ. δοτικῇ. ἰσχύω. ὑπομεῖναι δύναμαι. Ὁ πολὺς ἤδη βίος μοι ἀπολέλοιπεν, οὐδ' ἔτ' ἀρκῶ.

Ἀρκτέον.[2] δεῖ ἄρχεσθαι.

Ἄρκτος.[3] ἐν Βραυρωνίοις ἀρκτευόμεναι γυναῖκες τῇ Ἀρτέμιδι ἑορτὴν ἐτέλουν, κροκωτὸν ἠμφιεσμέναι,[4] οὔτε πρεσβύτιδες ι' ἐτῶν, οὔτε ἐλάττους ε', ἀπομειλισσόμεναι τὴν θεόν· ἐπειδὴ ἄρκτος ἀγρία ἐπιφοιτῶσα διέτριβεν ἐν τῷ δήμῳ[5] Φλαυιδῶν· καὶ ἡμερωθεῖσαν αὐτὴν τοῖς ἀνθρώποις σύντροφον γενέσθαι. παρθένον δέ τινα προσπαίζειν αὐτῇ, καὶ ἀσελγαινούσης τῆς παιδίσκης παροξυνθῆναι τὴν ἄρκτον, καὶ καταξέσαι τῆς παρθένου· ἐφ' ᾧ ὀργισθέντας τοὺς ἀδελφοὺς αὐτῆς κατακοντίσαι τὴν ἄρκτον, καὶ διὰ τοῦτο λοιμώδη νόσον τοῖς Ἀθηναίοις ἐμπεσεῖν. χρηστηριαζομένοις δὲ τοῖς Ἀθηναίοις εἶπε λύσιν τῶν κακῶν ἔσεσθαι, εἰ τῆς τελευτησάσης ἄρκτου ποινὰς ἀρκτεύειν τὰς ἑαυτῶν παρθένους ἀναγκάσουσι. καὶ ἐψηφίσαντο οἱ Ἀθηναῖοι μὴ πρότερον συνοικίζεσθαι ἀνδρὶ παρθένον, εἰ μὴ ἀρκτεύσειε τῇ θεῷ.

Ἀρκτεῦσαι.[6] Λυσίας. τὸ καθιερωθῆναι πρὸ γάμων τὰς παρθένους τῇ Ἀρτέμιδι ἀρκτεύειν ἔλεγον. καὶ γὰρ αἱ ἀρκτευόμεναι παρθένοι[7] ἄρκτοι καλοῦνται, ὡς Εὐριπίδης καὶ Ἀριστοφάνης δηλοῖ.

Ἀρκτῖνος, Τήλεω, τοῦ Ναύτεω ἀπογόνου, Μιλήσιος, ἐποποιός, μαθητὴς Ὁμήρου, ὡς λέγει ὁ Κλαζομένιος Ἀρτέμων ἐν τῷ περὶ Ὁμήρου· γεγονὼς κατὰ τὴν θ' Ὀλυμπιάδα, μετὰ τετρακόσια ἔτη τῶν Τρωϊκῶν.

Ἄρκτος. τὸ ζῶον· καὶ τὸ ἀεικίνητον ἀστροθέτημα. Ἀρκτοῦρος δὲ λέγεται καὶ αὐτὸς ὅλος ὁ Βοώτης· ἰδίως δὲ καὶ ὁ ὑπὸ τὴν ζώνην αὐτοῦ ἀστὴρ λέγεται· καὶ Ἀρκτοφύλαξ. καὶ Ἀρκτῷος, ὁ ἀνατολικός.

Ἄρκυς. τὸ θηρευτικὸν δίκτυον. τὰ λίνα, ἃ ἱστᾶσι πρὸς ἄγραν τῶν λεόντων. παρὰ τὸ ἕλκω· τροπῇ τοῦ λ εἰς ρ. ἢ παρὰ τὸ ἀγρεύειν. ἢ παρὰ τὸ εἴργειν, τὸ κωλύειν. τοῦ δὲ ἄρκυς ἐκτείνεται ἡ ὑστέρα συλλαβή, ὁμοίως ἐπί τε τῆς ὀρθῆς καὶ τῆς αἰτιατικῆς πτώσεως.

Ἄρκτος φιλ. *Urſa ſe amare hominem ſupra modum gloriabatur. Poſtea vero amore ejus capta in loco occulto.* [Ἐν παραβύστῳ enim hic idem ſignificat] quod ἐν ἀποκρύφῳ.

Ἀρκῶ. Dativo jungitur. Sufficio. Valeo. Tolerare poſſum. *Magna vitæ pars jam præteriit, nec ferre amplius* [*ærumnas*] *poſſum.*

Ἀρκτέον. Incipiendum eſt.

Ἄρκτος. Apud Brauronios puellæ, Ἄρκτοι vocatæ, Dianæ feſtum celebrabant, Deæ illius placandæ cauſa, crocota indutæ, & quod ad ætatem attinet, non majores decennibus, nec minores quinquennibus. Urſa enim fera, ut aiunt, relictis ſylvis in populo Phlavidarum degens in contubernio hominum omnem tandem feritatem poſuerat. Cum autē virgo quædam cum ea luderet, & petulantius eam tractaret, urſa irritata eam unguibus vulneravit: qua re irati fratres eam telis confecerunt. Cum igitur ea de cauſa peſtilens morbus Athenienſes invaſiſſet, oraculum conſulentibus reſponſum eſt, remedium mali fore, ſi quaſdam filiarum ſuarum ab occiſa urſa Ἄρκτους vocatas Dianæ conſecrarent, & ſacra ei facere cogerent. Quare Athenienſes ſciverunt, ne quæ virgo nuberet, niſi prius in memoriam urſæ occiſæ Dianæ ſacra feciſſet.

Ἀρκτεῦσαι. Lyſias. Quum virgines ante nuptias Dianæ conſecrarentur, id ἀρκτεύειν vocabant. Et virgines ſic conſecratæ appellabantur Ἄρκτοι; ut Euripides & Ariſtophanes docent.

Ἀρκτῖνος. Arctinus, Telei filius, a Naute oriundi, Mileſius, Poeta, Homeri diſcipulus, ut ait Artemon Clazomenius, in libro de Homero. Vixit Olympiade nona, quadringentis annis poſt bellum Trojanum.

Ἄρκτος. Urſus animal. Item ſidus, ſic vocatum, quod perpetuo movetur. Arcturus autem dicitur tum integer Bootes; tum peculiariter ſtella, quæ eſt ſub ipſius zona. Eadem etiam vocatur Ἀρκτοφύλαξ. Et Ἀρκτῷος, orientalis.

Ἄρκυς. Venatorium rete. Retia venatoria, quæ venatores explicant ad leones capiendos. Ab ἕλκω, mutato λ in ρ. Vel a verbo ἀγρεύειν, venari. Vel ab εἴργειν, coercere. Vocis vero ἄρκυς poſterior ſyllaba producitur,

---

[1] Ἄρκτος φιλεῖν ἀνθρ.] Duo hi verſus Choliambici, quorum poſterior luxatus eſt, deprompti ſunt ex Babrio, vel, ut alii eum vocant, Chabria.

[2] Ἀρκτέον. δεῖ ἄρχεσθαι] Vide Schol. Sophocl. ad *Ajacem* p. 51.

[3] Ἄρκτος. ἐν Βραυρωνίοις ἀρκτευόμεναι γυν.] Integrum hunc locum Suidas procul dubio deſcripſit ex Scholiaſta aliquo deperdito ad verba illa Comici *Lyſiſtr.* pag. 877. (556. Ed. Baſ.)

Καταχέουσα κροκωτὸν ἄρκτος ἦν Βραυρωνίοις.

Sic enim cum Biſeto verſum hunc legerim, quem omnes Edit. corruptum exhibent. Exſtant hodie adhuc in Bibliotheca Oxonienſi, itemque inter libros Iſaaci Voſſii, Scholia quædam inedita in *Lyſiſtratam* Ariſtophanis, antiqua ſane & bonæ notæ, in quibus locus laudatus Comici eodem pene modo exponitur, quo hic a Suida, vel potius auctore illo, ex quo Suidas ſua deſcripſit. Verba Scholiaſtæ illius inediti, quoniam notatu digna ſunt, hic deſcribam. Ἀρτεμιμούμεναι τὸ μυστήριον ἐξετέλουν. Αἱ ἀρκτευόμεναι δὲ τῇ θεῷ κροκωτὸν ἠμφιέννυντο. καὶ συνετέλουν τὴν θυσίαν τῇ Βραυρωνίᾳ Ἀρτέμιδι, καὶ τῇ Μουνυχίᾳ ἐπιλεγόμεναι παρθένοι οὔτε πρεσβύτεραι δέκα ἐτῶν, οὔτ' ἐλάττους πέντε. ἐπετέλουν δὲ τὴν θυσίαν αἱ κόραι, ἐκμειλισσόμεναι τὴν θεόν· ἐπειδὴ λιμῷ περιπεπτώκασιν οἱ Ἀθηναῖοι, ἄρκτον, οἰμαι, ἀνῃρηκότες τῇ θεᾷ. Οἱ δὲ τὰ περὶ τὴν Ἰφιγένειαν ἐν Βραυρῶνι φασίν, οὐκ ἐν Αὐλίδι. Εὐφορίων·

Ἀγχίαλον Βραυρῶνα κενήριον Ἰφιγενείας.

Δοκεῖ δὲ Ἀγαμέμνων σφαγιάσαι τὴν Ἰφιγένειαν ἐν Βραυρῶνι, οὐκ ἐν Αὐλίδι· καὶ ἄρκτον ἀντ' αὐτῆς, οὐκ ἔλαφον φονευθῆναι. ὅθεν μυστήριον ἄγουσιν αὐτῇ. Ἄλλως. Ἄρκτος τις ἐδόθη εἰς τὸ ἱερὸν τῆς Ἀρτέμιδος, καὶ ἡμερώθη. ποτὲ οὖν μία τις παρθένος ἔπαιξε πρὸς αὐτήν, καὶ ἐξύσθη ἡ ὄψις αὐτῆς ὑπὸ τῆς ἄρκτου. καὶ λυπηθεὶς ὁ ἀδελφὸς αὐτῆς ἀνεῖλε τὴν ἄρκτον. Ἡ δὲ Ἄρτεμις ὀργισθεῖσα ἐκέλευσε παρθένον μιμήσασθαι τὴν ἄρκτον πρὸ τοῦ γάμου, καὶ περιέπειν τὸ ἱερὸν κροκωτὸν φοροῦσαν. καὶ τοῦτο ἀρκτεύσασθαι ἐλέγετο. Hæc egregie confirmant, quæ Suidas hoc loco tradit.

[4] Οὔτε πρεσβύτιδες ι' ἐτῶν] Huc ſpectant verba Heſychii v. Δεκατεύειν: Ἔλεγον δὲ καὶ τὸ ἀρκτεύειν δεκατεύειν, ἐπεὶ ἔπρασσον αὐτὸ αἱ παρθένοι περὶ τὸν δεκαετῆ χρόνον οὖσαι. Confer etiam Harpocrat. v. Δεκατεύειν, & ibi Mauſſacum.

[5] Φλαυιδῶν] Meurſius corrigit Φιλαϊδῶν: quem vide *De Pop. Attic.* v. Φιλαΐδαι.

[6] Ἀρκτεῦσαι. Λυσίας. τὸ καθιερωθῆναι πρὸ γ.] Ex Harpocratione.

[7] Ἄρκτοι] Hæc vox in prioribus Edit. deeſt, quam ex Harpocratione revocavi.

καὶ ἄρκυς γὰρ, καὶ τὰς ἄρκυς. καὶ Ἀρκυωρὸς, ὁ φύλαξ, ὁ τὰς ἄρκυς, τουτέστιν ὁ τὰ λίνα φυλάττων. ἔστι δὲ ταῦτα τὰ κυνηγετικὰ πάντα λίνα. καὶ Ἀρκυωρεῖν, τὰς ἄρκυς τηρεῖν· αἵ εἰσι θηρευτικὰ λίνα. καὶ Ἄρκυσιν.

Ἅρμα. τόπος τῆς Ἀττικῆς. καὶ παροιμία· [1] Ὅταν δι' Ἅρματος ἀστράψῃ. ἐπὶ τῶν χρονίως γενομένων.

Ἀρμαθέμ. τόπος.

Ἁρμαλιά. ἡ τροφή.

Ὧν [2] ἄπο πλειοτέρην οἴσεαι ἁρμαλιήν.

τὸ ἁρμάμαξα τινὲς ψιλοῦσι παραλόγως.

Ἀρμαμεντηρία.

Ἁρμάτειος τροχός. Ἁρμάτειος δὲ νόμος, καὶ ἁρμάτειον [3] μέλος, ἀπὸ ἅρματος· ὅπερ ἐποίησαν ἐφ' Ἕκτορι ἑλκομένῳ ὑφ' ἅρματος.

Ἁρμάτιος. [4] οὗτος μέγιστον ἴσχυσε παρά τε Ζηνωνίδι τῇ βασιλίσσῃ, καὶ αὐτῷ Βασιλίσκῳ. ἐσφάγη δὲ ὑπὸ Ζήνωνος τοῦ βασιλέως, καὶ ὑπερήσθησαν οἱ πολῖται τῇ τούτου σφαγῇ. ἐπὶ γὰρ Λέοντος πρὸς τοὺς στασιάζοντας ὅσους λάβοι [5] τῶν Θρακῶν τὰς χεῖρας ἐκτέμνων ἀπέπεμπεν. Ὀνόουλφος δὲ αὐτὸν διεχρήσατο, ὄντινα ὁ Ἁρμάτιος πένητα καὶ ἄρτι ἐκ βαρβάρων ἥκοντα προσλαβὼν φιλοφρόνως, τὸ μὲν πρῶτον Κόμητα ἐποίησεν· ἔπειτα καὶ στρατηγὸν Ἰλλυριῶν· καὶ εἰς ἑστίασιν ἔχειν πολὺν ἄργυρον παρέσχε. ἀντέδωκε δὲ τούτῳ τὴν βαρβαρικὴν ἀπιστίαν μετὰ χειρὸς μιαιφόνου.

Ἁρματηλάτης. ὁ ἡνίοχος.

Ἅρματος. ὅτι Βασιλίσκος ὁ βασιλεὺς, ἐπείπερ ὡς συγγενεῖ τῷ Ἁρμάτῳ ἀδεῶς ἐπέτρεπεν ἐντυγχάνειν Ζηνωνίδι τῇ βασιλίδι, τριβομένης σφίσι τῆς ὁμιλίας, τοῦ κάλλους αὐτῶν οὐκ εὐπαροδεύτου ὄντος, ἄμφω ἀλλήλων ἐκτόπως ἤρων. ῥίψεις οὖν ὀμμάτων ἐπ' ἀλλήλους ἐγίνοντο, καὶ παρεκστροφαὶ συνεχεῖς προσώπων, καὶ μειδιαμάτων μεταδόσεις· πόνος τε μετὰ ταῦτα ἔρωτος ὑπ' ὄψιν στεγομένου. ἐπεὶ δὲ κοινωσάμενοι τὸ πάθος Δανιὴλ εὐνούχῳ καὶ Μαρίᾳ μαίᾳ ἰάσαντο τοῦτο μόλις τῇ τῆς μίξεως ἰατρείᾳ, Ζηνωνὶς Βασιλίσκον διὰ θωπείας ἦγε τοῦ τὸν ἐραστὴν ἔχειν ἐν τῇ πόλει τὰ πρωτεῖα. ὁρῶν δὲ Θεοδόριχος τιμώμενον ἐκ πάντων Ἁρμάτον, ἤχαλλεν ὡς παρευδοκιμούμενος ἐκ νέου, τριχῶν μόνον καὶ τῆς ἄλλης φροντίζοντος σωμασκίας. ὁ δ' Ἅρματος ἔκ τε φορᾶς χρημάτων, καὶ τιμῆς ἀπλέτου τυφωθεὶς, [6] οὐδένα αὐτοῦ ᾤετο διοίσειν ἐπ' ἀνδρείᾳ. καὶ τοσοῦτον αὐτοῦ ἤδη ἡ ἄλη ἐπεκράτει, ὡς σκευὴν ἀναλαμβάνειν Ἀχιλλέως, οὕτω τε

tam in recto quam accuſativo caſu. Dicitur enim αἱ ἄρκυς, & τὰς ἄρκυς. Et Ἀρκυωρὸς, qui retia cuſtodit. Hæc autem omnia retia ſunt venatoria. Et Ἀρκυωρεῖν, cuſtodire retia. Et Ἄρκυσιν. Retibus.

Ἅρμα. Harma. Locus Atticæ. Et proverbium: *Cum per Harma fulguraverit*: quod dicitur de iis, quæ tarde fiunt.

Ἀρμαθέμ. Armathem. Locus ita vocatus.

Ἁρμαλιά. Cibus. Alimentum. [In Epigrammate:] *Unde largiorem & lautiorem auferes victum.* † Quidam vocem ἁρμάμαξα præter rationem ſpiritu tenui notant.

Ἀρμαμεντηρία. Armamentarium.

Ἁρμάτειος τροχός. Rota currus. Et ἁρμάτειος νόμος, ſive ἁρμάτειον μέλος, carmen a curru ita dictum. Sic enim vocabant carmen, quod canebatur in Hectorem a curru raptatum.

Ἁρμάτιος. Harmatius. Hic auctoritate plurimum valuit apud Zenonidem Imperatricem, & ipſum Baſiliſcum. Occiſus autem fuit a Zenone Imperatore, ejuſque cæde cives admodum ſunt lætati. Nam ſub Leone quoſcunque Thracum, qui ſeditionem moverant, cepiſſet, eos manibus amputatis dimittebat. Onoulphus vero quidam ipſum interfecit, quem Harmatius pauperem & a Barbaris recens venientem humaniter ſuſceperat, & primum Comitem, deinde vero Præfectum Illyriorum fecerat, & ad convivia magnam pecuniæ vim ipſi præbuerat. Ille vero Barbarica perfidia & ſanguinaria manu malam Harmatio gratiã retulit.

Ἁρματηλάτης. Auriga.

Ἅρματος. Harmatus. Cum Baſiliſcus Imperator Harmato, ut cognato, liberum aditum ad uxorem Zenonidem permitteret, eaque conſuetudo diutius duraret, & utriuſque forma non vulgaris eſſet, ambo mutuo amore vehementer ardere, oculoſque in ſe invicem conjicere, & vultus ſubinde convertere, & riſu mutuo blandiri ſibi cœperunt. Cum vero dolorem tandem pareret amor, quem vultu tegebant, morbum ſuum Danieli eunucho & Mariæ obſtetrici aperuerunt, eumque medicina concubitus vix ſanarunt. Quo facto Zenonis blandis identidem verbis Baſiliſcum aggreſſa effecit tandem, ut amator principem in urbe locum teneret. Theodoricus autem animadvertens Harmatum ab omnibus coli, ægre tulit præferri ſibi juvenem, qui capillis tantum ornandis & corpori exercendo operam daret. Harmatus vero tum opum abundantia, tum honoris faſtigio inflatus, neminem fortitudine ſe præſtantiorem putabat: quæ falſa ejus perſuaſio adeo invaluerat, ut habitum

---

[1] Ὅταν δι' Ἅρματος ἀστράψῃ] Originem hujus proverbii exponit Strabo lib. IX. pag. 404. quem conſule.

[2] Ὧν ἄπο πλειοτέρην οἴσεαι ἁρμ.] Pentameter hic eſt pars Epigrammatis in mures, quod integrum legitur Anthol. lib. I. cap. XXXIII. pag. 70.

[3] Ἁρμάτειον μέλος] Quid ſit ἁρμάτειον μέλος pulchre explicat Etymologus, quem conſule.

[4] Ἁρμάτιος] Hujus Harmatii mentionem facit Candidus apud Photium, & Malchus in Excerpt. Legat. pag. 94. ubi Cantoclarus, infelix ſane interpres, vocem ἁρματίῳ eſſe putavit ab ἁρμάτιον, *currus*, cum ſit ibi nomen proprium Harmatii, de quo Suidas hic agit.

[5] Τῶν Θρακῶν τὰς χεῖρας ἐκτ.] Eandem crudelitatem Harmatii paucis verbis attingit Malchus loco laudato.

[6] Οὐδένα αὐτοῦ ᾤετο διοίσειν ἐπ' ἀνδρ.——φρυάττεσθαι τὸν οἶκον] Hæc leguntur etiam ſupra v. Ἄλη.

περιβαίνειν εἰς ἵππων, καὶ κατὰ τὸν ἱππόδρομον [1] Φρυάττεσθαι τοῦ οἴκου. [2] ἐξῆρε δὲ τοῦτον πλείω πρὸς τοιαύτην δόξαν μαίνεσθαι τὸ ὑπὸ δήμου σύρφακος ἐν εὐφημίαις ἀνακαλεῖσθαι Πύῤῥον. ὃς εἰ μὲν οὕτως ἐβόα διὰ τὸ ἐρυθροπρόσωπον εἶναι, ἔλεγεν εἰκότα· εἰ δ' ὡς πρὸς ἔπαινον ἀνδρείας, ἔθελγεν ὡς νέον. οὐ γὰρ ἥρωας ἔβαλλεν ὡς Πύῤῥος, ἀλλὰ γυναιμανὴς ἦν, ὡς Πάρις.

Ἁρματωλία. [3] ἡ τῶν ἁρμάτων ἡνιοχεία. Καὶ τοῦ κύκλου παρέτραγον ὑφ' ἁρματωλίας. ἀντὶ τοῦ φειδόμενοι αὐτῶν. [4] Ἁρματοτροχία δὲ, ἡ ἐγχάραξις τοῦ ἅρματος. ἔστι καὶ ἁματροχία.

Ἀρμένιοι. Οἱ ἐνδότεροι Ἰνδοὶ καὶ Ἴβηρες καὶ Ἀρμένιοι ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου ἐβαπτίσθησαν.

Ἄρμενα. ἁρμόδια ἐπιτήδεια. ἐν [5] Ἐπιγράμματι·

Πανὶ τάδ' αὔθαιμοι τρισσοὶ θέσαν ἄρμενα τέχνης.

καὶ Ἄρμενον, τὸ ἱστίον.

Ἁρμογή. εὐταξία. Μαθόντες δὲ τὴν τῶν πολεμίων ἁρμογὴν τῆς πορείας. Ἁρμογὴ, ὡς ἡμεῖς. Εὔπολις Αἰξί· Ταύτην ἐγὼ ἐζήτουν πάλαι τὴν ἁρμογήν.

Ἁρμόδιοι. χρηστοί. καὶ παροιμία· [6] Ἁρμοδίου μέλος. [7] ἐπὶ τῶν δυσκόλων. τὰ γὰρ εἰς Ἁρμόδιον μέλη τοιαῦτά ἐστιν. † Ἁρμόδιος καὶ Ἀριστογείτων ἐπέθεντο τοῖς τυράννοις, καὶ τὸν Ἱππίαν ἀπέκτειναν Ἀθηναῖοι.

Ἁρμοζόμενος. ἐπιτηδείως διατιθέμενος. [8] Ὁ δὲ νυκτὸς ἐπῄει τὰς εἰσόδους ἁρμοζόμενος πρὸς τὴν ὑποκειμένην πρόθεσιν.

Ἁρμονίαν. [9] τὸ εὖ καὶ ἐπισταμένως εἶναι τὴν νευρὰν ἐν τοῖς κρούμασι τῶν ᾀσμάτων. † Ὅτι [10] ἡ ἁρμονία ἐπιγίνεται τοῖς ἡρμοσμένοις. δεῖ γὰρ εἶναι τὰς χορδάς· εἶτα τοιῶσδε ἐπιταθῆναι, καὶ οὕτως ἐπιγενέσθαι τὴν ἁρμονίαν. οὐ μάχεται δὲ τοῖς ἡρμοσμένοις, ἀλλ' ἕπεται, οὕτως ἔχουσα, ὡς ἂν ἔχῃ τὰ ἡρμοσμένα. ἔστι δὲ ἁρμονία συμφωνία τῶν χορδῶν. Ἀναρμοστία δὲ ἐστὶ τοῦ ἐμψύχου σώματος νόσος καὶ ἀσθένεια καὶ αἶσχος. ὧν τὸ μὲν ἀσυμμετρία ἐστὶ τῶν στοιχείων ἡ νόσος· τὸ

Achillis indueret, & equo vectus ubique ſe conſpiciendum præberet, & in Circo ſeſe inſolenter jactaret. Hanc autem ambitionem ejus & inſanum gloriæ ſtudium acclamationes infimæ plebis, Pyrrhum eum vocantis, augebant. Quæ quidem, ſi eum ita appellabat, quod rubicunda eſſet facie; vere dicebat: ſin laudandæ fortitudinis gratia; ut adoleſcenti palpabatur. Non enim heroes telis petebat, ut Pyrrhus; ſed muliercularum amori indulgebat, ut Paris.

Ἁρματωλία. Aurigatio. [Ariſtophanes:] *Et orbis ſui partem currum agitando detriverunt.* [Vel, ὑφ' ἁρματωλίας hic ſignificat,] curribus parcentes. Ἁρματροχία vero ſignificat orbitam, ſive rotæ veſtigium. At ἁματροχία, concurſio rotarum.

Ἀρμένιοι. Armenii. Interiores Indi & Iberes & Armenii ſub Conſtantino Magno baptizati ſunt.

Ἄρμενα. Inſtrumenta ad uſum apta & neceſſaria. In Epigrammate: *Tres fratres conſanguinei hæc Pani inſtrumenta artis dedicarunt.* Et Ἄρμενον, velum navis.

Ἁρμογή. Aptus ordo. *Cum autem cognoviſſent, hoſtem agmine compoſito & bene ordinato incedere.* Et Ἁρμογὴ, eodem ſenſu ac apud nos accipitur. Eupolis *Capris: Hunc ego jampridem rerum ordinem quæſivi.*

Ἁρμόδιοι. Apti. Grati. Et proverbium: *Harmodii melos.* De rebus difficilibus dicitur. Carmina enim, quæ in Harmodium canebantur, hujuſmodi erant. † Harmodius & Ariſtogiton Tyrannis manus intulerunt, & Hippiam Athenienſes interfecerunt.

Ἁρμοζόμενος. Apte ſeſe alicui rei accommodans. *Ille vero noctu ut plurimum ingrediebatur [& egrediebatur, ſpecie quidem, propter metum hoſtium; re autem ipſa] negotio inſtituto ſeſe accommodans.*

Ἁρμονίαν. Sic vocant aptum nervorum concentum, cum carmina fidibus canuntur. † Harmonia exiſtit ex iis, quæ inter ſe ſunt apta. Oportet enim eſſe chordas; ex quibus certa ratione intentis harmonia oritur. † Harmonia non pugnat cum iis, quæ ad concentum aptata ſunt, ſed ea ſequitur; ita ſe habens, ut ea, quæ apta ſunt. Eſt autem harmonia concentus nervorum. Anarmoſtia vero in corpore animato eſt morbus, infirmitas, & deformitas. Et morbus quidem eſt turbata & inconδὲ τῶν ὁμοιομερῶν ἡ ἀσθένεια· τὸ δὲ τῶν ὀργανικῶν τὸ αἶσχος. Ἁρμονία δέ ἐστι λόγος τῶν μιχθέντων, ἢ σύνθεσις. λέγεται δὲ διχῶς. κατὰ πρῶτον μὲν λόγον ἡ σύνθεσις τῶν σωμάτων, [1] ὅταν οὕτω παρατεθῇ, ὡς μὴ δύνασθαι ἄλλον ἐμβληθῆναι μεταξὺ λίθον, ἤ τι τῶν συγγενῶν βαρέων σωμάτων. ἐκ δὲ τούτων μεταφέρομεν τὸ τῆς ἁρμονίας ὄνομα καὶ ἐπὶ τὸν λόγον τῶν μεμιγμένων, οἷον ἔν τε τοῖς κεχραμένοις, καὶ ἐν τοῖς κατὰ μουσικήν. τὸν γὰρ λόγον τῶν μιχθέντων τὸν ἡμιόλιον, ἢ τὸν ἐπίτριτον, ἤ τινα ἄλλον λέγομεν ἐκ τῶν συνθέτων κατὰ μεταφορὰν ἁρμονίαν. κατὰ [2] β′ δὲ λόγον ἡ ἁρμονία ἐπὶ τῆς συνθέσεως λέγεται, ἐπειδὴ γνωριμωτέρα ἡμῖν ἐστιν. οὔτε οὖν σύνθεσιν οὔτε μίξιν εὔλογον ποιεῖν τὴν ψυχήν. † Ἐπὶ οὖν τῶν ποιητικῶν δεῖ καὶ ποιᾶς ὕλης, ἤγουν οὐσίας. ἄλλως γὰρ χαλκὸς ἠχεῖ, καὶ ἄλλως σίδηρος, καὶ ἄλλως μόλυβδος, καὶ ξύλον. [3] διὸ καὶ τὰ ὀξύβαφα εἰώθασιν ἐκ διαφόρου κατασκευάζειν ὕλης, ἵνα τῇ διαφορᾷ τῶν ἀπηχήσεων τὴν ἁρμονίαν ἀποτελέσωσιν. ἡ γὰρ ἁρμονία πολυμιγέων ἐστὶ καὶ δίχα φρονεόντων ἕνωσις. [4] διὸ καὶ ἀδύνατον ἑνὸς ὄντος γενέσθαι ψόφον. † [5] Ἁρμονίαι δὲ λέγονται καὶ τὰ συμπηγνύμενα τῶν κραβάτων μέρη. Τῶν ἁρμονιῶν διαχασκουσῶν. τροπικῶς δὲ τὰ ποιήματα. Ἀριστοφάνης.

---

[1] Φρυάττεσθαι τοῦ οἴκου] Hoc corruptum eſſe cenſeo. Quid enim ſibi vult illud, τοῦ οἴκου. Supra v. Ἄλη, legitur φρ. τοῦ ἵππου: unde non diſplicet conjectura Porti, legendum putantis Φρυάττεσθαι τοῦ ἵππου τρόπον, i. e. equi ferocis more ſeſe jactare, & faſtum quendam præ ſe ferre.

[2] Ἐξῆρε δὲ τοῦτον πλ.——ὡς Πάρις] Hæc repetuntur infra v. Σύρφαξ.

[3] Ἁρματωλία] Eſt vox ab Ariſtophane in *Pace*, pag. 650, Comicè conficta, & præter expectationem pro ἁμαρτωλία ab eo prolata; ut multa alia apud eum.

[4] Ἁρματροχία δὲ, ἡ ἐγχ.] Vide quæ notavimus ſupra ad v. Ἁματροχία.

[5] Ἐν Ἐπιγράμματι] Anthol. lib. VI. cap. XV. Epigr. IV. ut Portus obſervavit.

[6] Ἁρμοδίου μέλος] Vide Schol. Ariſtoph. ad *Acharnenſ.* pag. 418. Item infra v. Ἐν μύρτου κλαδί; & Meurſium *Piſiſtrato*, cap. XIV.

[7] Ἐπὶ τῶν δυσκόλων] Meurſius loco laudato reſcribendum putat ἐπὶ τῶν σκολίων: ſed minus recte, ut arbitror. Supra v. Ἀδμήτου μέλος legimus, proverbium hoc dici ἐπὶ τῶν ῥᾳδίων καὶ εὐκόλων: quæ expoſitio e diametro contraria eſt illi, quam Suidas hoc loco tradit. Quare ſtatuat eruditus Lector, utra harum interpretationum præferenda ſit: quod mihi non videtur judicatu difficile.

[8] Ὁ δὲ νυκτὸς ἐπῄει τὰς εἰσόδους ἁρμ.] Locus hic corruptus eſt & mutilus, qui apud Polybium lib. VIII. cap. XX. unde eum Suidas deſcripſit, recte ſic legitur: Τὸ γὰρ πλεῖον ἐποιεῖτο τὰς εἰσόδους καὶ τὰς ἐξόδους νυκτὸς, προφάσει μὲν χρώμενος τῷ φόβῳ τῶν πολεμίων, ἁρμοζόμενος δὲ πρὸς τὴν ὑποκειμένην πρόθεσιν. Hanc lectionem in verſione ſecutus ſum.

[9] Ἁρμονίαν. τὸ εὖ καὶ ἐπισ. εἶναι τὴν νευρὰν ἐν τοῖς κρ. τῶν ᾀσμάτων] Hæc deſcripta ſunt ex Schol. Ariſtoph. ad *Equit.* pag. 347. (243. Ed. Baſ. *P.*)

[10] Ὅτι ἡ ἁρμονία ἐπιγίνεται τοῖς ἡρμ.] Hæc, & quæ ſequuntur, deſcripta ſunt ex Philopono in librum I. Ariſtot. *de Anima*; ex quo Suidas partim corrigendus & partim ſupplendus eſt.

Ἁρμονίδης. ὄνομα κύριον.

Ἁρμοσταί. [6] οἱ ἀπὸ βασιλέως στελλόμενοι εἰς ἔθνη. Οἱ δὲ Φαλίσκοι οὐδενὶ προσεῖχον τῶν ἐπιχωρίων ἁρμοστῇ, πάντας ὑφορώμενοι. Ἁρμοσταὶ οὖν, οἱ ὑπὸ Λακεδαιμονίων εἰς τὰς ὑπηκόους πόλεις στελλόμενοι ἄρχοντες.

Ἁρμόττων. δοτικῇ. συνάπτων. καὶ Ἁρμόζων, δοτικῇ.

Ἁρμοῖ που. ἀρτίως. νεωστί. οὕτω που Καλλίμαχος ἐν Ἑκάλῃ·

Ἁρμοῖ που κἀκείνῳ ἐπέτρεχεν ἁβρὸς ἴουλος.

Ἀρνακίδα. Ἀρνακὶς, τὸ τοῦ ἀρνοῦ κῴδιον, τὸ μετὰ τῶν ἐρίων δέρμα. [7] Ἀριστοφάνης Νεφέλαις·

-- Οἴμοι τίς ἂν δῆτ' ἐπιβάλοι
Ἐξ ἀρνακίδων γνώμην ἀποστερητίδα;

ἔπαιξε δὲ πρὸς τὸ ἀρνεῖσθαι, παρονομάσας ἀπὸ τῶν ἀρνῶν, καὶ τοῦ ἀρνεῖσθαι [8] τοὺς δανειστάς. τὸ δὲ ἀποστερητίδα, ἅμα μὲν, ἀπὸ τοῦ ἀποστερεῖν· ἅμα δὲ, καὶ ἀντὶ τοῦ περιβόλαιον.

Ἀρναῖος. ὄνομα κύριον.

Ἀρνευτής. κυβιστητής.

cinna diſpoſitio elementorum: infirmitas vero, partium ſimilarium; & deformitas, partium organicarum. Harmonia eſt rerum mixtarum certa quædam inter ſe proportio, vel compoſitio: idque duplici ſenſu. Nam primo quidem compoſitionem corporum eam dicimus, cum tam apte ſibi invicem juncta ſunt, ut commiſſuris eorum nec lapis, nec lignum, nec quidvis aliud cognatorum & gravium corporum inſeri poſſit. Hinc autem harmoniæ nomen transferimus & ad rerum mixtarum rationem, veluti ad ſonos Muſicos. Illorum enim mixtionem ſecundum proportionem ſeſquialteram, vel ſeſquitertiam, vel quamvis aliam, per metaphoram a rebus compoſitis ductam *harmoniam* vocamus. Prima igitur & propria ſignificatione ἁρμονία dicitur de corporum coagmentatione & compoſitione, quoniam ea nobis notior eſt. Non eſt autem probabile animam vel ex compoſitione vel ex mixtione conſtare. † Iis igitur, quæ vim efficiendi habent, opus eſt etiam aliqua materia, vel ſubſtantia. Aliter enim ſonat æs, aliter ferrum, aliter plumbum, & aliter lignum. Quare etiam acetabula ex diverſa materia confici ſolent, ut varietas ſonorum harmoniam pariat. Harmonia enim eſt ſonorum varie mixtorum & diſſimilium concentus. Quare fieri non poteſt, ut unus ſonus per ſe harmoniam efficiat. † Ἁρμονίαι etiam vocantur juncturæ, veluti grabatorum, [& ſimilium.] Ariſtophanes: *Juncturis ſolutis*. Tropice vero [Comicus] ſic vocat poemata.

Ἁρμονίδης. Harmonides. Nomen proprium.

Ἁρμοσταί. Sic vocantur, qui a Rege in provincias mittuntur. *Phaliſci vero nulli Harmoſtæ ex indigenis parere volebant. Omnes enim ſuſpectos habebant.* Ἁρμοσταὶ igitur vocabantur magiſtratus, qui a Lacedæmoniis in urbes ſibi ſubjectas mittebantur.

Ἁρμόττων, & ἁρμόζων. Dativo jungitur. Aptans.

Ἁρμοῖ που. Recens. Modo. Nuper. Sic quodam in loco Callimachus in *Hecale*. *Nuper admodum mentum ejus molli lanugine veſtitum erat*.

Ἀρνακίς. Pellis agnina cum lana. Ariſtophanes *Nubibus*: *Hei mihi! quis me docebit commentum aliquod, quo fœneratores fraudare poſſim?* Jocum captavit Comicus ex ambiguitate vocis ἀρνακίδων, alludens ſcilicet tam ad vocem ἀρνῶν, quam ἀρνεῖσθαι. Ἀποστερητίδα vero ab ἀποστερεῖν quidem dictum eſt, ſed tamen ita formatum, ut pro genere quodam pallii accipi videatur.

Ἀρναῖος. Arnæus. Nomen proprium.

Ἀρνευτής. Urinator.

---

[1] Ὅταν οὕτω παρατεθῇ —— βαρέων σωμάτων] Supple ex Philopono: ὅταν οὕτω παρατεθῇ, ὡς μηδὲν συγγενὲς αὐτῶν σῶμα δύνασθαι μεταξὺ ἐμβληθῆναι. οἷον, ὅταν οὕτως ἀκριβῶς συντεθῶσιν οἱ λίθοι, ἐξ ὧν ἡ οἰκία, ὡς μὴ δύνασθαι ἐμβληθῆναι μεταξὺ λίθον ἢ ξύλον, ἤ τι τῶν συγγενῶν καὶ βαρέων σωμάτων, ἡρμόσθαι λέγομεν τοὺς λίθους.

[2] Κατὰ β′ δὲ λόγον] Sic habent omnes Edit. ſed male. Reponendum enim eſt ex Philopono κατὰ πρῶτον δὲ λόγον: quam lectionem in verſione ſecutus ſum.

[3] Διὸ καὶ τὰ ὀξύβαφα εἰώθ.] Vide Caſaubonum ad Athen. lib. v. cap. iv.

[4] Διὸ καὶ ἀδύνατον ἑνὸς ὄντος γενέσθαι ψόφον] Legendum puto, διὸ καὶ ἀδύνατον ἑνὸς ὄντος ψόφου γενέσθαι ἁρμονίαν. Senſus ſane lectionem illam requirit.

[5] Ἁρμονίαι δὲ λέγονται καὶ τὰ συμπ.] Ex Scholiaſta Ariſtoph. ad *Equit.* pag. 319. (219. Ed. Baſ. P.)

[6] Ἁρμοσταί. οἱ ἀπὸ βασ.] Vide infra v. Ἐπίσκοπος.

[7] Ἀριστοφάνης Νεφέλαις] Pag. 168. (99. Ed. Baſ. P.) Vide etiam ſupra v. Ἀποστερητίδα.

[8] Τοὺς δανειστάς] Hæ duæ voces abſque ullo ſenſus detrimento expungi poſſunt.

Ἄρνη. πόλις Βοιωτίας.

Ἀρνίον σοι λελάληκεν. ἐν Αἰγύπτῳ, ὥς φασιν, ἀνθρωπείᾳ φωνῇ ἐλάλησεν. εὑρέθη δὲ ἔχων βασίλειον δράκοντα ὑπὲρ τῆς κεφαλῆς αὐτοῦ πτερωτὸν, ἔχοντα μῆκος πήχεων δ'. καί τινι λελάληκε τὰ μέλλοντα.

Ἄρνουφις. οὗτος Αἰγύπτιος ἦν φιλόσοφος, ὃς συνὼν Μάρκῳ τῷ βασιλεῖ Ῥωμαίων, τῷ φιλοσόφῳ, [1] δίψει ποτὲ καμνόντων τῶν Ῥωμαίων ἐξαίφνης ποιῆσαι νέφη τε [2] ἀγερθῆναι ζοφώδη καὶ ὄμβρον ἀφεῖναι λάβρον ἅμα βρονταῖς τε καὶ σέλασιν ἐπαλλήλοις. καὶ τοῦτο σοφίᾳ τινὶ ἐργάσασθαι Ἄρνουφιν. οἱ δέ φασιν Ἰουλιανὸν τὸν Χαλδαῖον τοῦτο πεποιηκέναι τὸ θαυμάσιον.

Ἀρνυμένη. [3] ἀντικαταλλάσσουσα.

Ζώειν [4] γὰρ δίχα παντὸς ὀνείδεος ἤθελ' ἑκάστη,
Ξεῖνε, τὸν ἐκ χειρῶν ἀρνυμένα βίοτον.

καὶ Ἄρνυσθαι, ἀντὶ τοῦ καταλλάσσεσθαι. ὅθεν καὶ τὸ μισθαρνεῖν, τὸ μισθὸν ἀντί τινος λαμβάνειν λέγεται. λαμβάνεται δὲ ἀντὶ τοῦ περιποιούμενος καὶ ἀντὶ τοῦ φυλάττων. οὕτω Πλάτων.

Ἄρομα. τὸ ἀροτρίασμα. ἄρωμα δὲ διὰ τοῦ ω μεγάλου, τὸ μυρεψικόν. καὶ ἀρόσιμον [5] κλίμα, τὸ ἀροτριούμενον.

Ἀρουραία μάντις. ἐπὶ τῶν νωθρῶν καὶ ἀπράκτων. ἔστι δὲ ἀκρὶς δυσκίνητος, χλωρὰ, καλουμένη μάντις, ἧς τινες προσέχοντες ταῖς κινήσεσι μαντεύονται. † [6] Ὅτι ἡ ἄρουρα πόδας ἔχει ν'.

Ἀροῦσιν. ἐπαροῦσιν. ὑψώσουσιν.

Ἆρον. Ἆρες δέ.

Ἀρωγή. ἡ βοήθεια. καὶ Ἀρωγὸς, βοηθὸς, ὠφέλιμος.

Ἀῤῥωδία. ὁ φόβος. Ἡρόδοτος· Ἀῤῥωδία ἦν τὸ πεῖθον.

Ἄῤῥωλος. ὄνομα πόλεως.

Αρωμα. θυμίαμα. [7] εὐώδιαμα μυρεψικόν. Ἀρόματα οὖν οὐ τὰ θυμιάματα οἱ Ἀττικοὶ καλοῦσιν, ἀλλὰ τὰ ἐσπαρμένα.

Ἀῤῥώστημα [8] νοσήματος διαφέρει. Ἀῤῥώστημα μὲν γάρ ἐστι νόσημα μετὰ ἀσθενείας. τὸ δὲ νόσημα, οἴησις σφοδρὰ δοκοῦντος αἱρετοῦ. καὶ ὡς ἐπὶ σώματος εὐεμπτωσίαι τινὲς λέγονται, οἷον κατάῤῥους, διάῤῥοια· οὕτω

Ἄρνη. Urbs Bœotiæ.

Ἀρνίον σοι λελ. *Agnus tibi locutus eſt.* In Ægypto (ut aiunt) agnus humana voce locutus eſt: ſupra cujus caput inventus eſt regius draco alatus, quatuor cubitorum longitudinem habens; [cujus inſpiratione] futura cuidam prædixit.

Ἄρνουφις. Arnuphis. Hic Ægyptius fuit Philoſophus: qui, cum Romani aliquando ſiti laborarent, præſente Marco Philoſopho, Romanorum Imperatore, effeciſſe dicitur, ut atræ nubes ſubito coactæ ingentem imbrem cum crebris tonitribus & fulguribus effunderent; idque arte quadam Arnuphin effeciſſe. Alii vero dicunt, Julianum hoc miraculum edidiſſe.

Ἀρνυμένη. Permutans. Recipiens. [In Epigrammate:] *Abſque probro enim unaquæque earum vitam agere inſtituerat, manibus victum ſibi quærens.* Et Ἄρνυσθαι, aliquam rem pro altera recipere. Unde & μισθαρνεῖν ſignificat mercedem pro aliqua re recipere. Accipitur etiam ἀρνύμενος pro eo, qui ſibi aliquid acquirit & cuſtodit. Sic Plato.

Ἄρομα. Aratio. Ἄρωμα vero, per ω magnum, aroma, ſpecies myrepſica. Et ἀρόσιμον κλίμα, tractus terræ, qui aratur.

Ἀρουραία μάντις. *Ruralis Mantis.* Dicitur de ſegnibus & ignavis. Eſt autem *Mantis* locuſta viridis, & admodum tarda, cujus motionibus quidam obſervatis futura prædicunt. † Ἄρουρα eſt terræ menſura pedes habens L.

Ἀροῦσιν. Tollent. Extollent.

Ἆρον. Tolle. Ἆρες vero, Mars.

Ἀρωγή. Auxilium. Et Ἀρωγός. Auxiliator. Utilis.

Ἀῤῥωδία. Metus. Herodotus: *Quod ipſos ad hoc faciendum impulit, fuit metus.*

Ἄῤῥωλος. Arrholus. Nomen urbis.

Ἄρωμα. Aroma. Species myrepſica, ex herbis odoratis compoſita. Ἀρόματα vero, per ο, ab Atticis non appellantur ſpecies odoratæ, ſed loca arata & culta.

Ἀῤῥώστημα. Differt a νόσημα. Nam ἀῤῥώστημα eſt morbus cum imbecillitate. Νόσημα vero opinatio vehemens de re, quæ expetenda videtur. Ut autem quidam ſunt corpoκἀπὶ τῆς ψυχῆς εἰσὶ [1] καταφορίαι· οἷον φθονερία, [2] ἐλεημοσύνη, καὶ τὰ παραπλήσια.

---

[1] Δίψει ποτὲ καμνόντων τῶν Ῥωμαίων ἐξαίφνης ποιῆσαι νέφη τε ἀγ.] De celebrata hac hiſtoria vide quæ collegit Scaliger ad Euſebium Num. MMLXXXIX.

[2] Ἀγερθῆναι] Priores Edit. hic habent ἐγερθῆναι. Sed apud ipſum Suidam infra v. Ἰουλιανὸς, ubi locus hic repetitur, recte ſcriptum eſt ἀγερθῆναι.

[3] Ἀρνυμένη] Vide de hac voce Etymologum.

[4] Ζώειν γὰρ δίχα παντὸς ὀνείδ.] Diſtichum hoc decerptum eſt ex Epigrammate Antipatri, quod legitur Anthol. lib. VI. cap. VIII. pag. 558.

[5] Κλίμα] Priores Edit. male habent κλῆμα, cujus loco κλίμα ex MSS. Pariſ. repoſui.

[6] Ὅτι ἡ ἄρουρα πόδας ἔχει ν'] Sic recte ſcriptum eſt in MSS. Pariſ. & Edit. Med. itemque infra v. Σπίδιον. In prioribus Edit. vero, quæ Mediolanenſem ſecutæ ſunt, male legitur, ὅτι ἡ ἄρουρα πόδας ἔχειν: quod Portus nullo ſenſu verterat, *Rus pedes habere dicitur.* Non animadvertebat enim, literam ν in voce ἔχειν a præcedentibus ſejungendam & ſeparatim legendam eſſe, quoniam numerum L. hic notat, ut ex ſenſu manifeſtum eſt. Schottus in Collectione proverbiorum ex Suida excerptorum gravius errat quam Portus, quoniam verba illa, ὅτι ἡ ἄρουρα πόδας ἔχειν, cum præcedentibus conjungens, literamque ν in voce ἔχειν tanquam ſupervacaneam expungens, locum hunc ſic legit: ἧς τινες προσέχοντες ταῖς κινήσεσι μαντεύονται, ὅτι ἡ ἄρουρα πόδας ἔχει. i. e. ipſo interprete: *Cujus motionibus quidam obſervatis divinant rus pedes habere.* Sed miror viro tam docto tales nugas placere potuiſſe, quoniam lectio iſta ridiculum vel nullum potius ſenſum habet.

[7] Εὐώδιαμα] Hanc vocem tanquam ſpuriam delendam cenſeo, quoniam a MSS. Pariſ. abeſt: quamvis eam præcedentes Edit. omnes habeant.

[8] Ἀῤῥώστημα νοσήματος διαφ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Laertii lib. VII. Segm. CXV. ut Pearſonius obſervavit.

Ἀῤῥωστία. ἡ ἀσθένεια. Ἀῤῥωστία δὲ τοῦ στρατεύειν, ἀντὶ τοῦ ἀπροθυμία. Θουκυδίδης.

Ἁρπαλέος. ὁ ἐπιθυμητικός. καὶ [3] Ἁρπάλεια χρήματα.

Ἁρπάληξ. ὄνομα κύριον.

Ἁρπαστὸν [4] καὶ σφαῖρα εἶδος παιδιᾶς.

Ἁρπεδόνες. τὰ σχοινία. Ἁρπεδόνη, ἡ διὰ σπάρτου θήρα. ἐν [5] Ἐπιγράμματι· Καὶ πολλοὺς ὀϊστοὺς τόξου πορφυρέης ἧκεν ἀφ' ἁρπεδόνης.

Ἁρπεδόσι. τοῖς ἱστοῖς.

Καλύπτειραν [6] δὲ προσώπου,
Ἔργον ἀραχναίοις νήμασιν ἰσόμορον.

καὶ αὖθις·

— Τὸ δὲ [7] προκάλυμμα προσώπου
Τευχθὲν ἀραχναίης εἴκελον ἁρπεδόσιν.

Ἅρπη. τὸ δρέπανον. καὶ κλίνεται ἅρπης. Ἅρπις δὲ διὰ τοῦ ι, τὸ ὑπόδημα· καὶ κλίνεται ἅρπιδος. καὶ Ἁρπηφόρος, ὁ δρεπανοφόρος. καὶ ἁρπήνη.

Ἁρπιώουσα. ὄνομα νήσου.

Ἅρπεζον. τὸ ἐκ χαλίκων ᾠκοδομημένον τειχίον ἄνευ πηλοῦ παρὰ Ἡροδότῳ· ὃ τινες ἅρπαζον καλοῦσιν.

Ἁρπίς. ἁρπῖδος.

Ἅρπυιαι. ἁρπακτικαὶ δαίμονες.

Ἁρποκρᾶς. [8] οὗτος συνήθης ἦν Ἀμμωνίῳ, ἀνὴρ Αἰγύπτιος, ἐπὶ Ζήνωνος τοῦ βασιλέως· ὃν ἀκούσας ὁ Νικομήδης τὰ ἀμφὶ τὸν Ἀμμώνιον ἐπίστασθαι, συλλαβεῖν ἠπείγετο. ὁ δὲ τὰ μέλλοντα ἀπ' ἀρχῆς εἰκάσας, ἢ καὶ προπυθόμενος, εὐθὺς ἀφανὴς ἐγεγόνει.

Ἁρποκρατίων, [9] Ἀργεῖος, Πλατωνικὸς φιλόσοφος, συμβιωτὴς Καίσαρος. Ἔγραψεν ὑπόμνημα εἰς Πλάτωνα ἐν βιβλίοις κδ'. Λέξεις Πλάτωνος, ἐν βιβλίοις δυσίν.

Ἁρποκρατίων, ὁ Γάϊος χρηματίσας, σοφιστής. Ἔγραψε περὶ τῶν Ἀντιφῶντος σχημάτων. Περὶ τῶν Ὑπερίδου καὶ Λυσίου λόγων. καὶ ἕτερα.

Ἁρποκρατίων, ὁ Αἴλιος χρηματίσας, σοφιστής. Ἔγραψε περὶ τῶν δοκούντων τοῖς ῥήτορσιν ἠγνοῆσθαι·

rum morbi, in quos facile incidere ſolemus: ſic etiam quidam ſunt affectus, in quos animus proclivis eſt, veluti invidia, miſericordia, & ſimilia.

Ἀῤῥωστία. Infirmitas. Apud Thucydidem vero ἀῤῥωστία τοῦ στρατεύειν dicitur de eo, qui animo minus alacri ad militiam proficiſcitur.

Ἁρπαλέος. Rapax. Et Ἁρπάλεια χρήματα. Pecunia Harpali.

Ἁρπάληξ. Harpalex. Nomen proprium.

Ἁρπαστὸν καὶ σφ. Harpaſtum & pila ſunt genera luſus.

Ἁρπεδόνες. Funiculi. Et Ἁρπεδόνη, venatio, quæ funiculo fit. In Epigrammate: *Et multas ſagittas a purpureo arcus nervo miſit.*

Ἁρπεδόσι. Telis. [In Epigrammate:] *Velumque vultus, quod ſubtilitate vel cum aranearum telis certare poſſit.*

Et iterum:

Hoc velum vultus, aranearum telis ſimile.

Ἅρπη. Falx. Declinatur ἅρπης. Ἅρπις vero per ι, calceus: & declinatur ἅρπιδος. Et Ἁρπηφόρος, falcifer. Et ἁρπιώνη, ſeptum, quo clauduntur pecora.

Ἁρπήνουσα. Harpenuſa. Nomen inſulæ.

Ἅρπεζον. Apud Herodotum ſic vocatur murus ex ſilicibus & lapillis ſine luto conſtructus: quem quidam ἅρπαζον vocant.

Ἁρπίς. Calceamenti genus.

Ἅρπυιαι. Rapaces quædam Dæmones. Harpyæ.

Ἁρποκρᾶς. Harpocras. Hic Ammonio familiaris fuit, homo Ægyptius, qui ſub Zenone Imperatore vixit. Hunc cum Nicomedes audiviſſet noſſe ea, quæ ad vitam & doctrinam Ammonii ſpectant, comprehendere eum ſtuduit. Ille vero ab initio quæ eventura erant conjiciens, vel etiam præmonitus, ſubito e conſpectu evanuit.

Ἁρποκρατίων. Harpocration, Argivus, Platonicus Philoſophus, Cæſaris familiaris. Scripſit commentariorum in Platonem libros XXIV. Dictionum Platonicarum libros duos.

Ἁρποκρατίων. Harpocration, Cajus dictus, Sophiſta. Scripſit de Antiphontis figuris. De Hyperidis & Lyſiæ orationibus: & alia.

Ἁρποκρατίων. Harpocration, Ælius dictus, Sophiſta. Scripſit de illis, quæ Oratores igκαὶ ὑποθέσεις τῶν λόγων Ὑπερείδου. Περὶ τοῦ κατεψεῦσθαι τὴν Ἡροδότου ἱστορίαν. Περὶ τῶν παρὰ Ξενοφῶντι τάξεων. Περὶ τέχνης ῥητορικῆς. Περὶ ἰδεῶν.

---

[1] Καταφορίαι] Reſcribe ex Laertio εὐκαταφορίαι.

[2] Ἐλεημοσύνη] Apud Laertium ſcriptum eſt ἀνελεημοσύνη: quam lectionem prætulerim, quamvis Menagius alteram malit.

[3] Ἁρπάλεια χρήματα] Vide Plutarchum in *Demoſthene* pag. 857.

[4] Ἁρπαστὸν καὶ σφαῖρα εἶδος παιδιᾶς] Duo hæc luſus genera conjungit Artemidorus *Oneirocrit.* lib. I. cap. LVII. ad quem locum Suidam reſpexiſſe non dubito.

[5] Ἐν Ἐπιγράμματι· Καὶ πολλοὺς ὀϊστοὺς τ.] Anthol. lib. VII. pag. 586. locus hic recte ſic legitur:

Καὶ πολλοὺς τότε χερσὶν ἐπ' ἠϊθέοισιν ὀϊστοὺς
Τόξου πορφυρέης ἧκεν ἀφ' ἁρπεδόνης.

Lege ibi integrum Epigramma, & ſenſum hujus loci facile inde perſpicies.

[6] Καλύπτειραν δὲ προσώπου, ἔργον ἀραχν.] Verba hæc decerpta ſunt ex Epigrammate Antipatri Sidonii in fœminas, quæ mundum ſuum Veneri dedicant. Epigramma illud, nondum a quoquam, quod ſciam, editum, ex Cod. MS. integrum exhibemus alibi.

[7] Τὸ δὲ προκάλυμμα προσώπου τευχθ.] Et hæc verba deprompta ſunt ex Epigrammate quodam inedito, quod alibi cum Lectore communicamus. Cæterum, locum hunc ex Cod. MS. Epigrammatum ineditorum ſupplevimus, quem Editiones præcedentes mutilum ſic exhibent: Τὸ δὲ προτευχθὲν ἀραχναίης &c.

[8] Ἁρποκρᾶς. οὗτος συνήθης ἦν Ἀμμωνίῳ, ἀνὴρ Αἰγ.] Hæc, & quæ ſequuntur, ex Damaſcio deſcripta eſſe recte conjecit Pearſonius. Confer cum his quæ leguntur infra v. Ὡραπόλλων.

[9] Ἁρποκρατίων] De Harpocrationibus vide quæ diſputat doctiſſimus Mauſſacus in erudita Diſſertatione Critica, quæ Lexico Harpocrationis ſubjuncta eſt.

Ἁρποκρατίων, ὁ Βαλέριος χρηματίσας, ῥήτωρ, Ἀλεξανδρεύς. Λέξεις τῶν ι´ ῥητόρων. Ἀνθηρῶν συναγωγήν.

Ἀρσάκης, Πάρθων βασιλεύς· ὃς δόρατι πληγεὶς ἐν τῇ μάχῃ κατὰ τὴν πλευρὰν, ἀποθνήσκει· ἀνὴρ γενόμενος τό, τε σῶμα κάλλιστος καὶ περιβλεπτότατος, καὶ τὴν ψυχὴν βασιλικώτατος, καὶ τοῖς ἐς πόλεμον ἔργοις δαιμονέστατος, καὶ ἐς μὲν τὸ ὑπήκοον πρᾳότατος, εἰς καθαίρεσιν δὲ τοῦ ἀνθισταμένου ἐρρωμενέστατος. καὶ τοῦτον Παρθυαῖοί τε ἐς τὰ μάλιστα ἐπόθησαν. καὶ Ἀρσακίδαι, οἱ Περσῶν βασιλεῖς. Ἀρσάκης ὁ Παρθυαῖος, τοὺς Μακεδόνας κρατήσαντας τῆς Περσῶν ἀρχῆς ἔτη διακόσια ἐννενήκοντα τρία, ἐκβαλὼν, Πάρθοις τὴν βασιλείαν παραδέδωκεν. ἔνθεν Ἀρσακίδαι ἐκλήθησαν οἱ Περσῶν βασιλεῖς.

Ἄρσενι[1] βοᾷ δοκίμῳ. τῇ θαυμαστῇ φωνῇ, καὶ δεδοκιμασμένῃ.

Ἄρσεων. βασταγμάτων. φορτίων.

Ἀρσινόη. ὄνομα κύριον.

Ἀρτᾷ. ἐπικρέμαται.

Ἀρτάβη.[2] μέτρον Μηδικὸν σίτου. Ἀττικὸς μέδιμνος.

Ἄρταμος.[3] ὁ μάγειρος. παρὰ τὸ διαρτάσαι, ὅ ἐστι μερίσαι, ἢ συναρμόσαι.

Ἀρτασήρας. ὄνομα κύριον.

Ἀρταφέρνης. ἡγεμὼν Περσῶν. ἔστιν ἐν τῷ Ἀπεκορύφου, καὶ ἐν τῷ Δάτης.

Ἀρτάρια.[4] παρ' ἡμῖν οἱ τῶν ποδῶν πῖλοι.

Ἀρτεμής. ὁλόκληρος. σῶος. ὑγιής. Ἄρτεμις δὲ, ἡ θεός.

Ἀρτεμίδωρος,[5] Δαλδιανός· πόλις δὲ ἐστι Λυδίας ἡ Δάλδις. φιλόσοφος. ἔγραψεν Ὀνειροκριτικὰ[6] ἐν βιβλίοις τέσσαρσιν. Οἰωνοσκοπικὰ, καὶ Χειροσκοπικά.

Ἀρτεμίδωρος,[7] ὁ[8] Ψευδαριστοφάνειος, ὁ[9] ὀψαρτυτικὰς λέξεις συναγαγών.

noraſſe videntur. Argumenta orationum Hyperidis. Item, ementitam eſſe Herodoti hiſtoriam. De ordinibus militaribus apud Xenophontem. De arte Rhetorica. De Ideis.

Ἁρποκρατίων. Harpocration, Valerius dictus, Rhetor, Alexandrinus. Scripſit Lexicon x Oratorum. Floridorum Collectanea.

Ἀρσάκης. Arſaces, Parthorum Rex, in prælio ex vulnere, quod ictu haſtæ lateri ejus infligebatur, obiit: vir & corporis ſpecie maxime conſpicuus, & animo vere regio præditus, rerumque bellicarum peritiſſimus; idemque erga ſubditos clementiſſimus, & ad evertendos adverſarios ſingulari animi robore inſtructus. Hunc Parthi maxime deſiderarunt. Et Arſacidæ dicti ſunt Perſarum Reges. Arſaces Parthus ademptum Macedonibus imperium, quod per annos CCXCIII tenuerant, ad Parthos tranſtulit. Hinc Parthorum Reges vocati ſunt Arſacidæ.

Ἄρσενι βοᾷ δοκ. Voce maſcula, forti, & probata.

Ἄρσεων. Onerum, quæ tolluntur & geſtantur.

Ἀρσινόη. Arſinoe. Nomen proprium.

Ἀρτᾷ. Appendit. Suſpendit.

Ἀρτάβη. Artabe. Menſura frumenti Medica. Atticus medimnus.

Ἄρταμος. Coquus. Dictus a verbo διαρτάσαι, quod ſignificat dividere, vel apte diſponere.

Ἀρτασήρας. Artaſeras. Nomen proprium.

Ἀρταφέρνης. Artaphernes. Perſarum dux. Vide in v. Ἀπεκορύφου & Δάτης.

Ἀρτάρια. Apud nos pedum udones ita vocantur.

Ἀρτεμής. Integer. Incolumis. Sanus. Salvus. Ἄρτεμις vero, Diana.

Ἀρτεμίδωρος. Artemidorus, Daldianus (Daldis autem eſt urbs Lydiæ) Philoſophus. Scripſit de ſomniorum interpretatione libros quatuor. Item, de auguriis, & divinatione quæ fit per manuum inſpectionem.

Ἀρτεμίδωρος. Artemidorus, Pſeudoariſtophanius, vocabula opſartytica collegit.

---

[1] Ἄρσενι βοᾷ δοκίμῳ] Hæc ſunt verba Ariſtophanis *Theſmophor.* pag. 772. (515. Ed. Baſ. P.) Notandum hic eſt, τὸ ἄρσεν apud Græcos interdum ſignificare *vehemens* vel *validum*. Sic Sophocles *Philoct.* pag. ult. κτύπον πόντου vocat ἄρσενα. Ubi Scholiaſta: Κτύπος ἄρσην. ἰσχυρὸς, ἔντονος.

[2] Ἀρτάβη. μέτρον Μηδ.] Vide Enarratorem Comici ad *Acharnenſ.* pag. 375. & 376. itemque infra v. Ἀχάνη.

[3] Ἄρταμος. ὁ μάγειρος. παρὰ τὸ διαρτ.] Eadem habet Etymologus: quem vide.

[4] Ἀρτάρια] Vide de hac voce Salmaſium ad Æl. Lampr. *Alex. Sever.*

[5] Ἀρτεμίδωρος, Δαλδ.] De eo vide Rigaltium initio notarum in Artemid. *Oneirocr.*

[6] Ἐν βιβλίοις τέσσαρσιν] Recte Suidas quatuor tantum libros Ὀνειροκριτικῶν Artemidori agnoſcit: nec hodie plures exſtant, ſi rem bene putemus. Quatuor enim libris Ὀνειροκριτικὰ & ὀνείρων κρίσεις continentur: ſed iis ſubjunctæ ſunt ὀνείρων ἀποβάσεις, qui liber hodie quintus Oneirocriticorum perperam inſcribitur. Nam & argumentum diverſum eſt, & liber iſte ab Artemidoro cum quatuor Oneirocriticis non fuit editus, ſed aliquanto poſt, ut ipſe in præfatione ad filium teſtatur.

[7] Ἀρτεμίδωρος, ὁ Ψευδαρ.] Vide de eo Meurſium in *Bibliotheca Græca*, qui & de aliis Artemidoris ibi agit, & loca auctorum, in quibus eorum mentio fit, annotat. Sed pauca quædam in adverſariis meis reperio loca, ab eo prætermiſſa, quæ hic addam. Artemidorum Epheſium, qui Γεωγραφούμενα conſcripſit, laudat etiam Porphyrius in libello *de Antro Nympharum*, cujus verba adducam. Οἱ δὲ τὰς Γεωγραφίας ἀναγράψαντες ὡς ἄριστα καὶ ἀκριβέστατα, καὶ ὁ Ἐφέσιος Ἀρτεμίδωρος ἐν τῷ πέμπτῳ τῶν εἰς ἕνδεκα συντεταγμένης αὐτῷ πραγματείας. Ex hoc loco diſcimus, opus illud Geographicum Artemidori undecim libris conſtitiſſe. Eundem laudat Schol. Apoll. Rh. ad lib. IV. v. 259. nec alius eſt is, quem idem Enarrator citat ad lib. II. v. 948. Artemidorum quendam laudat Enarrator Comici ad *Veſpas*, pag. 513. ubi ſic ait: Τὰς ἐξοχὰς τῶν κρεῶν εἰκάζει χόλικι. τοῦτο δὲ Ἀρτεμίδωρος λέγει τὰς ἐπὶ τῆς κοιλίας λεγομένας χολάδας. Hunc Artemidorum eum eſſe exiſtimo, de quo hoc ipſo loco Suidas agit; quoniam ad *Opſartytica* pertinere videntur, quæ Scholiaſta ex eo adducit. Idem Enarrator Artemidori cujuſdam mentionem facit ad *Veſpas* pag. 519. his verbis: Ἀπολλώνιος δὲ ὁ Χαιρίδης, ὡς Ἀρτεμίδωρός φησι περὶ μὲν τῆς Κλειταγόρας τῆς ποιητρίας, ὅτι εὐδρωνύμενον ἀναγέγραφε Κλειταγόραν. Hic Artemidorus diverſus eſſe videtur ab omnibus iis, quos Meurſius in *Bibliotheca Græca* recenſet. Denique Artemidori cujuſdam Συναγωγὴν laudat idem Enarrator Comici ad *Veſpas* pag. 514. ubi de obſcœna voce σαλακωνεύεται agit.

[8] Ψευδαριστοφάνειος] Priores Edit. male habent Ψευδαριστόφανος. Sed infra v. Τιμαχίδας recte legitur Ψευδαριστοφάνειος, ut & hic excudendum curavimus.

[9] Ὀψαρτυτικὰς λέξεις] Hujus operis aliquoties mentionem facit Athenæus.

Ἀρτέμιος,[1] ὁ καὶ Ἀναστάσιος, βασιλεὺς Ῥωμαίων, αἰσθόμενος στόλον Σαρακηνῶν ἔρχεσθαι κατὰ τῆς πόλεως, Ἰωάννην ἐφίστησιν ἡγεμόνα τοῦ πολέμου, Διάκονον τῆς μεγάλης Ἐκκλησίας, καὶ λογιστὴν τῶν φόρων, ὃν Γενικὸν καλοῦσιν· ὃς περὶ τῇ Ῥόδῳ γενόμενος, καταστασιασθεὶς ὑπὸ τοῦ πλήθους, ἀναιρεῖται.

Ἄρτεμις[2] Λαφρία. ἡ Θεός.

Ἀρτεμισία. αὕτη ἠρίστευσε[3] κατὰ Περσῶν· δι᾽[4] ἣν εἶπεν ὁ βασιλεύς, ὡς οἱ ἄνδρες γυναῖκες γεγόνασιν, αἱ δὲ γυναῖκες, ἄνδρες. Ἀρτεμισίαι δὲ δύο γεγόνασι, Καρικαὶ γένος, καὶ βασιλίδες ἀμφότεραι. ὧν ἡ μὲν πρώτη γέγονε[5] κατὰ Περσίδα· ἡ δὲ νεωτέρα, ἧς καὶ Δημοσθένης ἐν τῇ περὶ τῆς Ῥοδίων ἐλευθερίας μνημονεύει, θυγάτηρ μὲν ἦν Ἑκατόμνω, γυνὴ δὲ καὶ ἀδελφὴ Μαυσώλου.

Ἀρτεμίσιος. παρὰ Μακεδόσιν ὁ Μάϊος. καὶ Ἀρτεμίσιον[6] ἰδίως μὲν Ὑπερείδης πολλάκις ὠνόμασε, τὸ τῆς Ἀρτέμιδος ἄγαλμα. λέγεται δὲ καὶ ἀκρωτήριον τῆς Εὐβοίας, οὗ Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος μνημονεύει.

Ἀρτήρ. ὑποδήματος γένος. Φερεκράτης Γραυσίν.

Ἀρτησάμενος. κρεμάσας. καὶ Ἀρτῆσαι, ὁμοίως. Ἀρτίσαι δέ, τὸ τελειῶσαι, καὶ ἀπαρτίσαι, διὰ τοῦ ι.

Ἄρτι. τὸ μέρος τοῦ παρεληλυθότος, συνάπτον τῷ νῦν· ἐναντίως ἔχον τῷ αὐτίκα. τοῦτο γὰρ κατὰ τὸ μέλλον συνάπτει τῷ νῦν.[7] Ἀριστοφάνης Νεφέλαις· Ἀνήρετ᾽ ἄρτι. ἀντὶ τοῦ, ἐξ ὑπογύου· ἵνα αὐτοσχεδιάζειν δοκῶσι, καὶ πάντα ἐξ ὑπογύου λέγειν.

Ἄρτι[8] τοῦ ἀρτίως διαφέρει παρὰ τοῖς Ἀττικοῖς. ἄρτι μέν, ἀντὶ τοῦ νῦν· ἀρτίως δέ, ἀντὶ τοῦ πρὸ ὀλίγου.

Ἐκεῖνον[9] εἰπέ, ὃν ἀρτίως εἰσήγαγες.

ὁ Στρεψιάδης φησὶ πρὸς Σωκράτην. καὶ ἀντὶ τοῦ νῦν τὸ ἀρτίως. Ἔτι περαιουμένοις καὶ ἀρτίως ἀποβαίνουσιν ἐπιτίθεσθαι. Κρίτων ἐν Γετικοῖς.

Ἄρτια. ἡρμοσμένα. τέλεια. ὑγιῆ. λέγεται δὲ ταῦτα καὶ ἄρμενα. καὶ Ἀρτιάζειν, τὸ παίζειν ἄρτια, ἢ περιττά.[10] Στατῆρσι δ᾽ ἀρτιάζομεν. Ἀριστοφάνης. καὶ Ἀρτιάκις. Ἄρτιος ἀριθμὸς ὁ λβʹ. ἀρτιοπέριττος δέ, ὁ διχοτομούμενος εὐθέως εἰς περιττὸν ἀριθμόν. οἷον ὁ τῶν ιδʹ. τούτου γὰρ τὸ ἥμισυ ἑπτά.

Ἀρτέμιος. Artemius, qui & Anaſtaſius, Romanorum Imperator, cum intellexiſſet Saracenorum claſſem ad Urbem oppugnandam venire, Johannem, Magnæ Eccleſiæ Diaconum, & tributorum præfectum, quem [Logothetam] Generalem vocant, bello huic præfecit. Is cum ad Rhodum appuliſſet, a populo, orta ſeditione, occiſus eſt.

Ἄρτεμις Λαφρία. Diana Laphria.

Ἀρτεμισία. Artemiſia. Hæc fortiſſime ſe geſſit in bello Perſico: cujus gratia [Perſarum] Rex dixit, viros evaſiſſe mulieres; mulieres autem viros. Fuerunt vero Artemiſiæ duæ, ambæ Caria oriundæ, eædemque reginæ. Harum prior tempore belli Perſici vixit. Junior vero, cujus & Demoſthenes in oratione de Rhodiorum libertate meminit, filia fuit Hecatomni, uxor vero & ſoror Mauſoli.

Ἀρτεμίσιος. Artemiſius. Apud Macedones ita vocatur menſis Majus. Ἀρτεμίσιον peculiari ſenſu Hyperides vocat Dianæ ſimulachrum. Sic vero etiam vocatur quoddam Eubœæ promontorium, cujus Demoſthenes in oratione pro Cteſiphonte meminit.

Ἀρτήρ. Calceamenti genus. Pherecrates *Vetulis*.

Ἀρτησάμενος. Qui ſuſpendit. Et Ἀρτῆσαι ſuſpendere. Ἀρτίσαι vero, & ἀπαρτίσαι, abſolvere, perficere, per ι.

Ἄρτι. Modo. Paulo ante. Eſt pars temporis præteriti, quæ [rem vel actionem] cum tempore præſenti conjungit; eſtque contraria voci αὐτίκα, quippe quæ tempus futurum cum præſenti conjungit. Ariſtophanes *Nubibus*: *Modo interrogavit*. Sive, paulo ante. [Ideo autem hoc dicit,] ut ex tempore nec ante præparati dicere omnia viderentur.

Ἄρτι. Apud Atticos ἄρτι differt ab ἀρτίως. Nam ἄρτι ſignificat *nunc*: ἀρτίως vero, *paulo ante*. [Ariſtophanes:] *Dic mihi an filius, quem paulo ante in Scholam introduxiſti,* [*aliquid in literis profecerit*.] Sic Strepſiades ad Socratem inquit. Aliquando tamen ἀρτίως etiam *nunc* ſignificat. *Adhuc fluvium trajicientes, & hoc ipſo tempore ex navibus egrediētes aggredi oportet*. Sic Criton in Geticis.

Ἄρτια. Apta. Integra Perfecta. Sana. Idem etiam ἄρμενα ſignificat. Et Ἀρτιάζειν, ludere par, impar. *Stateribus par impar ludimus*. Ariſtophanes. Et ἀρτιάκις, ſecundum numerum parem. Numerus XXXII eſt par. Ἀρτιοπέριττος vero dicitur numerus, qui ſtatim in numerum imparem dividitur: ut numerus XIV. Hujus enim ſemiſſis ſunt VII.

---

[1] Ἀρτέμιος. ὁ καὶ Ἀναστάσιος, βασιλ. Ῥωμ.] Hæc, & quæ ſequuntur, leguntur etiam infra v. Γενικός.

[2] Ἄρτεμις Λαφρία] Vide Pauſaniam in *Achaicis*, qui de Diana Laphria lectu digna habet.

[3] Κατὰ Περσῶν] Scribendum potius eſt κατὰ Ἑλλήνων, vel ὑπὲρ Περσῶν. Artemiſia enim non contra Perſas, ſed pro Perſis contra Græcos pugnavit, ut vel ex Herodoti *Urania* conſtat.

[4] Δι᾽ ἣν εἶπεν ὁ βασιλεύς, ὡς οἱ ἄνδρ.] Idem apophthegma Xerxis refert Herodotus lib. VIII. pag. 310. & ex eo Euſtath. ad Il. Η. pag. 668.

[5] Κατὰ Περσίδα] Sic habent MSS. Pariſ. & Editio Mediolanenſis. In cæteris vero Edit. & apud Harpocrationem, ex quo Suidas locum hunc deſcripſit, legitur κατὰ τὰ Περσικά, i. e. *tempore belli Perſici*: quam lectionem prætulerim.

[6] Ἀρτεμίσιον ἰδίως μὲν Ὑπερ.] Ex Harpocratione.

[7] Ἀριστοφάνης Νεφελ.] Pag. 131. (67. Ed. Baſ. *P.*)

[8] Ἄρτι τοῦ ἀρτίως διαφέρει. ἄρτι μὲν ἀντὶ τοῦ νῦν. ἀρτίως δέ, ἀντὶ τοῦ πρὸ ὀλ.] Hæc ſunt verba Scholiaſtæ Ariſtoph. ad *Nubes*, pag. 188.

[9] Ἐκεῖνον εἰπέ, ὃν ἀρτ.] Senſus loci hujus eſt mutilus & imperfectus, quem in verſione ex Ariſtophane ſupplevimus.

[10] Στατῆρσι δ᾽ ἀρτιάζομεν] Hæc ſunt verba Ariſtoph. *Pluto* pag. 82. (41. Ed. Baſ. *P.*)

Ἀρτιμαθεῖ. ἀρτιμαθεῖ.

Ἀργύρεόν [1] σοι τόνδε γενέθλιον εἰς τεὸν ἦμαρ
Πέμπω, ἀρτιμαθεῖ σύμπνοον ἐργασίῃ.

Ἀρτίδιον. μικρὸς ἄρτος. Ὁ δὲ τινὰ τῶν βασιλικῶν παίδων αἰτήσαντα ἀρτίδιον κατεχρήσατο.

Ἀρτιεπής. ἀπηρτισμένος ἐν τῷ λέγειν. οὐκ ἐν ἐπαίνῳ τὸ ἀρτιεπὴς, κατὰ τὸ ἐναντίον τοῦ ἁμαρτάνειν· ἀλλ' ὁ λάλος καὶ ἀπηρτισμένος τῷ λόγῳ.

Ἀρτιζόμενοι. Οἱ δὲ ἀρτιζόμενοι διεῖλον τὴν δύναμιν. † Ὁ δὲ πανοῦργος ὢν, καὶ πρὸς τὸ τῆς τύχης ἄδηλον ἀρτισάμενος.

Ἀρτιθαλῆ. νεόφυτα.

Ἀρτικροτεῖσθαι.[2] συμφωνεῖσθαι. Ἀρτικροτοῦνθ' οἱ γάμοι· φησὶ Μένανδρος.

Ἄρτι [3] μῦς πίττης γεύεται. ἐπὶ τῶν ὀψὲ εἰς αἴσθησιν ἐρχομένων ἐν οἷς εἰσιν.

Ἄρτιος. καὶ Ἄρτιοι, τέλειοι, ὑγιεῖς. Ὑπὸ νόσου ποδάγρας οὔτε αἱ χεῖρες, οὔτε οἱ πόδες ἄρτιοι ἐτύγχανον οὖσαι.

Ἀρτίως. τελείως. ὑγιῶς. οὐ μόνον ἄρτι, τὸ πρὸ ὀλίγου. Φερεκράτης Μυρμηκανθρώποις·

Ξένη γυνὴ γραῦς ἀρτίως ἀφιγμένη.

καὶ ἀντὶ [4] τοῦ γνησίου·

Τοιοῦδ' [5] ἀποβλαφθεῖσαν ἀρτίως φίλου.

Ἀρτίπους. ὑγιεῖς τοὺς πόδας ἔχων.

Ἀρτίστομος. ὁ σαφής. καὶ ὁ ἤδη φθεγγόμενος. οὕτω Διονύσιος· Ὁ δὲ ἦν κάτοινος ἤδη, καὶ οὐκ ἀρτίστομος ἔτι.

Ἀρτίτομος. προπαροξυτόνως, ὁ τεμνόμενος νεωστί. Ἀρτιτόμος δὲ, ὁ νεωστὶ τέμνων.

Ἀρτιχανῆ [6] ῥοιάν τε, καὶ ἀρτίχνουν τόδε μῆλον. ἐν Ἐπιγράμμασι.

Ἀρτοπωλεῖον. τὸ [7] μαγκιπεῖον, ἐν ᾧ οἱ ἄρτοι γίνονται. Ἀρτοπώλιον δὲ, ὁ τόπος, ἔνθα οἱ ἄρτοι πιπράσκονται.

Ἄρτος. ὁ [8] ψωμός. * ἔστι δὲ καὶ ὄνομα τυράννου

Ἀρτιμαθεῖ. Quod quis nuper didicit. Vel, qui nuper diſcere cœpit. *Argenteum iſtum [calamum] natali die tuo tibi mitto, qui ingenio tuo docili, quo nuper admodum literas diſcere cœpiſti, apte convenit.*

Ἀρτίδιον. Parvus panis. *Ille vero, cum a quodam regiorum puerorum parvum panem petiiſſet, ipſum interfecit.*

Ἀρτιεπής. In dicendo perfectus. Ἀρτιεπὴς interdum non ponitur in laude, quaſi contrarius ſit illi, qui in dicendo peccat; ſed ita vocatur garrulus & conſummatæ loquacitatis homo.

Ἀρτιζόμενοι. Parantes. Inſtruentes. *Illi vero [inſidias] inſtruentes copias diviſerunt.* † *Ille vero cum homo callidus eſſet, & ad incertos fortunæ caſus inſtructus.*

Ἀρτιθαλῆ. Recens florentia.

Ἀρτικροτεῖσθαι. Dicitur de re, de qua pactum inter aliquos initum eſt. *Nuptiæ pactæ ſunt:* inquit Menander.

Ἄρτι μῦς. *Nunc demum mus picem guſtat.* In eos dicitur, qui ſero animadvertunt, quo loco res ipſorum ſint.

Ἄρτιος. Integer. Sanus. Et Ἄρτιοι, integri, ſani. *Morbo podagra tam manus quam pedes ejus debilitati erant.*

Ἀρτίως. Perfecte. Integra valetudine. Non ſolum enim ſignificat modo & paulo ante. Pherecrates *Myrmecanthropis: Peregrina anus, quæ modo advenit.* Item ſincere, vere. *Tam ſincero amico privatam.*

Ἀρτίπους. Integros pedes habens.

Ἀρτίστομος. Qui plane loquitur. Qui jam fari poteſt. Sic Dionyſius. *Ille autem vino jam gravatus lingua titubare incipiebat.*

Ἀρτίτομος. Cum accentu in antepenultima, recens ſectus. Ἀρτιτόμος vero, qui nunc ſecat.

Ἀρτιχανῆ. Qui recens hiare cœpit. In Epigrammate: *Malum hoc Punicum, quod recens hiare cœpit,* (i. e. maturum) *& lanugine veſtitum pomum.*

Ἀρτοπωλεῖον. Locus, in quo panes pinſuntur. Ἀρτοπώλιον vero, per ι, locus ubi panes venduntur.

Ἄρτος. Panis. Eſt etiam nomen tyranni Meſ-

---

[1] Ἀργύρεόν σοι τόνδε γενέθλιον εἰς τεὸν ἦμαρ π.] Verba hæc decerpta ſunt ex Epigrammate Crinagoræ, in quo amicus alteri amico die ipſius natali calamum argenteum dono mittit. Epigramma hoc nondum, quod ſciam, a quoquam ante in lucem editum, hic cum Lectore communicabo.

Ἀργύρεόν σοι τόνδε, γενέθλιον εἰς τεὸν ἦμαρ,
Πρόκλε, νεόσμηκτον δουρατίην κάλαμον,
Εὖ μὲν εὐσχίστοισι διαγλυπτὸν κεράεσσιν,
Εὖ δὲ ταχυνομένην εὔροον εἰς σελίδα,
Πέμπει Κριναγόρης ὀλίγην δόσιν, ἀλλ' ἀπὸ θυμοῦ
Πλείονος, ἀρτιμαθεῖ σύμπνοον εὐμαθίῃ.

In pentametro primo negotium mihi faceſſunt duo illa epitheta νεόσμηκτον δουρατίην, quoniam calamo minime conveniunt. Prioris loco rectius forſan legetur νεόγλυπτον, vel σμιλευτὸν, vel νεόκμητον. Quid vero in locum poſterioris ſubſtitui debeat, aliis divinandum relinquo. In hexametro ſecundo εὔσχιστα κέρατα appellantur duo apices, in quos cuſpis calami diviſa erat. Uti enim hodie pennæ noſtræ; ſic olim calami ſcriptorii in medio fiſſi erant, qui ideo in alio Epigrammate inedito μεσοσχιδεῖς appellantur. In pentametro ſecundo εὔροον ſignificat atramentum facile emittentem. In pentametro ultimo codex MS. Epigrammatum a codicibus Suidæ diſcrepat, quoniam in illo εὐμαθίῃ; in his vero ἐργασίῃ legitur. Sed meo quidem judicio prior lectio præferenda eſt: quam proinde in verſione ſecutus ſum.

[2] Ἀρτικροτεῖσθαι] Sic etiam Heſychius. Sed nihilominus vox illa ſuſpecta mihi eſt. Quid ſi legatur ἀντικροτεῖσθαι? Judicet Lector.

[3] Ἄρτι μῦς πίττης γεύεται] Proverbio huic affine eſt illud: Ὡς μῦς ἐν πίττῃ: quod Suidas ſuo loco refert.

[4] Ἀντὶ τοῦ γνησίου] Malim ἀντὶ τοῦ γνησίως.

[5] Τοιοῦδ' ἀποβλαφθεῖσαν ἀρτίως φίλου] Hæc ſunt verba Sophoclis in *Ajace* p. 55. ut Portus recte obſervavit.

[6] Ἀρτιχανῆ ῥοιάν τε, καὶ ἀρτίχνουν τόδε μῆλον] Hæc leguntur Anthol. lib. VI. cap. XIV. ut Portus monuit.

[7] Μαγκιπεῖον] Sic recentiores Græci vocabant officinam piſtoriam, in qua panes pinſebantur. Vide Ducangium in Gloſſario Græco.

[8] Ψωμός] Cave putes vocabulum hoc apud ullum probatum & antiquum ſcriptorem Græcum pro pane proprie ita dicto accipi; ſed eſt vox recentioris Græcitatis, qua hodierni quoque Græci (heu quantum a priſcis illis diverſi!) adhuc utuntur, cum panem ſignificare volunt. Vocabulum enim ἄρτος apud eos non amplius in

Μεσσαπίων, καὶ πρόξενον Ἀθηναίους ποιήσασθαί φησι Πολέμων.

Ἄρτος. παροιμία· [1] Ἄννος κρίβανον. ἐπὶ τῶν καινόν τι ἐφευρηκότων. Ἄννος γὰρ Αἰγύπτιος εἰς τὴν τῶν ἄρτων ὄπτησιν ἐπενόησε τὸν κρίβανον.

Ἀρτοσιτεῖ. ἄρτον ἐσθίει. [2] Ξενοφῶν· Ὅστις δὲ ἀρτοσιτεῖ, ὕδατι δεδευμένον τὸν ἄρτον.

Ἀρτῶ. τὸ κρεμῶ.

Ἀρτώριος. ὄνομα κύριον.

Ἀρτύειν. σκευάζειν. καὶ Ἀρτύοντες. παρασκευάζοντες. καὶ Ἀρτύναντες.

Ἀρτυλία. ἡ διαθήκη.

Ἀρύβαλλος. [3] πλεκτόν τι βαλάντιον ὁ ἀρύβαλλος, ὅπερ ἑλκόμενον κλείεται, καὶ ἀνοίγεται. παρὰ τὸ ἀρύειν καὶ βάλλειν. ἢ μαρσίπιον. Χεῖσθαι δὲ λέγεται οὐ μόνον τὰ ὑγρὰ, ἀλλὰ καὶ τὰ στερεά· ὥσπερ νῦν ἐπὶ τῆς ἀμβροσίας.

Εἶτα καταςπένδειν κατὰ τῆς κεφαλῆς ἀρυβάλλῳ,
Ἀμβροσίαν κατὰ σοῦ, κατὰ τούτου δὲ σκοροδάλμην.

Ἀρύβας, [4] Ἀλκέτου μὲν ἦν υἱὸς, Μολοττῶν δὲ βασιλεύς.

Ἄῤῥυθμος. ἀδιατύπωτος. ἀκανόνιστος. μὴ ἔχων ῥυθμόν. Ῥυθμὸς γὰρ ὁ τύπος. καὶ Ἀῤῥύθμως.

Ἀρυώτης. ὄνομα κύριον.

Ἀρυσάμενος. ἀντλήσας.

Ἀρύστιχος. [5] σκευάριόν τι.

Ἀρυστρίς. [6] Ζωμοῦ τ' ἀμφ' ὀβελοῖσιν ἀρυστρίδα.

Ἀρύταινα. [7] χαλκοῦν σκεῦος, ᾧ τὸ ἔλαιον ἐγχέουσιν εἰς τοὺς λύχνους.

Ἀρυταινοειδοῦς. ζήτει ἐν τῷ Φάρυγξ.

Ἀρύτεσθαι. [8] σὺν τῷ τ λέγουσιν, οὐκ ἀρύεσθαι. Ἀριστοφάνης Νεφέλαις· [9] Εἴτ' ἄρ' ἂν Νείλου προχοὰς ὑδάτων χρυσέοις ἀρύτεσθαι προχοῦσιν. καὶ Πλάτων Νόμοις· Ὧν ὁ μὲν ἀρυτόμενος ὅθεν τε δεῖ, καὶ ὁπότε.

Ἀῤῥυτίδωτον. τὸ μὴ ἔχον ῥυτίδας· αἵ εἰσι γραμμαὶ γήρως σημαντικαί.

Ἀρχαῖα. τὰ κεφάλαια τῶν χρεῶν. [10] Ἀριστοφάνης Νεφέλαις·

Αὐτοί τε καὶ τ' ἀρχαῖα καὶ τόκοι τόκων.

ſapiorum, cum quo Athenienſes amicitiam & hoſpitium contraxiſſe dicit Polemon.

Ἄρτος. Panis. Proverbium: *Annus clibanum.* Dicitur de iis, qui aliquid novi invenerunt. Annus enim Ægyptius clibanum ad uſum coquendi panis invenit.

Ἀρτοσιτεῖ. Pane veſcitur. Xenophon: *Qui pane veſcitur, aqua maceratam farinam* [*edit.*]

Ἀρτῶ. Suſpendo.

Ἀρτώριος. Artorius. Nomen proprium.

Ἀρτύειν. Parare. Præparare. Et Ἀρτύοντες. Præparantes. Et Ἀρτύναντες, idem.

Ἀρτυλία. Teſtamentum.

Ἀρύβαλλος. Marſupium quoddam plexile, quod trahendo clauditur & aperitur. Ab ἀρύειν & βάλλειν. Vel, crumena. Χεῖσθαι vero, i. e. effundi, non ſolum dicitur de rebus liquidis, ſed etiam ſolidis: ut [apud Ariſtophanem] de ambroſia dictum videmus. *Deinde ex marſupio in tuum quidem caput ambroſiam, in hujus vero muriam alliatam effundere* [*videbatur.*]

Ἀρύβας. Arybas, Alcetæ filius, & Moloſſorum Rex.

Ἄῤῥυθμος. Informis. Ordine & lege carens. Incompoſitus. Rhythmum non habens. Ῥυθμὸς enim, forma vel figura. Et Ἀῤῥύθμως, inconcinne, abſque ordine.

Ἀρυώτης. Aryotes. Nomen proprium.

Ἀρυσάμενος. Qui hauſit.

Ἀρύστιχος. Vas quoddam, quo liquores hauriuntur.

Ἀρυστρίς. Trulla. [In Epigrammate:] *Trullamque, qua jus hauritur, prope verua.*

Ἀύρταινα. Vas æreum, quo oleum in lucernas infunditur.

Ἀρυταινοειδοῦς. Quære in voce Φάρυγξ.

Ἀρύτεσθαι. Cum τ dicitur: non ἀρύεσθαι. Ariſtophanes *Nubibus*: *Sive ad oſtia Nili aquas aureis hauritis ſitulis.* Plato in *Legibus*: *Quorum alter quidem hauriens unde & quando oportet.*

Ἀῤῥυτίδωτον. Quod nullas habet rugas. Rugæ vero ſunt lineæ quædam in facie, ſenectutis indices.

Ἀρχαῖα. Capita debitorum. Sortes. Ariſtophanes Nubibus: *Ipſique, & capita debitorum, & uſuræ uſurarum.*

---

uſus eſt, ſed ejus loco vocem ſemibarbaram ψωμὶ adhibent, ut accepi ex Reverendo & doctiſſimo viro Joanne Covello, Collegii Chriſti hic apud Cantabrigienſes Præfecto, qui Græciam luſtravit, & multa obſervatu digna tam ad linguam, quam antiquitates, rituſque & religionem ejus regionis ſpectantia collegit; quæ in lucem aliquando edi e re literaria foret.

* Ἔστι καὶ ὄνομα τυράννου Μεσσ.] Hujus Arti, Meſſapiorum Regis, meminit Thucydides lib. VII. cap. XXXIII. itemque Athenæus lib. III. cap. XXV. quem vide.

[1] Ἄννος κρίβανον. ἐπὶ τῶν κ.] Hæc leguntur etiam ſupra v. Ἄννος, & infra v. Κρίβανος.

[2] Ξενοφῶν] *De Inſtit. Cyri* lib. VI. pag. 161. ut Pearſonius obſervavit.

[3] Ἀρύβαλλος. πλεκτόν τι βαλ.] Hæc, & quæ ſequuntur, ſunt verba Scholiaſtæ Ariſtoph. ad *Equit.* pag. 351. (248. Ed. Baſ. *P.*) Vide etiam ſupra v. Ἀρίβαλλος.

[4] Ἀρύβας, Ἀλκ.] Vide Pauſaniam in *Atticis* pag. 19.

[5] Ἀρύστιχος] Vide Scholiaſtam Ariſtoph. ad *Veſpas* pag. 492.

[6] Ζωμοῦ τ' ἀμφ' ὀβελοῖσιν ἀρυστ.] Verba hæc leguntur Anthol. lib. VI. cap. XVII.

[7] Ἀρύταινα. χαλκοῦν σκεῦος, ᾧ τὸ ἔλαιον ἐγχ.] Ex Scholiaſta Ariſtoph. ad *Equit.* pag. 351.

[8] Ἀρύτεσθαι. σὺν τῷ τ λέγ.] Vereor ne Suidam corrupti codices hic deceperint. Nam apud Ariſtophanem, cujus auctoritate lectionem ſuam confirmare conatur, hodie ſcriptum eſt ἀρύεσθε abſque τ.

[9] Εἴτ' ἄρ' ἂν Νείλου προχ.] Locus hic corruptiſſimus eſt, qui apud Ariſtoph. *Nubibus* pag. 140. (75. Ed. Baſ. *P.*) recte ſic legitur:

Εἴτ' ἄρα Νείλου προχοαῖς ὑδάτων χρυσέοις ἀρύεσθε προχοῦσιν.

Hanc lectionem in verſione ſecutus ſum.

[10] Ἀριστοφάνης Νεφέλαις] Pag. 188. (116. Ed. Baſ. *P.*)

'Αρχαῖον. ἐχρήσαντο οἱ Ῥήτορες τῷ ἀρχαίῳ ἐπὶ τοῦ δανειζομένου [1] τὸ ἀργύριον ὅπερ ἔνιοι κατά τινα συνήθειαν κεφάλαιον ὀνομάζουσιν. Δημοσθένης ἐν τῷ κατὰ Νικοστράτου· [2] Δανείσας ἀργύριον Ἀρχίππον, οὐχ οἷός τε ἦν αὐτὸ ἀπολαβεῖν οὔτε τόκον, οὔτε τὸ ἀρχαῖον. παρείληπται δὲ καὶ ἐπὶ τοῦ παλαιοῦ. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου· Ὁ δὲ Σόλων, ὁ τῶν νομοθετῶν μάλιστα εὐδοκιμῶν, γέγραφεν ἀρχαίως. Καὶ πάλιν· Οὕτως ἦσαν σώφρονες οἱ ἀρχαῖοι ἐκεῖνοι ῥήτορες, ὁ Περικλῆς, ὁ Θεμιστοκλῆς, ὁ Ἀριστείδης. τάττεται δὲ παρὰ Κωμικοῖς καὶ ἐπὶ τοῦ εὐήθους.

'Αρχαῖον [3] τὸ κιθαρίζειν. τουτέστιν, οὐδενὸς λόγου ἄξιον, ληρῶδες, ἀνόητον. παλαιὸς γάρ τις λόγος ἀρχαΐζων, ἤγουν ἁπλοῦς καὶ ἀποίκιλος.

'Αρχαϊκόν. Οἱ δὲ τοῦ μέρους τῆς εὐσεβείας τὸ ἁπλοῦν τῷ Σπυρίδωνι καὶ ἀρχαϊκὸν συνειδότες, προσέτι δὲ καὶ τὸ τῆς Ἑλληνικῆς παιδείας καθαρῶς ἄγευστον, ἐκώλυον εἰς μέσον ἐλθεῖν καὶ τῷ σοφιστῇ συμβαλεῖν ἐπὶ συνόδου.

'Αρχαῖος. ὁ παλαιός. [4] Ἰσοκράτης μὲν ἐν τῷ Πανηγυρικῷ τὸ ἀρχαιοτρόπως εἰπεῖν· τουτέστιν, ἀρχαιοτέροις ὀνόμασι χρῆσθαι. Δημοσθένης δὲ ἐν τοῖς Φιλιππικοῖς εἰπών· Οὕτω δὲ ἀρχαίως εἶχον, μᾶλλον δὲ πολιτικῶς· ἀντὶ τοῦ ἁπλῶς ἔλαβεν.

'Αρχαῖος. ἀντὶ τοῦ, εὐήθης. Πλάτων. ἢ λῆρος. 'Αρχαίως δὲ, ἀπραγμόνως, ἀπαρατηρήτως· ἢ καὶ ἠλιθίως, εὐήθως.

—Μινυρίζοντες [5] μέλη
'Αρχαιομελισιδωνοφρυνιχήρατα.

'Αρχαιότερα τῆς διφθέρας λέγεις. ἐπὶ τῶν σαθρὰ καὶ παλαιὰ λεγόντων. ἡ γὰρ διφθέρα παμπάλαιον, ἐν ᾗ δοκεῖ ὁ Ζεὺς ἀπογράφεσθαι τὰ γενόμενα.

'Αρχαιότυπος. ὁ παλαιὸς νόμος.

'Αρχαιρεσία. περὶ ἀρχῶν ἐκλογή. καὶ 'Αρχαιρεσίη, τὸ πρὸς χάριν πολλῶν ζῆν. ἢ τὸ ἐπιδόσεις χρημάτων ποιεῖσθαι. Ἡρόδοτος.

'Αρχαιρεσιάζειν. Δείναρχος. τὸ ἀξιοῦν ἑαυτὸν αἱρεθῆναι ἄρχοντα.

Ἄρχε· [6] σὺ γὰρ γενεῆφι νεώτερος. πολέμου γὰρ ἄρχεσθαι δικαιοῖ τὸν νέον· [7] Φιλοφροσύνης δὲ, τὸν πρεσβύτην.

'Αρχέγονος. Οὐκ ἠξίωσαν ταφῆς, ἣν ἡ ἀρχέγονος φύσις νομοθετεῖ.

'Αρχαῖον. Oratores uſi ſunt voce ἀρχαίῳ pro pecunia, quæ fœnori datur: quam vulgo *caput* vocant. Demoſthenes in oratione adverſus Nicoſtratum: *Cum Archepolidi Piræenſi pecuniam fœnori dediſſet, & Archepolis nec uſuram nec ſortem integram ei reddere poſſet, Manem ſervum ab eo in æſtimationem accepit.* Significat etiam antiquum, vetuſtum. Æſchines in oratione contra Timarchum: *Solon vero, qui omnium Legiſlatorum celeberrimus fuit, more priſco ſcripſit.* Et iterum: *Tam temperantes erant veteres illi oratores, Pericles, Themiſtocles, & Ariſtides.* Apud Comicos etiam accipitur pro fatuo & ſimplici.

'Αρχαῖον τὸ κιθαρίζειν. *Priſcum eſt citharam pulſare.* Hic τὸ ἀρχαῖον ſignificat id, quod nullius eſt pretii, vel ineptum & ſtultum. Et λόγος ἀρχαΐζων, eſt oratio ſimplex omnique ornatu carens.

'Αρχαϊκόν. Priſcum. Antiquum. *Illi vero Spyridonis ſimplicitatem, quæ pietatis pars eſt, perſpectam habentes, & præterea ſcientes, illum eruditionis Græcanicæ prorſus expertem eſſe, vetuerunt eum in conventu cum Sophiſta in certamen deſcendere.*

'Αρχαῖος. Antiquus. Priſcus. Iſocrates in *Panegyrico* τὸ ἀρχαίως εἰπεῖν dixit pro antiquis vocabulis uti. Demoſthenes vero in *Philippicis* τὸ ἀρχαίως accepit pro ἁπλῶς, i. e. ſimpliciter. Ait enim: *Tanta erat eorum ſimplicitas, vel potius civilitas.*

'Αρχαῖος. Simplex. Fatuus. Ineptus. Plato. Et 'Αρχαίως, ſimpliciter, incaute, incurioſe, ſtulte. [Ariſtophanes:] *Cantillantes antiqua melleaque & grata de Sidone Phrynichi carmina.*

'Αρχαιότερα τῆς διφθ. *Antiquiora diphthera loqueris.* De iis, qui putida & antiqua loquuntur. Diphthera enim erat pellis antiquiſſima, in qua Jupiter omnia, quæ fiebant, ſcribere credebatur.

'Αρχαιότυπος. Antiqua lex.

'Αρχαιρεσία. Magiſtratuum creatio. Et 'Αρχαιρεσίη. Ita vitam inſtituere, ut populo & vulgo placeas. Vel, pecuniam erogare ad ſublevandam ærarii inopiam. Herodotus.

'Αρχαιρεσιάζειν. Dinarchus dixit de illo, qui ſe ipſum judicat dignum, qui ad magiſtratum eligatur.

Ἄρχε. *Incipe, quoniam natu minor es.* Vult enim ut juvenis pugnæ initium faciat; ſenex vero, amicitiæ.

'Αρχέγονος. Primigenius. Inſitus. *Non dignati eum ſunt ſepultura, quam lex naturæ omnibus inſita præcepit.*

---

[1] Τὸ ἀργύριον] Legendum eſſe τοῦ ἀργυρίου Portus recte monuit.

[2] Δανείσας ἀργύριον Ἀρχίππον, οὐχ οἷός τ' ἦν αὐτὸ ἀπολ.] Locus hic corruptiſſimus eſt, qui apud Demoſthenem in orat. adverſus Nicoſtr. pag. 725. recte ſic legitur: Τὸν δὲ Μάνην, δανείσας ἀργύριον Ἀρχεπόλιδι τῷ Πειραιεῖ, ἐπειδὴ οὐχ οἷός τ' ἦν αὐτῷ ἀποδοῦναι ὁ Ἀρχέπολις οὔτε τὸν τόκον, οὔτε τὸ ἀρχαῖον ἅπαν, ἐναπετίμησεν αὐτῷ. Hanc lectionem in verſione ſecutus ſum.

[3] Ἀρχαῖον τὸ κιθαρίζειν] Hæc ſunt verba Ariſtophanis *Nubibus* pag. 199. (123. Ed. Baſ. *P.*)

[4] Ἰσοκράτης μὲν ἐν τῷ Πανηγ. τὸ ἀρχαιοτρ.] Locus hic eſt mutilus, qui ſic ſuppleri & in integrum reſtitui debet. Ἀρχαίως. Ἰσοκράτης μὲν ἐν τῷ Πανηγυρικῷ τὸ ἀρχαίως εἰπεῖν, ἀντὶ τοῦ ἀρχαιοτρόπως εἰπεῖν. τουτέστιν &c. Vide Harpocrationem v. Ἀρχαίως, cujus veſtigia Suidas hic ſecutus eſt.

[5] Μινυρίζοντες μέλη ἀρχαιομ.] Hæc ſunt verba Ariſtophanis *Veſpis* pag. 443. (318. Ed. Baſ. *P.*)

[6] Ἄρχε· σὺ γὰρ γενεῆφι νεώτερος] His verbis Neptunus Apollinem alloquitur apud Homerum Il. Φ. v. 439.

[7] Φιλοφροσύνης] Senſus potius requirit βουλεύσεως, id eſt, conſultationis. Juniorum enim eſt manu rem gerere: ſeniorum vero, conſilium dare; quod Suidas hic innuere velle videtur.

Ἀρχέδικος, κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστὶ Θησαυρὸς, καὶ Διαμαρτάνων, ὡς Ἀθήναιος φησὶν ἐν τοῖς Δειπνοσοφισταῖς.

Ἀρχέδικος, [1] κωμῳδιογράφος, ὃς κατὰ Δημοχάρους ἔγραψεν τοῦ ἀνεψιοῦ Δημοσθένους.

Ἀρχέλαος, Ἀπολλοδώρου, ἢ Μίδωνος, Μιλήσιος, φιλόσοφος, φυσικὸς τὴν αἵρεσιν κληθεὶς, ἀπὸ Ἰωνίας πρῶτος τὴν φυσιολογίαν ἤγαγεν· Ἀναξαγόρου μαθητὴς τοῦ Κλαζομενίου· τοῦ δὲ μαθητὴς Σωκράτης. [2] οἱ δὲ καὶ Εὐριπίδου φασίν. συνέταξε δὲ φυσιολογίαν, καὶ ἐδόξαζε τὸ δίκαιον καὶ αἰσχρὸν οὐ φύσει εἶναι, ἀλλὰ νόμῳ. συνέταξε καὶ ἄλλα τινά. † [3] Ὅτι Βασίλειος, Ἐπίσκοπος Εἰρηνουπόλεως, τὴν φρένα καὶ τὴν ἄσκησιν τῷ ὁμωνύμῳ Βασιλείῳ Καισαρείας ἐοικὼς, ἔγραψε κατὰ Ἀρχελάου πρεσβυτέρου Κολωνείας.

Ἀρχέμορος. ὄνομα κύριον.

Ἀρχέπλουτον. [4] ἄρχοντα πλούτου, καὶ τὴν ἀρχαίαν τύχην ἀποληψόμενον. Σοφοκλῆς·

Καὶ μή μ' ἄτιμον τῆσδ' ἀποστείλητε γῆς,
Ἀλλ' ἀρχέπλουτον.

Ἀρχέτυπον. πρωτότυπον. καὶ Ἀρχέτυπος, ὁ τὴν ἀρχὴν διδούς. Ἀρχαιότυπον δέ.

Ἀρχεῖα. ἔνθα οἱ δημόσιοι χάρται ἀπόκεινται. χαρτοφυλάκια. ἢ τὰ χωρεία τῶν κριτῶν. ἢ ἀρχαῖα, [5] ὡς Ξενοφῶν Ἱστοριῶν η'· Τοὺς δὲ υἱέας περιῆγεν ἐς τὸ ἐς τάχος γράψασθαι μοῖραν τὴν περὶ τὰ ἀρχαῖα διακονίας.

Ἄρχειν. [6] κοινότερον καὶ τὰς μικρὰς ἐπιστασίας καὶ λειτουργίας, ἀρχὰς ἔλεγον. καὶ τὸ βουλεῦσαι, ἄρξαι. ψιλὴ γὰρ ἐπιστασία. Ἀριστοφάνης·

Οὐκοῦν δικαστὰς ἐξεπίτηδες ἡ πόλις
Ἄρχειν καθίστησιν. ———

Ἀρχὴ, ἡ μὲν φυσικὴ, ὡς λέοντος ἐν ζώοις, καὶ ἀετοῦ ἐν ὀρνέοις· ἡ δὲ χειροτονητὴ, ὡς ἐπὶ βασιλέως ἀνθρώπων. Μαρῖνός φησι· Γέγονε δὲ ἡμῖν ἡ ἀρχὴ οὐκ ἀρχὴ μόνον, οὐδὲ, κατὰ τὴν παροιμίαν, ἥμισυ τοῦ παντός· αὐτὸ δὲ ὅλον τὸ πᾶν.

Ἀρχή. [7] Ἀρχαὶ τῶν ὅλων δύο· τὸ ποιοῦν, καὶ τὸ πάσχον. τὸ μὲν οὖν πάσχον εἶναι τὴν ἄποιον οὐσίαν, τὴν ὕλην· τὸ ποιοῦν δὲ τὸν ἐν αὐτῇ λόγον τὸν Θεόν. Διαφέρουσι δὲ ἀρχαὶ καὶ στοιχεῖα, τῷ τὰς μὲν εἶναι ἀγεννήτους καὶ ἀφθάρτους· τὰ δὲ στοιχεῖα κατὰ τὴν ἐκπύρωσιν φθείρεσθαι. ἀλλὰ καὶ τῷ ἀσωμάτους μὲν εἶναι τὰς ἀρχὰς, καὶ ἀμόρφους· τὰ δὲ, μεμορφῶσθαι.

Ἀρχέδικος. Archedicus, Comicus. Ex fabulis ejus ſunt Θησαυρὸς & Διαμαρτάνων, ut teſtatur Athenæus in *Dipnoſophiſtis*.

Ἀρχέδικος. Archedicus, comœdiarum ſcriptor, qui contra Democharem Demoſthenis ex ſorore nepotem ſcripſit.

Ἀρχέλαος. Archelaus, Apollodori vel Midonis filius, Mileſius, Philoſophus, a ſecta Phyſicus appellatus, ex Ionia primus Phyſiologiam [in Græciam] introduxit. Fuit diſcipulus Anaxagoræ Clazomenii: ipſius vero Archelai diſcipulus fuit Socrates, & ſecundum nonnullos Euripides. Scripſit Phyſiologiam, ſtatuitque nihil eſſe juſtum vel turpe natura, ſed inſtituto. Scripſit & alia nonnulla. † Baſilius, Epiſcopus Irenopolis, ingenio & aſcetico vivendi genere Baſilio Cæſarienſi cognomini ſimilis, ſcripſit contra Archelaum Coloniæ Presbyterum.

Ἀρχέμορος. Archemorus. Nomen proprium

Ἀρχέπλουτον. Dominum divitiarum, & priſtinæ fortunæ reſtituendum. Sophocles: *Et ne me cum ignominia ex hac terra amandate, ſed* [*ſuſcipite*] *me opum harum dominum.*

Ἀρχέτυπον. Archetypum. Exemplar primum, ad quod reliqua effinguntur. Et Ἀρχέτυπος, qui alteri initium præbet. Ἀρχαιότυπον vero, antiquam formam habens.

Ἀρχεῖα. Archiva. Tabularia, in quibus acta publica aſſervantur. Chartophylacia. Vel, loca Judicum. Vel idem, quod ἀρχαῖα: ut Xenophon Hiſtor. lib. VIII. * * * *

Ἄρχειν. [Attici] minores quoque præfecturas & viliora munia ἀρχὰς appellabant: & Senatorem eſſe, ἄρξαι. Eſt enim unda functio. Ariſtophanes: *Fruſtra igitur civitas Judices judicandi cauſa conſtituit.*

Ἀρχή. Principatus alius eſt naturalis, ut leonis inter animalia, & aquilæ inter aves: alius vero conſenſu conſtitutus, ut Regis inter homines. Marinus inquit: *Principium vero non ſolum nobis fuit principium, neque, ut fert proverbium, dimidium totius, ſed ipſum totum.*

Ἀρχή. Principium. Rerum omnium principia duo ſunt, efficiens & patiens. Et patiens quidem eſſe dicunt [Stoici] materiam omni qualitate carentem. Efficiens vero, Rationem, quæ in illa eſt, id eſt, Deum. Differunt vero principia & elementa; quod illa quidem nunquam ſint orta, nec unquam interitura: elementa vero in conflagratione Mundi intereāt. Præterea, principia ſunt incorporea & forma carentia: elementa vero formam habent.

---

[1] Ἀρχέδικος, κωμῳδιογράφος, ὃς κατὰ Δημοχ.] Polybius in Excerptis a Valeſ. editis, pag. 53. Οὐ γὰρ ἂν Ἀρχέδικος ὁ κωμῳδιογράφος ἔλεγε ταῦτα μόνος περὶ Δημοχάρους &c. Ad hunc locum Suidas reſpexit.

[2] Οἱ δὲ τοῦ Εὐριπίδου φασίν] Lege οἱ δὲ καὶ Εὐριπίδην φασί. Senſus enim eſt, Euripidem quoque ſecundum nonnullos Archelai diſcipulum fuiſſe.

[3] Ὅτι Βασίλειος, Ἐπίσκοπος Εἰρην.] Hæc repetuntur infra v. Βασίλειος.

[4] Ἀρχέπλουτον. ἄρχοντα πλούτου, καὶ τὴν ἀρχ.] Ex Scholiaſta Sophoclis ad *Electr.* pag. 83. ut Portus monuit.

[5] Ὡς Ξενοφῶν Ἱστορ. η'] Locum Xenophontis, ubi verba a Suida hic citata exſtant, nunc ad manus non habeo. Quærant eum alii, quibus plus otii eſt.

[6] Ἄρχειν. κοινότερον τὰς μικρὰς ἐπισ. καὶ λειτ.] Ex Scholiaſta Ariſtoph. ad *Plutum* pag. 91. (45. Ed. Baſ. *P.*)

[7] Ἀρχαὶ τῶν ὅλων δύο· τὸ ποιοῦν, καὶ τὸ π.] Hæc, & quæ ſequuntur, ſunt verba Laertii lib. VII. Segm. CXXXIV. ut Pearſonius quoque obſervaverat.

Ἀρχή. ποιητική· εἰδική· τελική. [1] ὁ δὲ Ἀριστοτέλης φησὶν, ὅτι ἡ ψυχὴ οἷον ἀρχὴ τῶν ζώων ἐστὶν, ὡς ποιητικὴ, τελικὴ, εἰδική. αὗται γάρ εἰσιν αἱ κυρίως ἀρχαί. ὡς μὲν οὖν ποιητικὴ, ὅτι αὕτη κινεῖ τὸ ζῶον μόνῃ τῇ βουλήσει, καὶ οὐ δεῖται μοχλείας τινός. ὡς εἰδικὴ δὲ, ὅτι αὐτή ἐστιν ἡ εἰδοποιοῦσα τὸ ζῶον, καὶ ἁπλῶς τὰ ἔμψυχα. λέγεται γὰρ τὰ ἔμψυχα εἴδη αὐτὸ τοῦτο εἶναι κατὰ τὴν ψυχήν. τὸ γὰρ κρεῖττον ἐν ἑκάστῳ τῶν φυσικῶν εἶδός ἐστιν ἑκάστου. κρεῖττον δὲ ἐν τοῖς ἐμψύχοις ἡ ψυχή. ὡς τελικὸν δὲ, ὅτι αὐτῆς ἕνεκα τὸ σῶμα. ἔστι γὰρ τὸ μὲν σῶμα ἕνεκά του. αὐτὴ δὲ, οὗ ἕνεκα. ὅθεν καὶ ἡ διοργάνωσις τῶν ζώων ἄλλη καὶ ἄλλη πρὸς τὴν ἰδιότητα τῆς ἐν ἑκάστῳ ψυχῆς. ἀλλ' ἡ μὲν ψυχὴ τῶν ζώων πορρωτέρω ἀρχή. ἡ δὲ φύσις, προσεχής. τῶν δὲ ἐξ ἀνάγκης ἑπομένων τῇ ψυχῇ τὰ μὲν αὐτῇ ἀκολουθεῖ· τὰ δὲ ὅλῳ τῷ ζώῳ. λέγω δὴ τὸ ἐκ ζωῆς καὶ σώματος. καὶ τὰ μὲν τῆς ψυχῆς πάθη ἡ νόησις. τοῦτο γὰρ αὐτῆς ἴδιον. τὰ δ' ἄλλα πάθη, τὸ αἰσθάνεσθαι, τὸ φαντασιοῦσθαι, ἐπιθυμεῖν, καὶ εἴ τι τοιοῦτον, κοινά ἐστι τοῦ συναμφοτέρου. † Ὅτι πέντε γένη ἔλεγεν εἶναι ἀρχὰς πάντων τῶν ὄντων, οὐσίαν, ταυτότητα, ἑτερότητα, κίνησιν, στάσιν. Γένη δὲ ταῦτα ἔλεγεν, οὐχ οὕτως ὥσπερ τὰ παρὰ τοῖς Περιπατητικοῖς, ἅτινα διῄρηται ὑπ' ἀλλήλων, καὶ ἀφ' ἑκάστου σειρά τις ἐκδίδοται τῶν ὑπαλλήλων γενῶν τε καὶ εἰδῶν· ἀλλ' ὡς διὰ πάντων τῶν ὄντων διήκοντα. ἔστι γὰρ ἐν πᾶσι καὶ οὐσία, καθ' ἣν ἕκαστον ἐστὶ τὸ εἶναι. καί ἐστι ταυτότης, καθὸ ἐκ μιᾶς τῆς τῶν ὄντων ἐσμὲν ἀρχῆς. ἔχομεν δὲ καὶ ἑτερότητα, ἐπειδὴ καὶ πλῆθός ἐστι τὰ ὄντα. ὅπου δὲ πλῆθος, ἐκεῖ ἑτερότης. ἔστι δὲ καὶ κίνησις ἐν πᾶσι τοῖς οὖσι. κίνησιν δὲ λέγω, οὐ τὴν ἀτελῆ ἐνέργειαν, ἀλλὰ τὴν ἐνεργῆ, τὴν ἑκάστου. πάντα γὰρ ἔχει οἰκείαν ἐνέργειαν, καὶ αὐτὰ τὰ ἄψυχα. ἢ γὰρ θερμαίνουσιν, ἢ ψύχουσι τὰ παρακείμενα, ἢ ὑγραίνουσιν, ἢ ξηραίνουσιν, ἢ ἄλλο τι τοιοῦτον ποιοῦσι. καὶ ἡ στάσις δὲ ἐπὶ πάντων θεωρεῖται. καὶ γὰρ τὰ ἀκίνητα στάσεως μετέχει. οὐ [2] μόνον τὸ τὴν ὁλότητα ἑστάναι, ἀλλὰ καὶ αὐτὸ τὸ μένειν ἐπὶ τῆς ἀεικινησίας, στάσις ἐστί. καθὸ οὖν μένουσι [3] κινούμενα τὰ κινούμενα, ἢ ἀεὶ, ἢ ἐπί τινα χρόνον, κατ' αὐτὸ τοῦτο στάσεως μετέχει.

Ἀρχή. Principium [triplex eſt,] efficiens, formale, finale. Ariſtoteles vero inquit, animam eſſe ut principium efficiens, finale, & formale animalium. Hæc enim ſunt propria & vera principia. Et ut efficiens quidem, quia animal ſola voluntate movet, nec ulla ad id machina indiget. Ut formale autem, quia ipſa formam dat animali omnibuſque animatis. Ea enim formam habere dicuntur reſpectu animæ. Quod enim præſtantius eſt in rebus naturalibus, id earum forma dicitur. In animantibus autem præſtantius eſt anima. Ut finale autem, quia ejus cauſa corpus eſt. Corpus enim eſt alterius cauſa. Anima vero eſt id, propter quod quid eſt. Hinc etiam fabrica animalium alia atque alia eſt pro animæ proprietate, quæ unicuique ineſt. Sed anima quidem animalium principium eſt remotius: natura vero proximum. Eorum vero, quæ animam ſequuntur, alia quidem ipſam ſequuntur; alia vero totum animal: id eſt, ex anima & corpore conſtans. Ac animæ quidem affectio eſt intellectus. Is enim ei proprius eſt. Reliquæ vero affectiones, ut ſentire, imaginari, iraſci, concupiſcere, & ſi quid ſimile, utrique communia ſunt. † [Plato] omnium rerum quinque dixit eſſe principia, eſſentiam, identitatem, diverſitatem, motum, & quietem. Hæc autem principia vocavit genera, non qualia ſunt Peripateticorum, quæ a ſe invicem diſtincta ſunt, & a quorum ſingulis ſeries quædam ſubalternorum generum & ſpecierum deducitur: ſed ut quæ univerſam rerum naturam permeant. Eſt enim in omnibus rebus eſſentia, ſecundum quam unumquodque eſt id, quod eſt. Eſt & identitas, quatenus unum omnium noſtrum eſt principium. Habemus & diverſitatem, quoniam rerum eſt multitudo. Ubicunque enim eſt multitudo, ibi & diverſitas. Eſt etiam in omnibus motus. Motum autem dico, non imperfectam cujuſque rei actionem, ſed efficacem. Omnia enim, vel ipſa inanima, ſuam habent actionem. Vel enim calefaciunt, vel frigefaciunt res vicinas, vel humectant, vel ſiccant, vel aliquid ſimile faciunt. Quin etiam quies in omnibus cernitur. Nam ea, quæ ſunt immobilia, quietem participant. Non ſolum autem quies dicitur de re quæ tota & omnino quieſcit; ſed ipſa perſeveratio in continuo motu quies eſt. Quatenus igitur ea, quæ moventur, vel ſemper vel ad aliquod tempus in motu perſeverant, eatenus quietem participant.

Ἀρχήν. τὰ πρῶτα. παρευθύ. Ναρσῆν μὲν γὰρ οὐδὲ τὴν ἀρχὴν [4] ὑποστήσασθαι ᾤοντο.

Ἀρχηγέτης. ἡγεμών.

Ἀρχὴ [5] ἄνδρα δείκνυσιν. ἐπὶ τοῦ περὶ μὲν τῆς ἀρ-

Ἀρχήν. Primum. Initio. Statim. *Exiſtimabant enim fore, ut Narſes ne primum quidem impetum ſuſtinere poſſet.*

Ἀρχηγέτης. Dux.

Ἀρχὴ ἄνδρα δείκν. *Magiſtratus virum demon-*

---

[1] Ὁ δὲ Ἀριστοτέλης φησὶν, ὅτι ἡ ψυχὴ οἷον ἀρχὴ τῶν ζ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, deſcripta ſunt ex Philopono in librum 1. Ariſtotelis *de Anima* A. 6. & C. 1.

[2] Οὐ μόνον τὸ τὴν ὁλότητα ἑστάναι, ἀλλὰ καὶ αὐτὸ τὸ μ.] Ut hic locus intelligatur, legenda ſunt ea, quæ Suidas infra v. Κίνησις ex Philopono adducit.

[3] Κινούμενα] Hæc vox a prioribus Edit. abeſt, quam ex Philopono revocavi.

[4] Ὑποστήσασθαι] Malim ὑποστήσεσθαι.

[5] Ἀρχὴ ἄνδρα δείκνυσιν] Apophthegma hoc a Diogeniano & Harpocratione etiam refertur; ejuſque ſenſum Sophocles *Antigone* pag. 221. his verbis exprimit:

Ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν
Ψυχήν τε καὶ φρόνημα καὶ γνώμην, πρὶν ἂν
Ἀρχαῖς τε καὶ νόμοισιν ἐντριβὴς φανῇ.

Scholiaſta ad eum locum: Οἱ μὲν Χίλωνι ἀνατιθέασι τὴν γνώμην, οἱ δὲ Βίαντι, ὅτι ἀρχὴ ἄνδρα δείκνυσιν. Vide etiam Menagium ad Laertium lib. 1. Segm. LXXVII.

χῆς ἐπιεικῶν· ἐν αὐτῇ δὲ τῇ ἀρχῇ βιαίων γενομένων. Σόλωνος δὲ εἶναί φασι τοῦτο τὸ ἀπόφθεγμα. Ἀριστοτέλης δὲ καὶ Θεόφραστος, Βίαντος.

Ἀρχὴ ἥμισυ παντός. ἐπὶ τῶν τινὸς ἀρχομένων καὶ προκοπτόντων.

Ἀρχὴν[1] ἰᾶσθαι πολὺ λῷον, ἢ τελευτήν. δηλοῖ δὲ ἡ παροιμία, ὡς ἀρχομένου τινὸς καὶ πάθους καὶ ἄλλου τινὸς δεινοῦ μᾶλλον ἐστὶ κωλύειν, ἢ ἀκμάσαντος καὶ τελειωθέντος.

Ἀρχὴν[2] μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον,
Μηδ᾽ ἐσιδεῖν αὐγὰς ὀξέος ἠελίου.
Φύντα δ᾽ ὅπως ὤκιστα πύλας ἀΐδαο περῆσαι.

ἐπὶ τῶν δυστυχῶς βεβιωκότων.

Ἀρχήσαντος. ἄρξαντος.

Ἀρχὴ[3] Σκυρία. ἐπὶ τῶν εὐτελῶν καὶ μηδὲν λυσιτελὲς ἐχόντων. παρόσον πετρώδης καὶ λυπρὰ καὶ διὰ τοῦτο πενιχρὰ ἡ Σκῦρος, οὐδὲν φέρουσα λόγου ἄξιον. οἱ δὲ, ἀπὸ Θησέως· ὅτι ἐπιθέμενος τῇ Λυκομήδους ἀρχῇ, καὶ πειρῶν τὴν γυναῖκα αὐτοῦ, κατακρημνισθείη. ὀστρακισθῆναι δὲ πρῶτον Ἀθήνησι Θησέα ἱστορεῖ Θεόφραστος ἐν[4] τοῖς πρώτοις καιροῖς.

Ἀρχιάδας.[5] οὗτος οἷος ἦν τὴν ψυχὴν ἀπεδείκνυτο. πλείστων γὰρ αὐτῷ χρημάτων διηρπασμένων, ἐπειδὴ ᾔσθετο Θεαγένη ἔτι παιδίον ὄντα λυπούμενον ἐπὶ τοῖς ἀπολωλόσι καὶ πεπορθημένοις, ὦ Θεάγενες, ἔφη, θαῤῥεῖν ἤδη σε χρὴ, καὶ τοῖς θεοῖς ὁμολογεῖν σωτηρίους χάριτας, ὑπὲρ δὲ τῶν χρημάτων οὐκ ἀθυμητέον. εἰ γὰρ Ἀθηνᾶ ἡ Πολιὰς ἐκέλευσεν αὐτὰ ἀναλῶσαι Παναθηναίοις, πόσου ἂν ἐπριάμεθα τὴν δαπάνην ταύτην; ἀλλὰ τὸν παρόντα ἀγῶνα καὶ Παναθηναίων ἡγεῖσθαι δεῖ καὶ παντὸς ἑτέρου λαμπρότερόν τε καὶ εὐσεβέστερον.

Ἀρχίας.[6] οὗτος βουλόμενος τὴν Κύπρον προδοῦναι Δημητρίῳ, καὶ φωραθεὶς, καὶ ἐς κρίσιν ἀχθεὶς,

ſtrat. Dicitur de iis, qui ante magiſtratum modeſtos, in ipſo vero magiſtratu violentos ſe præbent. Hoc apophthegma Solonis eſſe dicunt. Ariſtoteles vero & Theophraſtus id Soloni tribuunt.

Ἀρχὴ ἥμισυ π. *Principium dimidium totius.* Dicitur de iis, qui in re incepta progreſſus faciunt.

Ἀρχὴν ἰᾶσθαι. *Multo melius eſt principio mederi, quam fini.* Proverbium docet, malo naſcenti facilius obſtari poſſe, quam corroborato & ad ſummum incrementum perducto.

Ἀρχὴν μὲν μὴ φ. *Primum quidem non naſci mortalibus eſt optimum, neque lucem hanc intueri. Deinde vero natum quam citiſſime ex hac vita rurſus diſcedere.* Dicitur de iis, qui infeliciter vixerunt.

Ἀρχήσαντος. Illius, qui magiſtratum geſſit.

Ἀρχὴ Σκυρία. *Principatus Scyrius.* Dicitur de rebus vilibus & prorſus inutilibus. Inſula enim Scyrus eſt ſaxoſa & ſterilis, eamque ob cauſam pauper, nihilque, quod quidem alicujus ſit pretii, producens. Alii vero dicunt, Theſeum Lycomedis regno inſidiantem & uxorem ejus ad ſtuprum ſollicitantem de ſaxo præcipitatum eſſe, & inde proverbium hoc ortum. Theophraſtus autem ἐν τοῖς πρώτοις καιροῖς refert, Theſeum Athenis primum oſtraciſmo mulctatum fuiſſe.

Ἀρχιάδας. Archiadas. Hic, quo fuerit animo, demonſtravit. Cum enim maxima parte bonorum ſibi erepta Theagenem puerum adhuc ob facultates amiſſas & direptas triſtiore eſſe animo animadvertiſſet, o Theagenes, inquit, nunc bono te animo eſſe, & Diis pro ſalute data gratias agere oportet, neque ob jacturam bonorum animus deſpondendus eſt. Si enim Minerva Polias in Panathenæa eas impendere juſſiſſet, quanti ſumptum hunc redemiſſemus? At præſens certamen & gloriosius & majore cum pietate conjunctum putari debet, quam Panathenæa & quodvis aliud feſtum.

Ἀρχίας. Archias. Hic Cyprum Demetrio prodere cum vellet, deprehenſus &

---

[1] Ἀρχὴν ἰᾶσθαι πολὺ λῷον, ἢ τελ.] Hæc, & quæ ſequuntur, deſcripta ſunt ex Harpocratione.

[2] Ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθ.] Eſt ſententia Theognidis, quæ etiam refertur a Clemente Alexandrino *Strom.* lib. III. pag. 315. Ναὶ μὴν καὶ Θέογνις τὴν γένεσιν δείκνυσι κακὴν ὧδέ πως λέγων·

Πάντων μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον,
Μηδ᾽ ἐσορᾷν αὐγὰς ὀξέος ἠελίου·
Φύντα δ᾽ ὅπως ὤκιστα πύλας ἀΐδαο περῆσαι,
Καὶ κεῖσθαι πολλὴν γῆν ἐπαμησάμενον.

Huc ſpectant verba Sileni apud Plutarchum *Conſol. ad Apoll.* pag. 115. Ἀνθρώποις δὲ πάμπαν οὐκ ἔστι γενέσθαι τὸ πάντων ἄριστον, οὐδὲ μεταχεῖν τῆς τοῦ βελτίστου φύσεως. Ἄριστον γὰρ πᾶσι καὶ πάσαις τὸ μὴ γενέσθαι· τὸ μέντοι μετὰ τοῦτο καὶ τὸ πρῶτον τῶν ἄλλων ἀνυστὸν, δεύτερον δὲ, τὸ γενομένους ἀποθανεῖν ὡς τάχιστα. Alexis apud Athen. lib. III. cap. XXXV.

Οὔκουν τὸ πολλοῖς τῶν σοφῶν εἰρημένον,
Τὸ μὴ γενέσθαι μὲν κράτιστόν ἐστ᾽ ἀεὶ,
Ἐπὰν γένηται δ᾽ ὡς τάχιστ᾽ ἔχειν τέλος.

Cicero apud Lactantium lib. III. pag. 304. *Non naſci longe optimum, nec in hos ſcopulos incidere vitæ: proximum autem, ſi natus ſis, quam primum tanquam ex incendio effugere.* Poſidippus apud Stobæum Eclog. XCVI. fol. 464.

Ἦν ἄρα τῶν πάντων τόδε λῷον, ἢ γενέσθαι
Μήποτε, ἢ θανεῖν αὐτίκα τικτόμενον.

Eadem γνώμη Poſidippi Anthol. lib I. cap. XIII. Epigr. III. ſic legitur:

Ἦν ἄρα τοῖν δυοῖν ἑνὸς αἵρεσις, ἢ τὸ γενέσθαι
Μηδέποτ᾽, ἢ τὸ θανεῖν αὐτίκα τικτόμενον.

Sed lectio Stobæi præferenda eſt. Cæterum ſententiam hanc exagitat, eamque ut ineptam rejicit Lactantius lib. III. pag. 303.

[3] Ἀρχὴ Σκυρία. ἐπὶ τῶν εὐτελῶν καὶ μηδὲν λυσ.] Hæc αὐτολεξεὶ etiam leguntur apud Euſtathium ad Il. I. pag. 782. qui ea ex Pauſaniæ Lexico ſe deſcripſiſſe teſtatur.

[4] Ἐν τοῖς πρώτοις καιροῖς] Sic etiam legitur apud Apoſtolium. At Mauſſacus ad Harpocrationem v. Ἐπίσκοπος reponendum putat vel ἐν τοῖς περὶ τοὺς καιροὺς, vel ἐν τοῖς περὶ καιρῶν: a quo diſſentit Menagius ad Laert. lib. V. Segm. XLV. qui vulgatam lectionem tuetur. At ego cum Pearſonio exiſtimem legendum eſſe ἐν πρώτῳ περὶ καιρῶν. Scripſerat enim Theophraſtus duos libros περὶ καιρῶν, ut Laertius teſtatur. Horum priorem Suidas hoc loco citat: poſteriorem vero infra v. Κυψελιδῶν. Ab his libris περὶ καιρῶν diverſum erat opus ejuſdem Theophraſti περὶ τοὺς καιροὺς inſcriptum, quod tamen cum priori confundit Voſſius, recte ideo reprehenſus a Reineſio *Var. Lect.* pag. 385. quem vide.

[5] Ἀρχιάδας. οὗτος οἷος ἦν τὴν ψυχ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, Damaſcii eſſe Pearſonius ſuſpicatur: quod verum exiſtimo. Vide Excerpta ex Damaſcio apud Photium pag. 1066. ubi Archiadæ hujus mentio fit. Ejuſdem etiam meminit Marinus in *Vita Procli* cap. XIII. & alibi.

[6] Ἀρχίας. οὗτος βουλόμενος τὴν Κύπρον προδ.] Hæc, & quæ ſequuntur, ſunt verba Polybii, quæ leguntur in Collectaneis Conſtantini a Valeſ. editis pag. 170. unde Suidas ea deſcripſit.

χαλωδίῳ τῶν ἐκ [1] τῆς αὐλαίας [2] παραπετασμάτων ἑαυτὸν ἀπεκρέμασε. τῷ γὰρ ὄντι διὰ τὰς ἐπιθυμίας κενοὶ κενὰ λογίζονται, κατὰ τὴν παροιμίαν. καὶ γὰρ ἐκεῖνος δόξας φ΄ τάλαντα προσλήψεσθαι, καὶ τὰ προϋπάρχοντα χρήματα καὶ τὸ πνεῦμα προσαπέβαλεν.

Ἀρχίας [3] Συρακούσιος καὶ Μύσκελος Ἀχαιὸς ἧκον ἐς Δελφοὺς ἐν τῷ αὐτῷ τοῦ χρόνου, καὶ ᾔτουν ἄρα ὑπὲρ ὧν ἔμελλον οἰκίζειν πόλεων φήμην ἀγαθὴν λαβεῖν, τὸν ἐπινηθέντα αὐτοῖς τε καὶ ταῖς πόλεσιν αὐτῶν βίον. λέγει δὲ ἡ Πυθία·

Χώρας καὶ πόλεως οἰκήτορα λαὸν ἔχοντες
Ἤλθετ' ἐρησόμενοι Φοῖβον, τίνα γαῖαν ἵκησθε.
Ἀλλ' ἄγε δὴ φράζεσθ' ἀγαθῶν πότερόν κεν ἕλοισθε,
Πλοῦτον ἔχειν κλεάνων, ἢ τερπνοτάτην ὑγίειαν.

Ἐπεὶ τοίνυν ταῦτα ἠκουσάτην, Ἀρχίας ὢν φιλοχρήματος πλούτου περιβολὴν αἱρεῖται· οὐδὲ ἐψεύσθη τῆς ἐλπίδος. παμπλούσιος γοῦν ἡ πόλις Συράκουσα κατὰ τὴν φήμην τὴν Πυθιάδα ἐγένετο. Μύσκελος δὲ αἱρεῖται αὐτός τε ὑγιαίνειν καὶ ἡ πόλις. καὶ ἀπώνητο ὧν ᾔτησε. δεῖγμα οὖν τῆς ἐν Κρότωνι ὑγιείας, ὅτι ῥωμαλέοι τε εἰσὶν οἱ οἰκήτορες, καὶ ἀθλητῶν ἡ πόλις πολλῶν καὶ ἀγαθῶν μήτηρ ἐγένετο. πλοῦτος ἄρα καὶ ὑγίεια δῶρα ἄμφω ἐστόν· αἵρεσις δὲ ἐρρωμένη καὶ διάνοια ὑγιαίνουσα αἱρεῖται τὰ βελτίω, ὡς ἀπέφηναν καὶ οὗτοι· ὁ μὲν, συνετώτερος ὤν· ὁ δὲ, οὐ πάντη ἐλευθέριος. Τῶν οὖν ἀγαθῶν τῶν ἀνθρωπικῶν τὸ μὲν πρεσβύτερον· τὸ δὲ δεύτερον, ὡς [4] καὶ Πλάτων φησὶ, καὶ τὸ Σκολιὸν ᾄδει.

Ἀρχίβιος, Ἀπολλωνίου, γραμματικός. τῶν Καλλιμάχου Ἐπιγραμμάτων ἐξήγησιν.

Ἀρχίβιος, Πτολεμαίου, Λευκάδος ἢ Ἀλεξανδρεύς, γραμματικὸς, τῶν ἕως Τραϊανοῦ τοῦ Καίσαρος ἐν Ῥώμῃ παιδευσάντων.

Ἀρχιγένης, Φιλίππου, Ἀπαμεὺς Συρίας, ἰατρὸς, μαθητὴς Ἀγαθίνου, ἐπὶ Τραϊανοῦ ἰατρεύσας ἐν Ῥώμῃ, βιοὺς ἔτη ξγ΄, καὶ συγγράψας πολλὰ ἰατρικά τε καὶ φυσικά.

Ἀρχιδάμιος [5] πόλεμος. τοῦ Πελοποννησιακοῦ πολέμου τὰ πρῶτα ἔτη Ἀρχιδάμιος ἐκλήθη πόλεμος, ἀπὸ τοῦ Ἀρχίδαμον εἰς τὴν Ἀττικὴν ἐμβαλεῖν.

Ἀρχίδιον. ὑποκοριστικῶς ἡ ἀρχή. [6] Ἀριστοφάνης· Κἂν λαχόντες ἀρχίδιον, εἶτα βούλησθ' ἁρπάσαι τι

in judicium adductus, funiculo veli, quod aulæ prætendebatur, ſe ſuſpendit. Revera enim homines vani cupiditatibus decepti vana animo agitant, ut fert proverbium. Namque ille quingenta talenta ſe lucraturum ſperans, & quas antea poſſidebat opes & præterea ſpiritum amiſit.

Ἀρχίας. Archias Syracuſanus & Myſcelus Achæus Delphos eodem tempore venerunt, de urbibus, quas condituri erant, oraculum conſulturi, & ſciſcitaturi fata, quæ ſibi urbibuſque ſuis decreta eſſent. Illis igitur Pythia reſpondet: *Vos novæ coloniæ duces veniſtis ſciſcitaturi ex Phœbo, quæ terra vobis petenda ſit. Sed agite, conſiderate nunc, utrum bonorum eligere præſtet: an copiam divitiarum; an vero jucundiſſimam ſanitatem.* His auditis, Archias, homo pecuniæ avidus, opum abundantiam optat: neque ſpe ſua fruſtratus eſt. Nam urbs Syracuſana ſecundum oraculum Pythium opulentiſſima evaſit. Myſcelus vero optans ut & ipſe & urbs ſua ſecunda valetudine fruerentur, voti ſui compos factus eſt. Sanitatis enim Crotonienſium manifeſtum eſt argumentum, quod valentes ſint & robuſti, & urbs eorum multos forteſque athletas tulerit. Divitiæ igitur & ſanitas ambo [Dei] dona ſunt, ſed mens robuſta & ſana eligit meliora: quod & hi declararunt; quorum alter fuit prudentior, alter vero ingenii minus liberalis. Bonorum igitur humanorum alterum eſt primarium; alterum vero ſecundarium: ut & Plato inquit, & Scolium canit.

Ἀρχίβιος. Archibius, Apollonii filius, Grammaticus, Callimachi Epigrammatum enarrationem ſcripſit.

Ἀρχίβιος. Archibius, Ptolemæi filius, Leucadius, vel Alexandrinus, Grammaticus ex eorum numero, qui Romæ uſque ad Trajanum Imperatorem docuerunt.

Ἀρχιγένης. Archigenes, Philippi filius, Apamenſis, (ex Apamea urbe Syriæ) Medicus, Agathini diſcipulus, qui Romæ ſub Trajano artem medicam exercuit. Vixit annos LXIII, multaque Medica & Phyſica ſcripſit.

Ἀρχιδάμιος πόλεμος. Archidamium bellum. Belli Peloponneſiaci anni priores bellum Archidamium dicuntur, ab Archidamo, qui irruptionem in Atticam fecit.

Ἀρχίδιον. Minimus magiſtratus. Ariſtophanes: *Et ſi vel minimum Magiſtratum adepti deinde rapere velitis aliquid.*

---

[1] Ἐκ τῆς αὐλαίας παραπετασμάτων] Vel ſcribendum eſt χαλωδίῳ τῶν τῆς αὐλῆς παραπετασμάτων: vel, τῆς παραπεπετασμένης αὐλαίας, ut infra v. Αὐλαία.

[2] Παραπετασμάτων] Infra v. Κενοὶ, ubi locus hic repetitur, legitur παραπεπετασμένων: quæ lectio admitti poteſt, ſi præcedentia quoque mutentur, & pro τῶν ἐκ τῆς αὐλαίας legatur τῶν αὐλαιῶν

[3] Ἀρχίας Συρακούσιος καὶ Μύσκ. Ἀχαιὸς ἧκον ἐς Δελφοὺς ἐν τῷ αὐτ.] Eandem hiſtoriam idemque oraculum refert Enarrator Comici ad *Equit.* pag. 351. qui omnino cum hoc loco Suidæ conferendus eſt. Vide etiam Stephanum Byzantium v. Συράκουσαι, & Euſtath. ad Dionyſium v. 369. itemque infra v. Μύσκελος & v. Πλουθυγίειαν.

[4] Ὡς καὶ Πλάτων φησὶ] Locus Platonis exſtat in *Gorgia* pag. 283. ubi Philoſophus inquit: Οἶμαι γάρ σε ἀκηκοέναι ἐν τοῖς συμποσίοις ᾀδόντων ἀνθρώπων τοῦτο τὸ Σκολιόν· ἐν ᾧ καταριθμοῦνται ᾄδοντες, ὅτι ὑγιαίνειν μὲν ἄριστόν ἐστι· τὸ δὲ δεύτερον καλὸν γενέσθαι· τρίτον δὲ, ὥς φησιν ὁ ποιητὴς τοῦ Σκολιοῦ, τὸ πλουτεῖν ἀδόλως. i. e. *Puto enim te audiviſſe Scolium illud, quod in conviviis cani ſolet: Optimum omnium eſſe ſanitatem: huic proximum, egregiam formam: tertium vero, ut auctor Scolii ait, divitias nulla fraude quaſitas.* Vide etiam Athen. lib. xv. pag. 694. qui ipſum Scolium exhibet, ad quod Plato hic reſpicit.

[5] Ἀρχιδάμιος πόλεμος. τοῦ Πελοπ. πολ.] Ex Harpocratione.

[6] Ἀριστοφάνης] *Avibus* pag. 594. (411. Ed. Baſ. *P.*)

Ἀρχιειρεσία. κωπηλασία.

Ἀρχίκλοπος. ὁ ἀρχαῖος κλέπτης.

Ἀρχίλοχος. ὅτι τῶν σπουδαίων οὐδὲ θανόντων οἱ Θεοὶ λήθην τίθενται. Ἀρχίλοχον γοῦν ποιητὴν γενναῖον τἄλλα, εἴ τις αὐτοῦ τὸ αἰσχροεπὲς καὶ τὸ κακόρρημον ἀφέλοι, καὶ οἱονεὶ κηλῖδα ἀπορρύψαι, ὁ Πύθιος ἠλέει τεθνεῶτα. καὶ ταῦτα ἐν τῷ πολέμῳ, ἔνθα δήπου ξυνὸς Ἐνυάλιος. [1] καὶ ὅτε ἧκεν ὁ ἀποκτείνας αὐτὸν, Καλώνδας μὲν ὄνομα, Κόραξ δὲ ἐπώνυμον, τοῦ Θεοῦ δεόμενος ὑπὲρ ὧν ἐδεῖτο, οὐ προσήκατο αὐτὸν ἡ Πυθία ὡς ἐναγῆ, ἀλλὰ ταῦτα δήπου τὰ [2] θρυλλούμενα ἀνεῖπεν. ὁ δὲ ἄρα προεβάλλετο τὰς τοῦ πολέμου τύχας, καὶ ἔλεγεν, ὡς ἧκεν εἰς ἀμφίβολον ἢ δρᾶσαι, ἢ παθεῖν, ὅσα ἔπραξε, καὶ ἠξίου μὴ ἀπεχθάνεσθαι τῷ Θεῷ, εἰ τῷ ἑαυτοῦ δαίμονι ζῇ, καὶ ἐπηρᾶτο, ὅτι μὴ τέθνηκε μᾶλλον, ἢ ἀπέκτεινε. καὶ ταῦτα ὁ Θεὸς οἰκτείρει, καὶ αὐτὸν κελεύει ἐλθεῖν εἰς Ταίναρον, ἔνθα Τέττιξ τέθαπται, καὶ μειλίξασθαι τὴν τοῦ [3] Τελεσικλείου παιδὸς ψυχὴν, καὶ πραῦναι χοαῖς. οἷς ἐπείσθη· καὶ τῆς μήνιδος τῆς ἐκ τοῦ Θεοῦ ἐξάντης ἐγένετο. Καὶ παροιμία· Ἀρχίλοχον πατεῖς. ἐπὶ τῶν κακηγόρων καὶ λοιδόρων.

Ἀρχιμήδης, Τραλλιανὸς, Φιλόσοφος. ὑπόμνημα εἰς Ὅμηρον, καὶ Μηχανικά.

Ἀρχίου. [4] τοῦ ἐπικληθέντος [5] Φυγαδοθήρα.

Ἄρχιππος, Ἀθηναῖος, κωμικὸς ἀρχαῖος, ἐνίκησεν ἅπαξ ἐπὶ τῆς ἐννενηκοστῆς πρώτης Ὀλυμπιάδος.

Ἀρχισυνάγωγος. ὁ ἀρχηγός.

Ἄρχων. Ἄρχοντες οἱ ἐννέα τινές· Θεσμοθέται ἕξ, Ἄρχων, Βασιλεὺς, Πολέμαρχος. καὶ πρὸ μὲν τῶν Σόλωνος νόμων οὐκ ἐξῆν αὐτοῖς ἅμα δικάζειν· ἀλλ' ὁ μὲν Βασιλεὺς καθῆστο παρὰ τῷ καλουμένῳ Βουκολείῳ· τὸ δὲ ἦν πλησίον τοῦ Πρυτανείου· ὁ δὲ Πολέμαρχος, ἐν Λυκείῳ· καὶ ὁ Ἄρχων, παρὰ τοὺς Ἐπωνύμους· οἱ Θεσμοθέται, παρὰ τὸ Θεσμοθέσιον. κύριοί τε ἦσαν, ὥστε τὰς δίκας αὐτοτελεῖς ποιεῖσθαι. ὕστερον δὲ Σόλωνος αὐτοῖς νομοθετήσαντος, οὐδὲν ἕτερον αὐτοῖς ἐτελεῖτο ἢ μόνον [6] ὑποκρίνειν τοὺς ἀντιδίκους.

Ἄρχων [7] χρόπος. ἀρχηγός. προηγός. [8] Ἄρχων χρόνος πημάτων. † [9] Τὸν ἄρχοντα τῶν ἀρχομένων εἵνεκα πάντα διαπράττεσθαι δεῖν. ὁ δὲ Ἡγείας ἠξίου οὐ μόνον τὸν ἄρχοντα τῶν ἀρχομένων τίθεσθαι πρόνοιαν, ἀλλὰ καὶ αὐτοὺς πρὸς ἐκείνων. ἑκάστῳ γὰρ εἶναι τὴν ἔφεσιν τοῦ ἀγαθοῦ πρὸς ἑαυτὸν μᾶλλον ἢ πρὸς ἕτερον.

Ἀρχειρεσία. Remigatio.

Ἀρχίκλοπος. Antiquus fur.

Ἀρχίλοχος. Archilochus. Virorum bonorum ne poſt obitum quidem Dii obliviſcuntur. Archilochum enim poetam, cætera bonum, (ſi fœdam ejus maledicentiam tollas, eamque velut maculam eluas) Pythius mortuum etiam miſeratus eſt: idque in bello, ubi Mars communis eſt. Nam cum ille, qui ipſum interfecerat, nomine Calondas, cognomine vero Corvus, [Delphos] veniſſet, a Deo rem aliquam neceſſariam petiturus, Pythia ut piaculo dignum non admiſit, ſed ei notiſſimum illud reſponſum dedit. At ille belli caſus excuſans, dicenſque, ſe in diſcrimen veniſſe aut faciendi aut patiendi ea quæ feciſſet, Deum rogabat, ne ſe ut inviſum averſaretur, ſi fato ſuo viveret, mala ſibi imprecans, quod non potius ipſe obiiſſet, quam illum interfeciſſet. His Deus ad miſericordiam commotus, eum in Tænarum, ubi Tettix ſepultus erat, abire, & filii Teleſiclis animam inferiis placare juſſit. Huic mandato cum paruiſſet, indignationem Dei evaſit. Et proverbium: *Archilochum calcas*: quod dicitur in homines maledicos.

Ἀρχιμήδης. Archimedes, Trallianus, Philoſophus. Scripſit commentarium in Homerum, & Mechanica.

Ἀρχίου. Archiæ, qui Φυγαδοθήρας cognominatus eſt.

Ἄρχιππος. Archippus, Athenienſis, Comicus antiquus, qui ſemel vicit Olympiade XCI.

Ἀρχισυνάγωγος. Synagogæ princeps.

Ἄρχων. Archontes [Athenis] novem erant: Theſmothetæ ſex, Archon, Rex, Polemarchus. Ac ante Solonis leges ipſis una jus dicere non licebat: ſed Rex judicabat ad Bucoleum, ita dictum: (id autem erat prope Prytaneum:) Polemarchus in Lyceo: Archon juxta Eponymos; & Theſmothetæ ad Theſmotheſium. Hi liberam habebant poteſtatem lites dijudicandi, ita ut ab eorum ſententia ad aliud judicium provocare non liceret. Poſt leges vero a Solone latas nihil aliud ipſis relictum fuit, quam ut litigantes examinarent.

Ἄρχων χρ. Dux. Princeps. Arbiter. *Tempus malorum arbiter*. † Principem ſubjectorum cauſa omnia facere oportet. Hegias vero æquum eſſe cenſebat, ut non ſolum Princeps ſubditorum curam gereret, ſed etiam ipſi ſubditi Principis rationem viciſſim haberent. Quenquam enim ſibi melius eſſe ὁ δὲ Ἰσίδωρός φησιν, τὸν [1] ἄρχοντα ἢ ἄρχοντος ἀκούειν, εἰ δὴ καὶ ἑαυτοῦ φροντίδα ποιοῖτο, ὡς ἑνός γε καὶ ἑαυτοῦ τῶν ἀρχομένων καὶ δεομένων προνοίας. τὸν γάρ τοι ἄρχοντα τῷ ἀκριβεῖ λόγῳ δεῖσθαι μηδενός. ᾗ δὲ ἄνθρωπος ὁ τεχνίτης δέοιτο ἄν· οἷον ἰατρὸς τῆς ἰατρικῆς, εἰ νοσήσειεν. ἰατρικὴ δὲ οὐκ ἄν ποτε νοσήσειεν. οὐ τοίνυν οὐδὲ ὁ κατὰ τὴν ἰατρικὴν ἑστὼς ἰατρός· οὐ τοίνυν οὐδὲ κατὰ τὴν ἀρχικὴν ἐπιστήμην ἄρχων ὁρώμενος. λογικώτερον δὲ εἰπεῖν ἐπιχειρητέον, ὡς τὰ πρός τι οὐ λέγεται μόνον, ἀλλὰ καί ἐστι πρὸς ἄλληλα. ἄρχων ἄρα πρὸς ἀρχομένους, καὶ ἀρχόμενος πρὸς ἄρχοντα καὶ λέγονται καί εἰσιν. ὥστε εἴ τι τὸ ἄρχειν ὠφελεῖ τοὺς ἀρχομένους, ὠφελήσει πρὸς οὓς καὶ τὸ ἄρχειν προβέβληται.

---

[1] Καὶ ὅτε ἧκεν ὁ ἀποκτείνας αὐτὸν, Καλ.] Hiſtoria hæc a pluribus ſcriptoribus refertur. Vide Oenomaum apud Euſeb. de *Præp. Evang.* lib. v. cap. XXXIII. & Ariſtidem Tom. III. pag. 487.

[2] Τὰ θρυλλούμενα ἀνεῖπεν] Excidit hic reponſum Pythiæ, quod tale erat:

Μουσάων θεράποντα κατέκτανες· ἔξιθι νηοῦ.

Vide Galenum ἐν Προτρεπτικῷ ἐπὶ τὰς τέχνας, cap. IX.

[3] Τελεσικλείου παιδὸς] Id eſt, Archilochi. Pater enim Archilochi vocabatur Teleſicles, ut patet ex oraculo, quod exſtat apud Stephanum Byzantium v. Θάσος, & Euſeb. *de Præpar. Evang.* lib. VI. cap. VII.

[4] Ἀρχίου. τοῦ ἐπικληθέντος Φυγαδοθήρα] Locus, ad quem Suidam reſpexiſſe puto, exſtat apud Photium pag. 1481. ubi Archiæ hujus mentio fit.

[5] Φυγαδοθήρα] MSS. Pariſ. habent Φυγοθήρα. Sed Φυγαδοθήρας vero lectio eſt, quoniam Archias hic ita appellatus fuit, quod τοὺς φυγάδας, ſive oratores, quos Antipater Rex Macedoniæ ſibi dedi poſtulaverat, Athenis fugientes perſequeretur, & quaſi venaretur, ut docet Plutarchus *Demoſthene* pag. 859. quem vide.

[6] Ὑποκρίνειν] Legendum puto ἀνακρίνειν: quæ & Pearſonii conjectura eſt.

[7] Ἄρχων χρόπος] Sic male omnes Edit. habent: cujus loco ex Sophocle ſcribendum eſt Ἄρχων χρόνος; ut & Portus monuit.

[8] Ἄρχων χρόνος πημάτων] Hæc ſunt verba Sophoclis *Ajace* pag. 55. ut Portus obſervavit.

[9] Τὸν ἄρχοντα τῶν ἀρχομένων εἵνεκα πάντα διαπράττεσθαι.] Hæc, & quæ ſequuntur, ex Damaſcio deprompta eſſe Pearſonius ſuſpicatur: quod verum eſſe exiſtimo.

malle, quam alteri. Iſidorus vero inquit, Principem, quatenus eſt Princeps, nullius indigere: & ſi ſui quoque curam gerat, ut unius ſubditorum, quibus cura & providentia opus eſt. Cæteroqui Principem, ſi accurate rem examinemus, nullius indigere. Eodem modo artifex, quatenus eſt homo, aliqua re indigere poteſt: velut medicus medicina, ſi ægrotet. Ipſa vero ars medica nunquam ægrotaverit: nec medicus, quatenus eſt medicus. Ergo nec Princeps, quatenus ſpectatur ut Princeps, [alicujus indigebit.] Sed ſecundum ſubtiliorem argumentandi rationem dicendum eſt, Relata non ſolum eſſe quæ ſic dicantur, ſed etiam quæ ad ſe invicem reſpectum habeant. Princeps ergo ſubditos, & ſubditi ad Principem relationem & habent & habere dicuntur. Itaque ſi imperii adminiſtratio populo prodeſt, proderit etiam ei, cui ejus adminiſtratio commiſſa eſt.

Ἀρχύτας, [2] Ταραντῖνος, Ἑστιαίου υἱὸς, ἢ Μνησάρχου, ἢ Μνασαγόρου, φιλόσοφος Πυθαγορικός. οὗτος Πλάτωνα ἔσωσε μὴ φονευθῆναι ὑπὸ Διονυσίου τοῦ τυράννου. τοῦ κοινοῦ δὲ τῶν Ἰταλιωτῶν προέστη, στρατηγὸς αἱρεθεὶς αὐτοκράτωρ ὑπὸ τῶν πολιτῶν καὶ τῶν περὶ ἐκεῖνον τὸν τόπον Ἑλλήνων. ἅμα δὲ καὶ φιλοσοφίαν ἐκπαιδεύων μαθητάς τε ἐνδόξους ἔσχε, καὶ βιβλία συνέγραψε πολλά. τοῦτον φανερῶς γενέσθαι διδάσκαλον Ἐμπεδοκλέους. Καὶ παροιμία· Ἀρχύτου πλαταγή. Ὅτι Ἀρχύτας πλαταγὴν εὗρεν, ἥτις ἐστὶν εἶδος ὀργάνου, ἦχον ἢ ψόφον ἀποτελοῦντος. ὁ δὲ πλαταγὴν χαλκευσάμενος ἐπλαλάγει.

Ἀρχύτας. Archytas, Tarentinus, Heſtiæi filius, aut Mneſarchi, aut Mnaſagoræ, Philoſophus Pythagoricus, qui Platonem ſervavit, cum eum Dionyſius tyrannus interfecturus eſſet. Hic communi Italiotarum præfuit, Dictator a civibus & vicinis Græcis creatus. Idem Philoſophiam docuit, & celebres diſcipulos habuit, multoſque libros ſcripſit. Hunc Empedoclis diſcipulum fuiſſe manifeſtum eſt. Et proverbium: *Archytæ crepitaculum.* Archytas enim crepitaculum invenit, quod eſt inſtrumentum ſonum ac ſtrepitum edens. Ille igitur crepitaculo, quod fabricaverat, crepitum edidit.

Ἅσσα. ὅτε σημαίνει τὸ ὅσα καὶ ἅτινα, δασύνεται. ὅτε δὲ τὸ τινὰ, ψιλοῦται. Τῶν ἅσσα θυμῷ καὶ διὰ μνήμης ἔχω. καὶ ἄσσα γελωτοποιεῖν· ἀντὶ τοῦ, τινὰ σκώπτειν.

Ἅσσα. Quum ſignificat *quæcunque* & *quæ*, aſpiratur. Cum vero ſignificat *aliqua*, tenui ſpiritu notatur. *Quæcunque animo & memoria teneo.* Et ἄσσα γελωτοποιεῖν, aliqua ridere & cavillis excipere.

Ἀσάμινθος. ἡ πύελος, ἡ σκάφη· ἐν [3] αἷς οἱ ἀρχαῖοι ἐλούοντο. οὐκ [4] ἦσαν γὰρ βαλανεῖα. [5] παρὰ τὸ τὴν ἄσιν μινύθειν.

Ἀσάμινθος. Solium, labrum: in quibus veteres ſe lavabant, balneis nondum repertis. [Dictum eſt ἀσάμινθος] inde, quod ſordes minuat.

Ἀσαμωναῖος. ὄνομα κύριον.

Ἀσαμωναῖος. Aſamonæus. Nomen proprium.

Ἄσαρ. εἶδος λαχάνου, ᾧ κέχρηνται οἱ ἰατροὶ εἰς θεραπείαν τῶν νοσούντων.

Ἄσαρ. Genus oleris, quo medici ad curandos morbos utuntur.

Ἀσσάρια. ὀβολοί. Νούμμας, ὁ πρῶτος βασιλεὺς μετὰ Ῥωμύλον Ῥωμαίων γεγονὼς, [6] ἀπὸ σιδήρου καὶ χαλκοῦ πεποιημένα πρῶτος ἐχαρίσατο Ῥωμαίοις, τῶν πρὸ αὐτοῦ πάντων διὰ σκυλίνων καὶ ὀστρακίνων τὴν χρείαν πληρούντων· ἅπερ ὠνόμαζεν ἐκ τοῦ ἰδίου ὀνόματος νουμμία, ὥς φησι Τραγκύλιος.

Ἀσσάρια. Oboli. Moneta. Numa, primus a Romulo Romanorum Rex, ex ferro & ære factam monetam Romæ primus introduxit, cum omnes, qui ipſum anteceſſerant, coriis & teſtis ad eam rem uſi fuiſſent. Hanc monetam de ſuo nomine *nummos* appellavit, ut ait Tranquillus.

Ἄσατο. ἐκορέσθη. ἐνεφορήθη. περὶ Ὤχου τοῦ Πέρσου. Τὸν ἐν Μένδῃ τράγον Πανὸς ἱερὸν κατέθυσέ τε, καὶ σκευάσας ποικίλως ταύτην ὁ δυστυχὴς ἄρα τὴν δαῖτα ἄσατο· Αἰγυπτίων τε λεὼν πάμπολυν ἀποσπά-

Ἄσατο. Satiatus eſt. Repletus eſt. De Ocho Perſa. *Hircum Mendeſium Pani ſacrum mactavit, condimentiſque variis conditum ſceleratus ille in viſcera ſua condidit, & magnam Ægyptiorũ multitudinem ab uxoribus &*

---

[1] Τὸν ἄρχοντα, ἢ ἄρχοντος ἀκούειν] Locus hic mendo laborat, nec ſenſus ei conſtat. Forſan auctor ſcripſerat, τὸν ἄρχοντα, ἢ ἄρχων, μηδενὸς δεῖσθαι. Certe ſenſus tale quid requirit.

[2] Ἀρχύτας, Ταραντῖνος, Ἑστ.] Vide de eo Laertium: itemque Meurſium in *Bibliotheca Græca*.

[3] Ἐν αἷς οἱ ἀρχαῖοι ἐλούοντο. οὐκ ἦσαν γὰρ βαλανεῖα] Artemidorus lib. I. cap. LVI. Οἱ μὲν πάνυ παλαιοὶ τὸ λούεσθαι οὐ καλὸν ἐνόμιζον εἶναι. βαλανεῖα γὰρ οὐκ ᾔδεσαν, ἐπεὶ ἐν ταῖς λεγομέναις ἀσαμίνθοις ἐλούοντο. Ad hunc locum reſpexit Suidas.

[4] Οὐκ ἦσαν] Malim οὐκ ᾔδεσαν, ut apud Artemidorum.

[5] Παρὰ τὸ τὴν ἄσιν μινύθειν] Vide infra v. Αἵματος ἄσαι.

[6] Ἀπὸ σιδήρου καὶ χαλκοῦ πεποιημένα πρῶτος ἐχαρ.] Hæc, & quæ ſequuntur, ipſiſſimis etiam verbis de Numa refert Cedrenus pag. 148. ut Pearſonius obſervavit.

σας γαμετῶν καὶ τέκνων ἐς Πέρσας ἤγαγεν ἀνοίκτως.

Ἀσαφές. ἀνόητον. ἄδηλον.

Ἀσαφείᾳ νυκτὸς ἀπολλύμενος. ὑπὸ σκοτεινότητος δηλαδὴ νυκτὸς, καθ' ἣν τίς τινα ἀναγνωρίσαι οὐ δύναται. ὅθεν καὶ τὸ, σελήνης τὸν ζόφον διασαφούσης. οὕτω γέγραπται ἐν τῇ μαρτυρίᾳ τῶν ἁγίων δισμυρίων.

Ἀσβαμαῖον.[1] ὕδωρ οὕτω καλούμενον.

Ἄσβεστος. ἀκατάπαυστος.

Ἀσβόλη καὶ ἄσβολος. ἡ αἰθάλη τοῦ πυρός. ἡ στακτή.[2] Φεῦ, ἰοὺ τῆς ἀσβόλου. καὶ ἐπὶ δοτικῆς, τῇ ἀσβόλῳ.

[3] Ἀσταγές. τὸ πολυσταγές] Hoc ſenſu vocabulum ἀσταγὲς accipitur a Nicandro in *Theriacis* pag. 23.

Ῥιζόθεν ἐξ ὀνύχων δὲ κατείβεται ἀσταγὲς αἷμα.

Ubi Scholiaſta: Ἀσταγὲς δὲ, ἤτοι τὸ ἄστακτον, ἢ μὴ στάζον, ἀλλὰ κρουνηδὸν φερόμενον, οἱονεὶ πολυσταγές. Apollonius Rhodius lib. III. v. 804.

——Δεῦε δὲ κόλπους
Ἄλληκτον δακρύοισι. τὰ δ' ἔρρεεν ἀσταγὲς αὔτως.

Scholiaſta: Ἀσταγές. ἀντὶ τοῦ πολυσταγές. τὸ γὰρ α νῦν ἐπιτατικόν· ὡς ἄξυλος ὕλη. Hodie tam in textu Apollonii, quam apud Scholiaſtam ejus male legitur ἀστεγές: cujus loco ἀσταγὲς legendum eſſe jamdudum ante monuit ὁ πάνυ Caſaubonus in *Lection. Theocr.* cap. XIV.

[4] Συγχωρεῖν τὸν βασιλέα Θασ.] Idem fragmentum, quod Polybio tribuit Caſaubonus, legitur ſupra v. Ἀνεπισταθμεύτους, & infra v. Ἀφρουρήτους.

[5] Καὶ τὸ ποιητικὸν εἰπεῖν.——λογιζόμενος.] Fragmentum hoc nec F. Urſinus, nec Caſaubonus, nec Valeſius, nec Jacobus Gronovius ad Polybium retulit, cum tamen ejus eſſe haud dubie colligatur ex Appiano *de Bellis Punic.* pag. 136. qui expreſſe teſtatur, Polybium memoriæ prodidiſſe, Scipionem, capta Carthagine, viciſſitudinem & inconſtantiam rerum humanarum animo ſecum reputantem, & patriæ ſuæ exitium præſagientem, verſum illum Homeri, quem Suidas hic adducit, pronuntiaſſe. Verba Appiani hæc ſunt: Ἐπὶ πολὺ δ' ἔννους ἐφ' ἑαυτοῦ γενόμενός τε καὶ συνιδὼν, ὅτι καὶ πόλεις, καὶ ἔθνη, καὶ ἀρχὰς ἁπάσας δεῖ μεταβαλεῖν, ὥσπερ ἀνθρώπους δαίμονα· καὶ τοῦτ' ἔπαθε μὲν Ἴλιον, εὐτυχής ποτε πόλις· ἔπαθε δὲ καὶ Ἀσσυρίων καὶ Μήδων καὶ Περσῶν ἐπ' ἐκείνοις ἀρχὴ μεγίστη γενομένη· καὶ ἡ μάλιστα ἔναγχος ἐκλάμψασα ἡ Μακεδόνων, εἴτε ἑκὼν, εἴτε προφυγόντος αὐτὸν τοῦδε τοῦ ἔπους,

Ἔσσεται ἦμαρ ὅταν ποτ' ὀλώλῃ Ἴλιος ἱρὴ,
Καὶ Πρίαμος, καὶ λαὸς ἐϋμμελίω Πριάμοιο.

Πολυβίου δ' αὐτὸν ἐρομένου σὺν παρρησίᾳ (καὶ γὰρ ἦν αὐτοῦ καὶ διδάσκαλος) ὅ, τι βούλοιτο ὁ λόγος, φασὶν, οὐ φυλαξάμενον ὀνομάσαι τὴν πατρίδα σαφῶς, ὑπὲρ ἧς ἄρα, ἐς τἀνθρώπεια ἀφορῶν, ἐδεδίει. καὶ τάδε μὲν Πολύβιος αὐτὸς ἀκούσας συγγράφει. Locum integrum Appiani, quia notatu dignus eſt, adduxi: ex quo haud obſcure patere arbitror, verba illa, quæ Suidas hoc loco abſque nomine auctoris citat, inter fragmenta Polybii referenda eſſe.

[6] Ἀσταθμητότατον, περὶ οὗ οὐδεὶς ἂν δύναιτο τεκμ.] Ex Harpocratione.

[7] Ἀστακτὶ δὲ σὺν ταῖς παρθένοις στένοντες ὡμαρτ.] Hæc ſunt verba Sophoclis *Oedip. Colon.* pag. 324.

[8] Ἀστάνδαι. οἱ ἐκ διαδ.] Vide Stanleium in Æſchyli *Perſas* v. 247.

τοῦ ἄστρου τὴν ἐπωνυμίαν πεποιηκότων. αὐτῆς γὰρ εἶναι τὸν ἑωσφόρον μυθολογοῦσιν. Ἀστάρτη, Θεὸς Σιδωνίων, καὶ Χαμὼς, Θεὸς Ἀμανιτῶν· οἷς ἐλάτρευσε Σολομὼν· ὃς ἠγάγετο γυναῖκας ἐξ ἐθνῶν, αἳ ἦσαν σὺν ταῖς Ἰσραηλίτισιν ἑπτακόσιαι, καὶ παλλακαὶ τριακόσιαι. ἐκ τούτων πάντων ἐγένετο αὐτῷ υἱὸς Ῥοβοὰμ, ἐξ ἀλλοφύλων, ἀνάξιος τῆς ἀρχῆς. οὐ γὰρ ἡ πολυγαμία τὴν εὐτεκνίαν ποιεῖ.

Ἀσταφίς. καὶ σταφυλή. Γραίη, χ̓ ὁ μελίπνους λίβανος. καὶ παροιμία· Ἀνδρὸς γέροντος ἀσταφὶς τὸ κρανίον.

Ἄσταχυς, καὶ ἀσταφὶς, καὶ ὅλως τὸ πλεονάζειν τὸ α ἐν ἀρχῇ τῶν τοιούτων ὀνομάτων Ἀττικόν. Ἐπὶ τ' ἠμύει ἀσταχύεσσιν.

Ἄστεα. πόλεις. Καὶ ἄστεος στέφανος τὸ τεῖχος.

Ἄστικτον[1] χωρίον. τὸ μὴ ὑποκείμενον δανειστῇ. ὅταν γὰρ ὑποκέηται, αὐτὸ τοῦτο ὁ δανείσας διὰ γραμμάτων δηλοῖ ἐπικειμένων τῷ χωρίῳ. τὸ δὲ αὐτὸ καὶ ἐπὶ οἰκίας γίνεται.

Ἄστεγος. ὁ μὴ ἔχων στέγην. λέγεται δὲ καὶ φλύαρος, καὶ [2] ἀνυπομόνητος.

Ἀστεϊζόμενος. ἀγλαϊζόμενος. κομψευόμενος. καὶ Ἀστεϊσμὸς, τὸ συμπολιτεύεσθαι.

Ἀστελέβη. πόλις Λυδίας. οἱ οἰκοῦντες Ἀστελεβαῖοι.

Ἀστεμφέα. ἀμετακίνητον.[3] βέβαιον. ἢ ἀντὶ τοῦ ἀστεμφῆ. Ἀστεμφῆ [4] ποδάγραν, καὶ [5] δόνακας ἀντεκτῆρας. Καὶ αὖθις· Οἱ δὲ ἀστεμφεῖς οὗτοι καὶ ὑπερόπται ῥητορικῆς καὶ ποιήσεως οὔ μοι δοκοῦσιν ἑκόντες συνέσεσθαι Θεῷ καὶ ἀνθρώποις. πενίᾳ δὲ φύσεως μηδὲ τὰ σμικρὰ ἱκανοί.

Ἀστενακτί. ἄνευ στεναγμοῦ. [6] Ἀριστοφάνης·

Οὐδ' ἀστενακτὶ περδόμενος οἴκοι μενεῖς.

Ἀστερία, μία τῶν Ἀλκυονίδων. καί ἐστιν ἐν τῷ Ἀλκυονίδες. καὶ Ἀστερία, πόλις Λυδίας. λέγεται καὶ Ἀστερίς. ὁ πολίτης Ἀστεριώτης, καὶ Ἀστέριος.

Ἀστέρειος. κτητικόν. καὶ Ἀστερόεντα, ἤτοι ἀστέρας ἐμπεποικιλμένους ἔχοντα. καὶ ἀστέρων τέθριππος, ἅρμα τοῦ ἡλίου. καὶ Ἀστεροπητὴς, ὁ ἀστραπτικός.

Ἀστεροπαῖος. ὄνομα κύριον.

Ἀστεῖα λέγεις. καὶ Ἀστεῖον, τὸ πολιτικόν. [7] Ἀστεῖόν τι καὶ κατερρινημένον εἰπεῖν. [8] κωμικὴ ἡ συμπλοκή. σημαίνει δὲ τὸ κατερρινημένον τὸ ἄκρως διειργασμένον. ἐν συνουσίᾳ χρῶ.

Græcos Ἀφροδίτη, i. e. Venus vocatur, cognomine ab aſtro ei impoſito. Ejus enim ſtellam Luciferum eſſe fabulantur. Aſtarte Deus Sidoniorum, & Chamos, Deus Ammonitarum: quos Solomon coluit, qui uxores ex gentibus duxit, quæ cum fœminis Iſraeliticis erant ſeptingentæ, & concubinæ trecentæ. Ex his omnibus natus eſt ei filius Roboam, idque ex peregrinis, regno indignus. Uxorum enim multitudo non efficit bonam & numeroſam prolem.

Ἀσταφίς. Uva paſſa. Et σταφυλή. Uva. * * * * * Et proverbium: *Viri ſenis calva eſt velut uva paſſa.*

Ἄσταχυς, & ἀσταφὶς, & omnia reliqua, in quibus τὸ α ab initio redundat, Atticorum ſunt nomina. [Homerus:] *Et incumbit ſpicis.*

Ἄστεα. Urbes. Et urbis corona murus eſt.

Ἄστικτον χωρίον. Ager creditori non obnoxius. Qui enim obnoxius erat, ei creditor imponebat titulum & inſcriptionem, id ipſum indicantem. Eadem ratio erat domus.

Ἄστεγος. Tecto carens. Sic etiam vocatur homo garrulus, & qui tolerari non poteſt.

Ἀστεϊζόμενος. Urbane ſe gerens. Splendorem & cultum affectans. Seſe jactans. Et Ἀστεϊσμὸς, ratio urbane & civiliter vivendi.

Ἀστελέβη. Aſtelebe, urbs Lydiæ: cujus incolæ vocantur Aſtelebæi.

Ἀστεμφέα. Immotum. Firmum. [In Epigrammate:] *Immotam pedicam, & ſagittas veloces.* Et iterum: *Illi vero, qui ſunt adeo rigidi, Rhetoricamque & Poeticam contemnunt, non videntur mihi animo lubenti cum Deo & hominibus converſaturi eſſe. Iidem præ ingenii inopia ne ad parva quidem apti ſunt.*

Ἀστενακτί. Sine gemitu. Ariſtophanes: *Tu vero ſecure pedens domi manebis.*

Ἀστερία. Aſteria. Una ex Alcyonidibus. Quære in voce Ἀλκυονίδες. Et Aſteria, urbs Lydiæ: quæ & Ἀστερὶς dicitur. Civis, Aſteriota & Aſterius.

Ἀστέρειος. Adjectivum poſſeſſivum. Et Ἀστερόεντα, ſtellis ornatum & diſtinctum. Et ἀστέρων τέθριππος, currus Solis. Et Ἀστεροπητὴς, fulgurator.

Ἀστεροπαῖος. Aſteropæus. Nomen proprium.

Ἀστεῖα λέγεις. Facete loqueris. Et Ἀστεῖον, urbanum, civile. *Urbanum aliquid & elimatum dicere.* Κατερρινημένον hic ſignificat, ſummo ſtudio elaboratum.

---

[1] Ἄστικτον χωρίον] Ante legebatur Ἀσ * * χωρίον: quam lacunam (quæ non ſolum in prioribus Edit. ſed etiam in MSS. occurrit) ex Etymologo & Heſychio ſupplevi. Prioris verba hæc ſunt: Ἄστικτον. οὕτως οἱ Ἀττικοὶ ἐκάλουν τὸ ἐλεύθερον χωρίον, καὶ μὴ ὑποκείμενον χρέει. εἴρηται δὲ, ὅτι τοῖς ὑποκειμένοις χρέεσι χωρίοις εἰώθασιν ἐγκαταπηγνύειν στήλην, ἣν ἐκάλουν ὅρον. ἐν ᾗ ἐνεχάραττο τὸ χρέος καὶ ὁ χρήστης· ἵνα μὴ πλανηθεὶς ἕτερος ὡς ἐπὶ καθαρῷ αὐτῷ δανείσῃ. Hic locus pulchre & clare explicat, quid veteres Græci ἄστικτον χωρίον appellaverint. Qui plura hac de re legere cupit, adeat Meurſium *Exercit. Crit.* Part II. lib. III. cap. XXI. & Salmaſium *de Modo Uſur.* cap. XV. pag. 636. Confer etiam Suidam infra v. Ὅρος.

[2] Ἀνυπομόνητος] Hæc ſignificatio voci ἄστακτος potius quam ἄστεγος convenit. Vide Heſych. v. Ἄστακτος.

[3] Βέβαιον. ἢ ἀντὶ τοῦ ἀστεμφῆ. Ἀστεμ.] Locum hunc in prioribus Edit. mutilum & confuſum fide MSS. in integrum reſtituimus.

[4] Ἀστεμφῆ ποδάγραν καὶ δ.] Verba hæc decerpta ſunt ex Epigrammate quodam Leonidæ, quod ex Cod. MS. Epigrammatum ineditorum integrum exhibuimus ſupra v. Ἀδρανής.

[5] Δόνακας ἀντικτῆρας] In Cod. MS. Epigrammatum ineditorum recte ſcriptum eſt δόνακας αἰθυκτῆρας, uti etiam apud Suidam ſcribendum eſt. Significat hic autem δόναξ *ſagitta*, uti apud Latinos *arundo*; & αἰθυκτὴρ velox, ſive, qui cum impetu fertur, ab αἰθύσσω.

[6] Ἀριστοφάνης] *Eccleſiazuſis* pag. 737. ſed ubi rectius legitur, οὐδ' ἀστενακτὶ περδόμενος &c.

[7] Ἀστεῖόν τι καὶ κατερρινημένον εἰπεῖν] Hæc ſunt verba Ariſtophanis *Ranis* pag. 254. (166. Ed. Baſ. *P.*)

[8] Κωμικὴ ἡ συμπλοκή] Hæc verba, & quæ paulo poſt ſequuntur, ἐν συνουσίᾳ χρῶ, litura ſananda ſunt, quoniam nullum hic ſenſum habent.

Ἀστεῖος. εὐσύνετος. εὐπρόσωπος. χαρίεις. καλός. γελοιώδης. καὶ Ἀστειοτέρῳ, ἀντὶ τοῦ συνετωτέρῳ. Ὁ δὲ καιρὸν εὑρὼν τῷ ἀστειοτέρῳ δράματι πλανῆσαι τὸν ἠπατηκότα. περὶ Εὐριπίδου φησὶν Ἀριστοφάνης. καὶ Ἀστείους, ἀστεϊζομένους, πολιτευομένους. [1] εὐφημότερον ἀστεΐζεσθαι τὸ ὡραΐζεσθαι γελωτοποιεῖν, ἤπερ σκώπτειν. καὶ Ἀστείως, πρεπόντως, φρονίμως.

Ἄστηνοι.[2] οἱ δυστυχεῖς. οἱ πένητες. οἱ στάσιν καὶ οἴκησιν μὴ ἔχοντες.

Ἀστήρ. τοῦ ἀστέρος τῆς Αἰγὸς λάμψαντος σφοδροὶ πνέουσιν ἄνεμοι. ἔνθεν καὶ Ὅμηρος· Λάβρος ἐπαιγίζων.

Ἀστὴρ ἄστρου διαφέρει. ὁ μὲν ἀστὴρ, ἕν τι ἐστί· τὸ δὲ ἄστρον ἐκ πολλῶν συνέστηκεν. ὃ καὶ ἀστροθέτημα καλεῖται.

Ἀστιβὲς[3] ἄλσος. ἀδιόδευτον, [4] ἀκαταμάχητον, ἀπροσπέλαστον. Αἴας φησί·

Μολὼν[5] δὲ χῶρον ἔνθ' ἂν ἀστιβῆ κίχω,
Κρύψω τόδ' ἔγχος τοὐμὸν ἔχθιστον βελῶν,
Γαίας ὀρύξας ἔνθα μή τις ὄψεται·
Ἀλλ' αὐτὸ νὺξ ᾅδης τε σωζόντων κάτω.

Εὑρήσω, φησὶ, τόπον, οὗ οὐδεὶς ἐπιβήσεται. ὁ Αἴας φησὶν, ἵνα μή τις αὐτῷ ἀκολουθήσῃ. καὶ Ἀστιβῆ, ἄβατον ποσί. καὶ Ἀστιβὴς, ὁ ἄβατος, ἡ ἀσφαλής. καὶ εὐστιβὴς, ὁ καλὴν βάσιν ἔχων.

Εὐστιβὲς αἰθυίαις ἰχθυβόλοισι λέπας.

ἐν Ἐπιγράμμασι. καὶ Ἀστίβητος, ἀδιόδευτος τρίβος.

Ἀστικῶς. εὐσυνέτως. εὐφρόνως. Ὁ δὲ πάντων ἀστικῶς τὴν πρόθεσιν κατανοήσας, διχῇ διεῖλε τοὺς προσχωρήσαντας. λέγεται δὲ Ἀστικὸς, καὶ ὁ πολιτικός. καὶ τοὺς ἀστικοὺς ὁ ἄγροικος. ὁ Θεολόγος φησί.

Ἄστειπτος. ἄβατος. ἀδιόδευτος. [7] Σοφοκλῆς·
Ἀκτὴ μὲν ἥδε τῆς περιῤῥύτου χθονὸς
Λήμνου, βροτοῖς ἄστειπτος, οὐδ' οἰκουμένη.

Ἀστισμός. πιθανολογία. Ἀποστῆναι ῥητορικῆς, καὶ πολιτικῆς, καὶ ἀστισμῶν.

Ἄστομοι[7] ἵπποι. σκληρόστομοι. Ἄστομοι πῶλοι βίᾳ φέρουσιν.

Ἀστόργους. τοὺς ἀπηνεῖς καὶ ἀφίλους· ἀσπόνδους δὲ, τοὺς ἀδιαλλάκτους καὶ μνησικάκους· ἀνελεήμονας δὲ, τοὺς ἀκαμπεῖς καὶ ἀνενδότους πρὸς ἔλεον.

Ἀστός. πολίτης.

Ἀστράβη.[8] ὄνος, ἢ ἡμίονος, ὡς Δημοσθένης κατ'

Ἀστεῖος. Prudens. Venuſtus. Lepidus. Formoſus. Facetus. Et Ἀστειοτέρῳ, prudentiore. *Ille vero tempus opportunum nactus fabula lepidiore fallendi eum, qui ipſum ante deceperat.* De Euripide Ariſtophanes inquit. Et Ἀστείους, urbanos, civiles. Ἀστεΐζεσθαι & ὡραΐζεσθαι pro cavillari & jocis riſum captare, honeſtius dicitur quam σκώπτειν. Et Ἀστείως, decenter, prudenter.

Ἄστηνοι. Infelices. Miſeri. Pauperes. Qui nullam ſtationem nec habitationem habent.

Ἀστήρ. Quum ſtella Capræ lucet, vehementes venti ſpirant. Unde & Homerus: *Cum impetu irruens.*

Ἀστήρ. Stella ab aſtro differt. Stella enim unum quid eſt & ſimplex. Aſtrum vero ex multis ſtellis compoſitum: quod & ἀστροθέτημα vocant.

Ἀστιβὲς ἄλσος. Nemus non calcatum, nec pervium. Ajax inquit: *Poſtquam vero locum aliquem deſertum & invium invenero, ibi occultabo hunc enſem, omnium armorum meorum maxime mihi inviſum. In terra enim eum defodiam, ut a nemine cerni poſſit, ſed perpetuis tenebris damnatus jaceat.* Inveniam, inquit, locum, quem nemo intrabit. Id autem Ajax ideo dicit, ne quis eum ſequatur. Et Ἀστιβῆ, pedibus non calcatum. Et Ἀστιβὴς, inacceſſus, tutus. Et εὐστιβὴς, qui facile calcari poteſt. In Epigrammate: *Valde tritum mergis piſces capientibus promontorium.* Et Ἀστίβητος ὁδὸς, via invia & non calcata.

Ἀστικῶς. Prudenter. Sapienter. *Ille vero cum omnium mentem prudenter animadvertiſſet, bifariam diviſit eos, qui ipſius partibus ſe adjunxerant.* Dicitur etiam Ἀστικὸς, civilis. Et, *urbanos ruſticus* [*contemnit*,] Theologus inquit.

Ἄστειπτος. Non calcatus. Inacceſſus. Invius. Sophocles: *Littus hoc inſulæ Lemni deſertum prorſus eſt, nec a mortalibus habitatur.*

Ἀστισμός. Oratio lepida & perſuadendi vim habens. *Ab oratorio & politico lepidoque dicendi genere recedere.*

Ἄστομοι ἵπποι. Equi durum os habentes. Intractabiles. [Sophocles:] *Equi duro ore præditi vi eum auferunt.*

Ἀστόργους. Duros & inhumanos vocant ἀστόργους. Irreconciliabiles & iram alta mente conditam ſervantes, ἀσπόνδους: immites vero & rigidos, ἀνελεήμονας.

Ἀστός. Civis.

Ἀστράβη. Aſinus, vel mulus, ut Demoſthe-

---

[1] Εὐφημότερον ἀστεΐζεσθαι τὸ ὡραΐζεσθαι γελωτ.] Lego, εὐφημότερον τὸ ἀστεΐζεσθαι καὶ τὸ ὡραΐζεσθαι τοῦ γελωτ.

[2] Ἄστηνοι. οἱ δυστυχεῖς. οἱ π.] Vide Etymologum, qui vocem hanc eodem modo exponit.

[3] Ἀστιβὲς ἄλσος. ἀδιόδευτον] Locus, quem Suidas hic interpretatur, exſtat apud Sophoclem *Oedip. Colon.* pag. 275.

[4] Ἀκαταμάχητον. ἀπροσπέλαστον] Hæc interpretatio non pertinet ad vocem ἀστιβὲς, ſed ad ἀμαιμακέτων, quæ apud Sophoclem loco laudato proxime ſequitur, ut Pearſonius recte obſervavit.

[5] Μολὼν δὲ χῶρον ἔνθ' ἂν ἀστιβῆ κ.] Hæc & quæ ſequuntur ſunt verba Sophoclis *Ajace* pag. 39. 40. ut Portus monuit.

[6] Σοφοκλῆς] *Philoctete* pag. 378. ut Portus obſervavit.

[7] Ἄστομοι ἵπποι. σκληρόστομοι] Ex Scholiaſta Sophoclis ad *Electram* pag. 117.

[8] Ἀστράβη. ὄνος, ἢ ἡμίονος——οὕτως ἐκαλεῖτο] Ex Harpocratione. Huc pertinent verba Helladii apud Photium pag. 1588. Ὅτι τὴν ἡμίονον, ἐφ' ἧς ὀχούμεθα, φησὶν, ἀζύγου οὔσης, Ἀθηναῖοι καλοῦσιν ἀστράβην. ἔνθεν λέγεται καὶ ὁ ἀστραβηλάτης. Λέγεται μέντοι ἀστράβη καὶ τὸ κατασκεύασμα· ὡς Δημοσθένης ἐν τῷ κατὰ Μειδίου λόγῳ. Ἐπ' ἀστράβης ὀχούμενος ἀργυρᾶς.

Μειδίου. τάχα δὲ καὶ πᾶν ὑποζύγιον, ἐφ' οὗ οἱ ἄνθρωποι ὀχοῦνται, οὕτως ἐκαλεῖτο. ἢ [1] Ἀστράβη, τὸ ἐπὶ [2] τῶν ἐφ' ἵππων ξύλον, ὃ κρατοῦσιν οἱ καθεζόμενοι. καὶ Ἀστραβηλάτης, ὁ ἡνίοχος. ἢ καὶ αὐτὸ τὸ νωτοφόρον ὑποζύγιον. οἱ δὲ τὸν σωματηγὸν ἡμίονον ἀστράβην λέγουσιν. Ὁ δὲ τῆς ἡμιόνου ἀποτυχούσης, τόν τε φόρτον καὶ τὴν ἀστράβην διάρας ἐπὶ τῶν ὤμων, εἰς τὴν μονὴν τοῦ θείου Σάββα ἔρχεται.

Ἄστρα [3] βλέπειν κάλλιστον ἀνθρώποις πέλει.

Ἀστράγαλος. κυρίως τὸ σύνηθες λεγόμενον· καὶ ὁ [4] σπόνδυλος τοῦ τραχήλου, καὶ ὁ [5] πεττικὸς, καὶ βοτάνη δὲ οὕτω καλεῖται. καὶ [6] ἀστράγαλος, ὃν ἐθεάσατο Βαλτάσαρ ὁ υἱὸς Ναβουχοδονόσορ ἐν τῷ δείπνῳ ἀνακείμενος κατέναντι τοῦ τοίχου· ὡς ἀστράγαλον χειρὸς ἀνθρώπου, γράφοντα τῇ Ἑβραΐδι γλώττῃ, ἃ μηδεὶς ἠδύνατο γνῶναι. μεταστειλάμενος δὲ τὸν Δανιὴλ, παρεκάλει ἑρμηνεῦσαι αὐτῷ ταῦτα. ὁ δὲ εἶπεν αὐτῷ· Τὸν ἀστράγαλον, ὃν εἶδες, χείρ ἐστι Θεοῦ ζῶντος, καὶ ἔγραψεν, ὅτι ἐμέτρησε καὶ ἐπλήρωσε τὴν βασιλείαν σου. ἀκούσας οὖν ὁ Βαλτάσαρ ἐθλίβη· καὶ μετ' ὀλίγον ὑπὸ Δαρείου τοῦ Μήδου ἀνῃρέθη. καὶ Ἀστραγαλίζω.

Ἀστράμψυχος. ὃς βιβλίον ἰατρικὸν εἰς ὄνων θεραπείαν πεποίηκε· καὶ [7] Ὀνειροκριτικόν.

Ἀστραπή. [8] ἔξαψις νεφῶν παρατριβομένων ἢ ῥηγνυμένων ὑπὸ πνεύματος. καὶ παροιμία· Ἀστραπὴ ἐκ πυέλου. ἐπὶ τῆς οὐδενείας. παρόσον οὐδὲν δύνανται αἱ ἐκ τῶν κρηνῶν καὶ πυέλων μαρμαρυγαί.

Ἀστρατεία. ἡ εἰρήνη. ἐπεὶ ἐν εἰρήνῃ οὐ στρατεύονται.

Ἄστρια. οἱ ἀστράγαλοι. Δέκα δ' ἄστρια αἴνυτο λύτρον· παρὰ Καλλιμάχῳ.

Ἀστρόβακος. ὁ ἀστρονόμος.

Ἀστρονομία. ἡ τῶν ἄστρων διανομή. Πρῶτοι Βαβυλώνιοι ταύτην ἐφεῦρον διὰ Ζωροάστρου· μεθ' ὃν καὶ [9] Ὠστάνης· οἳ ἐπέστησαν τῇ οὐρανίᾳ κινήσει τὰ περὶ τοὺς τικτομένους συμβαίνοντα· ἀφ' ὧν Αἰγύπτιοι καὶ Ἕλληνες ἐδέξαντο, καὶ τοὺς γενομένους ἀναφέρουσιν εἰς τὴν τῶν ἀστέρων κίνησιν. καὶ, [10] Ἄστροις τεκμαίρεσθαι. ἐπὶ τῶν μακρὰν καὶ ἔρημον ὁδὸν πορευομένων, καὶ ἄστροις σημειουμένων τὰς θέσεις τῶν πατρίδων. καὶ ἀστρῷος, ὁ ἐκ τῶν ἄστρων. Ὅτι Μαγεία καὶ Ἀστρολογία ἀπὸ Μαγουσαίων ἤρξατο. οἱ γάρ τοι Πέρσαι Μαγὼγ ὑπὸ τῶν ἐγχωρίων ὀνομάζονται. καὶ Μαγουσαῖοι, οἱ αὐτοί.

nes in oratione contra Midiam. Fortaſſe autem ſic appellabatur quodvis jumentum, quo homines vehuntur. Vel ἀστράβη, lignum in ephippiis, quod ſeſſores tenent. Et ἀστραβηλάτης, agaſo. Vel etiam ipſum jumentum, quod onera dorſo geſtat, ſic appellatur. Alii vero mulū, quo homines vehuntur, ἀστράβην vocant. *Ille vero, cum mula ejus cecidiſſet, & ſarcinis & clitellis in humeros ſublatis, ad divi Sabbæ monaſterium venit.*

Ἄστρα βλέπειν. *Aſtra cernere pulcherrimum hominibus ſomnium eſt.*

Ἀστράγαλος. Proprie ſic vocatur talus. Item, vertebra colli, & talus quo luditur, & herba quædam. Et ἀστράγαλος [apud LXX. Interpretes] dicitur de manu, quam Balthaſar filius Nabuchodonoſoris, cœnæ accumbens, in adverſo pariete vidit ſcribentem Hebraica lingua, quæ nemo intelligere poterat. Danielem igitur accerſitum rogavit, ut hæc ſibi interpretaretur; qui ei dixit: *Manus, quam vidiſti, eſt manus Dei viventis, quæ ſcripſit, ſe menſam eſſe & conſummaſſe regnum tuum.* Hoc audito Balthaſar magnum animo dolorem concepit, & paulo poſt a Dario Medo interfectus eſt. Et Ἀστραγαλίζω, talis ludo.

Ἀστράμψυχος. Aſtrampſychus. Hic librum veterinarium de aſinorum curatione ſcripſit: itemque, de ſomniorum interpretatione.

Ἀστραπή. Fulgur, ſive inflammatio nubium, quæ inter ſe atteruntur, vel a vento rumpuntur. Et proverbium: *Fulgur ex pelvi.* Dicitur de rebus vanis. Fulgor enim lucis, quem fontes & pelves reddunt, nullam vim habet.

Ἀστρατεία. Vacatio a militia. Pax. Tempore enim pacis a militia ceſſatur.

Ἄστρια. Tali. *Decem autem talos pro redemptionis pretio accepit.* Callimachus.

Ἀστρόβακος. Aſtronomus.

Ἀστρονομία. Aſtronomia; quaſi dicas aſtrorum diſtributio. Hanc inter Babylonios primus invenit Zoroaſtres, & poſt eum Hoſtanes: qui ex genitura & motu cœli fata hominum naſcentium obſervare cœperunt. Ab his Ægyptii & Græci doctrinam illam acceperunt, qui naſcentibus itidem themata natalitia aſſignant. Et, *Ad aſtra curſum dirigere.* Dicitur de illis, qui per loca deſerta longum iter faciunt, & ex ſtellis ſitum regionum conjiciunt. Et ἀστρῷος, ſidereus. Maguſæi Magiæ & Aſtrologiæ inventores fuerunt. Perſæ enim ab indigenis vocantur Magog. Et Maguſæi, iidē.

---

[1] Ἀστράβη, τὸ ἐπὶ τῶν ἐφ' ἵππων ξύλον, ὃ κρ.] Hæc, & quæ ſequuntur uſque ad ἀστράβην λέγουσιν, leguntur etiam apud Etymologū.

[2] Ἐπὶ τῶν ἐφ' ἵππων ξύλον] Salmaſius ad Spartianum, & Portus legendum putant τὸ ἐπὶ τῶν ἐφιππίων. Etymologus habet τὸ ἐπὶ τῶν ἵππων τιθέμενον ξύλον, quod non diſplicet.

[3] Ἄστρα βλέπειν κάλλιστον ἀνθρ.] Hic verſus ad ſomniorum interpretationem pertinet, qui legitur apud Aſtrampſychum.

[4] Καὶ ὁ σπόνδυλος τοῦ τραχήλου] Hoc ſenſu vox iſta capitur ab Homer Il. Ξ. v. 466. ubi vide Scholiaſtam.

[5] Πεττικός] Sic habent omnes Editiones. Sed malim πεττευτικός.

[6] Ἀστράγαλος, ὃν ἐθεάσατο Βαλτάσαρ ὁ υἱὸς Ναβ.] Hiſtoria hæc deprompta eſt ex Daniel. cap. v.

[7] Ὀνειροκριτικόν] Hic libellus Aſtrampſychi hodie adhuc exſtat, editus una cum aliis ſcriptoribus Oneirocriticis.

[8] Ἀστραπή. ἔξαψις νεφῶν παρατριβομένων ἢ ῥηγνυμένων ὑπὸ πνεύματος] Hæc ſunt verba Laertii lib. VII. Segm. CLIII.

[9] Ὠστάνης] Rectius Ὀστάνης. vel Ὀστάνης, per ο parvum.

[10] Ἄστροις τεκμαίρεσθαι. ἐπὶ τῶν μακρὰν καὶ ἔρ.] Hoc proverbio uſus eſt Sophocles *Oedip. Tyran.* pag. 184.

Ἄστροις τὸ λοιπὸν ἐκμετρούμενος χθόνα.

Scholiaſta ad eum locum: Ἐπεὶ τοῖς ἄστροις ἐπορευόμην. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν τὰ πελάγη μετρούντων, οἳ δι' ἄστρων τεκμαιρόμενοι τὸν πλοῦν. Locum hunc Sophoclis obſervaverat etiam Portus.

Ἀστυάγης, γραμματικός. Τέχνην γραμματικήν. Περὶ διαλέκτων. Περὶ μέτρων. Κανόνας ὀνοματικούς. καὶ εἰς Καλλίμαχον τὸν ποιητὴν ὑπόμνημα.

Ἀστυάναξ. ὄνομα κύριον. Ἀστυανάκτειος.

Ἀστυάνασσα, Ἑλένης τῆς Μενελάου θεράπαινα· ἥ τις πρώτη τὰς ἐν τῇ συνουσίᾳ κατακλίσεις εὗρεν, καὶ ἔγραψε περὶ σχημάτων συνουσιαστικῶν· ἣν ὕστερον παρεζήλωσαν [1] Φιλαινὶς καὶ Ἐλεφαντίνη, αἳ τὰ τοιαῦτα ἐξορχησάμεναι ἀσελγήματα.

Ἀστυβοώτης.[2] ὁ κήρυξ ἐπιθετικῶς. ἀπὸ τοῦ ἐν ἄστει βοᾶν. καλήτορα δὲ τὸν αὐτὸν ἀπὸ τοῦ καλεῖν φασί.

Ἀστυγείτων. πλησιόχωρος.

Ἀστυδάμας[3] ὁ πρεσβύτης, υἱὸς Μορσίμου τοῦ Φιλοκλέους, τραγικῶν ἀμφοτέρων, Ἀθηναῖος, τραγικός. ἔγραψε τραγῳδίας σμ΄. ἐνίκησε ιε΄. ἀκροασάμενος δὲ ἦν Ἰσοκράτους, καὶ ἐτράπη ἐπὶ τραγῳδίαν.

Ἀστυδάμας, ὁ νέος, υἱὸς τοῦ προτέρου, τραγικὸς καὶ αὐτός. Δράματα αὐτοῦ, [4] Ἡρακλῆς Σατυρικός, Ἐπίγονοι, Αἴας μαινόμενος, Βελλεροφόντης, Τυρώ, Ἀλκμήνη, Φοῖνιξ, Παλαμήδης.

Ἀστυδρομία. παρὰ Λίβυσιν οἱονεὶ τῆς πόλεως γενέθλια, καὶ Θεοδαίσια ἑορτή, [5] ἐν ᾗ ἐτίμων Διόνυσον καὶ τὰς Νύμφας· ἐμοὶ δοκεῖν, νηφάλιόν τε καὶ τὴν ἀγαθὴν κρᾶσιν αἰνιττόμενοι.

Ἀστύνοος. ὄνομα κύριον.

Ἀστυνόμος.[6] δέκα[7] ἦσαν ἀστυνόμοι· πέντε μὲν ἐν Πειραιεῖ, πέντε δὲ ἐν ἄστει· οἷς ἔμελε περί τε τῶν αὐλητρίδων, καὶ ψαλτριῶν, καὶ κοπρολόγων, καὶ τῶν τοιούτων.

Ἀστυόχεια. ὄνομα πόλεως.

Ἀστυπαλαιεύς. ὄνομα κύριον.

Ἄστυρον.[8] πόλιν.

Ὅς[9] τ' ὤκιστο ἐς ἄστυρον ἀγγελιώτης.
Καλλίμαχος.

Ἀστυφέλικτον. ἀτίνακτον.

Ἄσυλον ἱερόν. τὸ τίμιον, καὶ τηροῦν τοὺς ἱκέτας. καὶ ἀσυλία, τὸ πρᾶγμα. Τοῦ δὲ ἀγῶνος ὄντος δημοσίου καὶ μεγάλου διὰ τὴν τῶν πρεσβευτῶν ἀσυλίαν, καὶ τὴν συνήθη παρὰ τῶν Ῥωμαίων ὑπὲρ τῶν πρεσβειῶν μισοπονηρίαν.

Ἀσύγχυτον. Ἡ γὰρ φύσις τοῦ ἀσυγχύτου οὔτε σιδήρου ὑφίσταται κατάλυσιν, οὔτε μὴν πάλιν τὴν διὰ πυρὸς λύσιν.

Ἀστυάγης. Aſtyages, Grammaticus. Scripſit Artem Grammaticam. De dialectis. De metris. Regulas nominum. Commentarium in Callimachum.

Ἀστυάναξ. Aſtyanax. Nomen proprium. Unde dicitur Aſtyanacteus.

Ἀστυάνασσα. Aſtyanaſſa, Helenæ Menelai uxoris ancilla, quæ prima varios coeundi & concumbendi modos invenit, & de figuris Venereis ſcripſit. Hanc poſtea imitatæ ſunt Philænis & Elephantine, quæ obſcœna ejuſmodi flagitia evulgarunt.

Ἀστυβοώτης. Præconis epithetum: quaſi dicas, in urbe clamans. Eundem & καλήτορα vocant, a καλεῖν, i. e. vocare.

Ἀστυγείτων. Vicinus.

Ἀστυδάμας. Aſtydamas major, filius Morſimi, Philoclis nepos, utriuſque Tragici, Athenienſis, Tragicus. Scripſit tragœdias CCXL. vicit XV. Idem audivit Iſocratem, & poſtea ad ſcribendas tragœdias ſe contulit.

Ἀστυδάμας. Aſtydamas minor, ſuperioris filius, Tragicus & ipſe. Fabulæ ipſius ſunt, *Hercules Satyricus*, *Epigoni*, *Ajax furens*, *Bellerophontes*, *Tyro*, *Alcmene*, *Phœnix*, *Palamedes*.

Ἀστυδρομία. Aſtydromia apud Afros erat veluti natalis urbis, & Theodæſia feſtum, in quo Bacchum colebant & Nymphas: ut mihi quidem videtur, moderatam & veram vini temperandi rationem ſignificare volentes.

Ἀστύνοος. Aſtynous. Nomen proprium.

Ἀστυνόμος. Aſtynomi decem erant numero: quinque in Piræeo, & totidem in Urbe. His curæ erant tibicinæ, pſaltriæ, ſtercorilegi, & ſimiles.

Ἀστυόχεια. Aſtyochia. Nomen urbis.

Ἀστυπαλαιεύς. Aſtypalæus. Nomen proprium.

Ἄστυρον. Urbem. *Qui habitandi cauſa miſſus fuerat in urbem nuncius.* Callimachus.

Ἀστυφέλικτον. Inconcuſſum. Firmum.

Ἄσυλον ἱερόν. Templum venerabile & ſanctum, quod ſupplices tuetur. Et Ἀσυλία, ſanctitas loci, quæ ſupplices a vi & injuria hominum defendit. *Cum autem certamen illud eſſet publicum & ingens propter ſanctitatem legatorum, & morem Romanorum, qui omnem injuriam legatis illatam deteſtari ſolebant.*

Ἀσύγχυτον. Inconfuſum. *Natura enim inconfuſi nec ferro diſſolvi, nec igne conſumi poteſt.*

---

[1] Φιλαινίς] De hac Philænide inſignem habes locum apud Athen. lib. VIII. pag. 335. quem vide. Ejuſdem mentio fit infra v. Δημοχάρης. Vide etiam Antholog. Epigr. lib. III. cap. X. ubi epitaphium ejus legitur.

[2] Ἀστυβοώτης. ὁ κήρυξ ἐπιθετικῶς. ἀπὸ τοῦ ἐν ἄστει βοᾶν] Ex Schol. Homeri ad Il. Ω. v. 701.

[3] Ἀστυδάμας ὁ πρεσβ.] De eo vide Meurſium in *Bibliotheca Attica*.

[4] Ἡρακλῆς Σατυρικός] Hæc fabula laudatur ab Athenæo.

[5] Ἐν ᾗ ἐτίμων Διόνυσον καὶ τὰς Νύμφας] Confer Athen. lib. II. pag. 38. & Brodæum ad Anthol. Epigr. lib. I. pag. 121.

[6] Ἀστυνόμος. δέκα ἦσαν ἀστυνόμοι] Hæc, & quæ ſequuntur, deſcripta ſunt ex Harpocratione.

[7] Δέκα ἦσαν ἀστυνόμοι· πέντε μὲν ἐν Πειραιεῖ· πέντε δὲ ἐν ἄστει] Scribe ex Harpocratione: εἴκοσι μὲν ἦσαν ἀστυνόμοι· πέντε μὲν ἐν Πειραιεῖ· δεκαπέντε δ' ἐν ἄστει. Vide Mauſſacum ad locum illum Harpocrationis, itemque Meurſium *Lect. Attic.* lib. I. cap. XIX.

[8] Ἄστυρον. πόλιν] Eadem voce pro *urbe* uſus eſt Callimachus in alio Epigrammate, quod legitur apud Strabonem lib. I. pag. 46. Vide etiam Etymologum.

[9] Ὅς τ' ὤκιστο ἐς ἄστυρον κτλ.] Senſus fragmenti hujus eſt mutilus & obſcurus: quæ ratio eſt, quare verſionem Porti qualemcunque hic retinuerim.

Ἀσύμβατον. ἀφιλίωτον.

Ἀσυμφανῶς. ἐπικεκαλυμμένως. ἀδήλως.

Ἀσυμφυῆ. ἀνοίκεια. ἀνόμοια. Ἦ πετρῶδες τὸ ἔδαφος τοῦ ῥείθρου ἦν, ὑπό τε ἀνωμαλίας καὶ τοῦ ἀσυμφυῆ τὰ ὑποκείμενα ἔσεσθαι τοῖς ὑποτιθεμένοις.

Ἀσυνάρτητον.[1] ἀσυνάρμοστον.

Ἀσυνδύαστος. ἀσύμπλοκος. ἀσύζευκτος.

Ἀσυνέτους. τοὺς ἀσυνειδήτους· ὧν οὐδὲν ἀφρονέστερον παρὰ τῷ Ἀποστόλῳ νοητέον. καὶ Ἀσυνετῶ, τὸ μωραίνω.

Ἀσυνθεσία. παράβασις συνθηκῶν.

Ἀσύνθετος. ἀσύμφωνος. ἄμικτος. Ἀσυνθέτους δὲ, τοὺς ταῖς συνθήκαις μὴ ἐμμένοντας, ἃς ἂν πρός τινα συνθῶνται.

Ἀσυνθετώτατον.[2] Δημοσθένης ἐν τῷ περὶ παραπρεσβείας ἐπὶ τοῦ ὄχλου τάττει τὸ ὄνομα. ἀντὶ τοῦ ἀπιστότατον καὶ ἀβεβαιότατον, καὶ πίστεις διὰ τὸ ἀβέβαιον οὐ πιθέμενον. ἢ ἀνωμόλογον καὶ ἀσύμφωνον. ὁμολογίαι[3] γὰρ αἱ συνθῆκαι.[4] ἢ ἀντὶ τοῦ ἀσυνετώτατον. Ὅμηρος δὲ ἀντὶ τοῦ ὃν μὴ δύναταί τις συνιέναι, τί ποτε φρονεῖ. Φησὶ γάρ· Σὺ δὲ σύνθεο, καί μευ ἄκουσον.

Ἀσύντακτον. μὴ συντεταγμένον. μὴ[5] συμφραξάμενον.

Ἀσυντελής. ἀσύμφορος. ἀχρήσιμος.

Ἀσσυρίηθεν. ἀπὸ τῆς Ἀσσυρίας.

Ἀσσυρίων[6] ἀρχὴ παλαιὰ, καὶ ἐς τοὺς μυθικοὺς ἀναγομένη χρόνους, ὀλίγου τινὸς ἐκράτησε τῆς Ἀσίας μέρους. εἶτα ἡ Μηδικὴ, καθελοῦσα τὴν Ἀσσυρίων, χρόνον οὐ πολὺν κατέσχεν, ἀλλὰ κατελύθη ἐπὶ τῆς δʹ γενεᾶς. Πέρσαι δὲ Μήδους καταγωνισάμενοι,[7] χρόνον οὐ πολλῷ πλείονα διακοσίων ἔμειναν ἐπὶ τῆς ἀρχῆς. ἡ δὲ Μακεδόνων δυναστεία, τὴν Περσῶν καθελοῦσα, μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν ἐπὶ τὸ χεῖρον ἤρξατο φέρεσθαι, καὶ ἐπὶ τῶν διαδόχων αὐτὴ καθ' αὑτὴν ἐξησθένησεν, ὑπὸ Ῥωμαίων καταλυθεῖσα. τὰς γὰρ Ἑλληνικὰς δυνάμεις οὐκ ἄξιον αὐταῖς ἀντιπαρεξετάζειν. Ἀθηναῖοι γὰρ μόνης ἦρξαν τῆς παραλίου ἑβδομήκοντα δυοῖν δέοντα ἔτη. Λακεδαιμόνιοι δὲ Πελοποννήσου καὶ τῆς ἄλλης Ἑλλάδος[8] κρατοῦντες ὅλα λʹ ἔτη, ἐπαύθησαν ὑπὸ Θηβαίων. ἡ δὲ Ῥωμαίων πόλις ἁπάσης, ὅση μὴ ἀνέμβατός ἐστι, έ καὶ μʹ πρὸς τοῖς ψʹ ἔτεσιν εἰς ὑπάτους Κλαύδιον Νέρωνα τὸ δεύτερον, καὶ Πίσωνα Καλπούρνιον, οὐδὲ ἀντίπαλον ἔχουσα.

Ἀσύμβατον. Inimicum. Hoſtile.

Ἀσυμφανῶς. Non manifeſte. Tecte. Obſcure.

Ἀσυμφυῆ. Non conſentanea. Diſſimilia. *Qua fluminis ſolum ſaxoſum erat, quod propter inæqualitatem non videbatur aptum fore rebus, quæ illi imponendæ erant.*

Ἀσυνάρτητον. Inconcinnum. Non congruum.

Ἀσυνδύαστος. Non conjunctus, vel non copulatus cum altero. Cœlebs.

Ἀσυνέτους. Inſipientes. Conſcientia carentes: quibus nihil ſtultius apud Apoſtolum intelligendum eſt. Et Ἀσυνετῶ, deſipio.

Ἀσυνθεσία. Pactorum & conventorum violatio.

Ἀσύνθετος. Cum quo nemo pactum inire poteſt. Ab omni commercio cum aliis abhorrens. Item ἀσυνθέτους vocant eos, qui pacta cum aliis inita non ſervant.

Ἀσυνθετώτατον. Demoſthenes in oratione de falſa legatione ὄχλον ἀσυνθετώτατον vocat turbam maxime infidam, & inconſtantem, & a pactis ſervandis alienam. Vel eam, quæ a pactis & fœderibus abhorret. Ὁμολογίαι enim appellantur pacta. Vel poſuit pro ἀσυνετώτατον, id eſt, inſipientiſſimum. Vel pro eo, cujus ſententiam & mentem nemo perſpicere poteſt. Homerus: *Tu vero intellige, & me audi.*

Ἀσύντακτον. Incompoſitum. Inordinatum.

Ἀσυντελής. Qui nihil prodeſt. Inutilis.

Ἀσσυρίηθεν. Ex Aſſyria.

Ἀσσυρίων ἀρχή. Aſſyriorum imperium antiquum, & cujus initium a mythicis temporibus repetitur, exiguam quandam Aſiæ partem obtinuit. Deinde Medicum, everſo Aſſyriorum principatu, haud diu duravit, ſed in quarta ætate deſiit. Poſtea Perſæ, Medis devictis, non multo plus quam CC annos imperarunt. Perſis ſucceſſerunt Macedones, quorum imperium poſt Alexandri obitum in deterius ferri cœpit, & ſub ſucceſſoribus illius bellis inteſtinis labefactatum a Romanis tandem everſum eſt. Quod ad Græcos adtinet, eorum potentia cum ante dictis imperiis conferenda non eſt. Athenienſes enim ſolius oræ maritimæ imperium tenuerunt per annos LXVIII. Lacedæmonii vero, cum Peloponneſo & reliquæ Græciæ ne triginta quidem annos integros imperaſſent, a Thebanis victi ſunt. At Reſpub. Romana totius terræ, quæ quidem non eſt inacceſſa, imperium tenuit per annos DCCXLV, uſque ad Conſulatū Neronis ſecundum, & Calpurnii Piſonis; nec ulla gens potentiæ ejus reſiſtere potuit.

---

[1] Ἀσυνάρτητον] Vide ſupra v. Ἀλλόκοτον.

[2] Ἀσυνθετώτατον. Δημοσθένης ἐν τῷ περὶ παραπρ.] Hæc, & quæ ſequuntur, deſcripta ſunt ex Harpocratione.

[3] Ὁμολογίαι γὰρ αἱ συνθῆκαι] Verba hæc male interpretatur Mauſſacus ad Harpocrationem. Ὁμολογίαι enim hic non ſignificat *confeſſiones*, ſed *pacta*.

[4] Ἢ ἀντὶ τοῦ ἀσυνετώτατον. Ὅμηρος δὲ ἀντὶ τοῦ ὃν μὴ δύναταί τις συν.] Locus hic ex Harpocratione ita ſcribendus & in integrum reſtituendus eſt: Ἢ ἀντὶ τοῦ ἀσυνετώτατον, ὅπερ ἐστὶν ἀνοητότατον. ἢ ἀντὶ τοῦ ὃν μάλιστα οὐκ ἂν δύναιτό τις συνιέναι, τί ποτε φρονεῖ. Ὅμηρος· Σὺ δὲ σύνθεο, καί μευ ἄκουσον.

[5] Μὴ συμφραξάμενον] Malim, μὴ συμπεφραγμένον.

[6] Ἀσσυρίων ἀρχὴ παλαιὰ, καὶ εἰς τοὺς μυθ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, deſcripta ſunt ex Dionyſ. Halicarn. lib. 1. pag. 2. ut Portus etiam obſervavit.

[7] Χρόνον οὐ πολλῷ πλείονα] Sic recte habet Dionyſius loco laudato. In prioribus Edit. vero corrupte legitur χρόνον πολλῷ πλείω.

[8] Κρατοῦντες ὅλα λʹ ἔτη] Scribendum eſt ex Dionyſio, κρατοῦντες οὔτι ὅλα λʹ ἔτη: quam lectionem in verſione ſecutus ſum.

'Ασσύριοι. οὗτοι ἐκλήθησαν ἀπό τινος γίγαντος, ὀνόματι Σύρου, ἐξ οὗ περ ἔλαβε τὴν ἐπωνυμίαν ἡ χώρα. ἀπὸ δὲ Ἀσσυρίων καὶ Σύροι προσηγορεύθησαν. ἢ ἀπὸ τοῦ Ἀσσοὺρ, τοῦ υἱοῦ Σὴμ, τοῦ υἱοῦ Νωέ· ὅστις Ἀσσοὺρ ἔκτισε πρῶτος πόλιν μεγάλην τὴν μετονομασθεῖσαν Νινευΐ. οἱ δὲ Ἀσσυρίους φασὶ τοὺς Πέρσας.

'Ασσύριοι. τὸ ἔθνος. [1] Ἀτρεμούντων πάντων οὐδὲν ἐμποδὼν ἦν αὐξηθῆναι αὐτοὺς ἐπὶ πλεῖστον. μετὰ δὲ ταῦτα πολλοὶ καὶ συνεχεῖς πόλεμοι γενόμενοι, ἐπαναστάσεις τε ἑτέρων ἐφ' ἑτέρους μυρίαι, καὶ πόλεμοι πρὸς ἀλλήλους συνερράγησαν. ταῦτα ἐπὶ Καίσαρος.

'Ασύστατον.[2] οὐ συνεστῶτα, οὐδὲ πυκνὸν, ἀλλ' ἀραιὸν ἐν τῇ ποιήσει, καὶ κομπώδη. ἢ ἀδιάθετον. ἀπιθάνως συντεθέντα.

'Ασύμφηλον.[3] ἀπαίδευτον. ἀνόητον.

'Ασφαδάστῳ.[4] ἀσκαρίστῳ. σπασμὸν μὴ ἔχοντι. ἀντὶ τοῦ συντόμως. ὅπως καιρίας πληγῆς γενομένης, μὴ προσγενέσθαι σπασμὸν, μηδὲ πολλὴν ἐν τῷ θανάτῳ διατριβήν. Σφαδάζειν λέγεται τὸ σπᾶσθαι καὶ σφακελίζειν. Σοφοκλῆς·

Πομπαῖον Ἑρμῆν χθόνιον, εὖ με κοιμίσαι
Ξὺν ἀσφαδάστῳ καὶ ταχεῖ πηδήματι,
Πλευρὰν διαρρήξαντα τῷδε φασγάνῳ.

Παραδεδομένον δὲ καθ' ἱστορίαν, [5] ὅτι κατὰ τὸ ἄλλο σῶμα ἄτρωτος ἦν ὁ Αἴας, [6] κατὰ δὲ τὴν μασχάλην μόνην τρωτὸς, διὰ τὸ τὸν Ἡρακλέα λεοντῇ τὰ ἄλλα μέρη τοῦ σώματος σκεπάσαντα, τοῦτο δὲ τὸ μέρος ἀσκέπαστον ἐᾶσαι, διὰ τὸ προσκεῖσθαι ἐκεῖσε τὸ γωρυτόν.

'Ασφάλιος. Ποσειδῶν. Ἀσφάλιος ῥιζοῦχα [7] θεμέλια νέρθε φυλάσσων. τελευταῖος οὗτος τοῦ ε' τῶν Ἁλιευτικῶν Ὀππιανοῦ.

'Ασφάλισαι. φύλαξαι σαυτόν. Ἀσφαλίζω γὰρ, τὸ φυλάττω.

'Ασφαλτῖτις λίμνη. ἔνθα ἡ ἄσφαλτος γίνεται. Ἄσφαλτος δὲ [8] ξηρίον ἐστὶ πίττῃ ὅμοιον. χρῶνται δὲ ταύτῃ καὶ οἱ ἰατροί. καὶ Ἀσφάλτωσις, ἡ πίσσωσις. ζήτει ἐν τῷ Ἀδιαβηνή.

'Ασφάραγον. φάρυγγα, στόμαχον, λαιμόν. [9] λέγεται καὶ τὸ ἀκανθῶν ἀποφυόμενον βλάστημα. ἔστι δέ τι καὶ βοτάνης εἶδος ἀσφάραγος, πρὸς τὰς καθάρσεις ἐπιτήδειον. οὕτω μὲν [10] οἱ Ἀττικοὶ διὰ τοῦ φ

'Ασσύριοι. Aſſyrii. Hi a Gigante quodam, cui nomen erat Syrus, ita appellati fuerunt: a quo & regio nomen accepit. Ab Aſſyriis vero & Syri dicti ſunt. Vel ab Aſſur, filio Semi, qui fuit filius Noæ. Hic Aſſur primus urbem magnam condidit, quæ poſtea vocata fuit Ninive. Alii vero dicunt Aſſyrios eſſe Perſas.

'Ασσύριοι. Aſſyrii. Gens ita dicta. Cum omnia eſſent tranquilla, nihil impedivit, quominus eorum potentia magnum incrementum caperet. Poſtea vero multa & continua bella, plurimæque ſeditiones aliorum adverſus alios, & bella inteſtina, exorta ſunt. Hæc ſub Cæſare [contigerunt.]

'Ασύστατον. Non bene compactum, nec denſum, ſed laxum & tumidum in poeſi. Vel, non bene ordinatas, nec probabiles, [ſed abſurdas fabulas] componentem.

'Ασύμφηλον. Imperitum. Stultum.

'Ασφαδάστῳ. [Dicitur de morte, in quâ moriens] non palpitat, nec convulſiones patitur, ſed celeriter & facile animam efflat. [Hoc autem Ajax ideo dicit,] ut letali vulnere ictus ſtatim & abſque convulſionibus moriatur, nec diu moribundus palpitet. Σφαδάζειν ſignificat convulſionem pati & contabeſcere. Sophocles: [*Invoco ſimul*] *Mercurium Terreſtrem, animas ad Orcum compellentem, ut morte placida, & celeri, convulſionibuſque carente me ſopiat, poſtquam latus hoc enſe dirupero.* Ferunt autem fabulæ, Ajacem reliquo quidem corpore fuiſſe invulnerabilem, at ſolam ejus axillam vulnerari potuiſſe, quod Hercules, cum totum ejus corpus pelle leonina texiſſet, ſolam hanc partem excepiſſet, ideo quod pharetra ei appenſa eſſet.

'Ασφάλιος. Neptunus. *O Neptune, qui ima terrarum fundamenta cuſtodis.* Hic verſus eſt ultimus libri quinti *Halieuticorum* Oppiani.

'Ασφάλισαι. Securitati tuæ conſule. 'Ασφαλίζω enim ſignificat cuſtodio.

'Ασφαλτῖτις λίμνη. Lacus aſphaltites, ubi bitumen gignitur. Bitumen autem eſt aliquid pici ſimile: quo & medici utuntur. Et 'Ασφάλτωσις, bituminatio. Quære in v. 'Αδιαβηνή.

'Ασφάραγον. Fauces, ſtomachum, guttur. Item germen ex ſpinis naſcens. Eſt etiam quoddam herbæ genus, ἀσφάραγος vocatum, quod ad purgationes utile eſt. Et Attici quidē

---

[1] Ἀτρεμούντων πάντων οὐδὲν ἐμπ.] Quid hæc ad vocem Ἀσσύριοι? De Romanis enim, non de Aſſyriis in hoc fragmento verba fiunt, ut vel ex ultimis verbis, ταῦτα ἐπὶ Καίσαρος, patet.

[2] Ἀσύστατον. οὐ συνεστῶτα, οὐδὲ π.] Ex Scholiaſta Ariſtophanis ad *Nubes* pag. 199. (123. Ed. Baſ. *P.*)

[3] Ἀσύμφηλον. ἀπ.] Scribe ἀσύφηλον, ut apud Homerum Il. I. v. 643. Vide etiam Etymologum.

[4] Ἀσφαδάστῳ. ἀσκαρίστῳ. σπασμ.] Hæc, & quæ ſequuntur, deſcripta ſunt ex Scholiaſta Sophocl. ad *Ajacem* pag. 50. ut Portus obſervavit.

[5] Ὅτι κατὰ τὸ ἄλλο σῶμα ἄτρωτος ἦν ὁ Αἴας, κατὰ δὲ τὴν μασχ.] Vide Scholiaſtam Homeri ad Il. Ψ. v. 821. itemque Anonymum in argumento *Ajacis Flag.* & Euſtath. ad Homer. pag. 995.

[6] Κατὰ δὲ τὴν μασχάλην μόνην τρ.] Qua parte corporis Ajax vulnerabilis fuerit diverſæ ſunt auctorum ſententiæ. Alii enim axillam, alii latus, alii cervicem partem eam fuiſſe dicunt: ut ex locis auctorum in nota præcedente indicatis patet.

[7] Θεμέλια] Apud Oppianum legitur θεμείλια, uti & hic legendum eſt.

[8] Ξηρίον] Hæc vox procul dubio corrupta eſt: quæ tamen quomodo emendanda ſit nunc in mentem mihi non venit. Portus corrigendum putabat κηρίον: ſed quod mihi non ſatis probatur.

[9] Λέγεται καὶ τὸ ἀκανθῶν ἀποφυόμενον βλ.] Vide Bodæum a Stapel ad Theophr. *Hiſtor. Plant.* pag. 601.

[10] Οἱ Ἀττικοὶ διὰ τοῦ φ τὴν λέξιν προφέρουσι] Vide Athen. lib. 11. pag. 62. & Bodæum a Stapel ad Theophr. *de Plantis* pag. 600.

τὴν λέξιν προφέρουσιν. οἱ δὲ πολλοὶ μὴ ἀκριβοῦντες διὰ τοῦ π λέγουσι. καὶ ἁπλῶς τὰ τῶν λαχάνων [1] ὁρώμενα πρῶτα ἀσπαράγους καλοῦσι.

Ἀσφόδελος. τὸ φυτόν. Ἀσφοδελὸς δὲ, ὁ λειμών.

Ἀσφόδελος. σκιλλῶδες φυτὸν, φύλλα ἔχον μακρὰ, καὶ ἀνθέρικον ἐσθιόμενον· καὶ τὸ σπέρμα δὲ αὐτοῦ φρυγόμενον, καὶ ἡ ῥίζα κοπτομένη μετὰ σύκων πλείστην ὄνησιν ἔχει. Περσεφόνης καὶ χθονίων ἱερόν. καὶ Ῥόδιοι τὴν Κόρην καὶ τὴν Ἄρτεμιν ἀσφοδέλῳ στέφουσι. προπαροξυτόνως δὲ ἀναγνωστέον.

Οὐδ' [2] ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ. τὸν δὲ τόπον, ἐν ᾧ φύεται, ὀξυτονητέον· ὡς καὶ παρ' [3] Ὁμήρῳ· Κατ' ἀσφοδελὸν λειμῶνα.

Ἀσχάλλων. ἀδημονῶν, λυπούμενος, χαλεπαίνων. Ὁ [4] δὲ ἤσχαλλεν, ὡς παρευδοκιμούμενος ἐκ νέου, τριχῶν μόνων καὶ τῆς ἄλλης φροντίζοντος σωμασκίας. Καὶ αὖθις· Ὁ δὲ [5] ἀσχάλλων τῇ ἀτιμίᾳ, καὶ ἀπαυδήσας ἐπὶ τοῖς ἀνηνύτοις, ᾗ ποδῶν εἶχεν ἀνέθορε. καὶ [6] Ἀσχαλόωντα, ἀδημονοῦντα.

Ἄσχετον. ἀκράτητον. καὶ Ἀσχέτως, ἀμέτρως.

Ἄσχολος. ὁ μὴ εὐχαιρῶν. σχολὴ γὰρ ἡ [7] ἐν τῇ λεγομένῃ συνηθείᾳ εὐκαιρία. [8] Μηδὲ χωρὶς ἀνάγκης λέγειν πρός τινα, ἢ ἐν ἐπιστολῇ γράφειν, ὅτι ἄσχολός εἰμι· μηδὲ διὰ τοιούτου τρόπου συνεχῶς παραιτεῖσθαι τὰ κατὰ τὰς πρὸς τοὺς συμβιοῦντας σχέσεις καθήκοντα, προβαλλόμενον τὰ περιεστῶτα πράγματα. καὶ ἀσχολοῦμαι, καὶ ἀσχολεῖται, καὶ ἀσχολεῖσθαι. πάντα ταῦτα Μένανδρος λέγει. Φιλήμων δὲ καὶ ἀσχολεῖ.

Ἄττα. [9] δύο σημαίνει. ἀντὶ μὲν τοῦ ὅσα, ἢ ἅτινα, παρὰ Ἀντιφῶντι. ἀντὶ δὲ τοῦ τινὰ, ἢ ποῖά τινα, παρὰ Δημοσθένει ἐν Φιλιππικοῖς. ἐνιαχοῦ δὲ παρέλκει τὸ ἄττα. ἐν δὲ τῷ περὶ παραπρεσβείας Δημοσθένης ἐπὶ τοῦ ὅσα ἔλαβε τὴν λέξιν. τῶν δὲ κωμικῶν τις τὸ ἄττα ἐπὶ ἀριθμοῦ ἔταξεν· ἕτερος δὲ ἐπὶ χρόνου. ἄττα τινὰ, ἢ ἅτινα, ἢ παραπλήσια ὀλίγα. Ἀντιφῶν τῷ ἄττα κέχρηται ἀντὶ τοῦ ἅτινα, ἐν τῇ ἀπολογίᾳ τοῦ Μύρρου. Οὐ γὰρ ἐγὼ ἐπεπόνθειν ταῦτα, ἄττα νῦν πέπονθα ὑπὸ τούτου. Καὶ αὖθις· Οἱ γὰρ ἄνθρωποι, ἄττα ἂν ὁρῶσι τῇ ὄψει, πιστότερα ἡγοῦνται, ἢ οἷς εἰς ἀφανὲς ἥκει ὁ ἔλεγχος τῆς ἀληθείας. [10] Δαμάσκιος· Ὁ δὲ Ἰσίδωρος ἐμελέτα ἄττα τῶν ποιητικῶν, οὐχ ὅσον δυνάμεως, ἀλλ' ὅσον ὀρέξεως εἶχεν. εἶχε δὲ ἐπ' ἐλάχιστον τῆς πρὸς αὐτὰ συμπαθείας, ἅτε οὐχ ἁπτόμενα τῆς

hanc vocem per φ efferunt. At vulgus, rem non accurate examinans, per π pronuntiat. Et in genere prima olerum germina ἀσπαράγους vocant.

Ἀσφόδελος. Planta, quæ vocatur aſphodelus. At ἀσφοδελὸς, pratum, in quo aſphodelus naſcitur.

Ἀσφόδελος. Aſphodelus, planta ſcillæ ſimilis, habens folia longa, & caulem eſculentum: cujus ſemen toſtum, & radix cum ficubus conciſa, valde utilia ſunt. Eſt autem Proſerpinæ & Manibus ſacra: & Rhodii Proſerpinam & Dianam aſphodelo coronant. Scribendum eſt [ἀσφόδελος,] cum accentu in antepenultima. [Heſiodus:] *Neque ſciunt homines, quam ſuaviter & jucunde malva & aſphodelo vivatur.* At cum ſignificat locum, in quo aſphodelus naſcitur, ſcribendum eſt cum acuto in ultima, ut apud Homerum: *In prato, in quo aſphodelus naſcitur.*

Ἀσχάλλων. Mœrens. Dolens. Ægre ferens. Indignans. *Ille vero indignabatur, præferri ſibi juvenem, qui capillis tantum ornandis, & corpori exercendo ſtuderet.* Et iterum: *Ille vero ignominiam ægre ferens, & ob irritos labores animum deſpondens, quanta pedum celeritate potuit,* [*in arcem*] *adſcendit.* Et Ἀσχαλόωντα, dolentem, mœrentem.

Ἄσχετον. Quod retineri coercerique nequit. Et Ἀσχέτως. Immoderate.

Ἄσχολος. Occupatus. Σχολὴ enim ſignificat idem, quod vulgo εὐκαιρία dicitur, i. e. tempus a negotiis vacuum. *Neque niſi neceſſitate adactus ad aliquem dicas, vel in epiſtola ſcribas, tibi non vacare; neque hoc modo ſub negotiorum te urgentium prætextu officia ea, quæ vitæ hujus neceſſitudo a nobis exigit, deſeras.* Et ἀσχολοῦμαι, & ἀσχολεῖται, & ἀσχολεῖσθαι, apud Menandrum. Philemon etiam voce ἀσχολεῖ uſus eſt.

Ἄττα. Duo ſignificat. Nam apud Antiphontem accipitur pro ὅσα, vel ἅτινα, quæcunque, quæ. Apud Demoſthenem vero in *Philippicis* ſumitur pro τινὰ, vel ποῖά τινα, quædam, aliqua. Interdum τὸ ἄττα redundat. At Demoſthenes in oratione de falſa legatione vocem hanc ſumpſit pro ὅσα, quæcunque. Quidam vero Comicorum τὸ ἄττα de numero dixit: & alius de tempore. Antiphon voce ἄττα uſus eſt pro ἅτινα, in Apologia Myrrhi. *Haud enim paſſus fuiſſem ea, quæ nunc ab eo paſſus ſum.* Et iterum: *Homines enim, quæ oculis cernunt, certiora ducunt, quam ea, quorum veritas argumentis obſcuris demonſtranda eſt.* Damaſcius: *Iſidorus vero poeticis etiam operam dabat, non quantum* [*ingenii*] *viribus valebat, ſed quantum amor ejus ſtudii ipſum invitabat. Non autem valde illis afficiebatur, quippe quæ animum non*

---

[1] Ὁρώμενα] Portus recte monuit, legendum eſſe ὄρμενα. Vide Bodæum a Stapel loco laudato.

[2] Οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφ.] Eſt verſus Heſiodi *Oper. & Dier.* v. 41.

[3] Παρ' Ὁμήρῳ] Odyſſ. Λ. v. 538.

[4] Ὁ δὲ ἤσχαλλεν, ὡς παρευδοκιμούμενος ἐκ νέου τε.] Integrum locum auctoris, ex quo fragmentum hoc decerptum eſt, exhibet Suidas ſupra v. Ἀρμάτιος.

[5] Ὁ δὲ ἀσχάλλων τῇ ἀτιμίᾳ, καὶ ἀπαυδήσας ἐπὶ τοῖς ἀνηνύτοις.] Fragmentum hoc longe auctius legitur infra v. Μέλιτος: ex quo loco ſimul diſcimus, verba hæc ex Æliano deprompta eſſe.

[6] Ἀσχαλόωντα] Eſt vox Homerica Il. Χ. v. 412.

[7] Ἡ ἐν τῇ λεγομένῃ συνηθείᾳ εὐκ.] Manifeſtum eſt legi debere, ἡ ἐν τῇ συνηθείᾳ λεγομένη εὐκαιρία.

[8] Μηδὲ χωρὶς ἀνάγκης λέγειν —— περιεστῶτα πράγματα] Hæc ſunt verba Marci Antonini lib. I. §. XII. ut a Pearſonio obſervatum fuit.

[9] Ἄττα. δύο σημαίνει. ἀντὶ μὲν τ. —— ἐπὶ χρόνου] Ex Harpocratione.

[10] Δαμάσκιος· Ὁ δὲ Ἰσίδωρος ἐμελέτα ἄττα τῶν ποιητ.] Idem locus Damaſcii legitur in Collectaneis Photianis pag. 1040. ut Pearſonius recte obſervavit.

ψυχῆς, ἀλλὰ μέχρι φαντασίας καὶ γλώττης ἱστάμενα.

Ἄττα. προσφώνησις νεωτέρου πρὸς πρεσβύτερον.

Ἄττα γέρον, δοιός με καλεῖ γάμος· ἡ μία μὲν δὴ
Νύμφη καὶ πλούτῳ καὶ γενεῇ κατ' ἐμέ.
Ἡ δ' ἑτέρη προβέβηκε. τί λώϊον; εἰδ' ἄγε σύμ μοι
Βούλευσον, ποτέραν εἰς ὑμέναιον ἄγω.

Ἀτταγᾶς[1] νουμηνία. παροιμία ἐπὶ τῶν.

Ἀτταγᾶς. εἶδος ὀρνέου, ὃ τὰ λιμνώδη καὶ [2]ἔλεια χωρία καταβόσκεται. διὸ καὶ Μαραθῶνά φησιν αὐτὸν ἔχειν [3]Ἀριστοφάνης. ἐκεῖ γὰρ πολὺ τὸ ὄρνεον. καὶ ὁ ἀτταγᾶς ἴτω, ὁ ἔχων τὸν λειμῶνα τοῦ Μαραθῶνος. ἔστι δὲ ὁ ἀτταγᾶς κατάστικτος ποικίλοις πτεροῖς. λέγεται δὲ ἐπὶ δούλων κατεστιγμένων· ἐπειδὴ καὶ τὸ ὄρνεον κατάστικτον.

Τὸν[4] πηλὸν ὥσπερ ἀτταγᾶς τυρβάσεις βαδίζων.
τοῦτον τὸν ἀτταγᾶν ἡ συνήθεια ταγηνάριον καλεῖ.

Ἀτάκτημα. ἀταξία. Τοῦ μηδὲν ἀτάκτημα γενέσθαι περὶ τὴν ἀρχήν. καὶ Ἄτακτοι. ἐν τῇ τῶν πλειόνων συνηθείᾳ οἱ περίεργοι, καὶ παρὰ τὸ προσῆκον τὶ ποιοῦντες, ἄτακτοι προσαγορεύονται. οἱ ῥήτορες δὲ καὶ τῆς ἐν πολέμῳ συμβολῆς γενομένης, μὴ [5]παρὰ τάξιν τὴν συμβολὴν ποιήσαντες, ἀλλ' ὡς ἔτυχεν, εἰκῆ καὶ φύρδην.

Ἀταλάντη,[6] Ἀκάστου γυνή, ἥτις Πηλέως ἐρασθεῖσα λόγους ὑπὲρ μίξεως εἰσφέρει. ἀναινομένου δέ, δείσασα μή μιν κατείπῃ πρὸς τὸν ἄνδρα, ὑποφθάσασα αὐτὸν [7]προσδιαβάλλει τὸν ἄνδρα, ὡς βινηθῆναί οἱ ἐθέλοντα. ὁ δὲ λόχον [8]ὑφείσας ἐπεβούλευσε Πηλεῖ. καὶ ὃς αἰσθόμενος εἰς πόλεμον κατέστη πρὸς αὐτόν, ἐπικαλεσάμενος βοηθοὺς τούς τε Τυνδαρίδας καὶ Ἰάσονα, ἐχθρὸν ὄντα ἐκείνῳ, φίλος αὐτὸς ὤν, διὰ τὸ σύμπλους ἐν τῇ Ἀργοῖ γεγονέναι· καὶ τήν τε Ἰωλκὸν αἱρεῖ, καὶ τὴν Ἀκάστου γυναῖκα σφάττει.

Ἀτάλαντον. ἴσον. παραπλήσιον.

Ἀταλὰ[9] φρονέων. νήπια, ἁπαλά.

Ἀταλάριχος, υἱὸς μὲν Ἀμαλασούνθης, βασιλεὺς δὲ τῶν Γότθων.

Ἀταλαίπωρον.[10] ἄπονον. ἢ τὸ ἐξ ἑτοίμου λεγόμενον, καὶ οὐ μετὰ ἀποδείξεως. ἢ τὸ εὐχερὲς καὶ φανερόν. Αἰλιανός· Εἴπερ τοῦ προτέρου λόγου ὑγιὲς ἦν. ἀλλ'

tangunt, ſed intra imaginationem & linguam conſiſtunt.

Ἄττα. Eſt vox, qua junior ſeniorem compellat. [In Epigrammate:] *O bone ſenex, duæ me fœminæ ad conjugium invitant: quarum altera & opibus & ætate mihi par eſt; altera vero ætate provectior. Utrum melius? Age igitur conſule mihi, utra uxor ducenda ſit.*

Ἀτταγᾶς νουμ. *Attagas & numenius* [*in ſocietatem coeunt.*] Proverbium, [quod de duobus furibus dicitur.]

Ἀτταγᾶς. Attagen, genus avis, quæ in lacuſtribus & paluſtribus locis paſcitur. Quare & Marathonem eam incolere dicit Ariſtophanes. Illic enim avis iſta frequens eſt. Et, attagen veniat, pratum Marathonium incolens. Eſt autem attagen avis, quæ pennas habet variis maculis diſtinctas. Unde nomen hoc de ſervis dicitur, qui notis compuncti ſunt: quoniam & avis illa punctis notata eſt. Vulgo autem attagen ταγηνάριον vocatur.

Ἀτάκτημα. Confuſio. Turbatus rerum ſtatus. *Ne qua confuſio in imperio oriretur.* Et ἄτακτοι vulgo vocantur homines curioſi, & qui præter officium & decorum aliquid faciunt. Oratores vero ſic etiam milites vocant, qui, cum prælium committitur, nullo ordine, ſed temere & promiſcue cum hoſte congrediuntur.

Ἀταλάντη. Atalante, Acaſti uxor, Pelei amore capta, cum Peleum de ſtupro ſollicitaſſet, nec perſuadere ei potuiſſet, verita ne rem Peleus ad maritum deferret, præoccupare illum ſtatuit. Itaque Peleum apud virum calumniatur, quaſi ſtuprum ſibi offerre voluiſſet: qui uxoris calumniis perſuaſus inſidias Peleo comparat. Sed Peleus re intellecta bellum Acaſto infert, adſcitis in auxilium ſuum Tyndaridis atque Iaſone, qui Acaſto quidem infenſus, Peleo autem ob expeditionis Argonauticæ ſocietatem erat conjunctiſſimus. Horum auxilio Peleus expugnata Iolco Acaſti uxorem necavit.

Ἀτάλαντον. Par. Æquale. Simile.

Ἀταλὰ φρονέων. Qui puerilia ſapit.

Ἀταλάριχος. Atalarichus, filius Amalaſunthæ, & Rex Gotthorum.

Ἀταλαίπωρον. Laboris & moleſtiæ expers. Vel, quod ex tempore & abſque demonſtratione dicitur. Vel, facile & manifeſtum. Ælianus:

---

[1] Ἀτταγᾶς νουμηνία. παροιμία ἐπὶ τῶν] Eraſmus & Portus de *Attage novilunio*, neſcio quo, Suidam hic loqui exiſtimantes, immane quantum falluntur. Locus hic enim corruptus eſt & mutilus, qui ſic emendari & ſuppleri debet: Ἀτταγᾶς νουμηνίῳ. (ſubintellige συνέρχεται, vel συνῆλθε) παροιμία ἐπὶ δύο κλεπτῶν. Νουμηνίῳ recte legitur in uno MS. Pariſ. Eſt autem νουμήνιος nomen avis, quæ attageni ſimilis eſt. Heſychius: Νουμήνιος, ὄρνεον ὅμοιον ἀτταγᾷ. καὶ ὁ τρόχιλος. Hinc proverbium illud dictum eſt de duobus hominibus malis & improbis, quorum alter alteri ob morum & ingenii ſimilitudinem ſe adjungit. Diogenianus Centur. VIII. Adag. XVIII. Συνῆλθον ἀτταβᾶς τε (lege ἀτταγᾶς) καὶ νουμήνιος. ἐπὶ δύο κλεπτῶν τοῦτο. Hoc proverbio uſus eſt Laertius in *Timone* Segm. CXIV. ubi vide quæ notavit eruditiſſimus Menagius.

[2] Ἔλεια] In prioribus Edit. male legitur λεῖα.

[3] Ἀριστοφάνης] Locus Ariſtophanis, ad quem Suidas hic reſpicit, exſtat *Avibus* pag. 552. (377. Ed. Baſ. *P.*)

[4] Τὸν πηλὸν ὥσπερ ἀτταγᾶς τυρβάσεις βαδίζων] Hæc ſunt verba Ariſtophanis *Veſpis* pag. 446. (319. Ed. Baſ. *P.*)

[5] Μὴ παρὰ τάξιν τὴν συμβολὴν ποιήσαντες] Scribe μὴ κατὰ τάξιν τὴν συμβολὴν ποιησαμένους: ſubintellige, οὕτω καλοῦσιν.

[6] Ἀταλάντη, Ἀκάστου γυνή, ἥτις Πηλέως ἐρασθ.] Hæc, & quæ ſequuntur, ſunt verba Nicolai Damaſceni apud Conſtantinum in Collectaneis a Valeſio editis, pag. 446. unde Suidas ea deſcripſit. Cæterum, male hic Suidas Acaſti uxorem Atalanten vocat, quæ Aſtydamea appellata fuit, ut ex veteribus ſcriptoribus conſtat. Vide Apollodorum lib. III. cap. XII. & Enarratorem Comici ad *Nubes* pag. 183.

[7] Προσδιαβάλλει] Malim προδιαβάλλει.

[8] Ὑφείσας] Ὑφεὶς potius ſcribendum eſt.

[9] Ἀταλὰ φρονέων] Eſt phraſis Homerica Il. Σ. v. 567.

[10] Ἀταλαίπωρον. ἄπονον] Confer Etymologum.

ἐκεῖνός τε ἀβασανίστῳ γραφῇ, ἀταλαιπώρῳ τῆς ἀληθείας ἀκοῇ διεσπαρμένος ἐς τὸ πλῆθος ἀλᾶται ἄλλως. ὁ δέ μοι ἀληθὴς ὤν. καὶ Ἀταλαιπώρως, ῥαθύμως, ὀλιγώρως. Ἀριστοφάνης Δαναΐσιν· Οὕτως αὐτοῖς ἀταλαιπώρως ἡ ποίησις διέκειτο.

Ἀταλῇσιν. ἁπαλαῖς. νεογναῖς. καὶ ἀταλόψυχος. [1] ἐν Ἐπιγράμματι·

Ἠϊθέοις οὐκ ἔστι τόσος πόνος, ὁππόσος ἡμῖν
Ταῖς ἀταλοψύχοις ἔχραε θηλυτέραις.

Ἀττάλεια. Ἰταλία δέ.

Ἄτταλος, [2] βασιλεὺς, ἀδελφὸς Εὐμένους· ᾧ ἄλλο οὐδὲν ἐφόδιον ὑπῆρξε πρὸς βασιλείαν τῶν ἐκτός· πλοῦτος δὲ μόνον, ὃς μετὰ νοῦ μὲν καὶ τόλμης χειριζόμενος, ἀληθῶς μεγάλην παρέχεται χρείαν πρὸς πᾶσαν ἐπιβολήν· ἄνευ δὲ τῶν προειρημένων τοῖς πλείστοις κακῶν παραίτιος πέφυκε γίνεσθαι, καὶ συλλήβδην ἀπωλείας. καὶ γὰρ φθόνους γεννᾷ, καὶ πρὸς διαφθορὰν σώματος καὶ ψυχῆς μεγάλας ἔχει ῥοπάς. ὀλίγαι δέ τινες εἰσὶ ψυχαὶ, αἳ ταῦτα δυνάμεναι διωθεῖσθαι τῇ τοῦ πλούτου δυνάμει. ὁ δὲ πρὸς οὐδὲν ἄλλο ἐπεβάλλετο χρήσασθαι τοῖς χορηγίοις, ἀλλ' ἢ πρὸς βασιλικὴν ἀνάκτησιν, οὗ μεῖζον οὐδὲ κάλλιον οὐδὲν οἷόν τε ἐστὶν εἰπεῖν. ὃς τὴν ἀρχὴν ἐνεστήσατο τῆς προειρημένης ἐπιβολῆς, οὐ μόνον διὰ τῆς εἰς τοὺς φίλους εὐεργεσίας καὶ χάριτος, ἀλλὰ καὶ διὰ τῶν κατὰ πόλεμον ἔργων. βασιλεύσας γὰρ καὶ βιώσας ἔτη δύο πρὸς τοῖς ἑβδομήκοντα, τούτων δὲ βασιλεύσας μ' καὶ δ', σωφρονέστατα μὲν ἐβίωσε καὶ σεμνότατα πρὸς γυναῖκας καὶ τέκνα· διεφύλαξε δὲ τὴν πρὸς πάντας συμμάχους καὶ φίλους πίστιν. ἐναπέθανε δὲ ἐν αὐτοῖς τοῖς καλλίστοις ἔργοις. καὶ οὕτως ἡρμόσατο τὴν ἀρχὴν, ὡς παισὶ παίδων ἀστασίαστον παραδοθῆναι τὴν βασιλείαν. † Οὗτος [3] ὁ Ἄτταλος παραλαβὼν τὴν ἐξουσίαν, πρῶτον μὲν ἐξήνεγκε δεῖγμα τῆς αὐτοῦ προαιρέσεως καὶ πράξεως τὴν Ἀριαράθου καταγωγὴν ἐπὶ τὴν βασιλείαν. Ὅτι Ἄτταλος, [4] ὁ [5] Ἀπολλωνίας ἀνὴρ, βασιλεὺς Ἀσίας, μεταλλάττει τὸν βίον, πληρωθείσης ἐπ' αὐτῷ τῆς Πυθίας,

Θάρσει, [6] Ταυρόκερως, ἕξεις βασιληΐδα τιμὴν,
Καὶ παίδων παῖδες· τούτων γε μὲν οὐκέτι παῖδες.

Ἀτάλλων. τρέφων. [7] Σοφοκλῆς·

---Κούφοις πνεύμασι βόσκου, νέαν
Ψυχὴν ἀτάλλων. ———

Αἴας φησὶ πρὸς τὸ ἴδιον τέκνον. σημαίνει δὲ καὶ τὸ σκιρτῶν.

Ἀταμίευτον. ἀδιοίκητον, καὶ ἀφύλακτον, ἤτοι, οὗπερ οὐκ ἔστι ταμιεῖον. λέγεται οὕτως καὶ τὸ πρόχειρον καὶ ἐν ἑτοίμῳ.

Si quid prior rumor veri habuit. At ille inconſiderata ſcriptione pro vero in vulgus ſparſus temere vagatur. Hic autem veritati affinis mihi videtur. Et Ἀταλαιπώρως, ſegniter, negligenter. Ariſtophanes *Danaidibus*: *Tam negligenter poeſis ab ipſis tractabatur.*

Ἀταλῇσιν. Teneris. Recens natis. Et Ἀταλόψυχος, teneram habens animam. In Epigrammate: *Adoleſcentibus amor non eſt æque moleſtus, ac nobis fœminis, teneram animam habentibus.*

Ἀττάλεια. [Eſt urbs Lydiæ.] Italia vero, [regio.]

Ἄτταλος. Attalus, Rex, frater Eumenis, cui nullum ad ſpem regni ſubſidium præter divitias fortuna dederat. Hæ ſi cum prudentia & audacia adminiſtrentur, maximas ad omnem conatum afferunt utilitates: ſin ſecus, gravium malorum ac poſtremo interitus cauſa pleriſque eſſe ſolent. Nam & invidiam & inſidias pariunt, & ad corporis animique perniciem maxima habent momenta. Ac pauciſſima ingenia reperias, quæ divitiarum adminiculo hujuſmodi mala propulſare queant. Ille vero nullius alterius cauſa, quam ad regnum ſibi comparandum, opibus uti inſtituit; quo certe nihil majus aut illuſtrius dici poteſt. Atque id primum aggreſſus eſt, non modo liberalitate & gratia erga amicos, ſed etiam auxilio rei militaris. Cum autem vixiſſet annos LXXII. & ex iis regnaſſet XLIV. ſingulari modeſtia & gravitate cum uxore & liberis vixit, & ſociis omnibus atque amicis fidem præſtitit; ac poſtremo præclariſſimis rebus eſt immortuus. Præterea, regnum ita firmavit & ſtabilivit, ut pacata & tranquilla ejus poſſeſſio ad nepotes ejus pervenerit. † Hic Attalus regno potitus, primum animi ſui & induſtriæ ſpecimen edidit, Ariarathe in regnum reſtituto. † Attalus, Apolloniæ maritus, Aſiæ Rex, morte ſua fidem fecit Oraculo, Attalo majori reddito: *Bono ſis animo Tauricornis: regio honore potieris, & tu, tuique nepotes; non autem horum filii.*

ἥτις χρηστηριαζομένη Ἀττάλῳ τῷ μεγάλῳ ἔφη·

Ἀτάλλων. Nutriens. Sophocles: *Creſce plantæ inſtar, quæ lenibus alitur ventis, teneramque molliter exige ætatem.* Sic Ajax ad filium ſuum inquit. Significat etiam σκιρτῶν, i. e. ſaliens.

Ἀταμίευτον. Quod non bene diſpenſatur, nec cuſtoditur: vel, quod non habet cellam penuariam in quo reponatur. Sic etiam dicitur quod paratum eſt & in promptu.

---

[1] Ἐν Ἐπιγράμματι· Ἠϊθέοις οὐκ ἔστι τ.] Locus hic depromptus eſt ex Epigrammate Agathiæ, quod integrum legitur Anthol. lib. VII. pag. 604.

[2] Ἄτταλος, βασιλεὺς, ἀδελφὸς Εὐμ. ᾧ ἄλλο οὐδὲν ἐφόδιον —— παραδοθῆναι τὴν βασιλείαν] Hæc ſunt verba Polybii apud Conſtantinum in Collectaneis a Valeſio editis pag. 101. 102. unde Suidas ea deſcripſit.

[3] Οὗτος ὁ Ἄτταλος παραλαβὼν τὴν ἐξουσ. —— ἐπὶ τὴν βασιλείαν] Hæc ſunt verba Polybii apud Conſtantinum in Collectaneis a Valeſio editis. pag. 169. unde Suidas ea deſcripſit.

[4] Ὅτι Ἄτταλος, ὁ Ἀπολλωνίας ἀνήρ] Erraſſe hic Suidam, & Attalum avum cum nepote confudiſſe monuit ὁ πολυμαθέστατος Reineſius *Var. Lect.* lib. III. pag. 368. quem vide.

[5] Ἀπολλωνίας] Hæc a Plutarcho in libello *de fraterno amore*, pag. 480. vocatur Ἀπολλωνὶς Κυζικηνὴ, ut Reineſius loco laudato monuit.

[4] Ἀχαιὸς, Συρακ.] De hoc & ſequenti Achæo vide Meurſium in *Bibliotheca Græca*.

[5] Σοφοκλῆς] *Oedip. Colon.* pag. 323. ut Portus obſervavit.

[6] Κᾀπὸ λαΐνου τ.] Cum Cantero *Nov. Lect.* lib. III. cap. III. legere malim κἀπὶ λαΐνου τάφου.

[7] Τὸ νόμισμα, ὅπερ δανάκη καλεῖται, τῷ πορθμ.] Vide infra v. Δανάκη, v. Καρχάδοντα, & v. Πορθμήϊον.

[8] Ἀριστοφάνης ἐν Βατράχοις] Pag. 234. (149. Ed. Baſ. P.)

[9] Μέχρι τοῦ τέλματος] Puto ſcribendum eſſe μέχρι τοῦ πέρατος quam lectionem in verſione ſecutus ſum.

[10] Ἀχέτας. οὐκ εἶδος τέττιγος, ἀλλ' ἐπίθετον κτλ.] Hæc refutavimus ſupra v. Ἀκανθίας, quem locum adeat Lector.

Ἄπυς, ἄχειρος, [1]οὐ βαρεῖ τὸν αὐχένα·
Πλήρεις [2]ἑκάστῳ τῶν μελῶν αἱ συνθέσεις.
περὶ τῆς Χοσρόου ὠμότητός φησι.

Ἀχείρωτον. ἄμωμον.

Ἀχηνία.[3] ἀπορία. Ἀριστοφάνης Ἀμφιαράῳ·
Νόσῳ βιασθεὶς, ἢ φίλων ἀχηνίᾳ.

Ἄχης. ὁ πένης.

Ἄχην. ὁ πτωχός. καὶ Ἄχηνες, οἱ μηδὲν ἔχοντες.

Ἀχήρας. ὄνομα κύριον. καὶ ὁ σκώληξ. καὶ Ἀχώρας, ὁμοίως.

Ἀχηείς.[4] ὁ λυπηρός. ἐκλάσει τοῦ α εἰς η.

Ἄχι. ἀντὶ τοῦ ῥᾳδίως.

Ἀχίας.[5] προφήτης οὗτος ἐπὶ Ἱεροβοὰμ βασιλέως τῶν Ἑβραίων ἦν. κάμνοντος δ' αὐτῷ κατ' ἐκεῖνον τὸν καιρὸν τοῦ παιδὸς, τὴν γυναῖκα αὐτοῦ προσέταξεν ἥκειν, ἔνθα διέτριβεν ὁ Ἀχίας, περὶ τῆς τοῦ παιδὸς ὑγείας, μετασχηματισαμένην τὴν στολήν. μελλούσης δὲ αὐτῆς εἰς τὴν οἰκίαν εἰσιέναι, τὰς ὄψεις ἠμαυρωμένος διὰ τὸ γῆρας, ἐπιφανεὶς ὁ Θεὸς ἀμφότερα αὐτῷ μηνύει, τήν τε τοῦ Ἱεροβοὰμ γυναῖκα, καὶ τί μέλλει λέγειν αὐτῇ. καὶ παρελθούσης ὡς ξένης, ἀνεβόησεν Εἴσελθε, ὦ γύναι· τί κρύπτεις σαυτήν; τὸν γὰρ Θεὸν οὐ λανθάνεις. ἄπελθε οὖν πρὸς τὸν ἄνδρα, τάδε λέγει Κύριος· Ἐπεί σε μέγαν ἐκ μικροῦ καὶ μηδενὸς ὄντος ἐποίησα, καὶ ἀποσχίσας τὴν βασιλείαν ἀπὸ τοῦ Δαβὶδ γένους σοὶ ταύτην ἔδωκα, σὺ δὲ τούτων ἠμνημόνησας, καὶ τὴν ἐμὴν θρησκείαν καταλιπὼν, χωνευτοὺς Θεοὺς κατεσκεύασας, καὶ τούτους τιμᾷς, σὲ πάλιν καθαιρήσω, καὶ πᾶν ἐξολοθρεύσω σου τὸ γένος, καὶ κυσὶ καὶ ὄρνισι βορὰν γενέσθαι ποιήσω. μεθέξει δὲ τῆς τιμωρίας καὶ τὸ πλῆθος, ἐκπεσὸν τῆς ἀγαθῆς γῆς, καὶ διασπαρὲν εἰς τοὺς πέραν Εὐφράτου τόπους, διότι τοῖς σοῖς ἀσεβήμασι κατηκολούθησε. τὸν δὲ σὸν υἱὸν καταλήψῃ τεθνηκότα· ὅπερ καὶ γέγονεν.

Ἀχιλλεὺς[6] Στάτιος, Ἀλεξανδρεὺς, ὁ γράψας τὰ κατὰ Λευκίππην καὶ Κλειτοφῶντα, καὶ ἄλλα ἐρωτικὰ ἐν βιβλίοις η. γέγονεν ἔσχατον Χριστιανὸς καὶ Ἐπίσκοπος. ἔγραψε δὲ περὶ σφαίρας καὶ ἐτυμολογίας, καὶ ἱστορίαν σύμμικτον, πολλῶν καὶ μεγάλων καὶ θαυμασίων ἀνδρῶν μνημονεύουσαν. ὁ δὲ λόγος αὐτοῦ κατὰ πάντα ὅμοιος τοῖς ἐρωτικοῖς.

Ἀχίλλειος εὐχή.

[7]Ἦ ποτ' Ἀχιλλῆος ποθὴ ἵξεται υἷας Ἀχαιῶν.

Ὁ [8]Κάμιλλος, ὁ Ῥωμαίων στρατηγὸς, εὔξατο τὴν Ἀχίλλειον εὐχὴν, ἐπιποθῆσαι Ῥωμαίους Κάμιλλον ἐν καιρῷ. ἀπήντησε δὲ αὐτῷ οὐ πολὺ ὕστερον. Κελτῶν γὰρ τὴν πόλιν καταλαβόντων, ὁ δῆμος ἐπὶ Κάμιλλον κατέφυγε, καὶ δικτάτορα αὖθις εἵλετο· ὡς ἐν

que carens non gravat cervicem; integræque ei ſunt ſingulorum membrorum juncturæ. De Choſrois crudelitate ibi loquitur.

Ἀχείρωτον. Quod reprehendi & culpari nequit.

Ἀχηνία. Penuria. Paupertas. Ariſtophanes *Amphiarao: Morbo coactus, vel amicorum penuria.*

Ἄχης. Pauper.

Ἄχην. Pauper. Et Ἄχηνες, pauperes.

Ἀχήρας. Nomen proprium. Item, vermis. Et Ἀχώρας, itidem.

Ἀχηείς. Moleſtus. [Dictum eſt pro ἀχαεὶς,] mutato α in η.

Ἄχι. Facile.

Ἀχίας. Achias. Hic Propheta fuit temporibus Jeroboami Regis Hebræorum: qui, filio ipſius ægrotante, uxorem ſuam mutato habitu Achiam adire juſſit, de ſalute filii percontaturam. Cum autem ædes jam ingreſſura eſſet, & propheta præ ſenio cæcutiret, Deus illi apparuit, & utrumque indicavit, tum, Jeroboami uxorem adeſſe, tum, quid ipſi reſpondendum eſſet. Cumque illa ut peregrina tranſiret, propheta exclamavit: *Intra, mulier: quid perſonam mentiris? Deum enim non lates.* Redi igitur ad maritum. Hæc inquit Dominus: Quoniam te magnum e parvo & nullo effeci, & regnum, familiæ Davidis ereptum, tibi dedi, tu vero horum immemor fuiſti, meique cultu relicto Deos fuſiles colere cœpiſti, te rurſus evertam, totumque genus tuum perdam, & canum volucrumque cibum efficiam. Hæc pœna ad populum etiam redundabit, quippe qui ex terra beata pulſus per loca, quæ ultra Euphratem ſita ſunt, diſpergetur, quoniam impietatem tuam ſecutus eſt. Filium vero tuum reperies mortuum: quod etiam accidit.

Ἀχιλλεὺς Στάτιος. Achilles Statius, Alexandrinus; qui de Leucippe & Clitophonte ſcripſit, & alia amatoria libris octo. Tandem factus eſt Chriſtianus, & Epiſcopus. Scripſit de Sphæra, & Etymologia, & Hiſtoriam miſcellaneam quæ multorum & magnorum admirabiliumque virorum mentionem facit. Stilus ejus ubique ſimilis eſt illi, quo in Amatoriis utitur.

Ἀχίλλειος εὐχή. Achillis votum. *Profecto aliquando Achillis deſiderium filios Achivorum ſubibit.* † *Camillus, Romanorum Imperator, a Diis immortalibus idem precatus eſt, quod Achilles olim precatus dicitur, ut Romanos ſui deſiderium aliquando ſubiret: cujus voti haud ita multo poſt compos factus eſt. Cum enim Galli urbem occupaſſent, populus opem Camilli implo-*

---

[1] Οὐ βαρεῖ] Sic habet Editio Mediolanenſis. Reliquæ vero ὀβαρεῖ, corrupte. Quid ſi legatur σοβαρεύει? Sed, cum fragmenti hujus ſenſus propter brevitatem ſit incertus & obſcurus, ἐπέχω.

[2] Ἑκάστῳ] Legerim potius ἑκάστων.

[3] Ἀχηνία. ἀπορία] Vide infra v. Ἠχαίνω.

[4] Ἀχηείς] Legerim potius Ἀχηρής, ut habet Etymologus.

[5] Ἀχίας. προφήτης οὗτος ἐπὶ Ἱερ.] Vide 1 *Reg.* XIV. & Joſeph. *Antiq.* lib. VIII. cap. IV.

[6] Ἀχιλλεὺς Στάτιος.] De hoc vide Photium in *Bibliotheca* Cod. LXXXVII. qui eum Τάτιον vocat.

[7] Ἦ ποτ' Ἀχιλλῆος ποθὴ ἵξεται υἷας Ἀχ.] Hæc ſunt verba Homeri Il. A. v. 240.

[8] Ὁ Κάμιλλος, ὁ Ῥωμαίων στρατηγὸς, εὔξατο τὴν Ἀχ.] Hæc & quæ ſequuntur ſunt verba Appiani in Excerptis Conſtantini a Valeſio editis pag. 549.

ταῖς Κελτικαῖς πράξεσιν ἀναγέγραπται.

Ἀχιλλείων. τουτέστι κριθῶν καθαρῶν, καὶ εὐγενῶν, οὕτω καλουμένων. [1] Ἀριστοφάνης· Ἀχιλλείων ἀπομάττῃ. ἀντὶ τοῦ σιτήσεως τῆς ἐν Πρυτανείῳ μετέχεις. ἢ Ἀχίλλειοι κριθαὶ, [2] αἱ εὐτελεῖς.

Ἀχθέσῃ. λυπηθήσῃ. Τῷ χρόνῳ ποτ' ἀχθέσῃ. ἀντὶ τοῦ λυπηθήσῃ ποτὲ τοῦδε τοῦ πράγματος γενομένου.

Ἄχθεται. λυπεῖται. καὶ Ἀχθεσθεὶς, λυπηθείς. Ὁ δὲ ἀχθεσθεὶς τοῖς ἐπιτάγμασι, πολλὰ καὶ δεινὰ ἀπεκρίνατο.

Ἀχθεινή. λυπηρά. ὀλεθρία.

Ἀχθεινὰν δ' εἶδε βοοκτασίαν.

καὶ Ἀχθεινὸς, ὁ ἐπίπονος.

Ἀχθηδών. λύπη.

Ἄχθομαι, βαροῦμαι, ἀγανακτῶ. [3] Ἀριστοφάνης· Ἄχθομαι τοῖς ταῶσι, τοῖς τ' ἀλαζονεύμασιν. ἀντὶ τοῦ, τοῖς κόλποις τοῖς πεποικιλμένοις· ἐπεὶ ὁ ταὼς ποικίλος. ἢ ὅτι πορφύραις ἐχρῶντο καὶ τιάραις. καὶ, Ἄχθομαι αὐτοῦ τῷ ῥύπῳ· ἀντὶ τοῦ, τῇ ἀνελευθερίᾳ καὶ μικρολογίᾳ. τὸν γὰρ ῥύπον ἐπὶ τῶν γλίσχρων καὶ ἀνελευθέρων ἐτίθεσαν. οὕτω γοῦν ῥυποκονδύλους λέγουσι τοὺς τοιούτους. καὶ Ἀριστοφάνης· Κρομμύοις γὰρ ἄχθομαι. καὶ [4] Ἰώσηπος· Ὁ δὲ Θεὸς ἄχθεται τῇ τε τοῦ βασιλέως τῶν Ἀμαληκιτῶν σωτηρίᾳ, καὶ τῇ τῶν βοσκημάτων διαρπαγῇ τοῦ πλήθους, ὅτι μὴ συγχωρήσαντος αὐτοῦ ταῦτ' ἐπράχθη. καὶ Ἀχθόμενοι, βαρούμενοι, πιεζόμενοι. Ἀμφί τε ἡμέραν μέσην τῷ ἡλίῳ ἀχθόμενοι, τὰ ὅπλα κατέθεντο. καὶ Ἄχθος, βάρος, λύπη.

Ἀχθοφόρον. βαστάζοντα. καὶ παροιμία·

Οὓς [5] οὐκ ἂν ἄραιντ' οὐδ' ἑκατὸν Αἰγύπτιοι.

πολλαχοῦ [6] γὰρ ἀχθοφοροῦντας τοὺς Αἰγυπτίους μέμνηται.

Ἄχλαξ. ἡ λιθώδης καὶ ψαμμώδης ἄμμος. ἢ ὁ μικρὸς λίθος.

Ἀχλύς. σκότος. ὁμίχλη. ζόφος. ἀμβλυωπία. καὶ, Ἠέρος ἀχλύσαντος. ἀντὶ τοῦ, σκοτισθέντος.

Ἄχναι. λεπτὰ ἄχυρα, ἢ ἀκαθαρσίαι. καὶ Ἄχνη ἁλός· τὸ λεπτότατον τοῦ ὕδατος. ὁ ἀφρὸς τῆς θαλάσσης. ἐν [7] Ἐπιγράμματι·

Μῆλον θ' ἡδύπνουν λεπτῇ πεποκωμένον ἄχνῃ.

καὶ Ἄχνη πυρὸς, ὁ καπνός. καὶ [8] Ἄχνη ὕπνου, ὁ Ἱπποκράτης φησί· καὶ [9] Ἄχνη λιμοῦ. δηλοῖ δὲ καὶ λεπτὸν ξύσμα.

ravit, eumque Dictatorem iterum creavit, ut in libro de Bellis Gallicis dictum eſt.

Ἀχιλλείων κριθῶν. Hordei Achillei: id eſt, puri & egregii. Ariſtophanes: *Achilleo hordeo veſceris.* Id eſt, victus in Prytaneo particeps es. Vel Achilleum hordeum dicitur hordeum vile.

Ἀχθέσῃ. Dolebis. *Tandem aliquando dolebis.* Id eſt, tandem aliquando afficieris dolore, ſi hæc res fiat.

Ἄχθεται. Dolet. Et Ἀχθεσθεὶς, dolens. *Ille vero imperata ægre ferens, multis duriſque verbis reſpondit.*

Ἀχθεινή. Triſtis. Pernitioſa. *Triſtem vero vidit boum cædem.*

Ἀχθηδών. Dolor.

Ἄχθομαι. Gravor, doleo, indignor. Ariſtophanes: *Iniquo animo fero pavones & jactantiam.* Id eſt, ſinus pictos & variegatos. Pavo enim pennas habet variis coloribus diſtinctas. Vel, quia purpura & tiaris utebantur. Et Ἄχθομαι αὐτοῦ τῷ ῥύπῳ, ſordes & avaritiam ejus inique fero. Ῥύπος enim dicitur de hominibus avaris & illiberalibus, quos ideo ῥυποκονδύλους vocant. Et Ariſtophanes: *Cepis enim offendor.* Et Joſephus: *Deus autem indignabatur, quod [Saulus] Regi Amalecitarum peperciſſet, & populus pecudes in prædam vertiſſet, cum neutrum ipſe permiſiſſet.* Et ἀχθόμενοι, gravati, preſſi, [moleſtia affecti.] *Et circa meridiem, cum Solis ardor ipſis moleſtus eſſet, arma depoſuerunt.* Et ἄχθος, onus, dolor.

Ἀχθοφόρον. Onera bajulantem. Et proverbium: *Quos ne centum quidem Ægyptii bajulent.* Multis enim in locis [Ariſtophanes] Ægyptiorum ut bajulorum meminit.

Ἄχλαξ. Arena lapidoſa. Glarea. Vel lapillus.

Ἀχλύς. Tenebræ. Caligo. Nebula. Oculorum caligatio. Et, Ἠέρος ἀχλύσαντος, i. e. Aere obſcurato.

Ἄχναι. Minutæ paleæ. Acera. Vel, ſordes. Et ἄχνη ἁλὸς, tenuiſſima aquæ pars, ſpuma maris. [Item lanugo.] In Epigrammate: *Pomumque ſuavem ſpirans odorem, & tenui lanugine veſtitum.* Et ἄχνη πυρὸς, fumus. Et ἄχνη ὕπνου [de ſomno leviſſimo dicitur.] Et ἄχνη λίνου, ramentum vel lanugo lintei apud Hippocratem. Significat etiam quodvis ramentum tenue.

---

[1] Ἀριστοφάνης] *Equit.* pag. 337.

[2] Αἱ εὐτελεῖς] Lege, αἱ εὐφυεῖς, ut apud Scholiaſtam Ariſtophanis.

[3] Ἀριστοφάνης] *Acharnenſ.* pag. 373. (263. Ed. Baſ. *P.*) ubi ſic legitur:

——— Ἄχθομαι γὼ πρέσβεσι
Καὶ τοῖς ταῶσι, τοῖς τ' ἀλαζονεύμασι.

[4] Καὶ Ἰώσηπος· Ὁ δὲ Θεὸς ἄχθεται τῇ τε τοῦ βασ.] Fragmentum hoc legitur apud Joſephum *Antiq. Jud.* lib. VI. cap. VIII. pag. 184.

[5] Οὓς οὐκ ἂν ἄραιντ' οὐδ' ἑκατὸν Αἰγ.] Hæc ſunt verba Ariſtoph. *Ranis* pag. 277. (184. Ed. Baſ. *P.*)

[6] Πολλαχοῦ γὰρ ἀχθοφ. τοὺς Αἰγ. μέμνηται] Apud Enarratorem Comici loco laudato rectius ſic legitur: Πανταχοῦ γὰρ Αἰγυπτίων ὡς ἀχθοφόρων μέμνηται. Confer eundem Scholiaſtam ad *Aves* pag. 595.

[7] Ἐν Ἐπιγράμματι] Anthol. lib. VI. cap. XIV. ut Portus etiam monuit.

[8] Καὶ ἄχνη ὕπνου] Huc ſpectant verba Comici *Veſpis* pag. 436.

Ὕπνου δ' ὁρᾷ τῆς νυκτὸς οὐδὲ πασπάλην.
Ἢν δ' οὖν καταμύσῃ κἂν ἄχνην.

i. e. *Et noctu ne hilum quidem ſomni videt. Quod ſi autem oculos vel leviter claudere cœpit* &c.

[9] Ἄχνη λιμοῦ] Sic etiam legitur apud Heſychium. Sed ſcribendum eſt, ἄχνη λίνου, ut recte monuit Fœſius in *Oeconomia* Hippocratis v. Ἄχνη.

Ἄχνους.

Ἄχνυς. ἀγένειος.

Τίς[1] τὸν ἄχνυν Ἑρμῆν σε παρ' ὑσπλήγγεσσιν ἔθηκεν.

Ἀχνύμενος. λυπούμενος.

Ἄχος. λύπη σιωπὴν ἐπιφέρουσα. παρὰ τοῦτο καὶ ἀχνύμενος, τουτέστι λυπούμενος. Λήγετε τοῦδ' ἄχους. κακῶν γὰρ δυσάλωτος οὐδείς. ἀντὶ τοῦ δύσληπτος, ἀλλ' εὐάλωτος. Ἡ δὲ σύγκλητος, ὥσπερ ἄχει τινὶ πεπληγμένη, ἐξηπορεῖτο.

Ἅχω. ἀντὶ τοῦ ἃ ἔχω. [2]Σοφοκλῆς·

Κἀμοῦ ταλαίνης σμικρὰ μὲν τάδ', ἀλλ' ὅμως
Ἅχω. ——

Ἀχών. ἄμπελος.

Ἀχώρ.[3] τὸ πιτυρῶδες τῆς κεφαλῆς. παρὰ τὸ ἄχνη, ἀχνώρ· καὶ ἀποβολῇ τοῦ ν, ἀχώρ. κλίνεται δὲ ἀχῶρος, διὰ τοῦ ω μεγάλου· ὡς ἰχῶρος, τοῦ σεσηπότος αἵματος.

Ἄχραντον. ἄψαυστον. κυρίως, οὗ χεὶρ οὐχ ἥψατο. ἀμόλυντον.

Ἀχράς. εἶδος ἀπίου. [4]Ἀριστοφάνης·

Ἀχράς τις ἐγκλείσασ' ἔχει τὰ σιτία.
Μῶν, ἣν Θρασύβουλος εἶπε τοῖς Λακωνικοῖς;

Ἡ [5]ἀχρὰς ἐπέχει τὴν γαστέρα. οὗτος δὲ ὁ Θρασύβουλος ἀντιλέγειν μέλλων τοῖς Λακεδαιμονίοις πρέσβεσι, περὶ σπονδῶν ἐληλυθόσιν, εἶτα [6]δωροδοκήσας, ἀχράδας προσεποιήσατο βεβρωκέναι, καὶ μὴ δύνασθαι λέγειν.

Ἀχρειόγελως ἄνθρωπος. ὁ ἐπὶ τοῖς ἀχρήστοις καὶ μὴ σπουδαίοις γελῶν καὶ χαίρων.

Ἀχρεῖον. τῷ τόνῳ ὡς ἄμεινον.

Ἄχρηστα. καὶ παροιμία· [7]Εἰς ἄχρηστα μὴ ἀναλίσκειν. μή ποτ' εὖ ἔρδειν γέροντα, μὴ παῖδα βάσκανον, μήτε γυναῖκα λάλον, μήτε παῖδα νήπιον, μήτε γείτονος κύνα, μὴ λάλον κωπηλάτην. † [[8]Μηδ' εἰς ὀρχηστρίδος εἰσάττειν (τουτέστιν εἰσπηδῆσαι) ἵνα μὴ πρὸς ταῦτα κεχηνὼς, μήλῳ βληθεὶς ὑπὸ πορνιδίου, τῆς εὐκλείας ἀποθραυσθῇς (τουτέστιν ἐκπέσῃς·) μηδ' Ἰαπετὸν καλέσαντα μνησικακῆσαι τὴν ἡλικίαν, ἐξ ἧς ἐνεοττοτροφήθης. τουτέστι, λῆρον, μωρόν. Ἰαπετὸς δὲ εἷς τῶν γιγάντων. ἐνεοττοτροφήθης δὲ, οἷον ἐτράφης. μὴ περὶ τοὺς σαυτοῦ γονέας κακουργεῖν, ὅτι τῆς αἰδοῦς μέλλεις ἄγαλμ' ἀναπλήσειν. μηδ' ἀπαίδευτά τινα ποιήσεις περὶ τοὺς σαυτοῦ γονέας, ὅπερ μέλλει τῆς αἰδοῦς τὰ ἀγάλματα πληρῶσαι.]

Ἀχρηστία. [9]Ἀππιανός· [10]Ὁ δὲ Ὁράτιος λελωβημένος ἦν τὰ σκέλη, ὑπατείας τε οὐκ ἔτυχεν, οὔτε ἐν πολέμῳ, οὔτε ἐν εἰρήνῃ, διὰ τὴν ἀχρηστίαν τῶν ποδῶν.

Ἄχρι. γενικῇ. Ἄχρις, ἀντὶ τοῦ μέχρις, ἕως.

Ἄχνυς. Imberbis. *Quis te imberbem Mercurium ad carceres* [*Circi*] *collocavit?*

Ἀχνύμενος. Dolens. Mœrens.

Ἄχος. Dolor vocem intercludens. Hinc deducitur ἀχνύμενος, dolore perculſus. *Deſinite dolere. Nemo enim a malis immunis eſt.* Δυσάλωτος hic proprie ſignificat, qui difficulter capi poteſt. *Senatus vero, dolore ingenti perculſus, conſilii incertus erat.*

Ἅχω, Pro, ἃ ἔχω. Quæ habeo. Sophocles: *Et mei miſeræ parva quidem hæc, ſed tamen, quæ habeo,* [*dona ipſi da.*]

Ἀχών. Vitis.

Ἀχώρ. Ulcus capitis, furfuraceas ſquamas habens. Ab ἄχνη, ἀχνάρ; & ſublato ν, ἀχώρ. Declinatur ἀχῶρος, per ω, ut ἰχώρ, ἰχῶρος, ſanies.

Ἄχραντον. Intactum. Proprie, quod manus non tetigit, impollutum.

Ἀχράς. Genus piri. Ariſtophanes: *Pirum quoddam ſylveſtre alvum occludit, cibiſque exitum negat. An de eo loqueris piro, quod Thraſybulus legatis Lacedæmoniorum dixit?* Pirum ſylveſtre alvum conſtringit. Hic vero Thraſybulus, cum Lacedæmoniorum legatos, qui pacis faciendæ gratia venerant, oratione oppugnare decreviſſet, poſtea muneribus corruptus, ſe pira ſylveſtria comediſſe, nec eam ob cauſam verba facere poſſe ſimulavit.

Ἀχρειόγελως ἄνθρωπος. Homo, cui res futiles & ludicræ ridendi & gaudendi cauſam præbēt.

Ἀχρεῖον. Aliquando ſcribitur cum accentu in antepenultima, ut ἄμεινον.

Ἄχρηστα. Inutilia. Et proverbium: *In res inutiles ne ſumptus facias. Nunquam beneficium conferas in ſenem, nec in invidum puerum, nec in mulierem garrulam, nec in infantem, nec in vicini canem, nec in garrulum remigem.*

Ἀχρηστία. [Dicitur de re, quæ nulli nobis eſt uſui.] Appianus: *Horatius vero crura habebat debilitata, nec vel in pace Conſul, vel in bello Imperator creabatur, quod uſu pedum careret.*

Ἄχρι. Uſque ad. Genitivo jungitur. Ἄχρις, ἔστι δὲ καὶ ἄχεις, ἀντὶ τοῦ καθόλου, διόλου. [1] καὶ Ὅμηρος·

---

[1] Τίς τὸν ἄχνυν Ἑρμ.] Verba hæc decerpta ſunt ex Epigrammate, quod legitur Anthol. lib. VI. cap. 2. ut Pearſonius etiam obſervavit.

[2] Σοφοκλῆς] *Electra*, pag. 102. ut Portus obſervavit.

[3] Ἀχώρ. τὸ πιτυρῶδες τῆς κεφαλῆς] Clarius Erotianus· Ἀχώρ· ἐξανθήματος εἶδος, καθ' ὃ συμβαίνει κοιλότητος ὑγρασία, ἤτοι οἷον πιτυρώδεις λεπίδας ἐπιφέρεσθαι. μάλιστα δὲ περὶ τὴν κεφαλὴν εἴωθε γίνεσθαι.

[4] Ἀριστοφάνης] *Eccleſiaz.* pag. 734. (494. Ed. Baſ. *P.*)

[5] Ἡ ἀχρὰς ἐπέχει τὴν γαστέρα. οὗτος δὲ ὁ Θρασ.] Hæc, & quæ ſequuntur, ſunt verba Scholiaſtæ ad modo indicatum locum Ariſtophanis.

[6] Εἶτα δωροδοκήσας, ἀχράδας προσεποιήσατο βεβρ.] Geminam hiſtoriam de Demoſthene narrat Plutarchus *Demoſthene* pag. 857.

[7] Εἰς ἄχρηστα μὴ ἀναλίσκειν. μή ποτ' εὖ ἔρδειν γ.] Confer Diogenianum Centur. VI. Adag. LXI.

[8] Μηδ' εἰς ὀρχηστρίδος εἰσάττειν] Hæc, & quæ ſequuntur uſque ad finem articuli, in verſione prætermiſi, quoniam nihil ad hunc locum faciunt, ſed abſque judicio huc tranſlata ſunt ex Ariſtoph. *Nubib.* pag. 180. (109. Ed. Baſ. *P.*)

[9] Ἀππιανός· Ὁ δὲ Ὁράτιος λελωβ.] Hoc fragmentum non exſtat in libris Appiani, qui hodie ſuperſtites ſunt.

[10] Ὁ δὲ Ὁράτιος λελωβημένος ἦν τὰ σκ.] Vide infra v. Ὁράτιος, ubi fragmentum hoc αὐτολεξεὶ repetitur.

> Ἀμφοτέρω δὲ τένοντε, καὶ ὀστέα λᾶας ἀναιδὴς
> Ἄχεις ἀπηλλοίησε.

καὶ Ἄχει κόρου. παροιμία ἐστίν. Ὅτι ἄχει κόρου ἐκεῖνος ἀναίσθητός ἐστι· καὶ οὗτος ἄχει κόρου ἐφενάκισεν.

Ἀχείνη.[2] βαθυτάτη.

Ἄχρωμος. Ἦν δὲ ἡ ἐργασία αὐτοῦ ἄχρωμος (τουτέστιν, ἀναιδής) ἐπὶ πορνείου γὰρ ἐκαθέζετο. καὶ Ἀχρώματος, ἀναιδής.

Ἀχρυλίς. ἡ Φρυγία.

Ἀχυρμιαί. οἱ τόποι, εἰς οὓς τὰ ἄχυρα ἀποφέρεται λικμώμενα. καὶ ἐν [3] Ἐπιγράμματι·

> Καὶ τριβόλους ὀξεῖς ἀχυροτρίβας.

Ἄψ. πάλιν.

> Ἄψ [4] ἀνασειράζω, καὶ πάλιν ἄγχι μένω.

ἐν Ἐπιγράμματι. ἀντὶ τοῦ, ἀνθέλκω, ἀναστρέπω.

Ἀψάλακτος.[5] ἀπαθής, ἀτιμώρητος. Ἀψάλακτον γὰρ, τὸ ἄθικτον. οὕτω Κράτης.

Ἁψαμένη. ἐξαρτήσασα. καὶ Ἅψασθαι παρὰ πᾶσιν ἐπὶ τοῦ προσάψασθαι καὶ θίγειν τάσσεται. καὶ Ἅψαι, προσάψαι.

Ἀψαύστως. ἀνεπάφως. Ἀππιανός· Ὁ δὲ τοῖς σώμασι τῶν Κίμβρων ἀψαυστεῖν ἐκέλευεν, ἕως ἡμέρα γένηται, [6] πολύχρυσα εἶναι δοκῶν.

Ἅψεα.[7] κυρίως αἱ συναφαὶ τῶν μελῶν. καταχρηστικῶς δὲ, καὶ τὰ μέλη· παρὰ τὸ ἅπτω, ἅψω, ἅψος, καὶ ἅψεα· ἀπὸ τοῦ ἐφάπτεσθαι ἀλλήλων.

Ἀψεύδεια. ἡ ἀλήθεια. λέγεται δὲ καὶ ἀψευδεῖν, καὶ ἀψευδές.

Ἀψήκτῳ [8] κοθόρνῳ. [9] ἀκαμάτῳ, σκληρῷ, ἀμαλάκτῳ ὑποδήματι παλάξω τὴν γνάθον.

Ἀψήφιστον. [10] Ὁ κατέχων τὸ ἀψήφιστον ἐν γνώσει, ἐπιτελεῖ πᾶσαν τὴν γραφήν.

Ἁψῖδες. καμάραι.

Ἀψικάρδιος. [11] Εἰ δὲ ἰδιωτικὸν [12] παράπληγμα ἀψικάρδιον ἐθέλεις, [13] εὑρήσεται ἂν ταχέως. τῆς καρδίας ἁπτόμενον.

Ἁψίκορος. εὐμετάβλητος. ἢ ὁ ταχέως καὶ ἅμα τῷ ἅψασθαι κορεννύμενος. [14] Εἰδὼς τῶν Νομά-

idem quod μέχεις, & ἕως, uſque, donec. Significat etiam, penitus, omnino. Homerus: *Ambos autem nervos & oſſa lapis durus prorſus fregit.* Et Ἄχει κόρου, *Ad ſatietatem uſque:* proverbium. *Ille ſupra modum ſtupidus eſt: hic vero nimia calliditate homines decipit.*

Ἀχείνη. Profundiſſima.

Ἄχρωμος. Impudens. *Quæſtus autem ejus erat impudens. In lupanari enim proſtabat.* Et ἀχρώματος, idem.

Ἀχρυλίς. Nomen propriũ fœminæ Phrygiæ.

Ἀχυρμιαί. Loca, in quæ deportantur paleæ ventilabro excuſſæ. Et in Epigrammate: *Tribulaſque acutas paleam terentes.*

Ἄψ. Rurſus. Retro. In Epigrammate: *Vocem revoco, & rurſus prope te adſto.* Hic ἀνασειράζω ſignificat retraho, revoco.

Ἀψάλακτος. Illæſus. Inultus. Impunitus. Ἀψάλακτον enim, intactum. Ita Crates.

Ἁψαμένη. Quæ ſuſpendit. Et ἅψασθαι apud omnes pro adnectere & tangere ponitur. Et ἅψαι, adnectere, alligare.

Ἀψαύστως. Intacte. Appianus: *Ille vero Cimbrorum cadavera intacta relinqui juſſit, donec dies illuxiſſet, quod ea auro abundare putaret.*

Ἅψεα. Proprie ſic vocantur membrorum juncturæ. Abuſive vero, ipſa membra. A verbo ἅπτω, ἅψω, fit ἅψος & ἅψεα: quod ſe mutuo tangant.

Ἀψεύδεια. Veritas. Et ἀψευδεῖν, verum dicere.

Ἀψήκτῳ κοθόρνῳ. Calceo duro, & minime molli. [Ariſtophanes:] *Duro calceo malam tuam percutiam.*

Ἀψήφιστον. *Qui de aliis haud temere judicat, omnem ſcripturam implet.*

Ἁψῖδες. Teſtudines. Fornices.

Ἀψικάρδιος. Tangens cor. *Si autem vulgare vis pharmacum, quod tamen cor tangat, id in promptu habeo.*

Ἁψίκορος. Qui facile mutatur. Levis. Proprie, qui ſtatim ſatiatur, ſimul ac cibum tetiδων τὴν ἀψικορίαν, καὶ τὴν ἀθεσίαν τῶν πρὸς ἀνθρώπους. Καὶ αὖθις· [1] Συντηρητικὸν δεῖ εἶναι πρὸς τοὺς φίλους, καὶ μηδαμοῦ ἀψίκορον.

---

[1] Καὶ Ὅμηρος] Il. Δ. v. 521.

[2] Ἀχείνη. βαθυτάτη] De hac voce, quam nuſquam alibi mihi lectam memini, ἐπέχω. Deeſt autem in MSS. Pariſ.

[3] Ἐν Ἐπιγράμματι] Anthol. lib. VI. cap. VII. Epigr. IX. ut Portus etiam monuit.

[4] Ἄψ ἀνασειράζω, καὶ πάλιν ἄγχι μένω] Pentameter hic eſt pars Epigrammatis, quod legitur Anthol. lib. VII. pag. 600. Vide etiam ſupra v. Ἀνασειράζω.

[5] Ἀψάλακτος. ἀπαθής, ἀτιμ.] Ariſtophanes *Lyſiſtrata* pag. 853. (547. Ed. Baſ. *P.*) Ἀπῆλθεν ἀψάλακτος: ad quem locum Suidas reſpexit.

[6] Πολύχρυσα εἶναι δοκῶν] Sic recte habent MSS. Pariſ. & Edit. Mediolanenſis. In reliquis vero Editt. male legitur πολὺ εἶναι δοκῶν.

[7] Ἅψεα. κυρίως αἱ συναφαὶ τῶν μ.] Hæc, & quæ ſequuntur, leguntur etiam apud Etymologum.

[8] Ἀψήκτῳ κοθόρνῳ. ἀκαμ.] Hæc nota referenda eſt ad locum illum Comici *Lyſiſtr.* 878.

> Τῳδί γ' ἀψήκτῳ πατάξω τῷ κοθόρνῳ τὴν γνάθον.
> *Hoc tibi duro cothurno commitigabo malam.*

[9] Ἀκαμάτῳ] Duo MSS. Pariſ. habent ἀκατεμβάτῳ, quod proprius accedit ad veram lectionem, quæ eſt ἀκατεμβάκτῳ; ut recte ſcriptum eſt apud Scholiaſtum ineditum in *Lyſiſtratam.* Dicitur autem ἀκατάμακτος de re, quæ propter duritiem contundi vel conteri & ſubigi nequit.

[10] Ὁ κατέχων τὸ ἀψήφιστον ἐν γν.] Senſus hujus fragmenti haud parum obſcurus eſt, de quo nihil certi ſtatui poteſt, niſi quis ipſum fontem, ex quo Suidas iſta hauſit, invenerit.

[11] Εἰ δὲ ἰδιωτικὸν παράπληγμα ἀψικ. ἐθέλεις] Hæc ſunt verba Marci Antonini lib. IX. §. 3. ut Pearſonius etiam obſervavit.

[12] Παράπληγμα] Apud Marcum Antoninum rectius legitur παράπηγμα; uti & apud ipſum Suidam infra v. Παράπηγμα, ubi fragmentum hoc repetitur.

[13] Εὑρήσεται ἂν ταχέως] Hæc deſunt apud Marcum Antoninum.

[14] Εἰδὼς τῶν Νομάδων τὴν ἁψικορίαν, καὶ ἀθεσίαν τὴν πρὸς αὐτ.] Hæc ſunt verba Polybii lib. XIV. cap. 1.

Ἀψιμαχία. συναφὴ μάχης. [2] Ἀππιανός· Τὸ μὲν πρῶτον ἔριδες ἦσαν, καὶ ἀψιμαχίαι σμικραί· μετὰ δὲ συμβολαί τε ἐς τὸ ἀλλήλων.

Ἀψιμυσία. [3] πρὸς ὀλίγον διαφορά.

Ἀψίνης, Ἀθηναῖος, ἀξιόλογος σοφιστής, Ὀνασίμου πατὴρ τοῦ σοφιστοῦ, τοῦ παιδὸς Ἀψίνου.

Ἀψίνης, Γαδαρεὺς, σοφιστὴς, σπαρεὶς, ὡς λόγος, ἐκ Πανὸς, μαθητεύσας δὲ ἐν Σμύρνῃ Ἡρακλείδῃ τῷ Λυκίῳ, εἶτα Βασιλικῷ ἐν Νικομηδείᾳ, ἐσοφίστευσεν Ἀθήνησι, βασιλεύοντος [4] Μαξιμιανοῦ, ὑπατικοῦ λαβὼν ἀξίωμα.

Ἀψίνης, Ὀνασίμου τοῦ σοφιστοῦ Ἀθηναίου, σοφιστὴς νεώτερος τοῦ Γαδαρέως Ἀψίνου.

Ἄψινθος, πόλις Θρᾴκης. Ἀψινθὶς δὲ, ἡ χώρα.

Ἀψίνθιον. εἶδος βοτάνης. τινὲς δὲ τῶν κωμικῶν λέγουσιν αὐτὸ ἀσπίνθιον, ὃ οὐκ ἄν τις πίοι.

Ἄψορρος. ὀπισθόρμητος.

Οὐκ[5] ἐκτός; οὐκ ἄψορρον ἐκνεμῇ πόδα;

Αἴας λέγει πρὸς Τέκμησσαν, τὴν αἰχμάλωτον γυναῖκα.

Ἀψοφητί. ἠρέμα.

Ἄψυρτος, [6] Προυσαεὺς, Νικομηδεὺς, στρατιώτης, στρατευσάμενος ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως ἐν Σκυθίᾳ παρὰ τὸν Ἴστρον. [7] Ἱππιατρικὸν βιβλίον οὗτος ἔγραψεν, καὶ Φυσικὸν περὶ τῶν αὐτῶν ἀλόγων· καὶ ἕτερα. ἔγραψε δὲ Κίμων Ἀθηναῖος Ἱπποσκοπικὸν βιβλίον θαυμάσιον.

Ἄψυχος. [8] Τὰς προφυλακὰς βλέπων ὁ Φαμίας, ὢν οὐκ ἄψυχος, ἐξέκλινε τὰς πρὸς τὸν Σκιπίωνα συμπλοκάς. καί ποτε συνεγγίσας ταῖς ἐφεδρείαις, προβαλόμενος ὀφρὺν ἀπότομον, ἀπέστη καὶ πλείω χρόνον.

B A.

Βαάλ. Τυρίων ἦν Θεός.

Βάαξ. μαλακός.

Βαβακατρεῦ. [9] βάρβαρος ἐστὶ φωνή· συγκατατίθεται δὲ ὁ βάρβαρος Θεός. αἱ γὰρ ἄσημοι φωναὶ ἀντὶ συγκαταθέσεώς εἰσι.

Βαβάκινος. εἶδος χύτρας.

Βαβάκτης. [10] ὁ ὀρχηστής.

git. *Cum noviſſet Numidas eo ingenio eſſe, ut & cito faſtidirent, quæ cupide appetiiſſent, & fidem datam facile violarent.* Et iterum: *In retinendis amicitiis conſtantem eſſe oportet, & minime levem.*

Ἀψιμαχία. Velitatio. Appianus: *Primum quidem levia erant certamina & velitationes: poſtea vero acie decernere cœperunt.*

Ἀψιμυσία. Diſſenſio ad exiguum tempus durans.

Ἀψίνης. Apſines, Athenienſis, clarus Sophiſta, Onaſimi Sophiſtæ pater, qui fuit pater Apſinis.

Ἀψίνης. Apſines, Gadarenſis, Sophiſta, ex Pane, ut fama fert, genitus, Smyrnæ diſcipulus fuit Heraclidis Lycii, & deinde Baſilici Nicomediæ. Athenis artem Rhetoricam profeſſus eſt, imperante Maximiano, & ad Conſularem dignitatem pervenit.

Ἀψίνης. Apſines, Onaſimi Athenienſis Sophiſtæ F. Sophiſta junior Apſine Gadarenſi.

Ἄψινθος. Apſinthus, urbs Thraciæ: cujus regio, Apſinthis.

Ἀψίνθιον. Abſinthium, herbæ ſpecies. Quidam vero Comici id vocant ἀσπίνθιον, quaſi quod nemo bibat.

Ἄψορρος. Retrogradus. Retro cedens. *Non exibis? Non retro hinc pedem efferes?* Sic Ajax ad Tecmeſſam captivam, quam uxorem duxerat, inquit.

Ἀψοφητί. Sine ſtrepitu. Tacite.

Ἄψυρτος. Abſyrtus, Pruſaenſis, vel Nicomedenſis, miles, qui ſub Imperatore Conſtantino ad Iſtrum in Scythia militavit. Hic librum de equorum medicina ſcripſit; & de iiſdem brutis phyſicum alterum; aliaque. Scripſit & Cimon Athenienſis admirabilem librum de equorum inſpectione.

Ἄψυχος. [Timidus.] *Phameas vero, qui quidem non erat timidus,* [*ſed cautus,*] *excubias cernens, copiam ſui Scipioni facere noluit. Idem, cum aliquando ad locum inſidiarum appropinquaſſet, præruptum montis verticem ut propugnaculũ hoſti objiciens, diutius a pugna abſtinuit.*

B A.

Βαάλ. Baal. Erat Tyriorum Deus.

Βάαξ. Mollis.

Βαβακατρεῦ. Babacatreu. Eſt barbara vox, qua Deus barbarus aſſenſum ſuum declarat. Voces enim obſcuræ & nihil ſignificantes aſſenſionis loco ſunt.

Βαβάκινος. Ollæ genus.

Βαβάκτης. Saltator.

---

[1] Συντηρητικὸν δεῖ εἶναι πρὸς τοὺς φίλους, καὶ μηδ. ἀψίκορον] Valeſius hæc verba ad Polybium refert, cum ſint Marci Antonini lib. 1. §. 16. ubi pro συντηρητικὸν melius legitur διατηρητικόν.

[2] Ἀππιανός: Τὸ μὲν πρῶτον ἔριδες ἦσαν καὶ ἀψιμ.] Locum hunc apud Appianum mihi lectum non memini: quare ſuſpicor eum ex libris iſtius ſcriptoris deperditis a Suida depromptum eſſe.

[3] Ἀψιμυσία] Male Heſychius ἀψιμυεστία.

[4] Μαξιμιανοῦ] Legendum eſt Μαξιμίνου, ut colligitur ex ipſo Suida infra v. Γαϊανὸς, ubi tradit, Gajanum diſcipulum fuiſſe Apſinis Gadarenſis, eumque floruiſſe ἐπὶ Μαξίμου καὶ Γορδιανοῦ: ubi pro Μαξίμου itidem legendum eſt Μαξιμίνου, quoniam Maximinus Gordianum præceſſit.

[5] Οὐκ ἐκτός; οὐκ ἄψορρον ἐκνεμῇ πόδα] Hæc ſunt verba Sophoclis *Ajace* pag. 23. ut Pearſonius etiam obſervavit.

[6] Προυσαεὺς, Νικομηδεύς] Sic habent MSS. Pariſ. itemque Editt. Mediol. & Aldina. Sed puto hic quædam excidiſſe, legendumque eſſe, Προυσαεὺς, ἢ, ὥς τινες, Νικομηδεύς.

[7] Ἱππιατρικὸν βιβλ.] Libellus iſte hodie adhuc exſtat, edituſque eſt inter reliquos ſcriptores veterinarios.

[8] Τὰς προφυλακὰς βλέπων ὁ Φαμ.] Hoc fragmentum Fulv. Urſinus & Caſaubonus ad Polybium referunt.

[9] Βαβακατρεῦ. βάρβαρός ἐστι φωνή· συγκατ.] Ex Scholiaſta Ariſtoph. ad *Aves* pag. 615. Sed notandum eſt, apud Comicum ejuſque Scholiaſtam pro βαβακατρεῦ hodie legi ναβαισατρεῦ.

[10] Βαβάκτης. ὁ ὀρχηστής] Sic locum hunc ex MSS. emendavi, qui in prioribus Editt. corrupte ſic legitur, Βαράκτης. ὁ ὀργισθείς. Heſy-

Βάβαξ. λάλος. φλύαρος. παρὰ τὸ βάζω, βὰξ, καὶ κατ' ἀναδιπλασιασμὸν, βάβαξ.

Βαβαί. θαυμαστικὴ φωνή.

Βαβαὶ [1] **Μύξος.** ἐπὶ τῶν κομπαζόντων καὶ μεγαλαυχούντων. Μύξος γὰρ ἐγένετο τῆς Ἀρτέμιδος ἱερεὺς, ἀστεῖός τις καὶ μεγάλαυχος.

Βαβρίας, ἢ Βάβριος. Μύθους, ἤτοι Μυθιάμβους. εἰσὶ γὰρ διὰ [2] χοριάμβων ἐν βιβλίοις ι. οὗτος ἐκ τῶν Αἰσωπείων μύθων μετέβαλεν ἀπὸ τῆς αὐτῶν λογοποιίας εἰς ἔμμετρα, ἤγουν τοὺς [3] χοριάμβους.

Βαβοῦς. ὄνομα κύριον.

Βαβύλας. [4] πηλός. [5] βάθρον. βῆμα.

Βαβυλᾶς, [6] Ἐπίσκοπος Ἀντιοχείας. οὗτος, φασὶ, [7] Νουμεριανοῦ, οἱ δὲ, Δεκίῳ, κατὰ δή τινα δαίμονα εἰσελθεῖν ἐς πληθύουσαν τὴν Ἐκκλησίαν προθυμουμένῳ, στὰς πρὸ τῶν θυρῶν ἀντέσχε, φάσκων, εἰς δύναμιν μὴ περιόψεσθαι λύκον τῷ ποιμνίῳ ἐπεισερχόμενον. τὸν δὲ παραυτίκα μὲν ἀνακρουσθῆναι τῆς εἰσόδου, εἴτε στάσιν τοῦ ὄχλου ὑπειδόμενον, εἴτε καὶ ἄλλως αὐτῷ μεταβουλευθέν. ἐν χαλεπῷ μέντοι τὴν ἀντίστασιν τοῦ Ἐπισκόπου ποιησάμενον, ἐπειδὴ ὡς ἑαυτὸν ἐπὶ τὰ βασίλεια ἀπηλλάγη, παραστήσασθαί τε αὐτὸν, καὶ πρῶτα μὲν τὴν αἰτίαν τῆς κωλύσεως ἐγκαλεῖν· ἔπειτα μέντοι κελεύειν αὐτὸν τοῖς δαίμοσι θύειν, εἰ βούλοιτό γε τὴν ἐπὶ τῷ ἐγκλήματι δίκην διαφυγεῖν. τὸν δὲ πρὸς τὴν ἐπέγκλησιν ἀπολογήσασθαι, καὶ τὴν πρόκλησιν διακρούσασθαι, τὴν μὲν, φήσαντα ποιμένι ὄντι ἑαυτῷ πάντα προσήκειν ὑπὲρ τοῦ ποιμνίου προθυμεῖσθαι· τὴν δὲ, μὴ ἂν ἑλέσθαι τοῦ ὄντως ἀποστάντα Θεοῦ ψευδωνύμοις καὶ ὀλετῆρσι δαίμοσι θύειν. εἶθ' ὁ μὲν, ὡς ἑώρα μὴ πειθόμενον, προσέταξεν αὐτὸν ἁλύσεσι καὶ πέδαις ἐνδυσαμένους τὴν ἐπὶ θανάτῳ ἄγειν, τῆς κεφαλῆς ἀφαιρήσοντας. ὁ δὲ, ἐπειδὴ ἤγετο τεθνηξόμενος, ταύτας ἀναλαβὼν ἦδε τὰς τοῦ ψαλμοῦ ῥήσεις· Ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε. Φασὶ δὲ καὶ τρεῖς παῖδας ἀδελφοὺς τὸ γένος κομιδῆ νέους ὑπ' αὐτῷ [8] ἀνατρεφομένους ἁρπαγῆναί τε αὐτοὺς ὑπὸ τοῦ βασιλέως, καὶ ὡς οὐδ' αὐτοὶ θύειν ἤθελον, καίτοι παντοίας ἀνάγκης αὐτοῖς προσαγομένης, καὶ αὐτοὺς ἐκέλευσε τῶν κεφαλῶν ἀφαιρεῖν. οὓς ἐπειδὴ ἧκον εἰς τὸ προκείμενον χωρίον, ὁ Βαβυλᾶς ἑαυτοῦ προστησάμενος, προτέρους προσῆγε τῷ ξίφει, τοῦ μή τινα τρέσαντα αὐτῶν ἀναδῦναι τὸν θάνατον. καὶ ἀποτεμνομένων, ταύτην ἀνεῖπε τὴν φωνήν· Ἰδοὺ ἐγὼ, καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός. ἔπειτα αὐτὸς προὔτεινε τὸν αὐχένα τῷ ξίφει, ἐντειλάμενος τοῖς τὸ σῶμα αὐτοῦ συλλεξομένοις, τὰς ἁλύ-

Βάβαξ. Loquax. Garrulus. A verbo βάζω fit βὰξ, & per reduplicationem βάβαξ.

Βαβαί. Papæ. Vox admirantis.

Βαβαί Μύξος. Papæ Myxus. Dicitur de gloriofis & jactabundis. Myxus enim fuit ſacerdos Dianæ, homo facetus & glorioſus.

Βαβρίας. Babrias, vel Babrius, verſibus Choliambicis fabularum libros x ſcripſit. Ex Æſopo autem fabulas ſuas deprompſit, oratione ſoluta in ligatam, ſive verſus Choliambicos, mutata.

Βαβοῦς. Nomen proprium.

Βαβύλας. Cœnum. Lutum.

Βαβυλᾶς. Babylas. Epiſcopus Antiochenus. Hic Numeriano, vel, ut alii ajunt, Decio, dæmonis cujuſdam inſtinctu in frequentiſſimam Eccleſiam Chriſtianorum ingredi aliquando cupienti, pro foribus ſtans obſtitit, dicens, non paſſurum ſe, quantum quidem in ipſo eſſet, ut lupus in ovile intraret. Ac ille quidem ſtatim ab incœpto deſtitit, ſeu quod ſeditionem reformidaret, ſeu ob aliam quampiam cauſam mutata ſententia. Attamen iniquo animo ferens ſe ingreſſu templi ab Epiſcopo prohibitum eſſe, cum in palatium rediiſſet, hominem accerſit, ac primum temeritatis eum accuſat, quod aditu templi ſe excluſiſſet: deinde, ſi criminis hujus pœnas effugere velit, dæmonibus ſacrificare jubet. Ille vero & crimen defendit, & conditionem oblatam reſpuit, dicens, boni paſtoris eſſe, gregem omni ſtudio defendere; & nequaquam ſe commiſſurum, ut a vero Deo deficiat, falſiſque & pernitioſis dæmonibus immolet. Cum igitur Imperator videret, eum in ſententia ſua obſtinate perſiſtere, catenis & compedibus vinctum ad ſupplicium duci & decollari juſſit. Is vero, cum ad mortem raperetur, verba hæc Pſalmi cecinit: *Revertere anima mea ad quietem tuam, quia Dominus tibi benefecit.* Ferunt etiam tres pueros fratres, admodum adoleſcentulos, ipſius alumnos, juſſu Imperatoris abreptos fuiſſe: qui cum & ipſi, quamvis omni vi adhibita, ſacrificare recuſarent, & his caput amputatum eſt. Eos autem ad locum ſupplicii perductos Babylas ante ſe ſtatuit, volens ut ictum gladii priores exciperent, ne quis eorum metu perterritus mortem detrectaret. His igitur dum capita præciderentur, *Ecce,* inquit, *ego & filioli, quos mihi dedit Deus.* Deinde & ipſe cervicem gladio porrexit, mandavitque iis, qui corpus ipſius humaturi erant, ut catenas & compedes eodem ſecum ſepulcro clauderent, quo

---

chius: Βαβάκτης, ὀρχηστής. Item Etymologus: Βαβάκτης, ὀρχηστὴς, λάλος, μανιώδης, βακχευτής.

[1] Βαβαὶ Μύξος. ἐπὶ τῶν κομπαζόντων καὶ μεγαλαυχούντων. Μύξος γὰρ ἱερ.] Eadem αὐτολεξεὶ pene habet Diogenianus. Vide etiam Gataker. ad Marc. Anton. pag. 339. Item infra v. Μύξος.

[2] Διὰ χοριάμβων] Sic habent omnes Editt. ſed male. Scribendum enim eſt διὰ χωλιάμβων, quoniam Babrius fabulas Æſopi verſibus Choliambicis, ſive Scazontibus reddiderat, ut patet ex fragmentis, quæ Suidas paſſim ex illo ſcriptore adducit.

[3] Χοριάμβους] Scribendum eſt χωλιάμβους, ut paulo ante diximus.

[4] Βαβύλας. πηλός] Grammatici vocem hanc varie ſcribunt. Heſychius: Βαβύας, βόρβορος, πηλός. Etymologus: Βαβύας, βόρβορος, πηλός, ὑπὸ Ταραντίνων.

[5] Βάθρον. βῆμα] Hæc inducenda ſunt, quoniam non pertinent ad vocem βαβύλας, ſed aliunde in hunc locum irrepſerunt.

[6] Βαβυλᾶς, Ἐπίσκοπος Ἀντιοχ.] Vide Chryſoſtomum Oratione *de S. Babyla*, & Philoſtorgium *Hiſtor. Eccleſ.* lib. VII. cap. VIII.

[7] Νουμεριανοῦ] Sic etiam recte habet Philoſtorgius. Quare neſcio, quid Porto in mentem venerit, qui lectionem hanc pueriliter ſolicitat, & abſque ulla ratione Μαξιμιανοῦ legendum eſſe cenſet.

[8] Ἀνατρεφομένους] Sic recte habent 2 MSS. Pariſ. In prioribus Editt. vero male legitur ἀναστρεφομένους.

σῆς καὶ τὰς πέδας αὐτῷ συνθάψαι, ἵν' ᾖ μοι ταῦτα, φησὶ, νεκρῷ κόσμος. καὶ νῦν μετ' αὐτοῦ, ὥς φασι, ταῦτα τυγχάνει κείμενα.

Βαβυλωνία κάμινος· καὶ Βαβυλώνιοι παῖδες.

Βαγαῖος. ὄνομα κύριον. [1] Παλλομένων δὲ, λαγχάνει ἐκ πάντων Βαγαῖος.

Βαγδαλονία. [2] μοῖρα Καππαδοκίας νοτιωτάτη.

Βαγεύει. [3] πλανητεύει.

Βάγιον. μέγα.

Βαγώας. ὄνομα κύριον· ὃς ἦν εὐνοῦχος.

Βάδην. περιπάτῳ ἐρχόμενος. Τοὺς μὲν προαπέστειλεν, αὐτὸς δὲ ἐν πλινθίῳ τὴν στρατιὰν ἐπαγόμενος, ἐχώρει βάδην. Καὶ αὖθις· Βάδην καὶ σχολαίως ἀκολουθῶν. [4] Ἀριστοφάνης· Μεγαρεῖς, ὅτ' ἐπείνων βάδην, Λακεδαιμονίων ἐδέοντο. ἀντὶ τοῦ ἐλιμώττον, ὑπὸ λιμοῦ διεφθείροντο. βάδην, ἀντὶ τοῦ κατὰ βραχὺ αὐξανομένου τοῦ λιμοῦ, καὶ ἐπίδοσιν λαμβάνοντος, προϊόντος ἐπὶ τὸ μεῖζον.

Βαδδίν. [5] στολὴ ἱερά. Δανιήλ· Ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον, καὶ ἦν ἀνὴρ ἐνδεδυμένος βαδδίν.

Βάδιζε. καὶ βαδίζου, ἀντὶ τοῦ βάδιζε. Κρατῖνος.

Βαδιστέα. [6] ἀντὶ τοῦ πορευτέον. Ἐμοὶ βαδιστέα, οἷ ἂν σοφία καὶ δαίμων με ἄγει.

Βαδιστικοῦ. ὀξύποδος. [7] Ἀριστοφάνης· Ὡς ὄντος γε μὴ βαδιστικοῦ.

Βάδιλλος.

Βάδιος. [8] υἱός. σημαίνει δὲ καὶ ἵππου χροιάν.

Βάδος. ἡ βάδισις. [9] Ἀριστοφάνης Ὄρνισι·

Διὰ ταῦτα τόνδε τὸν βάδον βαδίζομεν.

ἐν παιδιᾷ παρεσχημάτισται. ὡς γὰρ ἀπὸ τοῦ πατεῖν πάτος (Ὅμηρος· Πάτον ἀνθρώπων ἀλεείνων) οὕτως ἀπὸ τοῦ βαδίζειν, βάδος.

Βαθάλη. ὄνομα κύριον.

Βαθεῖα κόμη. ἡ δασεῖα. Ἀπεκείραντο τὴν κόμην. ἦν δὲ πολλὴ, καὶ ξανθὴ, καὶ βαθεῖα. † Βαθείᾳ τριχὶ κομῶντα, καὶ γηραιὸν πολιᾷ. † Βαθύπλουτον εἶναι τὴν Λαφρίαν Ἄρτεμιν.

Βαθεῖαν [10] αὔλακα. ὅπερ ἐστὶ στίχος γῆς ὑπὸ ἀρότρου. [11] μεταφορικῶς ἀπὸ τούτου βαθείας φρένας καὶ κεκρυμμένας σημαίνει.

Βάθος. βάθος ἐστὶ φάλαγγος τὸ μὲν τὸ μέτωπον ἅπαν. καὶ ὁ ἀπὸ λοχαγοῦ ἐπὶ οὐραγὸν στίχος κατὰ βάθος λέγεται.

ea jacenti ſibi ornamento eſſent. Atque nunc etiam, ut aiunt, hæc cum ipſo condita ſunt.

Βαβυλωνία κάμινος. Babylonia fornax: & Babylonii pueri.

Βαγαῖος. Bagæus. Nomen proprium. *Cum ſortirentur, Bagæo præ omnibus ſors contigit.*

Βαγδαλονία. Bagdalonia. Cappadociæ pars Auſtralis.

Βαγεύει. Vagatur. Errat.

Βάγιον. Magnum.

Βαγώας. Bagoas. Nomen proprium eunuchi.

Βάδην. Pedetentim. Lento gradu. *Illos quidem præmiſit; ipſe vero agmine quadrato exercitum ducens, pedetentim progreſſus eſt.* Et iterum: *Pedetentim & lento gradu ſequens.* Ariſtophanes: *Megarenſes, cum fame paulatim ingraveſcente premerentur, Lacedæmonios rogarunt* &c. Hic ἐπείνων idem ſignificat quod ἐλίμωττον i. e. fame laborabant, ſive fame peribant. Βάδην vero Comicus ideo dixit, ut ſignificaret, eos fame paulatim creſcente & ingraveſcente vexatos fuiſſe.

Βαδδίν. Sacra ſtola. Daniel: *Oculos meos ſuſtuli, & vidi virum, Baddin,* (i. e. ſtola ſacra) *indutum.*

Βάδιζε. Vade. Et βαδίζου pro βάδιζε. Cratinus.

Βαδιστέα. Eundum eſt. *Eundum mihi eſt, quo ſapientia & Deus me ducunt.*

Βαδιστικοῦ. Veloces pedes habentis. Ariſtophanes: *Quippe qui celeriter ingredi non poſſum.*

Βάδιλλος. Badillus.

Βάδιος. Filius. Significat autem & colorem equi.

Βάδος. Greſſus. Ariſtophanes *Avibus*: *Propterea hunc greſſum gradimur.* Hoc per jocum Comicus dixit. Ut enim a πατεῖν fit πάτος (Homerus: *Viam ab hominibus tritam fugiens*) ſic a βαδίζειν βάδος.

Βαθάλη. Bathale. Nomen proprium.

Βαθεῖα κόμη. Denſa coma. *Comam raſerunt, quæ erat denſa, flava, & promiſſa.* † *Denſa coma præditum, capilloſque canos habentem.* † *Laphriam Dianam opulentam eſſe* [*aiunt.*]

Βαθεῖαν αὔλακα. Profundum ſulcum. Αὖλαξ enim eſt ſulcus. Per tranſlationem vero ſignificat mentem profundam & occultam.

Βάθος. Profunditas phalangis appellatur, quicquid frontem excipit: & ſeries illa, quæ a manipuli ductore ad tergiductorē extenditur, ſecundum profunditatē diſpoſita eſſe dicitur.

---

[1] Παλλομένων δὲ, λαγχάνει ἐκ πάντων Βαγ.] Hoc fragmentum repetitur infra v. Πάλος.

[2] Βαγδαλονία. μοῖρα Καππαδοκίας νοτ.] Ex Stephano Byzantio: ſed apud quem legitur Βαγδαονία.

[3] Βαγεύει] Eſt vox Græco barbara. Vide Ducangium in Gloſſario Græco.

[4] Ἀριστοφάνης] *Acharnenſibus* pag. 396. (283. Ed. Baſ. *P.*)

[5] Βαδδίν] Eſt vox Chaldaica, qua uſus eſt Daniel cap. x. v. 5.

[6] Βαδιστέα, ἀντὶ τοῦ πορ.] Vide Enarratorem Comici ad *Acharnenſes* pag. 391.

[7] Ἀριστοφάνης] *Ranis* pag. 217. (135. Ed. Baſ. *P.*)

[8] Βάδιος. υἱός] Heſychius rectius Βάδις.

[9] Ἀριστοφάνης Ὄρνισι] Pag. 544. (370. Ed. Baſ. *P.*)

[10] Βαθεῖαν αὔλακα. ὅπερ ἐστὶ στίχος γ.] Eadem habet Etymologus.

[11] Μεταφορικῶς ἀπὸ τούτου βαθείας φρ.] Reſpexit Suidas ad notiſſimam illam ῥῆσιν Æſchyli in *Septem contra Theb.*

Βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος,
Ἐξ ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα:

ut Portus etiam obſervavit.

Βάθρα. [1] Χθὲς μὲν καὶ πρώην δεδρακότες τοῦ καπηλείου, καὶ τοῦ τὰ βάθρα καλλύνειν, καὶ τοὔδαφος κορεῖν· ἄρτι δὲ χλαμύδας τὰς εὐπαρύφους ἐνδεδυκότες, καὶ περόναις χρυσαῖς διαπεπερονημένοι, καὶ σφραγῖσι χρυσοδέτοις διεσφιγμένοι. καὶ Βάθρον, θεμέλιον. καὶ Βάθρα, ἀγάλματα. Ἀπολυομένου δὲ αὐτοῦ τοὺς βλαυτίους, καὶ πρὸς βάθρον προσηρεικότος τὸν ἕτερον πόδα, προσδραμών τις τῶν στρατιωτῶν μετ' ἐγχειριδίου τοῦτον ἀπέτεμεν. Καὶ [2] Σοφοκλῆς· Σαλαμῖνος ἔχων βάθρον ἀγχιάλου. τουτέστι, τὸ θεμέλιον, τὸ ἕδρασμα, δι' ὃν ἵσταται ἡ Σαλαμίς. Βάθρον, καὶ ἐφ' οὗ κάθηνται ἐν τοῖς συλλόγοις.

Βαθυγνώμων [3] ἄνθρωπος, καὶ κρυψίνους. Ῥουφῖνος καὶ Στελίχων ἐπίτροποι Θεοδοσίου τοῦ βασιλέως.

Βαθύγλωσσοι. ἐλλόγιμοι. εὔγλωττοι.

Βαθυδίνης. ἐν βάθει ἔχων τὰ ῥεύματα.

Βαθυκαμπῆ. ἐπὶ πολὺ καμπτόμενον. Καὶ βαθυκαμπῆ κλεῖδα συῶν.

Βαθυλήϊον. [4] σιτοφόρον πεδίον.

Βαθυπέπλων. μεγάλων. ἐκ τοῦ παρακολουθοῦντος.

Βαθύπλουτος. πολὺν πλοῦτον ἔχουσα. Εὐδαίμονα καὶ βαθύπλουτον εἶναι τὴν Λαφρίαν Ἄρτεμιν.

Βαθυῤῥείτης. ὁ βαθέα ῥεύματα ἔχων.

Βαθύς. ἀντὶ τοῦ πονηρός. οὕτω Μένανδρος.

Βαθύστρωτος κοίτη. Τὸν δὲ τῆς βαθυστρώτου καταβᾶσα κοίτη ἐπεδίωκεν ἡ νύμφη. ἀντὶ τοῦ πολυτελοῦς.

Βαθύσχοινον. ὑψηλὰς σχοίνους φέροντα.

Βαθύτατα. παχέα. Αἰλιανός· Αἰθρίας γὰρ οὔσης, καὶ πανηλίῳ ἡμέρᾳ, ἄφνω καὶ ἀδοκήτως νέφη συνδραμεῖν, οἷα δή που βαθύτατα, καὶ καταῤῥῆξαι πάμπολυν ὑετόν.

Βακάντης. [5] ὁ [6] σχετλιαστής.

Βακάντιβος. σχολαστής. μὴ παραμένων τῷ πράγματι αὐτοῦ.

Βακχαῖοι. ὥσπερ Ἐσσαῖοι. ἔστι δὲ ἔθνος Ἰβηρικόν.

Βάκηλος. μέγας μὲν, ἀνόητος δὲ καὶ γυναικώδης. Βάκηλος, εὐνοῦχος, ἀπόκοπος. καὶ παροιμία· [7] Βάκηλος εἶ. κατὰ τῶν ἐκλύτων καὶ ἀνάνδρων. τοιοῦτοι γὰρ οἱ ἀπόκοποι.

Βάκις. ἐπίθετον Πεισιστράτου. [8] ἦν δὲ χρησμολόγος. Φιλητᾶς δὲ ὁ Ἐφέσιος φησὶ τρεῖς Βάκιδας· ὁ μὲν, ἐξ Ἐλεῶνος τῆς Βοιωτίας· ὁ δὲ, Ἀθηναῖος· ὁ

Βάθρα. Scamna. Subſellia. *Qui heri & nuper ex caupona aufugerunt, ubi ſcamna mundaverant, & pavimentum ſcopis verrerant: nunc autem chlamydes pulchre prætextas, fibuliſque aureis adſtrictas geſtant, & annulos aureos digitis circundant.* Et Βάθρον, fundamentum. Et Βάθρα, ſimulacra. *Cum autem calceos ſolveret, alterumque pedem ſimulacro applicaret, quidam miles, cum pugione accurrens, eum amputavit.* Et Sophocles: *Qui Salaminis maritimæ es dominus.* Βάθρον hic proprie ſignificat fundamentum & firmamentũ: quaſi dicas, per quem Salamis ſtat. Βάθρον etiam vocatur ordo ſubſelliorũ, in quibus in conventibus ſedetur.

Βαθυγνώμων. Homo conſilia ſua alto pectore premens, mentemque occultans. Talis erat Rufinus, qui cum Stilicone Imperatoris Theodoſii tutelam geſſit.

Βαθύγλωσσοι. Eloquentes. Facundi.

Βαθυδίνης. Profundos vortices habens.

Βαθυκαμπῆ. Valde curvum. *Et valde curvam clavem ſuum.*

Βαθυλήϊον πεδ. Ager denſam habens ſegetem.

Βαθυπέπλων. Prolixos peplos habentium. Vel, magnarum: a conſequenti.

Βαθύπλουτος. Valde dives. *Beatam & valde divitem eſſe Dianam Laphriam.*

Βαθυῤῥείτης. [Fluvius,] profundum habens alveum.

Βαθύς. Malus. Improbus. Sic Menander.

Βαθύστρωτος κοίτη. Lectus pretioſus & molliter ſtratus. *Illum vero ſponſa, cum de molli lecto deſcendiſſet, perſecuta eſt.*

Βαθύσχοινον. Altos juncos ferentem.

Βαθύτατα. Spiſſiſſima. Ælianus: *Cælo ſereno, & die maxime ſudo, ſpiſſiſſimas nubes repente coactas ingentem pluviam effudiſſe* [*ajunt.*]

Βακάντης. Vacans a negotiis. Otioſus.

Βακάντιβος. Otio deditus. Qui in negotiis incœptis non conſtanter perſeverat.

Βακχαῖοι. Baccæi. Eodem modo dicitur ut Eſſæi. Eſt autem gens Iberica.

Βάκηλος. Sic appellatur homo magna quidem ſtatura præditus, ſed excors & effœminatus. Item βάκηλος, eunuchus, ſive caſtratus. Et proverbium: *Eunuchus es.* De mollibus & effœminatis dicitur. Tales enim ſunt eunuchi.

Βάκις. Bacis. Epithetum Piſiſtrati. Bacis autem vates fuit. Philetas Epheſius tres Bacidas fuiſſe dicit: unum ex Eleone Bœotiæ;

---

[1] Χθὲς μὲν καὶ πρώην δεδρακότες τοῦ καπηλ.——διεσφιγμένοι] Integrum locum auctoris, ex quo fragmentum hoc decerptum eſt, exhibet Suidas infra v. Ῥουφῖνος. Vide etiam v. Καλλιώνων.

[2] Σοφοκλῆς] *Ajace* pag. 9. ut Portus obſervavit.

[3] Βαθυγνώμων ἄνθρ. καὶ κρυψ.] Vide infra v. Ῥουφῖνος; ubi pro Γλίχων, ut hoc loco habent MSS. Pariſ. & Editt. Mediol. & Aldina, rectius legitur Στιλίχων; ut Pearſonius etiam obſervavit.

[4] Βαθυλήϊον] Homerus Il. Σ. v. 550.

[5] Βακάντης] A vocabulo Latino *vacans*; uti & vox ſequens βακάντιβος. Vide Ducangium in Gloſſario Græco.

[6] Σχετλιαστής] Sic habent MSS. Pariſ. itemque Editt. Mediol. & Aldina. Sed legendum eſt σχολαστής, ut exhibent Editt. Baſileenſis & Genevenſis.

[7] Βάκηλος εἶ. κατὰ τῶν ἐκλ.] Ex Zenobio.

[8] Ἦν δὲ χρησμολ. Φιλητᾶς δὲ ὁ Ἐφ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Scholiaſtæ Ariſtoph. ad *Pacem* pag. 703. & ad *Aves* pag. 588. Confer eundem Enarratorem ad *Equites* pag. 294. ubi hæc ejus ſunt verba: Τρεῖς Βάκιδες ἐγένοντο. οὗτος μὲν Ἀττικὸς καὶ μάντις· ὁ δὲ Λοκρός· ὁ δὲ Βοιωτός. Sed pro Λοκρὸς legendum eſſe Ἀρκὰς recte monuit eruditiſſimus Perizonius ad Ælian. *V. H.* lib. XII. cap. XXXV. quem vide.

δὲ, Ἀρκὰς, ἐκ πόλεως Καφύης· ὃς καὶ Κύδας ἐκαλεῖτο καὶ Ἀλήτης. [1] Θεόπομπος δὲ ἐν τῇ θ΄ τῶν Φιλιππικῶν ἄλλα τε πολλὰ περὶ τούτου τοῦ Βάκιδος ἱστορεῖ παράδοξα, καὶ ὅτι ποτὲ τῶν Λακεδαιμονίων τὰς γυναῖκας μανείσας ἐκάθηρεν, Ἀπόλλωνος τούτοις τοῦτον καθαρτὴν δόντος.

Βακτηρεύειν. στηρίζεσθαι.

Βακτηρία [2] καὶ σύμβολον. οἱ λαχόντες δικάζειν ἐλάμβανον παρὰ τῶν δημοσίων ὑπηρετῶν [3] σύμβολον καὶ βακτηρίαν, καὶ οὕτως ἐδίκαζον. τὴν χρόαν δὲ ὁμοίαν εἶχε τῇ βακτηρίᾳ τὸ δικαστήριον. τὸ μέντοι σύμβολον μετὰ τὴν κρίσιν ἀποδιδόντες, ἐκομίζοντο [4] τριώβολον· ὅπερ καὶ δικαστικὸν γέγονεν.

Βάκτρον. ῥάβδος.

— [5] Γηραλέον νῦν
Ἀντὶ πανοπλίης βάκτρον ἀμειψάμενος.

λέγεται καὶ σκηπάνιον.

— [6] Ἀντὶ δὲ πλήκτρου,
Σκηπανίῳ τρομερὰς χεῖρας ἐρεισόμεθα.

Βακύλιον. κύμβαλον.

Βάκχαι, καὶ Σάτυροι, καὶ Πᾶνες, καὶ Σιληνοὶ, ὀπαδοὶ Διονύσου.

Βακχέβακχον [7] ᾆσαι. ἀντὶ τοῦ εὐφημῆσαι Διόνυσον. Βάκχος γὰρ ὁ Διόνυσος.

Βακχεύσας σὺν τῷ μέλει τῷ βακχείῳ τε καὶ ἐνθέῳ.

Βακχεύων. μαινόμενος. καὶ Κατεβακχεύοντο, τουτέστιν ἐνθουσίων, ἐπιπνοίας τινὸς πληρωθέντες. [8] Ἐπ' αὐτήν που τὴν τελεσιουργὸν κατεβακχεύοντο πρᾶξιν χωρεῖν, σώφρονι μανίᾳ ἐς συμπλοκὴν ἐξοιστρούμενοι.

Βακχεία ποιμαντική. καὶ Βακχεῖος.

Βάκχης τρόπον. ἐπὶ τῶν ἀεὶ στυγνῶν καὶ σιωπηλῶν· παρόσον αἱ Βάκχαι σιγῶσιν.

Βάκχος. [9] οὕτως οὐ μόνον τὸν Διόνυσον ἐκάλουν, ἀλλὰ καὶ πάντας τοὺς τελοῦντας τὰ ὄργια· οὐ μὴν καὶ τοὺς κλάδους, οὓς οἱ μύσται φέρουσιν. ἔστι δὲ καὶ στεφάνου εἶδος.

Βάκχοισιν κεφαλὰς πολυανθέσιν ἐστέψαντο.

καὶ Πισίδης·

Πολλοὺς δὲ Βάκχους ἦν ὁρᾶν ἀκουσίως
Τὴν ἐσχάτην ὄρχησιν ἐξορχουμένους.

Βακχίδης. ὁ τοῦ Διονύσου υἱός.

Βακχυλίδης, Κεῖος, ἀπὸ Κέω τῆς νήσου, πόλεως δὲ Ἰουλίδος· ἔχει γὰρ πόλεις τέσσαρας, Ἰουλίδα, Καρ-

alterum, Athenienſem, & tertium, Arcadem, ex urbe Caphya, qui & Cydas & Aletes vocatus fuit. Theopompus libro IX. rerum Philippicarum, cum alia multa de hoc Bacide mirabilia narrat, tum etiam, Lacedæmoniorum olim uxores inſanientes ex Apollinis oraculo ab eo luſtratas fuiſſe.

Βακτηρεύειν. Baculo niti.

Βακτηρία καὶ σύμβολον. Baculus & ſymbolum. Qui in Judicum numerum adſciti erant, a publicis miniſtris ſymbolo & baculo acceptis jus dicebant. Dicaſterium autem, [quod ſingulis aſſignabatur,] baculo erat concolor. Peracto deinde judicio ſymbolum reddentes accipiebant triobolũ, quæ erat judicum merces.

Βάκτρον. Baculus. *Senilem nunc pro armis baculum gerens.* Dicitur & σκηπάνιον. *Loco vero plectri ſcipione tremulas fulciamus manus.*

Βακύλιον. Cymbalum.

Βάκχαι. Bacchæ, & Satyri, & Panes, & Sileni, ſunt Bacchi comites.

Βακχέβακχον ᾆσαι. Bacchum carminibus celebrare.

Βακχεύσας. Cum carmine Bacchico & divini afflatus pleno orgia celebrantes.

Βακχεύων. Bacchans. Inſaniens. Et κατεβακχεύοντο, bacchabantur, ſive numine divino afflati Baccharum inſtar inſaniebant. *Velut numinis afflatu impulſi, rem ipſam aggrediebantur, in qua totius negotii cardo ſitus erat, ſana inſania ad prælium committendum velut æſtro quodam incitati.*

Βακχεία ποιμαντική. Debacchatio paſtoralis. Et Βακχεῖος, Bacchius, [pes metricus.]

Βάκχης τρόπον. *Bacchæ in morem.* Dicitur de tetricis & taciturnis; quia Bacchæ tacere ſolent.

Βάκχος. Sic non ſolum ipſum Bacchum vocabant, ſed & omnes, qui orgia ejus celebrabant. Item ramos, quos myſtæ ferebant. Eodem etiam nomine coronæ quoddam genus appellabatur. *Coronis Bacchicis, ex variis floribus contextis, capita ornarunt.* Et Piſides: *Multos autem Bacchos videre erat invitos extremam ſaltationem ſaltantes.*

Βακχίδης. Bacchi filius.

Βακχυλίδης. Bacchylides, Cejus, ex inſula Ceo, & urbe Julide, (habet enim Ceos in-

---

[1] Θεόπομπος δὲ ἐν τῇ θ΄ τῶν Φιλιππ.] Hæc, & quæ ſequuntur, repetuntur infra v. Καθαίρεις γυναικῶν.

[2] Βακτηρία καὶ σύμβολον. οἱ λαχόντες ἰδικάζειν κλ.] Eandem rem fuſius & clarius exponit Enarrator Comici ad *Plutum* pag. 30. (16. Ed. Baſ. *P.*) quem vide.

[3] Σύμβολον καὶ βακτηρίαν] Legerim potius σύμβολον τὴν βακτηρίαν. Ipſe enim baculus, qui judicibus dabatur, ſymbolum erat muneris δικαστικοῦ, ut clare docet Scholiaſta Ariſtophanis loco laudato.

[4] Ἐκομίζοντο τριώβολον· ὅπερ καὶ δικ.] Hujus trioboli δικαστικοῦ frequens eſt mentio apud Ariſtophanem.

[5] Γηραλέον νῦν ἀντὶ πανοπλ.] Verba hæc ſunt pars Epigrammatis, quod legitur Anthol. lib. VI. cap. XXV. Epigr. V.

[6] Ἀντὶ δὲ πλήκτρου σκηπ.] Verba hæc decerpta ſunt ex Epigrammate, quod exſtat Anthol. lib. VI. cap. XVI.

[7] Βακχέβακχον ᾆσαι. ἀντὶ τοῦ εὐφημ.] Ex Enarratore Comici ad *Equit.* p. 311. (212. Ed. Baſ. *P.*)

[8] Ἐπ' αὐτήν που τὴν τελεσιουργ.] Idem fragmentum repetitur infra v. Τελεσιουργήσας.

[9] Βάκχος. οὕτως οὐ μόνον τὸν Διόνυσ.——ἐστέψαντο] Ex Scholiaſta Ariſtophanis ad *Equit.* pag. 311. (212. Ed, Baſ. *P.*)

θίαν, [1] Κορησσίαν, Ποιήεσσαν) Μέδωνος υἱός, τοῦ Βακχυλίδου τοῦ ἀθλητοῦ παιδός· [2] συγγενὴς Σιμωνίδου τοῦ Λυρικοῦ, καὶ αὐτὸς Λυρικός.

Βάκχυρις. [3] ἐπὶ τῶν δικαιοτάτων. τοιοῦτος γὰρ οὗτος βασιλεὺς Αἰγύπτου.

Βαλανάγρα. [4] ἡ κλείς. παρὰ τὸ ἀγρεύειν τὴν βάλανον. [5] Βάλανος δέ ἐστι τὸ εἰς τὸν μοχλὸν σιδήρεον, ὃ καλοῦμεν μάγγανον. καὶ βάλανοι, τὰ μάγγανα τῆς κλειδώσεως. καὶ [6] βεβαλάνωται, ἀντὶ τοῦ κεκλείδωται.

Βαλανεώτης. [7] βαλανεύς. ἐπὶ τοῦ πολυπράγμονος καὶ περιέργου.

Βαλανεύσω. διακονήσω. [8] Ἐμαυτῷ βαλανεύσω.

Βαλανειομφάλους. [9] τὰς φιάλας οἱ κωμικοὶ καλοῦσι. Βαλανεῖον δὲ ἐκλήθη, διότι τὰς βαλάνους ἐσθίοντες τὰ κελύφη ἔκαιον. λέγουσι δὲ ὅτι οἱ πολλοὶ ἐλαττοῦσι τὸν ἀέρα τῷ λουτρῷ, εἰς ἑαυτοὺς αὐτὸν ἕλκοντες. καὶ Βαλανείτης, ὁ παρὰ τοῖς πολλοῖς καλούμενος παραχύτης. [10] ἔστι δὲ τὸ βαλανεῖον ὁδὸς ἐπὶ τρυφήν. † [11] Ὅτι τὸ κατ᾽ ἀρχάς, μὴ ὄντων βαλανείων, ἐν ταῖς σκάφαις καὶ πυέλοις οἱ ἀρχαῖοι ἐλοῦντο.

Βαλανίς. ἡ τοῦ βαλανέως γυνή.

Βάλανος. τὸ αἰδοῖον, καὶ τὸ ψέλλιον. καὶ βάλανοι φοινίκων. οἶνον ἔπινον ἀπὸ τῆς βαλάνου τῆς ἀπὸ τοῦ φοίνικος. καὶ αὖθις· [12] Αἱ βάλανοι τῶν φοινίκων, οἵας μὲν ἐν τοῖς Ἕλλησιν ἔστιν ἰδεῖν, τοῖς οἰκέταις ἀπέκειντο· αἱ δὲ τοῖς δεσπόταις ἀποκείμεναι, ἦσαν ἀπόλεκτοι.

Βαλάντιον. μάρσιππος. Εὐνάπιος· Εἴτε φιλοχρήματος εἴη, καὶ δοῦλος τῶν βαλαντίων. καὶ ταῦτα σαφῶς ἐκπυνθανόμενοι, πρὸς ταῦτα διεστρατήγουν τὸν πόλεμον.

Βαλαντιοτόμος. κλέπτης. καὶ βαλαντιοτόμοι. [13] Χρημάτων τε μεγάλων ἐωνημένοι ἤγοντο μοιχοί, πόρνοι, τοιχωρύχοι, βαλαντιοτόμοι, ἀνδραποδισταί, καὶ τὰ τοιαῦτα ἔθνη. Βαλαντιοτόμοι δέ, οἱ τὰ [14] ἀρχόντων βαλάντια τέμνοντες. ἤτοι κλέπτοντες.

Βαλβίς, βαλβῖδος. βάσις ταπεινή. ἡ ἀφετηρία, καὶ ὁ καμπτήρ. Ὥσπερ ἐκ βαλβῖδός τινος οἱ τὰ τέ-

ſula quatuor urbes, Julidem, Carthiam, Coreſſiam, Pœeeſſam) Medonis filius, Bacchylidis athletæ nepos, cognatus Simonidis Lyrici, & ipſe Lyricus.

Βάκχυρις. Bacchyris. De hominibus valde juſtis dicitur. Talis enim fuit hic Ægypti Rex.

Βαλανάγρα. Clavis. Sic dicta, quod peſſulum quaſi venetur. Βάλανος enim eſt ferrum, quod in ſeram immittitur, quod μάγγανον vocamus. Et βάλανοι, idem quod μάγγανα, i. e. obices, vel peſſuli. Et βεβαλάνωται, peſſulo clauſum eſt.

Βαλανεώτης. Idem quod βαλανεύς, i. e. balneator. Dicitur etiam de homine inepte curioſo.

Βαλανεύσω. Miniſtrabo. [Et proverbium:] Ἐμαυτῷ βαλ. Mihi ipſe miniſtrabo.

Βαλανειομφάλους. Sic Comici vocant phialas. Balneum vero vocabant βαλανεῖον, quia glandibus olim veſcentes earum putamina urebant. Dicunt autem, vulgus [balneatorum] aerem lavationibus minuere, dum eum ad ſe trahunt. Et βαλανείτης eſt is, qui vulgo παραχύτης appellatur. Balneum autem eſt via ad luxum. † Ante inventum balneorum uſum in ſcaphis & ſoliis antiqui ſe lavabant.

Βαλανίς. Balneatoris uxor.

Βάλανος. Membrum genitale. Item armilla. Et glandes palmarum. Vinum olim bibebant ex glandibus palmarum expreſſum. Et [Xenophon:] *Glandes palmarum, quales apud Græcos videre eſt, ſervis reponebantur. Quæ vero dominis ſervabantur, erant eximiæ.*

Βαλάντιον. Crumena. Marſupium. Eunapius: [*Item quæſiverunt,*] *an pecuniæ eſſet avidus, & crumenæ ſervus. De qua re cum ipſis certo conſtaret, præcipuam ejus rationem in bello gerendo habere ipſis viſum eſt.*

Βαλαντιοτόμος. [Crumenarum ſector.] Fur. Et βαλαντιοτόμοι, crumenarum ſectores. *Adducebantur eo ingenti pretio empti adulteri, ſcortatores, effractores, crumenarum inciſores, plagiarii, & alii hujus generis homines.* Βαλαντιοτόμοι etiam vocantur, qui magiſtratuum crumenas incidunt.

Βαλβίς, βαλβῖδος. Baſis humilis. Carceres, unde curſores emittuntur, & curſus iniθριππα ἀφιέντες, ἀναπετασθείσης τῆς πύλης. καὶ Βαλβίσιν, ἀντὶ τοῦ ταῖς ἀρχαῖς. εἴρηται δὲ ἀπὸ τῶν δρομέων. [1] ἡ γὰρ ὑπὸ τὴν ὕσπληγγα γινομένη γραμμὴ, διὰ τὸ ἐπ' αὐτῆς βεβηκέναι τοὺς δρομέας, βαλβὶς καλεῖται. ἀπὸ τοῦ ἄλλομαι ἁλμὶς, ἁλβὶς, καὶ ὑπερβιβασμῷ βαλβίς. ἢ ἀπὸ τοῦ βαίνω.

---

[1] Κορησσίαν] Apud Stephanum Byzantium v. Κορησσός urbs hæc vocatur Κορησσία.

[2] Συγγενὴς Σιμωνίδου] Fuit enim ejus ἀδελφιδοῦς, ſive ex fratre nepos, ut teſtatur Stephanus Byzantius v. Ἰουλίς.

[3] Βάκχυρις. ἐπὶ τῶν δικαιοτ.] Plenius Zenobius: Βάκχυρις. Οὗτος Αἰγύπτιος ὢν ἐπὶ δικαιοσύνῃ καὶ ἐπινοίᾳ κρίσεων ἀπομνημονεύεται. εἴρηται δὲ ἡ παροιμία ἐπὶ τῶν δικαιότατα καὶ παρευρημένως κρινόντων. Ejuſdem Bacchyridis meminit etiam Plutarchus in *Demetrio* pag. 901. ſed qui eum Βόκχορις vocat.

[4] Βαλανάγρα. ἡ κλείς. παρὰ τὸ ἀγρ.] Hæc, & quæ ſequuntur, ſunt verba Scholiaſtæ Ariſtoph. ad *Veſpas* pag. 440.

[9] Καὶ στῆλαι δέκα] Rectius Codinus, μετὰ στηλῶν δέκα. Anonymus vero modo laudatus habet μετὰ στηλῶν δώδεκα.

[10] Βασιλικὴ ἱπποδρομή. ἡ γενομένη τοῦ Βασ.] Ex Harpocratione.

[11] Ὃς βασιλικὴ ἱπποδρ.] Legendum eſt, ἀφ' οὗ βασιλ. ut recte monuit Mauſſacus ad Harpocrationem h. v.

[12] Βασιλικὸς, σοφ.] Hujus mentio fit ſupra v. Ἀψίνης Γαδαρ. ex quo loco ætatem ejus diſcimus.

[13] Βασιλίνδα. τὴν βασιλείαν] Scribo, Βασίλινναν, τὴν βασίλειαν, i. e. Reginam. Vel, totum hunc locum ſic legendum & emendandum eſſe puto: Βασιλίνδα. εἶδος παιδιᾶς. Βασιλίδα δὲ, βασίλειαν. Id eſt, Βασιλίνδα, *genus luſus*. Βασιλίδα vero, *Reginam*.

Βασιλίς. ἡ τοῦ βασιλέως γυνή· ὡς καὶ βαλανίς, ἡ τοῦ βαλανέως.

Βασιλίσκος, Βηρίνης ἀδελφὸς τῆς βασιλίδος, ἐπὶ Λέοντος τοῦ βασιλέως ἀντὶ Ῥουστικίου στρατοπεδάρχου ᾑρέθη, εὐεπίτευκτος μὲν ὢν ἐν μάχαις, βραδύνους δὲ καὶ φενακίζουσι ῥᾳδίως ὑπαγόμενος.

Βασιλίσκος. Βασιλίσκος ὁ Ῥωμαίων τῶν Ἑῴων βασιλεὺς, τῶν Ἐκκλησιῶν τοὺς Ἐπισκόπους εἰσέπραττε χρήματα, καὶ Ἀκάκιον τὸν Κωνσταντινουπόλεως Ἐπίσκοπον μικροῦ δεῖν ἀπώσατο, εἰ μὴ τῷ πλήθει τῶν λεγομένων μοναχῶν ἀπεκρούσθη. πολύς τε ἦν εἰς ἐπιθυμίαν χρημάτων, ὡς μηδὲ αὐτῶν τὰς εὐτελεῖς καὶ βαναύσους μετιόντων ἐπιστήμας ἀπέχεσθαι. καὶ ἦν ἅπαντα μεστὰ δακρύων τῇ τῶν τοιούτων εἰσφορῶν εἰσπράξει. ἐν τῷ Ἁρμάτος.

Βάσιμος. πορευτική. εὐεπίβατος. καὶ Βάσιμοι τόποι, οἱ πορεύσιμοι.

Βάσις. βάδισις.

Κυνὸς [1] Λακαίνης ὥς τις εὔρινος βάσις.

Βασκανία. καὶ Βάσκανος. τὸ Βάσκανος ἁπλῶς ἐπὶ λοιδορίας τιθέασιν. [2] Οὐ ψεύδῃ, καίπερ σφόδρα βάσκανος οὖσα.

Βασκαίνει. [3] δοτικῇ. ἀντὶ τοῦ αἰτιᾶται, καὶ μέμφεται, καὶ συκοφαντεῖ. οὕτω Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. καὶ ἐν τοῖς ἑξῆς· Βάσκανον δὲ καὶ πικρὸν καὶ κακόηθες οὐδὲ ἐστὶ πολίτευμα ἐμόν, φησίν. ἀντὶ τοῦ φιλαίτιον καὶ συκοφαντικόν.

Βασκαίνω σοι ἀεί. ὁ δὲ Λιβάνιος, αἰτιατικῇ· Τὸν προσήκοντα βασκαίνουσι.

Βασμοί. βαθμοί.

Βάσσος [4] Κορίνθιος. Ἀπολλώνιος πρὸς τοῦτον διηνέχθη. πατραλοίας μὲν γὰρ οὗτος ἐδόκει καὶ ἐπεπίστευτο, σοφίαν δὲ ἑαυτοῦ κατεψεύδετο, καὶ χαλινὸς οὐκ ἦν ἐπὶ τῇ γλώττῃ. λοιδορούμενον δὲ αὐτὸν ἐπέσχεν ὁ Ἀπολλώνιος, οἷς τε ἐπέστειλεν, οἷς τε διελέχθη κατ' αὐτοῦ. πᾶν γὰρ ὅσον ὡς ἐς πατραλοίαν ἔλεγεν, ἀληθὲς ἐδόκει. μὴ γὰρ ἄν ποτε τοιόνδε ἄνδρα ἐς λοιδορίαν ἐκπεσεῖν, μηδὲ ἀνειπεῖν τὸ μὴ ὄν.

Βαστάσας. ἀντὶ τοῦ δοκιμάσας. Εὔπολις·

Ἄγε δή, πότερα βούλεσθε, τὴν [5] διάθεσιν
Ὠδῆς ἀκούειν, ἢ τὸν ἀρχαῖον τρόπον;
Ἀμφότερ' ἐρεῖς. ἐγὼ δ' ἀκούσας τὸν τρόπον,
Ὃν ἂν δοκῇ μοι βαστάσας, αἱρήσομαι,
Πᾶν [6] τὸ συμβησόμενον ἐπὶ λόγον ἄγων.

Βασιλίς. Regina, vel Regis uxor: ut βαλανίς, balneatoris uxor.

Βασιλίσκος. Baſiliſcus, Verinæ Imperatricis frater, ſub Leone Imperatore in locum Ruſticii ducis copiarum ſubſtitutus, in bellis gerendis felix quidem, ſed ob ingenii tarditatem adverſus fraudes impoſtorum parum cautus fuit.

Βασιλισκός. Baſiliſcus, Romanorum orientalium Imperator, pecuniam ab Eccleſiarum Epiſcopis exegit, & Acacium, Epiſcopum Conſtantinopolitanum, parum abfuit quin pelleret, niſi a multitudine monachorum inhibitus fuiſſet. Idem adeo avarus fuit, ut ne illis quidem parceret, qui viles & ſordidas artes exercebant. Quare propter hujuſmodi tributorum exactiones omnia lacrymarum plena erant. Quare in v. Ἁρμάτος.

Βάσιμος. Pervius. Tranſitu facilis. Et βάσιμοι τόποι, loca pervia.

Βάσις. Greſſus. Inceſſus. [Sophocles:] *Ut greſſus canis Laconici, valde ſagacis.*

Βασκανία. Faſcinatio. Invidia. Et βάσκανος, invidus, malignus. Vocabulum βάσκανος ſimpliciter ſignificat hominem maledicum. [Ariſtophanes:] *At non mentiris horum quidquam, quamvis valde ſis maledica.*

Βασκαίνει. Dativo jungitur. Criminatur, accuſat, calumniatur. Sic Demoſthenes in oratione pro Cteſiphonte. Idem in ſequentibus ait: *Nec animo calumniandi, nec acerbe maligneve quicquam feci.* Τὸ βάσκανον enim hic idem ſignificat, quod φιλαίτιον & συκοφαντικόν.

Βασκαίνω σοι ἀεί. Tibi ſemper invideo. Libanius vero cum accuſativo dixit: *Propinquo invident.*

Βασμοί. Idem quod βαθμοὶ, gradus.

Βάσσος Κορίνθιος. Baſſus Corinthius. Cum hoc diſſidium Apollonio interceſſit. Parricida enim cum eſſe crederetur, ſapientiam falſo ſibi vendicabat; homo inſuper effræni lingua præditus. Ejus convitia & ſcriptis & ſermonibus Apollonius compeſcuit. Quicquid enim in ipſum, ut parricidam dicebat, verum credebatur, quoniam talem virum nec maledictis quenquam inſectaturum, nec rem falſam pro vera dicturum eſſe exiſtimabant.

Βαστάσας. Qui exploravit. Qui examinavit. Eupolis: *Agite igitur, utrum vultis audire? ipſamne diſpoſitionem carminis, an vero antiquum modum? Utrumque dices. Ego vero, poſtquam audivi modum; qui mihi re perpenſa optimus viſus fuerit, eum eligam, quicquid acciderit, ad examen rationis referens.*

λίνδα enim ſignificare regnum (ut hodie quidem in codicibus Suidæ legitur,) quis auctor vel Grammaticus uſpiam tradidit? Cæterum, pro βασιλίνδα, βασιλείαν, ſcribendum eſſe βασιλίδα, βασίλειαν, ut diximus, etiam Portus ante me conjecerat.

* Βασιλίνδα, εἶδος παιδ.] De hoc luſu vide Pollucem pag. 442. & Euſtath. ad Homer. pag. 1425.

[1] Κυνὸς Λακαίνης ὥς τις εὔρινος β.] Hæc ſunt verba Sophoclis *Ajace* pag. 2. ut Portus monuit.

[2] Οὐ ψεύδῃ, καίπερ σφόδρα βάσκανος οὖσα] Hæc ſunt verba Ariſtophanis *Pluto* pag. 60. (30. Ed. Baſ. *P.*) ubi locus iſte rectius ſic legitur:

Ἀλλ' οὐ ψεύδει τούτων γ' οὐδέν, καίπερ σφόδρα βάσκανος οὖσα.

[3] Βασκαίνει. δοτικῇ. ἀντὶ τοῦ αἰτιᾶται, μέμφ. καὶ συκοφ.] Ex Harpocratione.

[4] Βάσσος Κορίνθιος. Ἀπολλώνιος πρὸς τοῦτον διην.] Hæc, & quæ ſequuntur, ad verbum deſcripta ſunt ex Philoſtrato *de Vita Apoll.* lib. IV. cap. IX.

[5] Τὴν διάθεσιν] Ad metrum verſus fulciendum legi debet τὴν μὲν διάθεσιν.

[6] Πᾶν τὸ συμβησόμενον ἐπὶ λ.] Verſus hic non eſt ὑγιής, ad cujus metrum fulciendum cum Porto legerim:

Ἅπαν τὸ συμβησόμενον ἐπὶ τὸν λόγον ἄγων.

καὶ Βαστάζων, ἀντὶ τοῦ δοκιμάζων. καὶ βάσταγμα δῆλον ἐγένετο. † [1] Διότι μέγα τὸ βάσταγμα τῆς πόλεως ἦν. πλείονα γὰρ κʹ μυριάδων ὅπλα παρέδωκαν Ῥωμαίοις, καὶ καταπέλτας δύο. καὶ [2] Βαστάσαι οὐ τὸ ἆραι δηλοῖ παρὰ τοῖς Ἀττικοῖς, ἀλλὰ τὸ ψηλαφῆσαι, καὶ διασηκῶσαι, καὶ διασκέψασθαι τῇ χειρὶ τὴν ὁλκήν.

Βασταχθείη. ἀρθείη. κλαπείη. Ὁ [3] δὲ Λακύδης σφραγισάμενος διὰ τῆς ὀπῆς τὸν δακτύλιον ἐρρίπτει, ὡς μηδέποτε αὐτοῦ παραιρεθείη, καί τι βασταχθείη τῶν ἀποκειμένων.

Βαστραχαλῆσαι. [4] τραχηλιάσαι. Βάστραχας γὰρ τοὺς τραχήλους λέγουσι.

Βάτα [5] Κάρας. ἐπὶ τῶν παχέων καὶ δυνατῶν. κατὰ διαστολὴν δὲ ἀναγνωστέον.

Βατά. βάσιμα. [6] Ἀρριανός· Πάντα δὲ τῷ Ἀλεξάνδρῳ βατά τε καὶ ἐξαιρετέα εἶναι ἐδόκει.

Βατταλίζεσθαι. μαλακῶς καὶ αἰσχρῶς διάγειν.

Βάταλος. βδελυρός. αἰσχρός. Βάταλος. [7] οὕτως ἐκλήθη Δημοσθένης νέος ὤν, ὡς γυναικώδης· γηράσας δὲ, Ἀργᾶς, ἀπὸ ὄφεως οὕτω καλουμένου.

Βαταναία. χώρα.

Βατταρίζειν. [8] μόγις λαλεῖν. ἀπὸ Βάττου Θηραίου, ἰσχνοφώνου ὄντος.

Βατταρισμός. φλυαρία.

Βατήρ. [9] ἡ ἀρχὴ τοῦ τῶν πεντάθλων σκάμματος.

Αὐτὸν [10] κέκρουκας τὸν βατῆρα τοῦ λόγου.

Φησί τις. οἷον, τὸ ἐπικαιρότατον καὶ τὸ πρῶτον.

Βατίς. [11] εἶδος ἰχθύος. καὶ Βατιδοσκόποι, οἱ ὀψοφάγοι.

Βαττολογία. ἡ πολυλογία. ἀπὸ Βάττου τινὸς, μακροὺς καὶ πολυστίχους ὕμνους ποιήσαντος, ταυτολογίας ἔχοντας.

Βατός. ὁ βάσιμος τόπος.

Βάττος. [12] ὄνομα κύριον. ἰσχνόφωνος καὶ τραυλός. Πόλις ἦν Κρητικὴ Ὀαξός· ἐν τῇ Ἐτέαρχος βασιλεὺς, ὃς ἐπὶ θυγατρὶ Ἀμήτορι, τῇ [13] ὄνομα ἦν

Et Βαστάζων, explorans. Et βάσταγμα, [pondus, onus.] *Magna enim erat potentia urbis. Armorum enim plus ducentena millia, & catapultarum duo millia Romanis tradiderunt.* Et βαστάσαι apud Atticos non ſignificat tollere vel portare, ſed attrectare, & manu pondus æſtimare & expendere.

Βασταχθείη. Auferretur. Surriperetur. *Lacydes vero, [cum ex penu aliquid prompſiſſet,] eo iterum obſignato, annulum intro per foramen jaciebat, ut de rebus illic reconditis nihil ſurriperetur.*

Βαστραχαλῆσαι. Elata cervice incedere. Βάστραχας enim cervices vocant.

Βάτα Κάρας. Batæ Caras. Dicitur in pingues & craſſos. Duabus autem diſtinctis vocibus [proverbium hoc] legendum eſt.

Βατά. Pervia. Arrianus: *Alexandro nihil inacceſſum aut inexpugnabile eſſe videbatur.*

Βατταλίζεσθαι. Mollem & turpem vitam agere.

Βάταλος. Impurus. Turpi veneri deditus. Batalus vocatus fuit Demoſthenes, cum eſſet adoleſcens, ut effœminatus & mollis. Senex vero appellatus fuit Argas, a ſerpente ita dicto.

Βαταναία. Batanæa, regio.

Βατταρίζειν. Vix ac ne vix quidem loqui. Dictum eſt a Batto quodam Theræo, qui gracili & exili voce præditus erat.

Βατταρισμός. Inanis loquacitas.

Βατήρ. Locus, ſive limes, unde quinquertiones certandi initium faciebāt. [Et proverbiū:] *Ipſum orationis limen tetigiſti.* Id eſt, quod præcipuum eſt, & maxime ad rem facit, attigiſti.

Βατίς. Piſcis genus. Et βατιδοσκόποι, helluones piſcium.

Βαττολογία. Inanis multorum verborum deblateratio. A Batto quodam, qui prolixos hymnos, in quibus res eædem crebro repetebantur, componere ſolebat.

Βατός. Pervius.

Βάττος. Battus. Nomen proprium viri, qui exili voce præditus erat, & balbus. Eſt in Creta oppidum Oaxus, in quo fuit Etearchus rex. Hic amiſſa uxore, filiæ nomine Phronimæ noφρονίμην, παρέχουσά τε κακὰ, καὶ πᾶν ἐπ' αὐτῇ μηχανωμένη, καὶ τέλος μαχλοσύνην ἐπενεγκοῦσά οἱ, πείθει τὸν ἄνδρα ταῦτα ἔχειν οὕτως. ὁ δὲ ἀναγνωσθεὶς ὑπὸ τῆς γυναικὸς, ἔργον οὐχ ὅσιον ἐμηχανᾶτο ἐπὶ τῇ θυγατρί. ἦν γὰρ Θεμίσων ἀνὴρ Θηραῖος ἔμπορος ἐν τῇ Ὀαξῷ. τοῦτον ὁ Ἐτέαρχος παραλαβὼν ἐπὶ ξεινίᾳ ἐξορκοῖ, ἦ μὴν οἱ διακονήσειν ὅτι ἂν δεηθείη. ἐπεί τε δὴ ἐξώρκωσεν, ἀγαγών οἱ παραδιδοῖ τὴν ἑαυτοῦ θυγατέρα, καὶ ταύτην ἐκέλευε καταποντῶσαι ἀπαγαγόντα. [1]ὁ δὲ Θεμίσων περιεμέκτησε ἐν τῷ πελάγει, καὶ ἀφοσιούμενος τὴν ἐξόρκωσιν τοῦ Ἐτεάρχου, σχοινίοις αὐτὴν διαδήσας καθῆκεν εἰς τὸ πέλαγος, ἀνασπάσας δὲ ἀφίκετο ἐς τὴν Θήραν. ἐνθεῦτεν δὲ τὴν Φρονίμην παραλαβὼν Πολύμνηστος, ἐὼν τῶν Θηραίων ἀνὴρ δόκιμος, ἐπαλλακεύετο. χρόνου δὲ περιιόντος, ἐξεγένετό οἱ παῖς ἰσχνόφωνος καὶ τραυλός, τῷ ὄνομα ἐτέθη Βάττος.

---

[1] Διότι μέγα τὸ βάσταγμα τῆς πόλεως ἦν. κτλ.] Locus hic excerptus eſt ex ſcriptore quodam, (Polybio, ut arbitror) qui hiſtoriam belli Punici tertii deſcripſerat, quoniam verba fragmenti hujus intelligenda ſunt de Carthaginenſibus, qui tempore belli Punici tertii ſpe pacis impetrandæ omnia arma bellica, quæ in armamentariis ſuis habebant, Romanis tradiderunt, ut teſtatur Appianus in *Libyc.* pag. 75. Is enim, cum ante dixiſſet, Cornelium Scipionem Naſicam, & Cn. Cornelium Hiſpalum Carthaginem miſſos fuiſſe, quibus arma a Carthaginenſibus traderentur, ſubjungit: παρελάμβανον εἴκοσι μυριάδας πανοπλιῶν, καὶ βελῶν καὶ ἀκοντίων πλῆθος ἄπειρον, καὶ καταπέλτας ὀξυβελεῖς τε καὶ λιθοβόλους ἐς δισχιλίους. i. e. *Acceperunt ducenta armaturarum millia, telorum & jaculorum numerum infinitum, & catapultarum, ex quibus tam tela acuta quā lapides emittuntur, duo millia.* De numero ergo armorum traditorum Appianus cum fragmento apud Suidam pulchre conſentit, dummodo pro καταπέλτας δύο (qui manifeſtus eſt librariorum error, notam βʹ, quæ tam duo quam duo millia apud Græcos ſignificare poteſt, male interpretantium) legatur καταπέλτας δισχιλίους, ut Appianus habet.

[2] Καὶ βαστάσαι οὐ τὸ ἆραι δηλοῖ παρὰ τοῖς Ἀττ.] Vide ſupra v. Βαρυδαίμων, & infra v. Διασηκῶσαι.

[3] Ὁ δὲ Λακύδης σφραγισάμενος διὰ τῆς ὀπῆς τὸν δακτ.] Hæc ſunt verba Laertii lib. IV. Segm. LIX. ut Portus etiam monuit.

[4] Βαστραχαλῆσαι] Etymologus ſcribit βαστραχηλίσαι, per ι.

[5] Βάτα Κάρας. ἐπὶ τῶν παχ.] Proverbium hoc in Vaticana Appendice clarius ſic exponitur: Βάτα Κάρας. Ἐπὶ παχέων λέγεται τοῦτο. τινὲς οὖν ἐνόμισαν ἓν ὄνομα τοῦτο εἶναι, καὶ ἐχρήσαντο τῇ παροιμίᾳ ἐπὶ τῶν παχέων. ἔστι δὲ υἱὸς ὁ Κάρας τοῦ Βάτα, ὡς ἐν Ἡραίῳ τῷ Σαμίῳ ἐπιγέγραπται. Hinc ergo diſcimus τὸ Βάτα Κάρας eſſe duo nomina propria, & Batam Caræ filium fuiſſe.

[6] Ἀρριανός] *De Expedit. Alex.* lib. IV. pag. 286.

[7] Οὕτως ἐκλήθη Δημοσθένης] Æſchines περὶ παραπρεσβείας pag. 260. Ἐν παισὶ μὲν γὰρ ὢν (loquitur de Demoſthene) ἐκλήθη δι' αἰσχρουργίαν τινὰ καὶ κιναιδίαν Βάταλος· ἐκ παίδων δὲ ἀπαλλαττόμενος, καὶ δεκαταλάντους δίκας κατὰ τῶν ἐπιτρόπων λαγχάνων, Ἀργᾶς ἐκλήθη. Ad hunc locum Suidas reſpexit. Vide etiam Photium pag. 1480. & ſupra v. Ἀργᾶς.

[8] Βατταρίζειν] Vide P. Leopard. *Emend.* lib. XV. cap. XXI.

[9] Βατήρ. ἡ ἀρχὴ τοῦ τῶν πεντάθλων σκ.] Hæc, & quæ ſequuntur, αὐτολεξεὶ etiam leguntur apud Euſtath. ad Odyſſ. A. pag. 1404. qui ea ex Lexico Ælii Dionyſii ſe deſcripſiſſe teſtatur.

[10] Αὐτὸν κέκρουκας τὸν βατ.] Supra legitur, Αὐτὸν κέκρουκας τὸν βατῆρα τῆς θύρας.

[11] Βατίς. εἶδος ἰχθύος] Ex Scholiaſta Ariſtoph. ad *Pacem* pag. 685. (466. Ed. Baſ. *P.*)

[12] Βάττος. ὄνομα κύριον. ἰσχνόφωνος καὶ τρ.] Totus hic locus excerptus eſt ex Herod. lib. IV. pag. 171. ut Portus obſervavit.

[13] Τῇ ὄνομα ἦν Φρονίμη, παρέχουσά τι κακ.] Locus hic mutilus ex Herodoto ſic ſupplendus eſt: τῇ ὄνομα ἦν Φρονίμη, ἐπὶ ταύτῃ ἔγημε ἄλλην γυναῖκα. ἡ δὲ ἐπελθοῦσα ἐδικαίου εἶναι καὶ τῷ ἔργῳ μητρυιὴ τῇ Φρονίμῃ, παρέχουσα &c. Hanc lectionem in verſione ſecutus ſum.

vercam induxit, quæ domum ingreſſa, ut erat, ita re ipſa ſe novercam erga Phronimam præſtitit; omnibus eam modis vexans, & nullum non malorum genus comminiſcens, tandemque patri perſuadens, eam eſſe impudicam. Ille igitur ab uxore perſuaſus impium facinus adverſus filiam molitus eſt. Erat tunc Oaxi negotiator quidam Theræus, nomine Themiſon: quem Etearchus hoſpito ſuſceptum jurejurando adegit, ut in gratiam ſuam faceret, quicquid ab ipſo petiiſſet. Ubi jurejurando hominem obſtrinxit, filiam ſuam adductam ipſi tradidit, jubens, ut eam in mare demergeret. Themiſon vero jurejurando ſe circumventum eſſe indignatus, hoſpitium Etearcho renuntiavit, & rem iſtiuſmodi fecit. Navim cum puella conſcendit: &, poſtquam in altum perveniſſet, religione jurisjurandi defungi volens, puellam funibus alligatam in mare demiſit; eaque deinde retracta Theram rediit. Poſtea Polymneſtus, vir inter Theræos ſpectatus & clarus, eam concubinam adſcivit: ex qua interjecto tempore natus ei eſt filius, exili vocis ſono præditus & balbus, cui nomen impoſitum eſt Battus.

Βάττου[2] σίλφιον. ἐπὶ τῶν σπανίους τιμὰς λαμβανόντων. οἱ γὰρ Κυρηναῖοι [3]ἑνὶ τῶν Βάττων ἐξαίρετον ἔδοσαν τὸ σίλφιον, καὶ τοῦ νομίσματος, ἐπὶ μὲν θατέρου Ἄμμωνα, ἐπὶ δὲ θατέρου σίλφιον ἐτύπωσαν. οἱ δὲ ἐπὶ Λιβύης Ἀμπελιῶται εἰς Δελφοὺς ἀνέθεσαν καυλὸν σιλφίου.

Βάττου σίλφιον. Batti ſilphium. Dicitur de iis, qui exquiſitos honores adipiſcuntur. Cyrenæi enim uni Battiadarum præcipuum dederunt ſilphium, & in una nummi parte Ammonem, in altera vero ſilphium expreſſerunt. Ampeliotæ vero, qui ſunt in Libya, ſilphii cautem [Apollini] Delphis dedicarunt.

Βάττου σίλφιον. [4]Ἀριστοφάνης Πλούτῳ· Οὐδ' ἂν δοίης γέ μοι καὶ τὸ Βάττου σίλφιον. τὸ [5]ἐν τῇ Λιβύῃ· ὃ θεραπεύει πολλὰ, ἡδύοσμόν τ' ἐστὶ καὶ πολύτιμον. Βάττος γὰρ τὴν Κυρήνην κτίζει.

Βάττου σίλφιον. Batti ſilphium. Ariſtophanes *Pluto: Neque ſi dederis mihi vel Plutum ipſum & Batti ſilphium.* Silphium enim, quod in Libya naſcitur, multis morbis medetur, ſuaviſque eſt odoris & magni pretii. Battus autem Cyrenem condidit.

Βάττων,[6] κωμικός. δράματα αὐτοῦ, [7]Συνεξαπατῶν, [8]Ἀνδροφόνος, [9]Εὐεργέται.

Βάττων. Batton, Comicus. Ejus fabulæ ſunt, *Una decipiens*, *Homicida*, *Euergetæ*.

Βατράχειον. [10]εἶδος χρώματος. ἀπὸ τούτου καὶ βατραχὶς ἱμάτιον. ἐχρίοντο δὲ τῷ βατραχείῳ τὰ πρόσωπα, πρὶν ἐπινοηθῆναι τὰ προσωπεῖα. καὶ Βατραχὶς, εἶδος ἐσθῆτος ἀνθινῆς, ὅμοιον τῷ ὀνόματι ἐχούσης τὸ χρῶμα. καὶ [11]βατράχειος μοῖρα.

Βατράχειον. Coloris genus, [a ranis ita dictum.] Ab hoc & veſtis quædam, βατραχὶς vocata, nomen accepit. Colore autem batrachio hiſtriones perungebant faciem, ante inventum larvarum uſum. Et βατραχὶς, genus veſtis varii coloris, quæ rei, a qua nomen accepit, colorem ſimilem habebat. Et βατράχειος χροιὰ, color ſimilis illi, quem ranæ habent.

Βάτραχος [12]ἐκ Σερίφου. ἐπὶ τῶν ἀφώνων. παρόσον οἱ ἐν Σερίφῳ βάτραχοι κομισθέντες εἰς Σκύρον οὐκ ἐφθέγγοντο.

Βάτραχος ἐκ Σερίφου. Rana ex Seripho. [Proverbium, quod dicitur] de mutis. Ranæ enim Seriphiæ, in Scyrum delatæ, nullam edebant vocem.

Βατράχῳ ὕδωρ. ὡς, Γαλῇ στέαρ. ἐπὶ τῶν ταῦτα διδόντων, οἷς χαίρουσιν οἱ λαμβάνοντες. καὶ, Βατρά-

Βατράχῳ ὕδωρ. *Ranæ aquam.* [Proverbium hoc ſimile eſt illi,] *Muſtelæ ſebum.* In eos, qui talia dant, quibus delectantur accipienχοις οἰνοχοεῖς. ἐπὶ τῶν ταῦτα παρεχόντων, ὧν οὐ χρήζουσιν οἱ λαμβάνοντες.

---

[1] Ὁ δὲ Θεμίσων περιεμέκτησε ἐν τῷ πελ.] Scribe & ſupple ex Herodoto: Ὁ δὲ Θεμίσων περιημεκτήσας τῇ ἀπάτῃ τοῦ ὅρκου, διαλυσάμενος τὴν ξεινίην, ἐποίεε τάδε. παραλαβὼν τὴν παῖδα ἀπέπλεε. ὡς δὲ ἐγένετο ἐν τῷ πελάγει &c.

[2] Βάττου σίλφιον. ἐπὶ τῶν σπαν. τιμὰς λαμβ.] Locum hunc egregie illuſtrat Scholiaſta Ariſtoph. ad *Plutum* pag. 92. qui omnino cum Suida conferendus eſt.

[3] Ἑνὶ τῶν Βάττων] Malim ἑνὶ τῶν Βαττιαδῶν, ut habet Heſychius.

[4] Ἀριστοφάνης Πλούτῳ] Pag. 91. (45. Ed. Baſ. *P.*) ubi ſic legitur:

——— Οὐδ' ἂν εἰ δοίης γέ μοι
Τὸν πλοῦτον αὐτὸν, καὶ τὸ Βάττου σίλφιον.

Vide ibi Scholia.

[5] Τὸ ἐν τῇ Λιβύῃ, ὃ θεραπ. πολλ.] Ex Enarratore Comici ad *Aves*, pag. 566.

[6] Βάττων, κωμ.] Apud Athenæum nomen Comici hujus ſcribitur per unum τ, Βάτων.

[7] Συνεξαπατῶν] Fabulæ hujus mentio fit apud Athen. lib. XV. pag. 678. ſed ubi pro Κάτωνι reſcribendum eſſe Βάτωνι ex hoc loco Suidæ apparet.

[8] Ἀνδροφόνος] Ejus fabulæ itidem meminit Athenæus lib. IV. cap. 163.

[9] Εὐεργέται] Et hanc fabulam laudat Athenæus lib. XIV. p. 662.

[10] Βατράχειον. εἶδος χρώματος. ἀπὸ τούτου καὶ βατρ.] Ex Scholiaſta Ariſtoph. ad *Equit*. pag. 319. (218. 219. Ed. Baſ. *P.*)

[11] Βατράχειος μοῖρα] An, βατράχειος χροιά? i. e. Color ranarum. Sic videtur.

[12] Βάτραχος ἐκ Σερίφου] Vide Diogenianum Centur. I. Adag. XLIX. & Centur. III. Adag. XLIV.

Βαΰζων. ὑλακτῶν. [1] Ἀριστοφάνης· Βαΰζων καὶ γὰρ ἐγὼ τοιοῦτος ἦν. ἀντὶ τοῦ ἤμην.

Βαυκαλᾶν. τιθηνεῖσθαι μετ' ᾠδῆς τὰ παιδία.

Βαυκίζεσθαι. θρύπτεσθαι.

Βαῦνον. [2] κάμινος. ἐξ οὗ καὶ βάναυσοι, οἱ διὰ πυρὸς ἐργαζόμενοι τεχνῖται.

Βαβὼ [3] καὶ Δημώ. ὀνόματα σοφῶν γυναικῶν. Ἐξένισεν ἡ Βαβὼ τὴν Δημώ.

Βάψας [4] τὴν κώπην ἔπλευσας, ἐλθὼν πρὸς τοὺς ναυτοδίκας, οἳ τὰ τῆς ξενίας ἐδίκαζον. ἢ ἀπὸ τῶν φαρμακοποιούντων. λέγουσι γὰρ τὸ βάψας ποιήσω μέλαν.

Βδέλλα. ὁ [5] Σολομῶν φησι· Τῇ βδέλλῃ ἦσαν τρεῖς θυγατέρες ἀγαπήσει ἀγαπώμεναι· καὶ αἱ τρεῖς αὗται οὐκ ἐνεπίμπλαντο, καὶ ἡ τετάρτη οὐκ ἠρκέσθη εἰπεῖν ἱκανή. Βδέλλα ἡ ἁμαρτία. θυγάτηρ αὐτῆς, πορνεία, φθόνος, εἰδωλολατρεία, αἳ οὐκ ἐμπίπλανται διὰ τῶν ἀτόπων πράξεων. ἡ τετάρτη ἡ πονηρὰ ἐπιθυμία.

Βδέλλεται. ἀμέλγει. Πλάτων εἰς τὸν Θεαίτητον [6] βδάλλεται λέγει.

Βδέλυγμα. πᾶν εἴδωλον καὶ πᾶν ἐκτύπωμα ἀνθρώπου οὕτως ἐκαλεῖτο παρὰ Ἰουδαίοις.

Βδέλυγμα [7] ἐρημώσεως. τὸν Ἀδριανοῦ τοῦ βασιλέως ἀνδριάντα. ὁ γὰρ Ἀδριανὸς καθεῖλε τὴν πόλιν ἄρδην. μετὰ γὰρ τὴν Οὐεσπασιανοῦ καὶ Τίτου γενομένην ἐρήμωσιν, ἐπὶ Ἀδριανοῦ συστάντες οἱ Ἰουδαῖοι ἐσπούδαζον ἐπὶ τὴν προτέραν ἐπανελθεῖν πολιτείαν. στασιάσαντες οὖν εἰς παντελῆ ἐρήμωσιν ἑαυτοὺς κατέστησαν· καὶ τὸ ἑαυτοῦ ὄνομα ἐπέθηκε τοῖς λειψάνοις τῆς πόλεως, Αἰλίαν αὐτὴν προσαγορεύσας. Αἴλιος γὰρ Ἀδριανὸς ἐκαλεῖτο.

Βδέλυγμα ἐρημώσεως. σημεῖον τῆς ἐρημώσεως. ἤ-

tes. Et, *Ranis vinum miniſtras*. In eos, qui talia dant, quibus minime indigent accipientes.

Βαΰζων. Latrans. Ariſtophanes: *Deſine latrare: nam & ego talis eram.*

Βαυκαλᾶν. Pueros cantu demulcere, vel ſopire.

Βαυκίζεσθαι. Molliter vivere.

Βαῦνον. Caminus. Fornax. Unde & βάναυσοι dicuntur opifices, qui igne ad opus faciendum utuntur.

Βαβώ, καὶ Δημώ. Babo & Ceres: nomina ſapientum mulierum. Babo Cererem hoſpitio excepit.

Βάψας τὴν κ. Tincto remo navigaſti, & ad judices nauticos acceſſiſti, qui peregrinis jus dicebant. Vel a pharmacopœis ducta eſt translatio, quippe qui dicere ſolent, ubi tinxero faciam nigrum.

Βδέλλα. Hirudo. *Hirudini* (inquit Salomon) *tres erant filiæ, quas ſingulari amore diligebat: & tres iſtæ erant inſatiabiles; & quarta nunquam dicebat, ſatis habeo.* Hirudo eſt peccatum: cujus filiæ ſunt, fornicatio, invidia, & idololatria, quas nunquam malarum actionum ſatietas capit. Quarta eſt mala cupiditas.

Βδέλλεται. Mulget. Plato in *Theæteto* dicit βδάλλεται.

Βδέλυγμα. Res abominanda. Sic apud Judæos omne ſimulacrum & omnis effigies hominis appellabatur.

Βδέλυγμα ἐρημώσεως. Sic vocatur Imperatoris Adriani ſtatua, qui Hieroſolymam funditus evertit. Poſt illud enim tempus, quo urbs a Veſpaſiano & Tito capta & vaſtata fuerat, Judæi ſub Adriano rebellantes, priſtinamque libertatem & Reip. formam recuperare ſtudentes, funditus deleti & exciſi ſunt. Tunc etiam Adrianus urbis illorum everſæ reliquiis nomen ſuum impoſuit, *Æliam* eam appellans. Ælius enim Adrianus ipſi nomen erat.

Βδέλυγμα ἐρημώσεως. Signum deſolationis. Sic σαν δὲ εἰκόνες τινὲς ἀπηγορευμέναι τῷ νόμῳ, εἰς τὸν ναὸν εἰσκομιζόμεναι. ὃ δὴ Πιλάτος πεποίηκε, νύκτωρ ἐς τὸν ναὸν τοῦ βασιλέως εἰκόνα εἰσαγαγών.

---

[1] Ἀριστοφάνης. Βαΰζων καὶ γὰρ ἐγὼ τ.] Apud Ariſtoph. *Theſmophor.* pag. 776. locus hic ita legitur, uti & apud Suidam legendus eſt: Παῦσαι βαΰζων, καὶ γὰρ ἐγὼ τοιοῦτος ἦν.

[2] Βαῦνον] Alias βαῦνος: quod uſitatius eſt.

[3] Βαβὼ καὶ Δημώ] Vel ſeries literarum locum hunc corruptum eſſe arguit. Scribendum enim eſt, Βαυβὼ καὶ Δηώ: & paulo poſt, Ἐξένισεν ἡ Βαυβὼ τὴν Δηώ; ut recte monuit Mauſſacus ad Harpocrationem v. Βαυβοῦς. Emendationem hanc egregie confirmat Clemens Alexandr. in *Protreptico* pag. 10. qui fabulam, quam Suidas hic paucis tantum verbis attingit, prolixius narrans, inter alia ait: Ξενίσασα ἡ Βαυβὼ τὴν Δηώ, ὀρέγει κυκεῶνα αὐτῇ. i. e. *Baubo, cum Cererem hoſpitio excepiſſet, mixtum quendam potum ei porrigit.* Locum hunc de Baubone vel Babone ex Clemente repetit Euſebius *de Præpar. Euang.* pag. 66. Vide etiam infra v. Δημώ, & v. Δυσαύλης.

[4] Βάψας τὴν κώπην ἔπλευσας, ἐλθ.] Pearſonius locum hunc ſic legendum & diſtinguendum putabat: Βάψας τὴν κώπην. πλεύσας, ἐλθών; cui conjecturæ favet Heſychius, qui ſic habet: Βάψας, δύσας, πλεύσας, ἢ τὴν κώπην βάψας. Idem Pearſonius ad marginem Suidæ ſui recte quidem obſervavit, reſpexiſſe hic Suidam ad locum Ariſtoph. qui exſtat apud Harpocrationem v. Ναυτοδίκαι: ſed inde exigua vel nulla potius lux obſcuro huic loco accedit, quoniam fragmentum Ariſtophanis ibi adductum non ſolum breve eſt, ſed etiam corruptum.

[5] Ὁ Σολομῶν φησι] *Prov.* xxx. v. 15.

[6] Βδέλλεται] Sic habent 2 MSS. Pariſ. At in prioribus Editt. minus recte legitur βδάλλεται.

[7] Βδέλυγμα ἐρημώσεως. τὸν Ἀδριανοῦ τοῦ βασ.] Si verum eſt judicium Joſephi Scaligeri, verba hæc ex nugatore aliquo excerpſerit Suidas. In notis enim ad Euſeb. Num. MMCXL. locum hunc Suidæ proferens, *nugator*, inquit, *neſcio quis apud Suidam*. Sed incaute admodum vir magnus locutus eſt, quoniam omnia, quæ Suidas hoc loco adducit, ſunt verba Divi Chryſoſtomi, quæ leguntur Orat. III. adverſus Judæos, Tom. 1. pag. 434. 435. Ceterum, locum Chryſoſtomi Suidas contraxit & mutilavit, quem proinde integrum hic exhibebo, ut Lector in rem præſentem quaſi deducatur. Ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῆς ἐρημώσεως. ἱερὸν τὸν ναὸν καλῶν· βδέλυγμα δὲ ἐρημώσεως, τὸν ἀνδριάντα, ὃν ἔστησεν ὁ τὴν πόλιν καθελὼν ἔνδον ἐν τῷ ναῷ. Et paulo poſt: Μετὰ γὰρ τὴν Οὐεσπασιανοῦ καὶ Τίτου γενομένην ἐρήμωσιν, ἐπὶ Ἀδριανοῦ συστάντες ἔτι οἱ Ἰουδαῖοι ἐσπούδαζον ἐπὶ τὴν προτέραν πολιτείαν ἐπανελθεῖν· οὐκ εἰδότες, ὅτι ψήφῳ Θεοῦ πολεμοῦσι, κελευούσῃ διὰ παντὸς ἐρημοῦσθαι τὴν πόλιν. τὸ δὲ Θεοῦ πολεμοῦντος περιγενέσθαι ἀμήχανον. συῤῥήξαντες πάλιν τῷ βασιλεῖ, πάλιν εἰς ἀνάγκην αὐτὸν κατέστησαν παντελοῦς ἐρημώσεως. καθελὼν γὰρ αὐτοὺς ἐκεῖνος, καὶ χειρωσάμενος, καὶ τὰ λείψανα ἀφανίσας πάντα, ἵνα μηδὲν ἀναισχυντεῖν ἔχωσι λοιπόν, τὸν ἀνδριάντα ἔστησε τὸν ἑαυτοῦ. εἶτα συνιδών, ὅτι συμβαίνει χρόνῳ ποτὲ τοῦτον καταπεσεῖν, ὥστε αὐτοῖς ἐνθεῖναι καυτῆρα ἀνίατον τῆς ἥττης καὶ τῆς ἀναισχυντίας ἐκείνης ἔλεγχον. τὸ ὄνομα τὸ ἑαυτοῦ τῆς πόλεως ἐπέθηκε λειψάνοις. ἐπειδὰν γὰρ Αἴλιος Ἀδριανὸς ἐχρημάτιζεν, οὕτω καὶ τὴν πόλιν καλεῖσθαι ἐνομοθέτησεν, ἐκεῖθέν τι Αἰλία μέχρι τοῦ νῦν ὀνομάζεται, ἀπὸ τῆς ἐπωνυμίας τοῦ κρατήσαντος καὶ καθελόντος αὐτήν. Hæc D. Chryſoſtomus qui ideo nugator appellandus non erat, quod affirmaret, Hieroſolyma ab Hadriano exciſa eſſe, cum non videam, quomodo id contra tot & tam expreſſa veterum Patrum teſtimonia negari poſſit.

Βδέλυγμα[1] ἐρημώσεως. Ἀντίοχος ὁ Ἐπιφανής, υἱὸς Σελεύκου τοῦ Φιλοπάτορος, ἀνὴρ ὑπάρχων δεινὸς καὶ πλεονέκτης· ὃς παραλαβὼν τὴν πόλιν δοριάλωτον, ἀνεῖλε μυριάδας ιη. κατατολμήσας οὖν καὶ εἰς τὸ ἁγίασμα εἰσελθὼν ἐν ὑπερηφανείᾳ πολλῇ, καὶ στήσας βωμὸν καὶ εἴδωλον βδέλυγμα ἐρημώσεως, καὶ τὸν ναὸν μιάνας δι' ἀκαθάρτων θυσιῶν, ἱερὸν Διὸς Ὀλυμπίου προσηγόρευσεν· καὶ τοὺς μὴ ἀπογευομένους τῶν χοιρείων κρεῶν, ἀνῄρει. ἐφ' οὗ καὶ οἱ ἅγιοι Μακκαβαῖοι ἀνῃρέθησαν. οἱ δὲ λέγουσιν, Ἀδριανὸν στῆσαι τὸν ἀνδριάντα.

Βδελυγμία. ὁ Χρυσόστομος ἐχρήσατο τῇ λέξει ταύτῃ ἐν τῇ κατὰ Ἰωάννην ἑρμηνείᾳ τοῦ Εὐαγγελίου.

Βδελυρός. αἰσχροποιός. Αἰλιανός· Καὶ ἥ γε πασῶν βδελυρωτέρα καὶ τὸν παναγέστατον παρθενῶνα τὸν ἑαυτῆς ἐνέπλησε κακῶν. καὶ Βδελυρία, ἡ ἀκολασία.

Βδελύσσω, αἰτιατικῇ. καὶ Βδελύττεσθαι, αἰτιατικῇ, μυσάττεσθαι, ναυτιᾶν, ἀποστρέφεσθαι. Ἀπολλόδωρος Κυρηναῖος, μισεῖν. ἀπὸ τούτου καὶ ἡ βδελυγμία[2] ἀπὸ τοῦ μίσους· καὶ ἡ βδελυρία. Καὶ

Βδελύττομαι τὸν Λέπρεον ἀπὸ Μελανθίου.

οὗτος[3] εἶχε λέπραν. ἐκωμῳδεῖτο δὲ καὶ εἰς μαλακίαν. ἦν δὲ καὶ κακοπράγμων, καὶ ὀψοφάγος, καὶ λάλος.

--- Νὴ[4] τοὺς Θεούς, ὃς οὐκ ἰδὼν
Βδελύττομαι τὸν Λέπρεον ἀπὸ Μελανθίου.

Βδέννυσθαι.[5] ἐκκενοῦσθαι τὴν κοιλίαν σημαίνει, οὐ τὸ πέρδεσθαι, ὃ καὶ ἐπιχωριάζει μέχρι τοῦ νῦν. Βδέειν γὰρ λέγομεν.

Βδύλλεσθε. εὐτελίζετε, φοβεῖσθε, καὶ τρέμετε. Ἀριστοφάνης·[6]

Τί βδύλλεσθ' ἡμᾶς; οὔ τι που πολλαὶ δοκοῦμεν εἶναι;
Καὶ μὴν μέρος γ' ἡμῶν ὁρᾶτ' οὔπω τὸ μυριοστόν.

Βδύλλει.[7] καταπέπληγε, βδελύττεται, μισεῖ.

Ὅ, τε[8] πένης βδύλλει λεώς.

Βαιαί. μικραί. καὶ Βαιός, ἰδίως ἀντὶ τοῦ εἷς.[9] Σοφοκλῆς·

Πότερον ἐχώρει βαιός, ἢ πολλοὺς ἔχων
Ἄνδρας λοχίτας;

Καὶ ἐν Αἰχμαλωτίσιν·

Ἔσπεισα βαιᾶς κύλικος ὥστε δεύτερα.

Καὶ αὖθις·

vocabantur imagines lege interdictæ, quæ in Templum inferebantur: id quod Pilatus fecit, qui Imperatoris ſimulacrum noctu in Templum intulit.

Βδέλυγμα ἐρημώσεως. Abominatio deſolationis. Antiochus Epiphanes, filius Seleuci Philopatoris, homo callidus & avarus, urbe per vim capta, centum & octodecim millia Judæorum in ea occidit. Sanctuarium etiam ingredi auſus, erecto altari & idolo, quod capta urbs abominabatur, Templum impuris ſacrificiis pollutum Jovis Olympii ædem appellavit, eoſque, qui carnibus ſuillis veſci recuſabant, occidi juſſit. Sub eo etiam ſancti Macchabæi interfecti fuerunt. Alii vero dicunt, Adrianum illic ſimulacrum erexiſſe.

Βδελυγμία. [Fœtor. Fœditas.] Chryſoſtomus hac voce uſus eſt in interpretatione Euangelii ſecundum Joannem.

Βδελυρός. Impurus. Fœdæ libidini deditus. Ælianus: *Et illa omnium impuriſſima, ſanctiſſimum etiam Minervæ templum libidinibus ſuis replevit*. Et βδελυρία, fœda libido.

Βδελύσσω, & βδελύττεσθαι, accuſativo jungitur. Abominari, faſtidire, averſari. Secundum Apollodorum Cyrenæum etiam ſignificat, odio habere. Hinc βδελυγμία, odium; & βδελυρία, impuritas. Et [Ariſtophanes:] *Per Deos, averſor Leprum, quamvis mihi non viſum, propter Melanthium.* Hic Melanthius lepra laborabat, & a Comicis ob mollem & effœminatam vitam perſtringebatur. Idem etiam erat improbus, & helluo piſcium, & loquax.

Βδέννυσθαι. Alvum evacuare ſignificat: non autem pedere, quod etiam ad hoc uſque tempus apud nos uſitatum eſt. Βδέειν enim dicimus.

Βδύλλεσθε. Contemnitis, metuitis, & formidatis. Ariſtophanes:

Quid contemnitis nos? an fortaſſe paucæ videmur eſſe?
Atqui partem noſtrum decies milleſimam nondum videtis.

Βδύλλει. Timore percellitur. Deteſtatur. Odit. *Tenuiores & pauperes ipſum oderunt.*

Βαιαί. Parvæ. Et βαιός, peculiari ſignificatione pro unus, vel ſolus. Sophocles: *Utrum ibat ſolus, an vero multis ſtipatus ſatellitibus?* Item in *Captivis*: *Libavi iterum parvo calice.* Et iterum: *Ille vero dixit ad me pauca, ſed quæ apud omnes decantata ſunt. Mulier, ſilentium decet fœminas. Et ego*

---

[1] Βδέλυγμα ἐρημώσεως. Ἀντίοχος ὁ Ἐπιφ.] Vide ſupra v. Ἀντίοχος.

[2] Ἀπὸ τοῦ μίσους] Sic habent omnes Editt. ſed male. Scribendum enim ἐπὶ τοῦ μίσους; ut ſit ſenſus, τὸ βδελυγμία aliquando poni pro μῖσος, i. e. odium.

[3] Οὗτος εἶχε λέπραν. ἐκωμῳδ.] Ex Scholiaſta Ariſtoph. ad *Aves* pag. 558. ubi locus integer ſic legitur: Μελάνθιος ὁ Τραγικὸς κωμῳδεῖται λεπρὸς καὶ κακοπράγμων. κωμῳδεῖται γὰρ εἰς μαλακίαν καὶ ὀψοφαγίαν. Πλάτων δὲ αὐτὸν ἐν Σκύθαις ὡς λάλον σκώπτει. Καλλίας Πεδήταις·

——Τίς ἄρα; τοὺς Μελανθίου τῷ γνώσομαι;
Οὓς ἂν μάλιστα λευκοπρώκτους εἰσίδῃς.

Εἶχε δὲ Μελάνθιος λέπραν. ἐκωμῳδεῖτο δὲ καὶ εἰς μαλακίαν.

[4] Νὴ τοὺς Θεούς, ὃς οὐκ ἰδὼν βδ.] Hæc ſunt verba Ariſtophanis *Avibus* pag. 548.

[5] Βδέννυσθ. ἐκκεν.] Vide Heſychium v. Βδελύσσεσθ. & v. Βδέννυσθ.

[6] Ἀριστοφάνης] *Lyſiſtrata* pag. 858. (549. Ed. Baſ. *P.*)

[7] Βδύλλει. καταπέπληγε, βδελύττεται, μισεῖ] Ex Enarratore Comici ad *Equit.* pag. 299. (201. Ed. Baſ. *P.*)

[8] Ὅ, τε πένης βδύλλει λεώς] Ariſtophanes *Equit.* pag. 299.

——Καὶ γὰρ οἵ τε πλούσιοι
Δεδίασιν αὐτόν, ὅ, τε πένης βδύλλει λεώς.

[9] Σοφοκλῆς] *Oedip. Tyrann.* pag. 183. ut Portus monuit.

Ὁ[1] δ' εἶπε πρός με βαί', ἀεὶ δ' ὑμνούμενα·
Γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.
Κἀγὼ μαθοῦσ' ἔληξ'. ὁ δ' ἐσύθη μόνος.

Βαιθήλ. θεῖος ναός.

Βαίτη. διφθέρα. Βαίτη δὲ καὶ θέρει καὶ ἐν χειμῶνι ἀγαθόν. ἐπὶ τοῦ κατὰ τὴν χρείαν προσφόρου.

Βαιτική. ἡ Ἤπειρος.

Βαιτύκη. τὸ τύμπανον.

Βεβαλανωμένον. ἀντὶ τοῦ κατεχόμενον ὑπὸ τῆς κόπρου. [2] Ἀριστοφάνης·

--- Μή με περιίδῃς
Διαρραγέντα, μηδὲ βεβαλανωμένον.

Βεβαιώσεως. [3] δίκης ἐστὶν ὄνομα, ἣν δικάζουσιν οἱ [4] ὠνησάμενοί τι.

Βέβηκεν. ἕστηκεν. ἐπέπηκτο.

Βέβηλος [5] τόπος. ὁ βατὸς πᾶσι, καὶ ἀκάθαρτος. καὶ βέβηλος ἀνήρ, ὁ ἀμύητος, καὶ μιαρός. Εὐριπίδης·

Οὐ γὰρ θέμις [6] βεβήλοις ἅπτεσθαι δόμων.

Καί,

Ἀείσω [7] ξυνετοῖσι, θύρας δ' ἐπίθεσθε βεβήλοις.

καὶ βεβηλοῦνται, μιαίνονται.

Βεβηκός. ἀσφαλές.

Βέβιος Κρίσπος. ἐν τῷ Βιτέλλιος.

Βέβριθε. βαρύνεται.

Βεβριθυῖα. βαρεῖα. ἰσχυρά.

Βέβρυχεν. ἠχεῖ.

Βεβυσμένα. λαθραῖα, ἢ [8] πεπληρωμένα. καὶ βεβυσμένον, πεπληρωμένον, κεκαλυμμένον. [9] Ἀριστοφάνης·

Δός μοι χυτρίδιον σπογγίῳ βεβυσμένον.

ἢ [10] ὅτι χύτραν ἔφερον, ἐν ᾗ ἦν σπόγγος πεπληρωμένος μέλιτος, ὃν ἐτίθεσαν ἐν τῷ στόματι τῶν παίδων, διὰ τὸ ἐκμυζᾷν· ἢ ὅτι οἱ πένητες τὰ τρήματα τῆς χύτρας σφηνοῦσι σπόγγοις. ἢ [11] τετρημένον πανταχοῦ.

Βέβυστο. ἐπεπλήρωτο. Βέβυστο δὲ πᾶσα χόλοιο.

Βεελφεγώρ. [12] Βεέλ, ὁ Κρόνος· Φεγώρ, ὁ τόπος, ἐν ᾧ ἐτιμᾶτο. Ἐτελέσθησαν οὖν τῷ Βεελφεγώρ.

Βεζέκ. ἀστραπή. [13] Ἰεζεκιήλ· Ἀνέκαμπτον δὲ ὡς εἶδος τοῦ Βεζέκ. ὅ ἐστι τῆς ἀστραπῆς.

Βεκκεσέληνε. ἤτοι ἀπόπληκτε καὶ σεληνόπληκτε·

hoc audito tacui. Ille vero ſolus abiit.

Βαιθήλ. [Hebraice] Domus Dei.

Βαίτη. Veſtis pellicea. *Bæta tam æſtati quam hyemi apta eſt.* Dicitur de rebus ad uſum accommodatis.

Βαιτική. Bætica, [regio Hiſpaniæ]

Βαιτύκη. Tympanum.

Βεβαλανωμένον. Cujus alvus peſſulo quaſi occluſa eſt, ut excrementis non detur exitus. Ariſtophanes: *Ne nullam mei rationem habeas, cujus venter pene diſrumpitur, quod excrementis occluſus ſit exitus.*

Βεβαιώσεως δίκη. Sic appellatur actio, quæ dabatur emptoribus [adverſus venditores.]

Βέβηκεν. Stat. Fixus eſt.

Βέβηλος τόπος. Locus profanus & impurus, & per quem omnibus ire licet. Et βέβηλος ἀνήρ, homo nullis ſacris initiatus & ſceleratus. Euripides: *Non eſt fas profanis [ſacras] ingredi ædes.* Et, *Cano ſapientibus: fores vero occludite profanis.* Et Βεβηλοῦνται, polluuntur.

Βεβηκός. Stabile. Firmum.

Βέβιος Κρίσπος. Bebius Criſpus. De eo vide in v. Βιτέλλιος.

Βέβριθε. Gravatur. Oneratur.

Βεβριθυῖα. Onuſta. Robuſta.

Βέβρυχεν. Reſonat. Strepit.

Βεβυσμένα. Clandeſtina. Obturata. Repleta. Et βεβυσμένον, repletum, tectum. Ariſtophanes: *Da mihi ollulam, ſpongia obturatam.* Hoc ideo dictum, vel, quia ollam ferebant, in qua erat ſpongia melle repleta, quam ori infantum inſerebant, ut eam ſugerent: vel, quia pauperes foramina ollæ ſpongiis obturant. Vel, foraminibus plenum, ut ſunt ſpongiæ.

Βέβυστο. Repleta erat. *Tota vero bile repleta erat.*

Βεελφεγώρ. Beelphegor. Beel eſt Saturnus: Phegor, locus, in quo colebatur. [David:] *Initiati ſunt Beelphegoro.*

Βεζέκ. Fulgur. Ezechiel: *Redibant autem ut ſpecies fulguris.*

Βεκκεσέληνε. Vel [ſignificat] ſtupide, deἢ τὰ δύο σύγκειται ὡς ἓν, τὸ βέκκος καὶ ἡ σελήνη. Ἀρχαῖα δὲ ἀμφότερα. ἢ ὅτι οἱ Λυδοὶ τὸν ἄρτον βέκκος ἐκάλουν, ἢ Φρύγες. διεβάλλοντο δὲ ὡς ἀνόητοι. ἀπὸ τῆς οὖν διαλέκτου σκώπτει αὐτούς. ἡ δὲ περὶ τοῦ Βέκκε ἱστορία, ἥ ἐστι φωνὴ Φρυγῶν, σημαίνουσα τὸν ἄρτον, παρὰ Ἡροδότῳ φανερά ἐστιν ἐν δευτέρᾳ.

---

[1] Ὁ δ' εἶπε πρός με βαί', ἀεὶ δ' ὑμν.] Hæc, & quæ ſequuntur, ſunt verba Sophoclis *Ajace* pag. 18. ut Portus obſervavit.

[2] Ἀριστοφάνης] *Eccleſiaz.* pag. 734. (493. Ed. Baſ. *P.*)

[3] Βεβαιώσεως. δίκης ἐστὶν ὄνομα] Rem plenius exponit Harpocratio, quem vide.

[4] Οἱ ὠνησάμενοί τι] Sic recte habent MSS. Pariſ. At in prioribus Editt. male legitur οἱ ὠφελησάμενοί τι.

[5] Βέβηλος τόπος. ὁ βατὸς πᾶσι καὶ ἀκ.] Ex Scholiaſta Sophoclis ad *Oedip. Colon.* pag 270. ut Pearſonius obſervavit.

[6] Βεβήλοις] Metri gratia ſcribendum eſt βέβηλον, ut recte legitur apud Scholiaſtam Sophoclis loco laudato.

[7] Ἀείσω ξυνετ.] In prioribus Editt. peſſime legitur Ἀΐδω ξυνετοῖσι: cujus loco veram lectionem ex MSS. Pariſ. & Scholiaſta Sophoclis repoſui. Verſum autem hunc, qui Orpheo vulgo tribuitur, alii ſic efferunt;

Φθέγξομαι, οἷς θέμις ἐστί· θύρας δ' ἐπίθεσθε βέβηλοι.

Vide Euſeb. *de Præp. Euang.* lib. III. cap. VII. & lib. XIII. cap. XII. pag. 664. item Theodoret. *Therapeut.* pag. 478.

[8] Πεπληρωμένα] In prioribus Editt. male excuſum eſt πεπωρωμένα, cujus loco ſcribendum eſſe πεπληρωμένα, ex Heſychio & hoc ipſo loco Suidæ patet.

[9] Ἀριστοφάνης] *Acharnenſibus* pag. 393. (281. Ed. Baſ. *P.*)

[10] Ἢ ὅτι χύτραν ἔφερον, ἐν ᾗ ἦν σπ.] Hæc, & quæ ſequuntur, ſunt verba Scholiaſtæ ad modo indicatum locum Ariſtophanis.

[11] Ἢ τετρημένον πανταχοῦ] Poſt πανταχοῦ ex Enarratore Comici addendum eſt, ὥσπερ οἱ σπόγγοι.

[12] Βεελφεγώρ. Βεέλ, ὁ Κρόνος· Φεγώρ, ὁ τόπος, ἐν ᾧ ἐτιμ.] Ex Theodoreto ad Pſalm. CV. pag. 828.

[13] Ἰεζεκιήλ] Cap. I. v. 14.

lire, & lunatice: vel, vocabulum hoc compoſitum eſt ex duabus vocibus, unam eandemque ſignificationem habentibus. Utrumque enim, βέκκος & σελήνη, ponitur pro ***antiquus***. Vel, quia Lydi, vel Phryges, panem vocabant βέκκος. Ii autem ob ſtupiditatem male audiebant. Propter dialectum igitur cavillis eos perſtringit. Hiſtoria autem de Βέκκε, quæ eſt vox Phrygum, ſignificans panem, exſtat apud Herodotum libro ſecundo.

Βεκκεσέληνε. ἀρχαῖε. τουτέστιν, ἀνοητότατε. παρῆκται δὲ ἀπὸ τοῦ προσέληνε. τοὺς γὰρ Ἀρκάδας ἀρχαιοτάτους, καὶ πρὸ τῆς σελήνης φάσκοντας γεγονέναι, προσεληνοὺς ἐκάλουν. Βεκκεσέληνε οὖν, ὡς προσέληνε. [1] Ἔχεται δὲ καὶ αὐτὸ καθ' αὐτὸ τὸ βεκκεσέληνε ἱστορίας τοιαύτης. Ψαμμίτιχος Αἰγυπτίων βασιλεύσας ἠθέλησε γνῶναι, τίνες πάντων ἀνθρώπων πρεσβύτεροι καὶ πρῶτοι γένοιντο. ὡς δὲ πάνυ πολυπραγμονῶν οὐχ οἷός τε ἦν ἀνευρεῖν τὸ ἀκριβὲς, διὰ τὸ πολλοὺς περὶ τούτου φιλονεικεῖν, μηχανᾶταί τι τοιοῦτον. Λαβὼν ἀρτίτοκα δύο παιδία εἰς οἴκημα κατέκλεισεν ἀνακεχωρηκὸς παντάπασι. καὶ οἱ μὲν λέγουσιν, ὡς αἶγας ὑπέπεμπεν αὐτοῖς, ἃς θηλάζοντα ἐτρέφοντο τὰ παιδία· οἱ δὲ, ἃς τροφοὺς παρέστησε, τὰς γλώσσας αὐτῶν ἐκτεμὼν, ὥστε τῆς φωνῆς αὐτῶν μὴ ἀκούειν τὰ παιδία. ταῦτα δὲ ὁ Ψαμμίτιχος ἐποίει, βουλόμενος εἰδέναι, τίνα ποτὲ τὰ παιδία πρώτην [2] προήσουσι φωνὴν, ἀπαλλαγέντα τῶν ἀσήμων κνυζημάτων. ὡς οὖν τριετὴς αὐτοῖς διεγεγόνει χρόνος τῆς τοιαύτης τροφῆς, εἰσέπεμψεν εἰς τὸν οἶκον τινὰ τῶν φιλτάτων, ἐντειλάμενος σιωπῇ παρελθεῖν. τοῦ δὲ ἀνοίξαντος τὰς θύρας, ὀρέγοντα τὰς χεῖρας τὰ παιδία βέκκος ἐκάλουν. Φρύγας δὲ τὸν ἄρτον οὕτω καλεῖν. καὶ οὕτω μὲν Ψαμμίτιχον εὑρεῖν τε καὶ πιστεῦσαι γεγονέναι πρώτους Φρύγας. εἰ δὲ καὶ ὁ πρῶτος λόγος ἀληθὴς, ὅτι ἐξέθρεψαν τὰ παιδία αἱ αἶγες, καὶ οὐ γυνὴ, θαυμαστὸν οὐδὲν, κατακούοντα τῆς αἰγὸς, μιμήσασθαι τὴν ἐκείνης φωνὴν, συμπεσεῖν δὲ καὶ παρὰ Φρυξὶ τὸ τοιοῦτον ῥῆμα. οὕτως οὖν καὶ τὸ βεκκεσέληνε τὸ ἀρχαῖον δηλοῖ, συγκειμένης τῆς λέξεως ἐκ τοῦ βέκκος, διὰ τὴν εἰρημένην ἱστορίαν. ὡσαύτως δὲ καὶ τὸ προσέληνε. διὸ [3] καὶ τοὺς Ἀρκάδας, ὡς ἀρχαίους, προσελήνους καλεῖσθαι.

Βεκκεσέληνε. Antique. Hoc eſt, ſtultiſſime. Deductum eſt autem a προσέληνος, i. e. antelunaris. Arcadas enim antiquiſſimos, & qui ante lunam ſe natos eſſe dicebant, προσελήνους appellabant. Βεκκεσέληνε igitur dictum eſt, ut προσέληνε. Habet autem & propriam vox βεκκεσέληνε originem, quæ a tali hiſtoria repetitur. Pſammitichus Ægyptiorum Rex, cum ſcire vellet, quinam omnium mortalium eſſent antiquiſſimi; & omni quamvis ſtudio adhibito in veritatem hujus rei fruſtra inquiſiviſſet, quod multi de hac antiquitatis gloria contenderent, tale quid commentus eſt. Duos infantes recens natos in interiori ædium conclavi concluſit, iiſque vel capellas, ut quidam ajunt, ſummiſit, quarum lacte nutrirētur; vel ſecundum alios, nutrices iis admovit, quibus linguæ præciſæ erant, ne infantes vocem illarum audirent. Hoc autem ideo Pſammitichus fecit, quod ſcire vellet, quam vocem infantes, ubi fari incepiſſent, primum edituri eſſent. Cum igitur per triennium hac ratione nutriti eſſent, Rex quendam ex amiciſſimis conclave illud tacite ingredi juſſit. Illo igitur fores aperiente, infantes manibus porrectis βέκκος dixerunt; quam vocem Phrygum lingua panem ſignificare ajunt. Sic igitur Pſammitichum deprehendiſſe & credidiſſe ferunt, Phryges omnium eſſe antiquiſſimos. At ſi verum eſt id, quod priore loco diximus, infantes a capris, non autem muliere nutritos fuiſſe; mirum non eſt illos, cum capram balantem ſæpe audiſſent, vocem illius imitatos fuiſſe, caſuque quodam accidiſſe, ut eadem voce & Phryges uterentur. Sic igitur τὸ βεκκεσέληνον ſignificat antiquum, voce ex βέκκος compoſita, ob ante dictam hiſtoriam. Idem etiam ſignificat τὸ προσέληνε. Quamobrem & Arcades ut antiquos προσελήνους vocari ajunt.

Βέκυλος. προβατώδης.

Βέκυλος. Pecuinus. Ovillus.

Βέλεκος.[4] ὄσπριον. ἔοικε δὲ τοῖς λαθύροις.

Βέλεκος. Legumen, quod lathyro ſimile eſt.

Βέλεμνα. βέλη.

Βέλεμνα. Tela. Sagittæ.

Βελίαρ. τῇ Ἑβραίων φωνῇ τὸν ἀποστάτην δηλοῖ. Ὁ[5] Ἀπόστολος· Τίς δὲ συμφώνησις Χριστῷ πρὸς Βελίαρ.

Βελίαρ. Beliar. Hebræorum lingua apoſtatam ſignificat. Apoſtolus: *Quomodo Chriſto cum Beliar convenire poteſt.*

Βελλεροφόντης. ὃν ὁ Προῖτος ἐβούλετο διὰ γραμμάτων αὐτοῦ τῶν πρὸς Ἰοβάτην ἀνελεῖν.

Βελλεροφόντης. Bellerophontes. Huic Prœtus literas ad Jobatem dedit, per quas eum interfici mandavit.

---

[1] Ἔχεται δὲ καὶ αὐτὸ καθ' αὐτὸ τὸ βεκκεσέληνε ἱστορίας τοιαύτης] Cum toto hoc loco conferendus eſt Enarrator Comici ad *Nubes* pag. 149. 150. qui eandem hiſtoriam de Seſonchoſi Rege Ægyptiorum narrat.

[2] Προήσουσι] Sic ex MSS. Pariſ. repoſui. Priores enim Editt. minus recte habent ποιήσουσι.

[3] Διὸ καὶ τοὺς Ἀρκάδας, ὡς ἀρχ. προσελ.] Vide Scholiaſtam Apollonii Rhod. ad lib. IV. v. 263.

[4] Βέλεκος] Heſychius idem legumen vocat βέλλεκυς, quem vide.

[5] Ὁ Ἀπόστολος] Epiſt. II. ad Corinth. VI. 15. ſed ubi legitur Βελίαλ, per λ, ut Portus etiam monuit.

Βελισάριος,[1] ὁ στρατηγὸς, ἦν μὲν τὸ σῶμα καλός τε καὶ μέγας, καὶ εὐπρεπὴς πάντων μάλιστα· οὕτω δὲ πρᾶόν τε καὶ εὐπρόσοδον ἑαυτὸν παρεῖχε τοῖς ἐντυγχάνουσιν, ὥστε ἀνθρώπῳ πένητί τε λίαν καὶ ἀδόξῳ ἐμφερὴς εἶναι. ἔρως δὲ αὐτοῦ τῆς ἀρχῆς παρά τε στρατιωτῶν ἀεὶ καὶ ἀγροίκων ἄμαχός τις ἐγένετο· ὅτι δὴ ἐς μὲν τοὺς στρατιώτας φιλοδωρότατος ἐγεγόνει ἀνθρώπων ἁπάντων. τοῦ τε γὰρ ἐν ξυμβολῇ ἠτυχηκότων χρήμασι μεγάλοις παρεμυθεῖτο τὰ τραύματα· καὶ τοῖς εὐδοκιμήσασι ψέλιά τε καὶ στρεπτοὺς ἆθλα παρείχετο. ἵππου δὲ ἢ τόξου ἢ ἄλλου ὁτουοῦν στρατιώτῃ ἐν τῇ μάχῃ ἀπολωλότος, ἕτερος ἀντ' αὐτοῦ παρὰ Βελισαρίου αὐτίκα ὑπῆρχεν. ἐς δὲ τοὺς ἀγροίκους, ὅτι δὴ τοσαύτῃ φειδοῖ τε καὶ προνοίᾳ ἐχρῆτο, ὥστε βιασθῆναι μὲν αὐτῶν οὐδένα πώποτε στρατηγοῦντος Βελισαρίου τετύχηκεν. ἀπεδίδοντο γὰρ αὐτοῖς κατὰ γνώμην τὰ ὤνια πάντα, καὶ ἡνίκα ἀκμάζοι τὰ λήϊα, εἰς τὸ ἀκριβὲς διεφύλασσε, μή τινι [2]παριοῦσα ἡ ἵππος λυμήνηται. τῶν δὲ ὡραίων ἐν τοῖς δένδροις ὄντων ἅψασθαι αὐτῶν οὐδενὶ τοπαράπαν ἐξῆν. ἦν δὲ καὶ σώφρων καὶ λίαν ἐνάρετος.

Βέλος. καὶ τὸ τραῦμα· [3]ὁμωνύμως τῷ τιτρώσκοντι παρ' Ὁμήρῳ.

Βελονοπώλης. οὗτος παράσιτος ἦν, ὥς [4]φησιν Ἀριστοφάνης.

Βεμβίνα. πόλις Λακεδαιμονίας.

Βέμβηξ. ὁ ξύλινος στρόμβος.

> Οἱ[5] δ' ἄρ' ὑπὸ πληγῇσι θοὰς βέμβηκας ἔχοντες,
> Ἔστρεφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ.

Ἀριστοφάνης·[6] Βέμβηκος οὐδὲν διαφέρειν δεῖ. ἀντὶ τοῦ, εὐκίνητον καὶ εὔστροφον εἶναι δεῖ. [7]ἔστι δὲ βέμβηξ ἐργαλεῖον, ὃ μάστιγι στρέφουσιν οἱ παῖδες. ἢ παίγνιον τῶν παίδων, ὡς τροχὸς, ὃς μάστιγι [8]διωκόμενος στρέφεται. καὶ Βεμβηκιᾶν, τὸ περιστρέφεσθαι. καὶ Βεμβηκίζουσιν. [9]Ἀριστοφάνης·

> Ἵν' ἐφ' ἡσυχίας ἡμῶν πρόσθεν βεμβηκίζωσιν ἑαυτούς.

Βενεβεντός. ὄνομα πόλεως Καλαβρίας, ἣν κτίζει Διομήδης. εἰς γὰρ τὸν ἀπόπλουν καταχθεὶς εἰς τὰ ἴδια οὐκ ἐδέχθη, ἀλλὰ διωχθεὶς ἀπῆλθεν εἰς Καλαβρίαν, καὶ κτίζει πόλιν, ἣν ἐκάλεσεν Ἀργυρίππην, τὴν μετονομασθεῖσαν Βενεβεντόν.

Βελισάριος. Beliſarius, dux, corpore erat decoro & procero, oriſque dignitate omnes ſuperabat. Idem omnes, qui ipſum adibant, tanta comitate excipiebat, & tam facile ad ſe admittebat, ut homo tenuiſſimæ & infimæ ſortis eſſe videretur. In bello talem ſe imperatorem præbebat, quem & milites & agricolæ ſummo amore proſequerentur. Milites quidem; quod ipſum experirentur mortalium omnium munificentiſſimum. Nam qui in prælio male accepti fuerant, illis grandi pecunia vulnerum acerbitatem levabat: qui fortiter & ſtrenue rem geſſerant, illis armillas & torques pro præmio dabat. Si cui militi in pugna vel equus, vel arcus, vel aliud quidpiam periiſſet, ejus jacturam Beliſarius illico ſarciebat. Amabant vero agricolæ imperium ejus, propterea quod ita illis parcebat conſulebatque, ut eo exercitum ducente nemini eorum vis unquam illata fuerit. Nam venalia quælibet quo volebant pretio illis divendebant, &, cum ſegetes maturitati proximæ eſſent, ſedulo dabat operam, ne, qui aderat equitatus, eas læderet. Pendentes ex arboribus fructus nemini attingere licebat. Præterea valde erat temperans & virtutis amans.

Βέλος. Significat etiam vulnus apud Homerum. [Per metonymiam.]

Βελονοπώλης. Belonopoles. Hic fuit paraſitus, ut ait Ariſtophanes.

Βεμβίνα. Bembina. Urbs Laconiæ.

Βέμβηξ. Ligneus turbo. *Pueri vero celeres turbines verbere verſabant in lato trivio.* Et Ariſtophanes: *A turbine nihil differre oportet.* Id eſt, mobilem & agilem eſſe oportet. Eſt autem βέμβηξ turbo, quem pueri flagello verſant. Vel, ludicrum puerorum, ut trochus, qui verbere agitatus verſatur. Et βεμβηκιᾶν, circumagi & verſari turbinis inſtar. Et βεμβηκίζουσιν, verſant & circumagunt. Ariſtophanes: *Ut ſine ſtrepitu coram nobis ſeſe turbinis inſtar verſent.*

Βενεβεντός. Beneventum. Nomen urbis Calabriæ, quam Diomedes condidit. Is enim cum [ab expeditione Trojana] domum reverſus a ſuis non reciperetur, ſed ab iis expelleretur, Calabriam petiit, & urbem condidit, quam Argyrippam vocavit, poſtea dictam Beneventum.

Βενεβεντὸν[10] λέγουσι πνευμάτων βίαν.

Βενετιανός.[11] ὄνομα κύριον.

Βενιαμίν. ἐπὶ Σαμψὼν κρίνοντος τὸν Ἰσραὴλ, διὰ

Βενεβεντόν. Sic appellant ventorum vim.

Βενετιανός. Qui factioni Venetæ favet.

Βενιαμίν. Benjamin. Sampſone Iſraelis Ju-

---

[1] Βελισάριος, ὁ στρατηγός] Totum hunc locum de Beliſario, Romanorum duce, excerpſit Suidas ex Procop. lib. III. *de Bello Goth.* cap. 1.

[2] Παριοῦσα] Procopius habet παροῦσα.

[3] Ὁμωνύμως τῷ τιτρώσκοντι] Quem ſenſum verba iſta habere hic poſſint non video. Quare in verſione a me prætermiſſa ſunt.

[4] Ὥς φησιν Ἀριστοφάνης] *Pluto* pag. 19. (10. Ed. Baſ. *P.*)

[5] Οἱ δ' ἄρ' ὑπὸ πληγῇσι θοὰς βέμβ.] Diſtichum hoc eſt pars elegantis Epigrammatis, quod legitur Anthol. lib. III. cap. XXXIII. pag. 422. (285. Ed. Baſ. *P.*)

[6] Ἀριστοφάνης] *Avibus* pag. 608. (423. Ed. Baſ. *P.*)

[7] Ἔστι δὲ βέμβηξ ἐργαλεῖον ——— στρέφεται] Hæc ſunt verba Scholiaſtæ ad modo indicatum locum Ariſtophanis.

[8] Διωκόμενος] Malim δερόμενος, ut habet Scholiaſta Comici loco laudato.

[9] Ἀριστοφάνης] *Veſpis*, pag. 538. (365. Ed. Baſ. *P.*)

[10] Βενεβεντὸν λέγουσι πνευμ.] Scribendum eſt Βέντον, i.e. ventum; ut recte monuit Meurſius in Gloſſario.

[11] Βενετιανός. ὄνομα κύριον] Apud Marcum Antoninum lib. I. §. 5. Βενετιανός ſignificat eum, qui factioni aurigarum, quæ *Veneta* apud veteres Romanos dicebatur, favebat. Ad quem proinde locum ſi Suidas reſpexit, omnino fallitur, quod putavit, Βενετιανὸν eſſe nomen proprium viri.

τὴν παράνομον μίξιν τοῦ Βενιαμὶν π' καὶ ζ' κατηναλώθησαν χιλιάδες. ἔστιν ἐν τῷ Σαμψών.

Βέρεδον.

Βέρεθρον. βάθος.

Νῦν [1] πλέον, ἢ τὸ πάροιθε, πύλας κρατεροῖο βερέθρου
Ὄμμασιν ἀγρύπνοις τρισσὲ, φύλασσε, κύον.

Βερεκύντῃ.[2] Ὁ δὲ ἐν Βερεκύντῃ ἐχειμέριζεν. ἀντὶ τοῦ ἐχείμαζεν.

Βερέσχεθοι. οἱ ἀνόητοι. πέπλασται δὲ ἡ λέξις [3] παρὰ Ἀριστοφάνει.

Βέῤῥοια. πόλις.

Βεσπασιανὸς,[4] βασιλεὺς Ῥωμαίων. οὗτος ἦν ἤπιος καὶ προσηνὴς, ὡς μηδὲ τὰς εἰς αὐτόν τε καὶ τὴν βασιλείαν γινομένας ἁμαρτίας πέρα τιμωρεῖσθαι φυγῆς. τάς τε γὰρ ἀπεχθείας καὶ τὰ προσκρούσματα τῆς διανοίας ταχέως ἀπεσείετο, καὶ σκώμματα ῥητόρων, ὑφ' ὧν ἠφίετο, καὶ δήμων, ἐς αὐτὸν ἀποῤῥιπτούμενα κούφως τε καὶ γαληνῶς ἔφερεν. ἔς τε τὰς ἐντεύξεις κοινὸς καὶ δημοτικὸς ὢν, ἀπεσκήνου μὲν ἐς τὰ πολλὰ τῶν βασιλείων. [5] Οὗτος τοῖς ἀρίστοις τῶν πώποτε βασιλέων παραβάλλεσθαι ἄξιος ἦν· ὅς γε καὶ τὸν ἰδιώτην αὐτοῦ βίον ἐπίδοξον πολλοῖς τε καὶ μεγάλοις ἀπετέλεσε κατορθώμασι. Κλαυδίῳ γὰρ τῷ βασιλεῖ στρατηγῶν ἐπὶ Γερμανοὺς καὶ Βρεττανοὺς, λ' μάχας καρτερὰς πρὸς τοὺς πολεμίους ἀντιπαρεστήσατο. εἰς δὲ τὴν ἡγεμονίαν παρελθὼν, μετρίως τε καὶ σωφρόνως τὴν ἀρχὴν διῴκησεν, ἐπιθυμητικῶς μὲν δοκῶν ἔχειν χρημάτων· οὐ μὴν ὥστε παρὰ δίκην ἀφαιρεῖσθαί τινα τῶν οἰκείων. καὶ τὸν πλοῦτον οὐκ ἐς τὰς ἡδονὰς, ἀλλ' ἐς τὰς δημοσίας χρείας ἐποιεῖτο. οὐκ ἂν εὕροι τις ἂν ἕτερον πρὸ τοῦδε βασιλέα οὔτε δαψιλέστερον, οὔτε πρὸς τὸ ἴσον τε καὶ δίκαιον ἐξητασμένον τὴν πρὸς τὰς δωρεὰς ἐλευθεριότητα.

Βεστιάριον. παρὰ Ῥωμαίοις τόπος, ἔνθα ἡ ἀναγκαία ἀπόκειται ἐσθής.

Βεστῖνοι. ἔθνος ἐν Ἰταλίᾳ θηριῶδες τὸν τρόπον.

Βετερανός. παρὰ Ῥωμαίοις ὁ ἀπολυθεὶς τῆς στρατείας. [6] ἐπὶ εἰκοσαετίαν δὲ οὗτοι ἐδούλευον.

Βέτων. ὁ πάνυ εὐτελής.

Βέχειρες. ἔθνος Σκυθικόν.

Βείδιος.[7] ὁ ἔνδοξος.

Βειέλοπες.[8] οἱ λῶροι.

Βή.[9] τὸ μιμητικὸν τῆς τῶν προβάτων φωνῆς. οὐχὶ βαὶ λέγουσιν Ἀττικοί. Κρατῖνος Διονυσαλεξάν-

dice, propter nefarium ſtuprum Benjamini LXXXV. hominum millia cæſa fuerunt. Vide in v. Σαμψών.

Βέρεδον. Veredum.

Βέρεθρον. Barathrum. Profunditas.

Nunc diligentius, quam ante, portas immitis Orci
Oculis inſomnibus triplex, cuſtodi, canis.

Βερεκύντῃ. Berecynte. *Ille vero Berecyntæ hyemavit.* Ἐχειμέριζεν enim hic poſitum eſt pro ἐχείμαζεν.

Βερέσχεθοι. Stulti. Fatui. Vocem autem hanc Ariſtophanes finxit.

Βέῤῥοια. Berœa, urbs.

Βεσπασιανός. Veſpaſianus, Imperator Romanorum, adeo mitis & clemens fuit, ut ne majeſtatis quidem contra ſe reos ultra exilium puniret. Inimiciarum & offenſarum memoriam cito ex animo deponebat, conviciaque ab oratoribus & popularibus in ſe dicta leniter ferebat. Comis præterea atque aditu facilis, ut plurimum degebat extra palatium. † Hic cum optimis Imperatoribus comparandus, privatam etiam vitam multis præclariſque facinoribus illuſtrem reddidit. A Claudio enim adverſus Germanos & Britannos miſſus tricies cum hoſte conflixit. In imperio moderatiſſime ſe geſſit: quamvis pecuniæ avidior fuerit, ita tamen, ut eam nulli injuſte auferret. Opes colligebat, non ut eſſent inſtrumentum voluptatum, ſed ut ad uſus Reip. eas expenderet. Præterea, nullus ante eum Imperator exſtitit, qui & munificentior fuerit, & in exercenda liberalitate majorem æquitatis & juſtitiæ rationem habuerit.

Βεστιάριον. Veſtiarium. Sic apud Romanos dicitur locus, in quo veſtes ad uſum neceſſariæ reconduntur.

Βεστῖνοι. Veſtini. Gens in Italia fera & inhumana.

Βετερανός. Veteranus. Sic apud Romanos vocatur miles, cui miſſio data eſt, vicenis ſtipendiis confectis.

Βέτων. Admodum vilis.

Βέχειρες. Bechires. Gens Scythica.

Βείδιος. Illuſtris.

Βειέλοπες. Lora.

Βή. Be. Eſt vox, balatum ovium imitans. Sic enim Attici hanc vocem ſcribunt, non

---

[1] Νῦν πλέον, ἢ τὸ πάροιθε, πύλας κρ.] Diſtichum hoc eſt pars Epigrammatis in Archilochum, quod exſtat Anthol. lib. III. cap. XXV. pag. 391.

[2] Βερεκύντῃ] Sic habent 2 MSS. Pariſ. In prioribus Editt. vero excuſum eſt Βερεκυντίῃ; quæ lectio non reſpondet exemplo, quod Suidas hic ſubjungit.

[3] Παρὰ Ἀριστοφάνει] *Equit.* pag. 326. (226. Ed. Baſ. *P.*)

[4] Βεσπασιανὸς, βασιλεὺς Ῥωμ.——τῶν βασιλείων] Hæc ſunt verbo Joannis Antiocheni, quæ leguntur in Collectaneis Conſtantini a Valeſio editis, pag. 817. unde Suidas ea deſcripſit.

[5] Οὗτος τοῖς ἀρίστοις τῶν πώποτε βασιλ.] Hæc, & quæ ſequuntur, ex Eutropio verſa ſunt, ut plura alia apud Suidam loca. Vide ſupra v. Ἀμώξεις.

[6] Ἐπὶ εἰκοσαετίαν δὲ οὗτοι ἐδ.] Legitimorum ſtipendiorum numerus apud Romanos non ſemper idem fuit, ſed diverſis temporibus diverſus: de qua re conſulendi ſunt viri docti, qui de re militari veterum Romanorum ſcripſerunt.

[7] Βείδιος. ὁ ἔνδ.] Vide Euſtathium ad Homerum pag. 1453.

[8] Βειέλοπες. οἱ λῶροι] Euſtath. ad Homerum loco laudato.

[9] Βή. τὸ μιμητικὸν τῆς τῶν πρ.] Hæc, & quæ ſequuntur, αὐτολεξεὶ etiam leguntur apud Etymologum, apud quem τὸ βῆ circumflexo notatur. Vide etiam Euſtath. ad Il. I. pag. 768. 13.

ἀφῳ· Ὁ [1] δὴ λοίαθιος ὥσπερ πρόβατον βῆ βῆ λέγων βαδίζει.

Βῆ. ἔβη. ἐπορεύθη. καὶ βῆ δὲ, ἐπορεύθη.

Βηθσαϊδᾶ. ὄνομα πόλεως.

Βηθφαγή. ὁμοίως.

Βηθύλος. εἶδος ὀρνέου.

Βηθανία. πόλις Παλαιστίνης· περὶ ἧς λέγει ὁ Εὐαγγελιστὴς Ἰωάννης, ὅτι ταῦτα ἐν [2] Βηθανίᾳ ἐγένετο. ὅπερ ἐσφαλμένως γέγραπται. ἡ γὰρ Βηθανία ἔνθεν ἐστὶ τοῦ Ἰορδάνου· ἡ δὲ Βηθαβαρὰ, ὅπου ἦν Ἰωάννης βαπτίζων, πέραν ἐστὶ τοῦ Ἰορδάνου. γραπτέον οὖν ὀρθῶς· Ὅτι ταῦτα ἐν Βηθαβαρᾷ ἐγένετο· ἀλλ' οὐκ ἐν Βηθανίᾳ.

Βηλός. βαθμὸς θύρας. ἢ [3] οὐρανός.

Βῆμα. [4] ὁ λίθος τοῦ δικαστηρίου. καὶ [5] Ἀριστοφάνης·

> Τὸ δὲ βῆμα τί σοι χρήσιμον ἔσται; τοὺς κρατῆρας καταθήσω
> Καὶ τὰς ὑδρίας.

Βῆμα. δικαστικὴ τράπεζα. Οὐ μακρὰν δὲ τῶν πυλῶν τὸ δικαστικὸν βῆμα προσέταξε [6] δοθῆναι.

Βημάρχιος, Καισαρεὺς, ἐκ Καππαδοκίας, σοφιστής. οὗτος ἔγραψε τὰς Κωνσταντίνου τοῦ βασιλέως πράξεις ἐν βιβλίοις δέκα· μελέτας τε καὶ λόγους διαφόρους.

Βίνη. ὄνομα κύριον.

Βὴξ ἀντὶ πορδῆς. ἐπὶ τῶν ἐν ἀπορίᾳ [7] προσποιουμένων τι πράττειν. παρ' ὅσον οἱ πέρδοντες λανθάνειν πειρώμενοι, προσποιοῦνται βήττειν. καὶ παροιμία νέα· Ἀπορία ψάλτου βήξ.

Βηρία. πόλις.

[10] Βύβλινος οἶνος. ἐκ Βύβλ.] Hoc vinum alii rectius vocant Βίβλινον, per ι. Stephanus Byzantius: Βιβλίνη, χώρα Θρᾴκης. ἀπὸ ταύτης ὁ Βίβλινος οἶνος. Vide etiam Athen. lib. I. pag. 31. & Holſtenium ad Stephanum v. Βιβλίνη; itemque Suidam ſupra v. Βίβλινος.

[11] Κελεύει τὸν μὲν ἀποδόσθαι τῷ Νικάνορι φάκ.] Vide infra v. Φάκελλον, ubi rectius legitur, ὁ δὲ Ἀπόλλων κελεύει ἀποδόσθαι τῷ Νικάνορι φάκελλον &c.

[12] Βύβλου δὲ καρπὸς οὐ κρατεῖ στάχ.] Eſt verſus Æſchyli *Supplicibus* v. 768. a quo eum mutuati ſunt Zenobius, Suidas, & alii. Vide Scaligerum in Guilandinum pag. 12.

[13] Οὐ κρατεῖ] Sic habent MSS. Pariſ. itemque Æſchylus loco laudato. At in prioribus Editt. male excuſum eſt οὐκ αἰτεῖ.

[14] Τὸ Βυζάντιον ἐπὶ Σεβήρου τοῦ βασ. Ῥωμ. τετείχιστο μὲν.] Totum hunc articulum de Byzantio ex Dione deſcriptum eſſe patet ex epitomatore ejus Xiphilino, apud quem in *Severo* pag. 515. priora hujus fragmenti verba αὐτολεξεὶ leguntur.

λέως Ῥωμαίων τετείχιστο γενναίῳ τείχει, [1] πεποιημένῳ μυλίτῃ λίθῳ, ἐς τετράγωνον εἰργασμένῳ. [2] ἑπτὰ μὲν γὰρ ἦσαν ἀπὸ τῶν Θρακίων πυλῶν πύργοι πρὸς τὴν θάλασσαν καθήκοντες. τούτων δὲ ἤν τις πρώτῳ ἐνεβόησέ τι, ἢ λίθον ἔρριψεν, αὐτός τε ἤχει καὶ ἐλάλει, καὶ τῷ δευτέρῳ τοῦτο ποιεῖν παρεδίδου, καὶ οὕτως διὰ πάντων ἐχώρει. ἐν τῷ Σεβήρος περὶ Βυζαντίου πλατύτερον.

Βύζην. ἀθρόως. πυκνῶς. ἐπαλλήλως. πεπυκνωμένως. [3] Ἀρριανός· Κατὰ τὸ στόμα τοῦ λιμένος, ἧ στενότατον ἦν, βύζην τὰς τριήρεις ὁρμίζοντες. † Ὁ δὲ τὰ φρέατα φορυτοῦ καὶ τῇ ἐπιτυχούσῃ ὕλῃ βύζην ἐνέπλησε.

Βυκάνη. ὄργανον μουσικόν. Καὶ βυκάνην ἐξ ἀργύρου εὗρε Μωϋσῆς. [4] ἐγένοντο δύο· καὶ τῇ μὲν πρὸς παρακέλευσιν καὶ συλλογὴν ἐχρῶντο· τῇ δὲ συνελθεῖν ἀρχάς.

Βύουσι. φράττουσι. καλύπτουσιν. ἔνθεν καὶ ἀκρόβυστος, ὁ τὸ ἄκρον βεβυσμένον ἔχων. Πισίδης·

Ἐρῶ δέ σοι νῦν, εἴπερ οὐ βύειν θέλεις.

Βυρσαίετος. [5] ὁ Κλέων. συντέθειται δὲ ἡ λέξις ἀπὸ τῆς βύρσης, καὶ τοῦ ἀετοῦ. ἅμα μὲν ὡς βυρσοδέψην κωμῳδῶν τὸν Κλέωνα, καὶ ὡς κλέπτην, καὶ ἅρπαγα τῶν κοινῶν. ἁρπακτικὸν γὰρ τὸ ζῶον ὁ ἀετός. Σκυλοδέψης, Ἀττικόν. Βυρσοδέψης δέ, Ἀσιανόν. † [6] Ἡ Παφλαγὼν βυρσεύς. σημαίνει δὲ τὸ ἐκ τοῦ ἐμβρέχειν τὰ δέρματα, καὶ πλείοσιν ἡμέραις ἐᾷν αὐτὰ εἰς τὸ φάρμακον, ἵνα διαλάβοιεν ἀπὸ τῆς ὀσμῆς τοῦ ὕδατος, καὶ τῶν δερμάτων μολυνομένων ἄχρις ὀδωδέναι. διαβάλλει οὖν ὡς δύσοσμον. ἄλλως τε καὶ τὴν εὐτέλειαν δεικνὺς Κλέωνος, ἀφ' οἵας τύχης ὁρμώμενος πρωτεύει τῶν Ἀθηναίων.

nui fortuna ad ſummum honorum faſtigium

Βυρσοδέψης. σκυλοτόμος. ὁ τὰς βύρσας θεραπεύων.

Βυσαύχην. ὁ τοὺς ὤμους συνέλκων ἐπὶ τὸν τράχηλον.

Βύσσινον. [7] βύσσῳ βεβαμμένον.

Δέξαι [8] βύσσινον εἷμα, τά τοι μετὰ παιδὸς ἀγαυᾶς
Ὕφαινε. ———————

Βυσσοδομεῦντες. ἐκ βάθους [9] σκεπόμενοι. καὶ βύσσωμα.

tore Romanorum, muro egregio & firmo, qui ex quadrato lapide molari conſtructus erat, munitum fuit. Nam a portis Thraciis ad mare uſque ſeptem ſtabant turres: in quarum primam ſi quis clamore ſonum immiſiſſet, vel lapidem jeciſſet, & ipſa reſonabat, & eundem ſonum ſecundæ & cæteris omnibus per manus quaſi tradebat. In voce Σεβῆρος de Byzantio fuſius agitur.

Βύζην. Confertim. Denſe. Ordine conſtipato. Arrianus: *In faucibus portus, qua ſpatium erat anguſtiſſimum, triremes ordine denſato collocavit.* † *Ille vero puteos quiſquiliis & quavis materia temere congeſta penitus replevit.*

Βυκάνη. Buccina. Inſtrumentum Muſicum. Buccinam argenteam Moſes excogitavit. Fuerunt autem [buccinæ] duæ: quarum altera ſignum dabatur, & plebs ad concionem convocabatur; altera Magiſtratus convenire jubebantur.

Βύουσι. Obturant. Claudunt. Tegunt. Hinc etiam dicitur ἀκρόβυστος, i. e. cujus ſumma [membri genitalis pars] tecta eſt. Piſides: *Nunc vero tibi dicam, ſi modo aures claudere nolis.*

Βυρσαίετος. [Sic apud Ariſtophanem vocatur] Cleon, voce compoſita ex βύρσῃ, corium, & ἀετὸς, aquila. Nam & ut coriarium perſtringit Cleonem, & ut furem, & ærarii depeculatorem. Aquila enim eſt animal rapax. Σκυλοδέψης eſt Atticum. Βυρσοδέψης vero Aſiaticum. † [Ariſtophanes Cleonem vocat βυρσοδέψην Παφλαγόνα,] i. e. Paphlagonem coriarium. Solent autem coriarii pelles aqua macerantes, eaſque per plures dies in lixivio relinquentes, ut humorem penitus imbibant, tum ob aquæ tum pellium fœtorem male olere. Quare [Cleonem,] ut male olentem perſtringit, & ſimul oſtendit, quam obſcuris & vilibus ſit ortus parentibus, & a quam te- Athenis adſcenderit.

Βυρσοδέψης. Coriarius. Qui coria præparat.

Βυσαύχην. Cui cervix eſt brevis & obſtipa.

Βύσσινον. Byſſinum. Byſſo tinctum.

Accipe byſſinam veſtem, quam tibi cum
filia illuſtri [Theophilis] texuit.

Βυσσοδομεῦντες. Alto pectore aliquid verſantes. Et βύσσωμα, [profunditas.] *Thynnorum*

---

[1] Πεποιημένῳ μυλίτῃ λίθῳ, ἐς τετράγωνον εἰρ[γ.]] Lege, πεποιημένου μυλίτου λίθου, ἐς τετράγωνον εἰργασμένου, ut recte apud Xiphilinum loco laudato.

[2] Ἑπτὰ μὲν γὰρ ἦσαν ἀπὸ τῶν Θρ. πυλ. πύργοι] De turribus his vocalibus, quæ olim Byzantii fuerunt, vide etiam Heſychium Mileſium in *Orig. Conſtant.* pag. 46. & Codinum itidem in *Origin. CPol.* num. IV.

[3] Ἀρριανός] Lib. I. pag. 56.

[4] Ἐγένοντο δύο· καὶ τῇ μὲν πρὸς παρακέλευσιν καὶ συλλ.] Hæc, & quæ ſequuntur, ſunt verba Joſephi *Antiq. Jud.* lib. III. cap. XI.

[5] Βυρσαίετος. ὁ Κλέων. συντέθειται δὲ ἡ λέξις ἀπὸ τῆς β.] Ex Scholiaſta Ariſtophanis ad *Equit.* pag. 298. (200. Ed. Baſ. *P.*)

[6] Ἡ Παφλαγὼν βυρσεύς. σημαίνει δὲ τὸ ἐκ τ.] Hæc, & quæ ſequuntur, referenda ſunt ad locum illum Ariſtoph. *Equit.* pag. 290.
Ἐπρίατο δοῦλον, βυρσοδέψην Παφλαγόνα.
Vide ibi Scholiaſtam, ex quo locus hic Suidæ ſic emendandus & ſcribendus eſt: Συμβαίνει δὲ τούτους ἐκ τοῦ ἐμβρέχειν τὰ δέρματα, καὶ πλείοσιν ἐᾷν ἡμέραις αὐτὰ εἰς τὸ φάρμακον, ἵνα διαλάβοιεν, ἀπὸ τῆς ὀσμῆς τοῦ τε ὕδατος καὶ τῶν δερμάτων μολυνομένους ἄχρι ὀδωδέναι &c.

[7] Βύσσῳ βεβαμμένον] Hanc interpretationem non probo, quoniam βύσσος non eſt coloris, ſed lini genus.

[8] Δέξαι βύσσινον εἷμα, τά τοι μ.] Locus hic decerptus eſt ex Epigrammate Anthologiæ ineditæ, quod integrum exhibemus infra v. Θυῶδες.

[9] Σκεπόμενοι] Cum Porto legere malim σκεπτόμενοι.

Θύννων [1] εὐκλώστοιο λίνου βυσσώμασι ῥόμβον
Φράξαντες γλαυκαῖς ἐν παρόδοις πελάγους.

Βυσσόν. βάθος. ὀξυτόνως. [2] βαρυτόνως δὲ σημαίνει βαφὴν ἐκ πορφύρας. καὶ βυσσὸς, βυθὸς, παρὰ Ἡροδότῳ.

Γ Α.

Γαβάω. πόλις. καὶ Γαβαωνῖται, οἱ ἀπὸ τῆς χώρας.

Γαβίνιος. ὄνομα κύριον Ῥωμαϊκόν.

Γάβιοι. πόλις Λατίνων. τὸ ἐθνικὸν Γαβῖται καὶ Γάβιοι.

Γαβριήλ. ὄνομα κύριον. καὶ Γαβριηλᾶς, ὄνομα κύριον.

Γάγγης, [3] βασιλεὺς Αἰθιόπων (ὃν ἀπέκτεινεν Ἀλέξανδρος) δεκάπηχυς τὸ μῆκος, τὴν δὲ ὥραν οἷος οὔπω τις ἀνθρώπων· ποταμοῦ δὲ Γάγγου παῖς. τὸν δὲ πατέρα τὸν ἑαυτοῦ, τὴν Ἰνδικὴν ἐπικλύζοντα, αὐτὸς ἐς τὴν ἐρυθρὰν ἔτρεψε, καὶ διήλλαξεν αὐτὸν τῇ γῇ. ὅθεν ἡ γῆ ζῶντι μὲν ἄφθονα ἔφερεν· ἀποθανόντι δὲ ἐτιμώρει. ἐπεὶ δὲ τὸν Ἀχιλλέα Ὅμηρος ἄγει μὲν ὑπὲρ Ἑλένης ἐς Τροίαν, φησὶ δὲ αὐτὸν δώδεκα μὲν πόλεις ἐκ θαλάττης ᾑρηκέναι, πεζῇ δὲ ἕνδεκα, γυναῖκα δὲ ὑπὸ τοῦ βασιλέως ἀφαιρεθέντα εἰς μῆνιν ἀπενεχθῆναι, [4] ὅτε δὲ ἀπεράμονα καὶ ὠμὸν δόξαι· σκεψώμεθα τὸν Ἰνδὸν πρὸς ταῦτα. πόλεων μὲν τοίνυν ἑξήκοντα οἰκιστὴς ἐγένετο, αἵπερ εἰσὶ δοκιμώταται τῶν τῇδε. τὸ δὲ πορθεῖν πόλεις ὅστις εὐκλεέστερον ἡγεῖται τοῦ ἀνοικίζειν πόλιν, οὐκ ἔστιν. Σκύθας δὲ τοὺς ὑπὲρ Καύκασον στρατεύσαντάς ποτε ἐπὶ τήνδε τὴν γῆν ἀπώσατο. τὸ δὲ ἐλευθεροῦντα τὴν ἑαυτῶν γῆν ἄνδρα ἀγαθὸν φαίνεσθαι, πολλῷ βέλτιον τοῦ δουλείαν ἐπάγειν τῇ πόλει.

Γάγγρα. πόλις. Γάγγραινα δὲ, εἶδος πάθους.

Γάδαρα, πόλις Κοίλης Συρίας, ἥτις καὶ Ἀντιόχεια καὶ Σελεύκεια ἐκλήθη. τὸ ἐθνικὸν Γαδαρεύς. καὶ Γαδαρὶς, καὶ ἡ γυνὴ, καὶ ἡ χώρα.

Γάδειρα. τόπος κατὰ τὴν ἑσπερίαν μοῖραν, ἀποπλεύτησις τῆς θαλάσσης, [5] καὶ οἷον ἐκροὴ ἀπὸ τῆς πρὸς ἡμᾶς εἰς τὴν Ἀτλαντίδα θάλασσαν, τὸν ὠκεανὸν, ὃν διεκπλεῦσαι οὐκ ἐνῆν βραχώδη καὶ σκοτοειδῆ τυγχάνουσαν. [6] Γάδειρα δὲ παρὰ τὴν γῆν καὶ τὴν δειρὴν, ὅ ἐστι τράχηλος. μέχρι τούτων ἐλθὼν ὁ Ἡρακλῆς, καὶ μὴ δυνάμενος διελθεῖν, στήλας παρὰ τῶν ἐγχωρίων λαβὼν ἱδρύσατο, δηλῶν δι' αὐτῶν,

copiam profundis & bene textis retibus capientes in cæruleo mari.

Βυσσόν. Profunditatē. Cum acuto ſcribitur. Βύσσος vero, cum habet gravem, tincturam purpuræ ſignificat. Et βυσσὸς pro βυθὸς apud Herodotum.

Γ Α.

Γαβάω. Gabao, urbs. Et Gabaonitæ dicuntur illius regionis incolæ.

Γαβίνιος. Gabinius. Nomen proprium Romanum.

Γάβιοι. Gabii, urbs Latinorum. Gentile nomen eſt Gabitæ & Gabii.

Γαβριήλ. Gabriel. Nomen proprium. Et Gabrielas, itidem nomen proprium.

Γάγγης. Ganges, Rex Æthiopum (quem interfecit Alexander) decem cubitos longus fuit, & formæ præſtantia reliquos mortales longe ſuperavit. Fuit filius Gangis, patremque ſuum Indiam inundantem in mare rubrum avertit, & terræ reconciliavit. Unde terra viventi quidem largam frugum copiam produxit, mortui vero necem ulta eſt. Cum vero Homerus Achillem narret Helenæ cauſa expeditionem Trojanam ſuſcepiſſe, & mari xii, terra vero xi urbes cepiſſe, & erepta ſibi ab Agamemnone concubina graviter indignatum, & interdum etiam durum & crudelem viſum fuiſſe; Indum cum eo conferamus. Is igitur lx. urbes, ejus regionis primarias, condidit. Nemo vero dixerit, glorioſius eſſe urbes vaſtare, quam condere. Adhæc Scythas, qui ultra Caucaſum habitant, regionem ſuam invadentes repulit. Longe autem præſtat, in liberanda patria virum fortem ſe præbere, quam urbem in ſervitutem redigere.

Γάγγρα. Gangra, urbs. Gangræna vero, genus morbi.

Γάδαρα. Gadara, urbs Cœleſyriæ, quæ & Antiochia & Seleucia vocabatur. Nomen gentile eſt Γαδαρεὺς, i. e. Gadarenus. Et Γαδαρὶς tam fœmina, quam ipſa regio vocatur.

Γάδειρα. Gades. Locus in parte orbis occidentali, finis maris, & velut oſtium, per quod noſtrum mare in Oceanum Atlanticum ſe effundit. Hic Oceanus navigari non poterat, utpote vadoſus & tenebroſus. Γάδειρα vero compoſitum eſt ex voce γῆ & δειρὴ, quaſi dicas terræ collum. Hucuſque progreſſus Hercules, cum ulterius pergere non poſſet, columnas ab indigenis acceptas illo loco erexit,

---

[1] Θύννων εὐκλώστοιο λίνου βυσσ.] Diſtichum hoc eſt pars Epigrammatis, quod legitur Anthol. lib. vi. cap. iii. Epigr. x.

[2] Βαρυτόνως δὲ σημαίνει βαφὴν ἐκ πορφ.] Imo aliud eſt byſſus, & aliud purpura, ut ex veteribus ſcriptoribus ſatis conſtat. Male ergo iſta Suidas hic confundit.

[3] Γάγγης, βασιλεὺς Αἰθιόπων (ὃν ἀπέκτεινεν Ἀλέξανδρος) δεκάπ.] Totum hunc articulum de Gange deſcripſit Suidas ex Philoſtr. *de Vita Apoll.* lib. iii. cap. vi. ut Pearſonius etiam obſervavit.

[4] Ὅτι δὲ] Sic etiam habet Philoſtratus. Sed legere malim ὥστε &c.

[5] Καὶ οἷον ἐκροὴ ἀπὸ τῆς πρὸς ἡμᾶς εἰς τὴν Ἀτλ. θάλ. τὸν ὠκεανόν] Hæc non ſatis ſana ſunt, quæ ſic potius legenda puto, καὶ οἷον ἐκροὴ τῆς παρ' ἡμῖν θαλάσσης εἰς τὴν Ἀτλαντίδα, τουτέστι τὸν Ὠκεανόν &c.

[6] Γάδειρα δὲ παρὰ τὴν γῆν] Nugas agunt Grammatici, qui originem vocis hujus in lingua Græca quærunt, cum etymologia ejus a lingua Phœnicia repetenda ſit. Vide Bochartum in *Geograph. Sacra.*

ἄχρι τοῦ τῆδε βατὴν εἶναι τὴν γῆν καὶ τὴν θάλασσαν.

Γαδαρηνός. ἀπὸ [2] τούτου.

Γάζα. καὶ Γαζοφυλάκιον, θησαυροφυλάκιον. Γάζα γὰρ θησαυρός. Πολλὴν δὲ εὗρεν ἀφθονίαν τροφῆς, καὶ γάζαν βαρβαρικήν· ἀργυρίου δὲ τάλαντα γ΄. † Ὁ δὲ [3] Πτολεμαῖος τὰ βασίλεια περιάγων, ἐπεδείκνυτο καὶ τὴν ἄλλην τὴν βασιλικὴν γάζαν. Διόδωρός φησι.

Γάζα. πόλις Φοινίκης. ὁ πολίτης Γαζαῖος.

Γάζακα. πόλις μεγίστη τῆς Μηδίας. τὸ ἐθνικόν, Γαζακηνός· ὡς Μάζακα, Μαζακηνός.

Γαϊανός, Ἄραβος, σοφιστής, μαθητὴς Ἀψίνου τοῦ Γαδαρέως. ἦν δὲ ἐπί τε [4] Μαξίμου καὶ Γορδιανοῦ. Περὶ συντάξεως βιβλία ε΄. Τέχνην ῥητορικήν. Μελέτας. ἐσοφίστευσεν ἐν Βηρυτῷ.

Γάϊος Ἰούλιος Καῖσαρ, ὁ πρῶτος μοναρχήσας. οὗτος ἔγραψε μετάφρασιν τῶν Ἀράτου Φαινομένων, καὶ τέχνην γραμματικὴν Ῥωμαϊκῶς, καὶ περὶ τοῦ ἰδίου βίου.

Γάϊος Καῖσαρ, ὃς ἐπεκλήθη Καλλιγόλας. Ῥητορικὴν τέχνην Ῥωμαϊκῶς.

Γάϊος, Ῥωμαίων βασιλεύς, τὸ μὲν πρῶτον μεγαλοφρόνως διεῖπε τῆς βασιλείας τὰ πράγματα, καὶ πᾶσι τοῖς ὑπηκόοις καθηκόντως ἐχρῆτο. μετὰ δὲ δύο χρόνους ἐκστὰς τῆς ἀνθρωπίνης φύσεως κατὰ μίμησιν τοῦ πατρὸς ἑαυτὸν ἀπεθέωσε, καὶ ἀνδριάντα ἑαυτοῦ κατὰ πόλιν ἐν τοῖς ναοῖς ἀπέστειλε καθιδρύσασθαι, καὶ εἰς τὸν τῶν Ἱεροσολύμων ναὸν θεσπίσας, νέου Γαΐου ἱερὸν προσέταξεν ὀνομάζεσθαι. καὶ δουλοκρατίαν νομοθετήσας ἐπέτρεψε κατηγορεῖν τῶν δεσποτῶν, εἴ τι ἂν αὐτῶν εἰδεῖεν πλημμέλημα. κἀντεῦθεν δεινὴ συμφορὰ κατειλήφει τὴν οἰκουμένην πᾶσαν, τῶν οἰκετῶν μεγάλαις τιμωρίαις ὑποβαλλόντων τοὺς δεσπότας. ἕκαστος γὰρ ἀμύνεσθαι ἐβούλετο τὸν ἴδιον δεσπότην, ὑπὲρ ὧν παρ' αὐτοῦ βασάνων προπέπονθεν. οὐ μὴν δὲ ἀλλὰ καὶ εἰς μανίαν τραπεὶς ἄθεσμον, στολὰς γυναικείας ἠμφιέννυτο, καὶ τὴν κόμην πλοκάμοις καὶ πλοκῇ τινι περιστέλλων, καὶ γυναικιζόμενος, καὶ πᾶσαν αἰσχρουργίαν διαπραττόμενος, τελετὰς ἐπενόει καὶ ξένα μυστήρια ἐπετέλει. καὶ δὴ λαβών ποτε τὴν ἰδίαν θυγατέρα, καὶ ἐς τοὺς κόλπους τοῦ ἀγάλματος θέμενος αὐτήν, ἔφη, σὺ ταύτην γεγέννηκας, καὶ πατὴρ αὐτῆς ἔννομος ὑπάρχεις. [5] οὕτω μιαρώτατός τε καὶ ἀνοσιώτατος ἐγένετο, καὶ τοσοῦτον ὁρμαθὸν κακῶν συνειληφώς, ἐπεκάλυψε τὰ τοῦ Τιβερίου μειο-

ſignificans, eouſque terram & mare tranſiri poſſe.

Γαδαρηνός. Gadarenus, a loco ſic dictus.

Γάζα. Gaza. Et γαζοφυλάκιον, locus, in quo theſaurus aſſervatur. Γάζα enim eſt theſaurus. *Magnam autem invenit cibariorum copiam, & gazam barbaricam, argentique talenta tria.* † *Ptolemæus vero per regiam eum circumducens, & aliam regiam gazam ei oſtendit.* Sic Diodorus inquit.

Γάζα. Gaza, ubs Phœniciæ: cujus civis dicitur Gazæus.

Γάζακα. Gazaca, urbs Mediæ maxima. Gentile nomen eſt Gazacenus: ut Mazaca, Mazacenus.

Γαϊανός. Gajanus, Arabs, Sophiſta, diſcipulus Apſinis Gadarenſis, vixit Maximini & Gordiani temporibus, ſcripſitque de conſtructione libros v. item Artem Rhetoricam, & Declamationes. Idem eloquentiam Beryti docuit.

Γάϊος Ἰούλιος Κ. C. Julius Cæſar, primus Romanorum Imperator, ſcripſit metaphraſin Phœnomenorum Arati, & Artem Grammaticam Latine; item, de vita propria.

Γάϊος Καῖσαρ. Cajus Cæſar, qui cognomento Caligula vocatus eſt, Artem Rhetoricam Latine ſcripſit.

Γάϊος. Cajus, Romanorum Imperator, principio quidem magno & excelſo animo imperium adminiſtravit, & erga omnes ſubjectos comem & benignum ſe præbuit. Biennio vero exacto humanæ naturæ oblitus, & exemplum patris imitatus, divinos honores ſibi arrogavit, & ſimulacrum ſuum in omnes urbes miſit, idque in templis collocari juſſit, ne templo quidem Hieroſolymitano excepto, quod Juvenis Caji templum appellari præcepit. Servis etiam lege lata eam poteſtatem & licentiam dedit, ut ipſis dominos accuſare liceret, ſi quod crimen vel peccatum ab iis admiſſum eſſe ſcirent. Hæc autem res innumeris malis orbem opplevit, cum ſervi acerbis ſuppliciis dominos ſubjicerent. Unuſquiſque enim illorum domino vicem rependere cupiebat pro cruciatibus, quos ante ab illo perpeſſus fuerat. Quinetiam eo inſaniæ & vecordiæ proceſſit, ut veſtes muliebres indueret, comamque cincinnis ornans, & certa quadam ratione nectens, mollitieque cum fœminis certans, & omni flagitiorum obſcœnitate ſeſe polluens, ſacra quædam excogitaret, & peregrina myſteria perageret. Ac aliquando filia ſua in gremio ſimulacri collocata, tu, inquit, hanc genuiſti, & pater ejus es legitimus. Idem etiam impuriſſimus ac ſceleſtiſſimus fuit, ac tantam viti-

---

[1] Ἄχρι τοῦ τῆδε βατὴν εἶναι τὴν γῆν] Hinc Græci, cum ſignificare volunt, ſe in aliqua re ulterius pergere non poſſe, proverbio hoc utuntur: Οὐ γὰρ περάσιμα, φασί, τὰ τῶν Γαδείρων πέρα. Pindarus *Nem.* Od. IV. v. 112. idem proverbium ſic effert: Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν. i. e. *Quæ ultra Gades ad occaſum ſita ſunt, inacceſſa ſunt.*

[2] Ἀπὸ τούτου] Lege, ἀπὸ τόπου. Vide Stephanum Byzantium v. Γάδαρα.

[3] Ὁ δὲ Πτολεμαῖος τὰ βασίλεια περιάγων, ἐπεδείκνυτο καὶ τὴν ἄλλην τὴν βασιλ. γάζαν] Hæc ſunt verba Diodori in *Excerpt. Legat.* a F. Urſino editis, cap. XXXII. pag. 329.

[4] Μαξίμου] Lege Μαξιμίνου. Vide quæ diximus ſupra ad vocem Ἀψίνης.

[5] Οὕτω μιαρώτατός τε καὶ ἀνοσιώτατος ἐγένετο] Hæc, & quæ ſequuntur, ſunt verba Joannis Antioch. quæ leguntur in Collectaneis Conſtant. a Valeſio editis, pag. 802. unde ea Suidas deſcripſit.

νεκτή-

κτήματα. ὅσα γὰρ ἦν τῷ Αὐγούστῳ ἐν πολλῷ χρόνῳ περιεποιήθη, οὗτος ἐν μιᾷ ἡμέρᾳ ἀπηντλήσατο. μοιχότατός τε ἀνθρώπων γενόμενος, καὶ γυναῖκας ἡρμοσμένας καὶ γεγαμημένας ἐλάμβανε. τήν τε ἑαυτοῦ τήθην, ἐπιτιμήσασαν ἀνοίας, ἐς ἀνάγκην ἑκουσίου θανάτου κατέστησεν. ἐχρῆτο δὲ καὶ ταῖς ἀδελφαῖς, καὶ τῶν παρανόμων ἐκοινώνει μίξεων, ὡς καὶ πατὴρ ἀνοσίας καταστῆναι γονῆς ἐκ μιᾶς τῶν ἀδελφῶν ἀπογεννηθείσης. ναούς τε καὶ θυσίας ὡς ἡμιθέῳ γίνεσθαι παρεσκεύαζε. τοιούτῳ αὐτοκράτορι οἱ Ῥωμαῖοι παρεδόθησαν· ὥστε τὰ τοῦ Τιβερίου ἔργα, καίπερ χαλεπώτατα δόξαντα γεγονέναι, τοσοῦτον τὰ Γαΐου, ὅσον τὰ τοῦ Αὐγούστου παρ' ἐκείνου παρήνεγκαν. οὗτος μετὰ Τιβέριον ἐβασίλευσε Καλλιγόλας ὀνομαζόμενος.

Γάϊος [1] Λαιτώριος, [2] Μάρκος ἐπίκλησιν. ἐκ τούτου δείκνυται τὸ μισοπόνηρον τῶν Ῥωμαίων, καὶ πρὸς τοὺς παραβαίνοντας τὰ κοινὰ καὶ νόμιμα τῆς ἀνθρωπίνης φύσεως ἀμείλικτον. οὗτος γὰρ χιλίαρχος ἀποδειχθεὶς ἐν τῷ [3] Σαβινικῷ πολέμῳ, νεανίαν τινὰ τῶν ὁμοσκήνων διαφέροντα τὴν ὄψιν ἑτέρων μέχρι μέν τινος ἔπειθεν ἑαυτῷ χαρίσασθαι τὴν τοῦ σώματος ὥραν ἑκόντα. ὡς δ' οὔτε δωρεαῖς, οὔτ' ἄλλῃ φιλανθρωπίᾳ τὸ μειράκιον ἡλίσκετο, κατέχειν τὴν ἐπιθυμίαν ἀδύνατος ὤν, βίαν προσφέρειν ἐπεβάλετο. περιβοήτου δὲ τῆς ἀκοσμίας τοῦ ἀνδρὸς ἅπασι τοῖς ἐπὶ τοῦ στρατοπέδου γενομένης, κοινὸν ἀδίκημα τῆς πόλεως νομίσαντες οἱ δήμαρχοι, γραφὴν ἀποφέρουσι κατ' αὐτοῦ δημοσίᾳ, καὶ ὁ δῆμος ἁπάσαις ταῖς ψήφοις τοῦ ἀνδρὸς κατέγνω, τίμημα ὁρίσας θάνατον· οὐκ ἀξιῶν εἰς ἐλεύθερα σώματα καὶ προπολεμοῦντα τῆς τῶν ἄλλων ἐλευθερίας τοὺς ἐν ταῖς ἄλλαις ὄντας ἀρχαῖς ὑβρίζειν τὰς ἀνηκέστους καὶ παρὰ φύσιν τοῖς ἄρρεσιν ὕβρεις. Ἄλλο θαυμασιώτατον, καίτοι περὶ δοῦλον σῶμα γενομένης τῆς ὕβρεως. ἑνὸς γὰρ τῶν παραδόντων Σαυνίταις τὸ στρατόπεδον χιλιάρχων, καὶ ὑπὸ ζυγὸν ὑπελθόντων Ποπλίου υἱὸς ὤν, ἐν πολλῇ καταλειφθεὶς πενίᾳ, δάνειον [4] ἠναγκάσθη λαβεῖν, ὡς ἐρανισθησόμενος ὑπὸ τῶν συγγενῶν. διαψευσθεὶς δὲ τῆς ἐλπίδος ἀπήχθη πρὸς τὸ χρέος, τῆς προθεσμίας παρελθούσης, κομιδῇ νέος ὤν, καὶ τῇ ὄψει ὡραῖος. οὗτος τὰ μὲν ἄλλα ὑπηρετῶν, ὅσα δούλοις δεσπόταις νόμος ἦν, ἠνείχετο. τὴν δὲ τοῦ σώματος ὥραν χαρίσασθαι κελευόμενος ἠγανάκτει, καὶ μέχρι παντὸς ἀπεμάχετο. πολλὰς δὲ διὰ τοῦτο μαστίγων λαβὼν πληγάς, ἐξέδραμεν ἐς τὴν ἀγοράν, καὶ στὰς ἐπὶ μετεώρου τινός, τήν τε ἀκολασίαν τοῦ δανειστοῦ ἐξηγήσατο, καὶ μαστίγων τοὺς μώλωπας ὑπέδειξεν. ἀ-

orum colluviem collegerat, ut Tiberii dedecora abſconderet. Nam & opes, quaſcunque Auguſtus multos per annos collegerat, ipſe omnes unius diei ſpatio exhauſit, & adulteriis inquinatiſſimus, mulieres partim deſponſas aliis, partim & nuptas abſtraxit. Aviam ſuam, quod ab ea objurgatus eſſet, ad voluntariam mortem compulit. Cum omnibus ſororibus ſuis ſtupri conſuetudinem habuit, & ex earum una etiam nefariam prolem ſuſtulit. Præterea ſe ipſum templis ac ſacrificiis perinde ac Deum coli juſſit. Hujuſmodi principi tunc populus Rom. regendus eſt traditus: prorſus ut Tiberii facinora, quanquam graviſſima viſa eſſent, tantum a Cajo ſuperarentur, quantum ab Auguſti virtutibus Tiberius abfuerat. Et hoc modo poſt Tiberium imperavit Caligula.

Γάϊος Λαυτ. C. Lætorius, cognomine Marcus, documentum omnibus dedit, quantum olim populi Romani adverſus improbos fuerit odium, quantaque ſeveritas adverſus eos, qui ſanctiſſima naturæ jura violarant. Hic enim bello Samnitico Tribunus militaris creatus, adoleſcentem quendam ex ſuis contubernalibus, formæ decore præſtantem, principio quidem donis atque hujuſcemodi delinimentis ſollicitavit de ſtupro. Sed poſtquam nulla arte capi poſſe animadvertit, ſuperatus libidinis impotentia, vim inferre adoleſcenti inſtituit. Cujus ſceleris fama cum celebris ac pervagata in exercitu fuiſſet, Tribuni plebis hanc publicam civitatis injuriam eſſe rati, Lætorio diem ad populum dixerunt, eumque populus Romanus univerſis ſuffragiis capitis damnavit, haudquaquam arbitratus ferendum eſſe, ut ingenui homines, qui pro reliquorum civium libertate in acie ſtarent, fœdo ac pudendo viris injuriæ genere violarentur. Verum aliud longe admiratione dignius exſtat exemplum ultæ injuriæ, tametſi ſervili corpori illatæ. Adoleſcens quidam, Publii filius, unius e Tribunis militaribus, qui ſe exercitumque omnem dediderant Samnitibus, & ſub jugum miſſi fuerant, in maxima egeſtate derelictus, pecuniam fœnori accipere [ad celebrandum patris funus] coactus eſt, ſperans propinquorum liberalitate ſe propediem hoc ære alieno liberatum iri. Verum ſpe ſua fruſtratus, cum dies ceſſiſſet, abductus eſt in nexum, juvenis forma haud invenuſtus. Is cum operas ac miniſteria, quæcunque ſervos dominis præſtare jus faſque eſt, creditori exhiberet, ferebat id moderate: ſed cum ſtuprum juberetur pati, tum vero indignari cœpit, & flagitium prorſus aſpernatus eſt. Cujus rei cauſa verberibus a creditore laceratus prori-

---

[1] Γάϊος Λαιτώριος, Μάρκος ἐπίκλησιν. ἐκ τούτου δείκνυται τὸ μισοπ.] Hæc, & omnia quæ ſequuntur uſque ad finem articuli hujus, leguntur in Excerptis ex Dionyſio Halicarnaſſ. a Valeſio editis, pag. 537. unde Suidas ea deſcripſit. Cæterum pro Λαυτώριος, ut priores Editt. habent, in Excerptis modo laudatis rectius ſcriptum eſt Λαιτώριος, quam lectionem in hac Editione ſecutus ſum.

[2] Μάρκος ἐπίκλησιν] In Excerptis modo laudatis rectius legitur Μέργος. A Romanis enim Lætorius hic cognominabatur *Mergus*, ut patet ex Valer. Max. lib. VI. cap. 1. qui eandem de eo hiſtoriam refert.

[3] Σαβινικῷ] In Excerptis a Valeſio editis legitur Σαυνιτικῷ, i. e. Samnitico, uti & hic apud Suidam legendum eſt.

[4] Ἠναγκάσθη λαβεῖν] Adde ex Excerptis ante laudatis, πρὸς τὴν ταφὴν τοῦ πατρός.

γανακτήσαντος δὲ τοῦ δήμου, καὶ δημοσίας ὀργῆς ἄξιον ἡγησαμένου τὸ πρᾶγμα, κατηγορησάντων τὴν εἰσαγγελίαν τῶν δημάρχων, ὦφλε θανάτου δίκην. καὶ δι᾽ ἐκεῖνο τὸ πάθος ἅπαντες οἱ δουλωθέντες περὶ τὰ χρέα Ῥωμαῖοι, νόμῳ κυρωθέντι τὴν ἀρχαίαν ἐλευθερίαν ἐκομίσαντο.

puit ſe in forum; ſtanſque in ſublimi [loco] libidinem crudelitatemque fœneratoris conqueſtus eſt, vibices verberum oſtentans. Plebs igitur atrocitate injuriæ commota, cum id facinus publica indignatione proſequeretur, accuſatum a Tribunis plebis creditorem capite damnavit: atque ob hunc caſum, cuncti, qui ob æs alienum nexi erant, lege lata ſoluti priſtinam libertatem recuperarunt.

Γαλααδῖτις. χώρα.

Γαλααδῖτις. Galaaditis regio.

Γαλαθηνός. ὁ [1]ὑποτίτθιος. ἤγουν ὁ ὑπομάζιος.

Γαλαθηνός. Lactens. Subrumus.

Γαλακτίων. ὄνομα κύριον.

Γαλακτίων. Galaction. Nomen proprium.

Γαλακτοπότης. ὁ γάλα πίνων.

Γαλακτοπότης. Qui lac bibit.

Γαλαξίας. τὸ ἐν τῷ οὐρανῷ φῶς, [2]ὅπερ ἐστὶν ἀντανάκλασις φωτὸς ἡλιακοῦ, μὴ καταλαμπομένων τῶν ἀστέρων.

Γαλαξίας. Circulus lacteus, qui eſt refractio luminis ſolaris, cum aſtra non illuminantur.

Γάλα[3] ὀρνίθων. ἐπὶ τῶν λίαν εὐδαιμονούντων καὶ πάντα κεκτημένων. ἢ ἐπὶ τῶν σπανίων. τὰ σπάνια, φησὶ, καὶ δυσεύρετα τῶν ἀγαθῶν παρέξομεν· ὥστε παρέσται κοπιᾶν ὑμῖν ἀπὸ τῶν ἀγαθῶν. τουτέστιν, ἐν πλησμονῇ γενόμενοι τῶν ἀγαθῶν ἀπειρηκέναι μέλλετε. οὕτω πλουτήσετε πάντες. [4]Ἀριστοφάνης Ὄρνισι· Δώσομεν ὑμῖν πλουθυγίειαν, εὐδαιμονίαν, εἰρήνην, νεότητα, γέλωτα, χορούς, θαλίας, γάλα τ᾽ ὀρνίθων, ὥστε παρέσται ὑμῖν κοπιᾶν ἀπὸ τῶν ἀγαθῶν.

Γάλα ὀρνίθων, *Lac gallinarum*. Dicitur de hominibus valde fortunatis & omnium rerum copia abundantibus. Vel, de rebus raris. Bona, inquit, rara & minime obvia vobis præbebimus, adeo ut copia bonorum vos laſſatura ſit. Vel, omni bonorum genere ad ſatietatem & faſtidium uſque abundabitis: adeo divites omnes eritis. Ariſtophanes *Avibus: Dabimus vobis opulentiam cum ſanitate conjunctam, felicitatem, pacem, juventutem, riſum, choros, convivia, & lac gallinarum, adeo ut nimia copia bonorum ſatietatem vobis allatura ſit.*

Γάλα[5] σκεδάζει δυσμενῶν συμβουλίας.

Γάλα σκεδ. *Lac diſſipat inimicorum conſilia.*

Γάλα γαληνῶν προξενοῦν πέλει τρόπων.

Γάλα γαλ. *Lac morum ſuavitatem ſignificat.*

Γαλάται.[6] ἐπὶ τοῦ Σκιπίωνος τοῦ Ῥωμαίων στρατηγοῦ καὶ Ἀννίβου τοῦ Καρχηδονίου Ῥωμαῖοι Γαλάτας τοὺς ἐν τῇ Ἀσίᾳ κατεστρέψαντο. οὗτοι δ᾽ ἦσαν τῶν Ἑσπερίων Γαλατῶν μοῖρα. ἀναστάντες γάρ ποτε τῆς οἰκείας οἱ Γαλάται ἅμα Βρέννῳ στρατηγῷ, προσῆλθον εἰς λ᾽ μυριάδας ἀριθμούμενοι. ἐντεῦθεν διαιρεθέντες, οἱ μὲν ἐπὶ τὴν εἴσω πυλῶν Ἑλλάδα, οἱ δὲ ἐπὶ Θρᾴκην καὶ τὴν Ἀσίαν ἐτράποντο, ἀμφὶ τὰς δύο μάλιστά πῃ καὶ αὐτοὶ μυριάδας ὄντες. καὶ κρατήσαντες τῷ πολέμῳ πάντων μικροῦ τῶν ἐπὶ τάδε τοῦ Ταύρου Ἀσιανῶν γενῶν, τοὺς μὲν ἄλλους ὑποτελεῖς ἐποιήσαντο φόρου, αὐτοὶ δὲ τὰ περὶ τὸν Ἅλυν ποταμὸν χωρία κατασχόντες, ἐνέμοντο τὰ μεταξὺ Βιθυνῶν τε καὶ Καππαδοκῶν κείμενα. ἐφ᾽ οὓς ἐστρατεύσαντο Ῥωμαῖοι, κοινωνήσαντας Ἀντιόχῳ τῆς ἐπὶ τῷ Σιπύλῳ μάχης, καὶ συμπεσόντες αὐτοῖς περὶ πόλιν Ἄγκυραν, Μανλίου σφῶν ἡγουμένου, μυρίους μὲν τῆς μαχίμου ἡλικίας καταβάλλουσι, τοὺς δὲ λοιποὺς ὑποκύψαι σφίσιν ἀποστάντας, ὧν ἦρχον ἐθνῶν, κατηνάγκασαν.

Γαλάται. Galli, vel, Galatæ. Sub Scipione duce Romanorum, & Annibale Carthaginenſium, Romani Galatas in Aſia, qui occidentalium Gallorum pars erant, debellarunt. Olim enim Galli Brenno duce ad tercentena millia patria ſua egreſſi, diviſo bifariam exercitu, pars Græciam, quæ intra Pylas eſt, pars Thraciam & Aſiam petierunt, , quorum numerus viginti circiter millia implebat. Hi gentibus Aſiaticis, quæ cis Taurum ſunt, pene omnibus devictis, cæteras quidem tributarias fecerunt: ipſi vero locis circa Halyn fluvium occupatis, in regione inter Bithyniam & Cappadociam ſita conſederunt. His bellum intulerunt Romani, quod Antiocho in pugna ad Sipylum opem tuliſſent; & cum eis duce Manlio prope Ancyram urbem congreſſi, viginti millibus, qui militari ætate erant, occiſis, reliquos ſibi parere coegerunt, adempto eis imperio in gentes, quæ ipſis ante ſubjectæ erant.

---

[1] Ὑποτίτθιος.] Unus MS. Pariſ. habet ὑποστήθιος.

[2] Ὅπερ ἐστὶν ἀντανάκλασις φωτὸς ἡλιακοῦ, μὴ καταλαμπ.] Sic etiam habet Laertius in *Anaxagora* Segm. IX. unde Suidas hæc deſcripſit. Sed Aldobrandinus ad Laertium recte monuit, locum iſtum ſic legendum eſſe, Γαλαξίαν ἀντανάκλασίν ἐστι τῶν ὑπὸ φωτὸς ἡλιακοῦ μὴ καταλαμπομένων ἄστρων. Rationem emendationis hujus apud ipſum lege.

[3] Γάλα ὀρνίθων. ἐπὶ τῶν λίαν εὐδ.] Ex Scholiaſta Ariſtoph. ad *Aves* pag. 575. (396. Ed. Baſ. *P.*)

[4] Ἀριστοφάνης Ὄρνισ.] Pag. 575. ut in nota præcedente diximus.

[5] Γάλα σκεδάζει δυσμενῶν συμβουλίας. Γάλα γαλ.] Ex Aſtrampſycho.

[6] Γαλάται. ἐπὶ τοῦ Σκιπίωνος τοῦ Ῥωμ.] Hunc articulum ex Polybii libris deperditis a Suida deſcriptum eſſe non dubito.

Γαλάτεια. ὄνομα Θεᾶς. Γαλατία δὲ, χώρα. καὶ Γαλατίας, ὄνομα κύριον.

Γαλλαίῳ. τῷ τῶν Γάλλων.

Γαλλαίῳ[1] Κυβέλης ὀλολύγμασι πολλάκι δοῦσα
Τὸν βαρὺν εἰς ἀκοὰς ἦχον ἀπὸ στομάτων.
Τάσδε Θεῇ χαίτας περὶ δικλίδι θῆκεν ὀρείᾳ,
Θερμὸν ἐπεὶ λύσσης ὧδ' ἀνέπαυσε πόδα.

Γαλέα. ὁ ἰχθύς. καὶ Γαλεὸς, ὁμοίως.

Γαλεάγρα. ὄργανον τιμωρητικόν. Καὶ τελευτῶντες εἰς γαλεάγραν ἐμβάλλοντες περόναις σιδηραῖς διειργμένην πᾶσαν, ἐν δυσχωρίαις ἐκύλιον. Καὶ αὖθις. Ὁ δὲ ἐν γαλεάγρᾳ σιδηρᾷ βαλὼν ἀπέκτεινεν.

Γαλεώτης. ὄνομα κύριον.

Γαλεώτης, καὶ ἀσκαλαβώτης, ἑκατέρως. ἐν τῷ Ἀσκαλαβώτης.

Γαλερόν. Φαιδρόν.

Γαλῆ.[2] τὸ ζῶον. καλεῖται δὲ πρός τινων κερδὼ καὶ [3]ἰλαρία. ἔστι[4] δὲ τὸ ὄνομα ἰσόψηφον δίκη καὶ γαλῆ· ἀπὸ τῶν αὐτῶν γὰρ σύγκειται γραμμάτων. καὶ, γαλῆ[5] Ταρτησία. ἡ Ταρτησσὸς πόλις ἔξω τῶν Ἡρακλείων στηλῶν πρὸς τῷ ὠκεανῷ, ἔνθα μέγισται γίνονται γαλαῖ.

Γαληνιᾷν. γάννυσθαι. χαίρειν. διαχεῖσθαι.

Γαληνὸς, ὁ διασημότατος ἰατρὸς, Περγαμηνὸς, γεγονὼς ἐπὶ Μάρκου καὶ Κομόδου καὶ Περτίνακος τῶν Καισάρων ἐν Ῥώμῃ, υἱὸς Νίκωνος γεωμέτρου καὶ ἀρχιτέκτονος, πολλὰ συντεταχὼς ἰατρικά τε καὶ φιλόσοφα· ἔτι τε γραμματικὰ καὶ ῥητορικά· ἅ τινα διὰ τὸ πᾶσιν εἶναι γνώριμα καταλέγειν ἄχρειον ἡγησάμην ἐν τῷ παρόντι. ἐβίω ἔτη ό. σημαίνει δὲ καὶ τὸν ἡσύχιον.

Γαλήσιον. ὄνομα τόπου.

Γαλῆ χιτών. αὕτη ἐπὶ τῶν ἀδίκων τάσσεται, καὶ μηδὲν[6] ἀνιέντων. ὁμοία ἐστὶ τῇ, Οὐ πρέπει γαλῇ κροκωτός.

Γαλῆ κροκωτόν. ἐν τῷ κροκωτός.

Γαλιλαία. κατακυλιστὴ τῇ Ἑλλάδι γλώττῃ. διὸ καὶ [7]γὲλ ὁ τροχὸς ὀνομάζεται. καὶ Γαλιλαῖοι, οἱ

Γαλάτεια. Nomen Deæ. Γαλατία vero, regio. Et Γαλατίας, nomen proprium.

Γαλλαίῳ. Ad Gallos pertinente. [In Epigrammate:] *Quæ ſæpe more Gallorum Cybeles ſacra celebrantium gravem auribus ululatumedidit, has comas Deæ montanæ ad bifores* [*templi*] *valvas ſuſpendit, poſtquam ab inſano diſcurſu ceſſare cæpit.*

Γαλέα. Nomen piſcis. Et γαλεὸς, itidem.

Γαλεάγρα. Inſtrumentum quoddam, quo homines torquentur & cruciantur. [Cavea ferrea.] *Tandem vero eum in cavea fibulis ferreis undique munita incluſum per aſpera loca volutarunt.* Et iterum: *Ille vero in cavea ferrea incluſum interfecit.*

Γαλεώτης. Galeotes. Nomen proprium.

Γαλεώτης. Idem quod ἀσκαλαβώτης, i. e. ſtellio. Utrumque enim dicitur. Vide v. Ἀσκαλαβώτης.

Γαλερόν. Clarum. Nitidum.

Γαλῆ. Nomen animalis; quod nonnulli κερδὼ & ἰλαρία vocant. Muſtela. Vocabula autẽ δίκη & γαλῆ eundem continent numerum, quoniam ex iiſdem literis compoſita ſunt. Et, Muſtela Tarteſia. Tarteſſus eſt urbs extra columnas Herculeas ad Oceanum ſita, ubi maximæ naſcuntur muſtelæ.

Γαληνιᾷν. Lætari. Gaudere. Lætitia diffundi.

Γαληνός. Galenus, medicus celeberrimus, Pergamenus, qui ſub Marco, Commodo & Pertinace Imperatoribus Romæ vixit: Niconis Geometræ & Architecti filius. Multa compoſuit Medica & Philoſophica; itemque Grammatica & Rhetorica; quæ quia omnibus ſunt nota, in præſentia recenſere ſupervacaneum duxi. Vixit annos LXX. Γαληνὸς etiam ſignificat tranquillus.

Γαλήσιον. Galeſium. Nomen loci.

Γαλῆ χιτών. *Feli tunica.* Dicitur de hominibus injuſtis, [& alienas veſtes induentibus.] Proverbium hoc ſimile eſt illi, *Non decet felem crocota.*

Γαλῆ κροκωτόν. *Muſtelæ crocoton* [*das.* Proverbium.] Vide in v. Κροκωτός.

Γαλιλαία. Galilæa. Lingua Græca idem ſignificat quod κατακυλιστὴ, i. e. devoluta.

---

[1] Γαλλαίῳ Κυβέλης ὀλολύγμασι πολ.] Duo hæc diſticha decerpta ex Epigrammate Riani, quod ex codice MS. Anthologiæ ineditæ publici juris factum eſt ab Holſtenio ad Stephanum v. Κυβέλεια. Vide etiam infra v. Θαλαμηπόλος.

[2] Γαλῆ. τὸ ζῶον] Interpretes vocem Græcam γαλῆ nunc *felem* nunc *muſtelam* reddunt. Sed vocabulum illud muſtelam potius quam felem ſignificare erudite docet Jacobus Perizonius ad Ælian. *Var. Hiſt.* lib. XIV. cap. IV. quem vide.

[3] Ἰλαρία] Sic etiam legitur apud Artemidorum loco eo, quem in nota ſequente indicabimus. Non dubito tamen quin ſcribendum ſit αἴλουρος: quo nomine felem a Græcis appellari notiſſimum eſt. Vocabulum autem ἰλαρία pro γαλῆ etiam adhiberi nuſquam alibi me legiſſe memini.

[4] Ἔστι δὲ τὸ ὄνομα ἰσόψηφον δίκη καὶ γαλῆ. ἀπὸ τῶν αὐτῶν γὰρ σύγκειται κ.] Hæc Suidas deſcripſit ex Artemidoro, apud quem eadem leguntur lib. III. cap. XXVIII. pag. 176. Senſus autem hujus loci, quem Portus non fuit aſſecutus, eſt is, quem in verſione expreſſi; nimirum vocabula δίκη & γαλῆ eundem numerum continere: quod verum eſſe unuſquiſque facile deprehendere poterit. Si enim utriuſque vocis literas ad calculos revocaveris, par inde ſumma XLII. redibit: quod ipſum Græci intelligunt, cum dicunt, duo vocabula aut duos verſus eſſe ἰσόψηφα. Cæterum, in præcedentibus Editt. poſt γαλῆ additur ὀργή; quam vocem eſſe ſupervacaneam & a loco hoc alieniſſimam non ſolum patet ex Artemidoro, apud quem vocabulum illud deeſt, ſed etiam ex ſenſu. Falſum enim eſt τὸ ὀργὴ vocibus δίκη & γαλῆ eſſe ἰσόψηφον, quoniam longe majorem continet numerum, ut cuilibet facile patebit, qui ſingulas literas ad calculum vocare voluerit. Quare certum eſt, pro ὀργὴ initio apud Suidam ſcriptum fuiſſe αἰλγὴ, ut in 2 MSS. Pariſ. & in codice Florentino legitur. Sed, cum vox illa voci δίκη quidem ſit ἰσόψηφος, at mendo laboret, & ad ſenſum loci hujus nihil faciat, peritus aliquis librarius, inſpecto forſan Artemidoro, ejus loco γαλῆ legendum eſſe animadvertens, emendationem illam ad marginem adnotavit, quæ poſtea in textum irrepſit, corrupta voce itidem manente; quod & aliis in locis apud Suidam contigit, ut monemus infra v. Καταστρεφή.

[5] Καὶ γαλῆ Ταρτησία] Ælianus *Var. Hiſtor.* lib. XIV. cap. IV. Ὅτι Ἀριστείδης ὁ Λοκρὸς ὑπὸ Ταρτησσίας γαλῆς δηχθεὶς &c. Vide ibi doctos interpretes.

[6] Καὶ μηδὲν ἀνιέντων] Quid verba iſta hoc loco ſignificare poſſint, non video. Quare in verſione ſecutus ſum interpretationem Diogeniani, quem conſule.

[7] Γέλ] Imo potius γάλγαλ, vel γέλγελ. Hebræi enim rotam vocant גלגל.

ἀπὸ ταύτης ποτὲ μετωνομάσθησαν Χριστιανοί. ζήτει ἐν τῷ Ναζηραῖοι.

Γαλιψός.[1] ὄνομα κύριον. ἔστι δὲ πόλις τῆς Θρᾴκης. ὠνομάσθη δὲ ἀπὸ Γαλίψου τοῦ ἐκ Θάσου καὶ Τηλέφης.

Γαλλογραικία. ἡ τῶν Βουκελλαρίων χώρα. οἱ αὐτοὶ καὶ Ἑλληνογαλάται ὀνομάζονται.

Γάλλος. ὄνομα ποταμοῦ.

Γάλλος. ἀπόκοπος. ἐν [2] Ἐπιγράμματι·

Γάλλος ὁ χαιτήεις ὁ νεήτομος, ὅς ποτε Τμώλῳ
Λυδιὸς ὀρχηστὰς [3] μάκρον ὀλολυζόμενος.

καὶ Γάλλοι, οἱ ἀπόκοποι. Γναῖος,[4] ὁ ὕπατος Ῥωμαίων, διερχόμενος [5] ἐγεφύρωσε τὸν Σαγγάριον ποταμὸν, τελέως κοῖλον ὄντα καὶ δύσβατον· καὶ παρ' αὐτὸν τὸν ποταμὸν στρατοπεδευσάμενος, παραγίνονται Γάλλοι παρὰ Ἄττιδος καὶ Βαττάκου τῶν ἐκ Πισσινοῦντος ἱερέων τῆς μητρὸς τῶν Θεῶν, ἔχοντες [6] πρὸς τῇ ἰδέᾳ καὶ τύπους, φάσκοντες, προσαγγέλλειν τὴν Θεὸν νίκην καὶ κράτος· οὓς ὁ Γναῖος φιλανθρώπως ὑπεδέξατο. Καὶ αὖθις· Ἀπέστειλε νεανίσκους, διασκευάσας εἰς Γάλλους μετ' αὐλητῶν ἐν γυναικείαις στολαῖς ἔχοντας τύμπανα καὶ τύπους, ἐπὶ τοὺς προκαθημένους τῆς χώρας. † Ὅτι Γάλλοι μὲν γίνονται ἐξ ἀνδρῶν, ἐκ δὲ Γάλλων ἄνδρες οὐ γίνονται.

Γαλόω.[7] γάλως, γάλω, καὶ πλεονασμῷ τοῦ ο, γαλόω· ἀνδραδέλφου. καὶ γαλοώνη ὁμοίως, ἡ ἀνδραδέλφος.

Γάμβρειος [8] στολή.

Γάμβορος.[9] ὁ ἀμέτοχος.

Γαμβρὸς Ἐρεχθῆος. ὁ Βορρᾶς. τὴν [10] γὰρ Ὠρείθυιαν θυγατέρα αὐτοῦ ἔγημεν, ἐξ ἧς τίκτεται Ζήτης καὶ Κάλαϊς.

Γαμέτης. ὁ ἀνήρ. ὁ σύζυγος. Ἡ δὲ σὺν τῷ κουριδίῳ γαμέτῃ ἐς Ἔφεσον ἦλθεν.

Γαμηλία.[11] ἡ διδομένη τοῖς Φράτορσιν ἐπὶ γάμοις. ἢ ἡ τῶν γυναικῶν εἰς τοὺς Φράτορας εἰσαγωγή. οὕτως Δίδυμος ὁ γραμματικός. Καὶ [12] παροιμία· Γαμηλίαν εἰσενεγκεῖν. ὅταν τις ἠγάγετο γυναῖκα, πρὶν γε-

Hinc & גלגל [Hebraice] rota vocatur. Et ab hac regione Chriſtiani olim vocati fuere Galilæi. Quære in v. Ναζηραῖοι.

Γαλιψός. Galipſus. Nomen proprium. Eſt etiam urbs Thraciæ, quæ ſic vocata fuit a Galipſo Thaſi & Telephes filio.

Γαλλογραικία. Gallogræcia, Bucellariorum regio, qui & Gallogræci vocantur.

Γάλλος. Gallus. Nomen fluvii.

Γάλλος. Gallus. Caſtratus. In Epigrammate: *Gallus ille comatus, & recens exſectus, qui quondam in monte Tmolo in honorem Cybeles ſaltans ingentem ululatum edidit.* Et Γάλλοι, evirati, caſtrati. † *Cnejus, Conſul Romanorum, fluvium Sangarium, qui profundus omnino & tranſitu difficilis erat, ponte junctum trajecit. Cum autem ad ipſum fluvium caſtra poſuiſſet, Galli ab Attide & Battaco Matris Deorum ſacerdotibus Peſſinunte miſſi venerunt, imagines & ſimulacra pectoribus affixa geſtantes, & Deæ juſſu victoriam & felicem ſucceſſum Romanis annuntiarunt: quos Cnejus humaniter excepit.* Et iterum: *Ad milites præſidiarios iſtius regionis miſit adoleſcentes, Gallorum inſignibus ornatos, veſtibuſque muliebribus indutos, & cum tibiis tympana imagineſque [Cybeles] ferentes.* † Galli quidem ex viris fiunt, ex Gallis vero nequaquam viri fiunt.

Γαλόω Glotis. A nominativo γάλως fit genitivus γάλω, & inſerta litera ο, γαλόω. Et γαλοώνη itidem mariti ſoror.

Γάμβρειος στολή. Veſtis qualis genero dari ſolet.

Γάμβορος. Qui non eſt particeps.

Γαμβρὸς Ἐρεχθῆος. Erechthei gener. Boreas. Is enim Orithyiam ejus filiam uxorem duxit, ex qua natus eſt Zetes & Calais.

Γαμέτης. Vir. Maritus. *Illa vero cum juvene marito Epheſum venit.*

Γαμηλία. Epulum nuptiale, quod Curialibus præbebatur. Vel, uxorum ad Curiales introductio. Ita Didymus Grammaticus. Et proverbium: Epulum nuptiale præbere. Cum quis uxorem duceret, antequam ei naſcereνέσθαι παῖδα, οὗτος μαρτυράμενος περὶ τοῦ γάμου κατὰ τοὺς γάμους ἀπεδίδου τι τοῖς φράτορσιν εἰς λόγον εὐωχίας. καὶ τοῦτό ἐστι γαμηλίαν εἰσενεγκεῖν. μέμνηται τοῦ λόγου Δημοσθένης ἐν τῷ πρὸς Εὐβουλίδην λόγῳ. Καὶ γὰρ ὅτι ὁ πατήρ μου κατὰ τοὺς νόμους ἔγημε, καὶ γαμηλίαν τοῖς φράτορσιν εἰσενήνοχε, μεμαρτύρηται.

---

[1] Γαλιψός] Stephanus Byzantius, Etymologus, Heſychius, Harpocratio, & alii, rectius Γαληψὸς ſcribunt per η.

[2] Ἐν Ἐπιγράμματι] Epigramma integrum, cujus diſtichum hoc pars eſt, legitur in Anthologia inedita, ex qua illud publici juris fecit Holſtenius ad Stephanum v. Τμῶλος.

[3] Μακρὸν ὀλολυζόμενος] Metri gratia ſcribendum eſt μάκρ' ὀλολυζόμενος, ut recte legitur in codice MS. Epigrammatum ineditorum.

[4] Γναῖος, ὁ ὕπατος Ῥωμαίων——φιλανθρώπως ὑπεδέξατο] Valeſius fragmentum hoc recte, ut puto, Polybio tribuit.

[5] Ἐγεφύρωσε τὸν Σαγγάριον ποτ.] Livius lib. XXXVIII. eandem rem his verbis expreſſit: *Tranſgreſſis ponte perfecto flumen Sangarium, præter ripam euntibus Galli matris Magnæ a Peſſinunte occurrere cum inſignibus, vaticinantes fanatico carmine Deam Romanis viam belli & victoriam dare.*

[6] Πρὸς τῇ ἰδέᾳ] Valeſius in notis ad fragmenta Polybii pag. 36. legendum monuit προστηθίδας, quæ emendatio non minus ingenioſa eſt, quam vera. Infra enim v. Προστηθίδιον Suidas aliud incerti cujuſdam auctoris fragmentum adducit, in quo itidem τύποι & προστηθίδες conjunguntur & Gallis tribuuntur.

[7] Γαλόω] Vide Etymologum.

[8] Γάμβρειος στολή] Athenæus lib. I. cap. XXIII. pag. 30. inter munera Themiſtocli a Rege Perſarum data etiam γάμβρειον στολὴν recenſet; ad quem locum Suidas procul dubio reſpexit. Appellatur autem ab Athenæo γάμβρειος στολὴ veſtis pretioſa, qualem Reges Perſarum dare ſolebant generis ſuis, vel etiam iis, quos eodem honore, quo generos, afficere volebant.

[9] Γάμβορος] Scribendum eſt γάμμορος. In multis enim vocibus errore eorum, qui veteres codices deſcribebant, τὸ β poſitum eſt pro μ, & vice verſa; quoniam in quibuſdam MSS. hæ duæ literæ adeo ſibi ſimiles ſunt, ut ægre interdum diſcerni poſſint. Recte Heſychius: Γάμμοροι, ἀμέτοχοι, ἐστερημένοι. Dictum eſt autem γάμμορος pro ἄμμορος, ut apud eundem Heſychium γανδάνειν pro ἁνδάνειν, γίαρ pro ἶαρ, γέλυτρον pro ἔλυτρον, γιχὺς pro ἰχύς, γοῖνος pro οἶνος, & alia.

[10] Τὴν γὰρ Ὠρείθυιαν θυγατέρα αὐτοῦ ἔγ.] Vide Scholiaſtam Apollonii Rhodii ad lib. I. v. 211. Scholiaſtam Homeri ad Odyſſ. Ξ. v. 533. Scholiaſtam Sophoclis ad *Antig.* pag. 254. Philoſtratum *de Vita Apoll.* pag. 178. 179. itemque ſupra v. Ἀφίται.

[11] Γαμηλία. ἡ διδομένη τοῖς Φρ.] Vide Harpocrationem, Pollucem, Etymologum, & Petitum *de Legibus Attic.* pag. 151.

[12] Παροιμία] Hæc vox ab inepta manu adjecta videtur, quoniam cuilibet facile patet, τὸ γαμηλίαν εἰσενεγκεῖν proverbium eſſe non poſſe.

‡

Γαμηλιῶνος. μηνὸς τοῦ [1] Ἰανουαρίου.

Γαμησείειν. Ἀττικοί φασι.

Γαμφηλή. ἡ σιαγών.

Γαμψωλή. ἡ ἐπίκαμψις.

Γαμψῶνυχος. ἐπικαμπεῖς ἔχοντος τοὺς ὄνυχας. καὶ Γαμψώνυχα ζῶα· ὅσα τῶν πτερωτῶν τὴν ἐπιρυγχίδα γεγάμψωκεν ὑπὸ τὴν γένυν, οἷός ἐστιν ἀετός, ἱέραξ, κεγχρηΐς, ἄλλα τε τὰ μὴ πίνοντα.

Γαμψόν. ἐπικαμπές.

Καὶ[2] γαμψὸν χαίτῃσιν ἐφ' ἱππείῃσι πεδηθὲν
Ἄγκιστρον, κρυφίην εἰναλίοισι πάγην.

ἐν Ἐπιγράμμασι·

Γαμψόν[3] τε δρέπανον, σταχυηλόμον ὅπλον ἀρούρης.

Καὶ αὖθις·

Γαμψὰς πυρολόγους δρεπάνας.

Γαμψούς.[4] τὰς καμπτούσας καὶ πλαγίους νεφέλας. ἢ ταῖς ὀρνίθων ὄψεσιν εἰκασμένας. Γαμψοὺς γὰρ ἐκάλουν τοὺς ὄρνιθας. Ἀριστοφάνης Νεφέλαις.

Γάνδειρον.[5] ὄνομα ποταμοῦ.

Γανόων.[6] λελαμπρυσμένος.

Γάνος. ὁ οἶνος.

Πὰν[7] ἀγέλην· Νύμφαι πίδακα· Βάκχε γάνος.

καὶ γάνος ἀμπέλου, ὁ οἶνος. [8] βότρυος ἕλικα παυσίπονον. Γάνος δὲ θηλυκῶς, τὸ πρὸς τῇ Θρᾴκῃ ὄρος ἡ Γάνος.

Γάνος καὶ Γανιάδα. χωρία ἐστὶ Θρᾳκικά.

Γαννυμένη. χαίρουσα. Γάννυμι γὰρ, ὁ ἐνεστώς· καὶ Γάννυσθαι, φαιδρύνεσθαι, χαίρειν, καὶ διαχεῖσθαι.

Γαργηττός. ὄνομα κύριον τόπου.

Γαργαλίζει. δοτικῇ. κινεῖ, [9] ὑποσημαίνει, προτρέπει, ἐρεθίζει.

---Ὥστ' ἐμοῦ γ' ἀκροωμένου (τοῦ μέλους)
Ὑπὸ τὴν ἕδραν αὐτὴν ὑπῆλθε γάργαλος.

[10] Ἀριστοφάνης. Γαργαρίζει δὲ, ἐρεθίζει, [11] ἀπὸ τοῦ στόματος, ὥστε ἐμέσαι.

tur infans, nuptias teſtibus adhibitis profeſſus, epulum nuptiale Curialibus præbebat. Et hoc vocabant γαμηλίαν εἰσενεγκεῖν. Hujus rei meminit Demoſthenes in oratione adverſus Eubulidem [his verbis:] *Teſtatum enim eſt, patrem meum ſecundum leges uxorem duxiſſe, & Curialibus epulum nuptiale præbuiſſe.*

Γαμηλιῶνος. Menſis Januarii.

Γαμησείειν. Apud Atticos ſignificat nupturire, ſive nuptiarum deſiderio teneri.

Γαμφηλή. Maxilla. Roſtrum.

Γαμψωλή. Inflexio. Curvatio.

Γαμψῶνυχος. Aduncos ungues habentis. Et Γαμψώνυχα ζῶα dicuntur volucres, quæ roſtrum inflexum & aduncum habent, ut aquila, accipiter, cenchreis, & aliæ, quæ non bibunt.

Γαμψόν. Incurvum. Aduncum. [In Epigrammate:] *Et aduncum hamum, ſetæ equinæ alligatum, quo piſcibus inſidiæ ſtruuntur.* Et iterum: *Curvamque falcem, qua ſpicæ ſecantur.* Et iterum: *Curvaſque falces, & quibus frumentum colligitur.*

Γαμψοὺς [οἰωνούς.] Sic Ariſtophanes *Nubibus* vocat nubes curvatas & obliquas, vel, avium roſtris ſimiles. Aves enim vocant γαμψοὺς, i. e. adunco roſtro præditas.

Γάνδειρον. Ganderum. Nomen fluvii.

Γανόων. Splendidus.

Γάνος. Vinum. [In Epigrammate: *Augete ſemper,*] *Pan, gregem; Nymphæ, aquam fontanam, & Bacche, vinum.* Et γάνος ἀμπέλου, vinum. * Uvæ capreolum curas pellentem. Γάνος vero genere fœminino vocatur mons in Thracia.

Γάνος & Γανιάδα. Loca quædam in Thracia.

Γαννυμένη. Gaudens. Præſens eſt γάννυμι. Et γάννυσθαι, læto eſſe vultu, gaudere, lætitia diffundi.

Γαργηττός. Gargettus. Nomen proprium loci.

Γαργαλίζει. Dativo gaudet. Titillat. Cum quadam voluptate movet. Excitat. Irritat. *Adeo ut, cum carmen illud audirem, podicem ipſum ſubiret titillatio.* Ariſtophanes. Γαργαρίζει vero de ore dicitur, ſignificatque vomitum ciere.

---

[1] Τοῦ Ἰανουαρίου] Duas has voces omnes quidem Editiones præcedentes agnoſcunt, ſed deſunt in MSS. Pariſ. unde colligo, ea ab Editoribus ex margine in textum immiſſa eſſe.

[2] Καὶ γαμψὸν χαίτῃσιν ἐφ' ἱππ.] Diſtichum hoc eſt pars Epigrammatis, hactenus, inediti, quod ex codice MS. integrum hic cum Lectore communicabo. Ἀρχίου. παρὰ Φιντύλου.

Ταῦτα σαγηναίλοιο λίνου δηναιὰ Πελήπα
Λείψανα, καὶ κύρτους Φίντυλος ἐκρέμασεν.
Καὶ γαμψὸν χαίτῃσιν ἐφ' ἱππείῃσι πεδηθὲν
Ἄγκιστρον, κρυφίην εἰναλίοισι πάγην,
Καὶ δόνακα τριτάνυστον, ἀβάπτιστόν τε καθ' ὕδωρ
Φελλὸν, ἀεὶ κρυφίων σῆμα λαχόντα βόλων.
Οὐ γὰρ ἔτι στίβει ποσὶ χοιράδας, οὐδ' ἐπαύει
Ἠιόσιν, μογερῷ γήραϊ τειρόμενος.

In Hexametro primo pro σαγηναίλοιο legendum eſt σαγηναίοιο, a recto σαγηναῖος, quod eſt adjectivum a σαγήνη deductum. Sic in alio Epigrammate, quod exſtat Anthol. lib. vi. cap. iii. pag. 548.

Δίζο σαγηναίοιο λίνου τετριμμένον ἅλμῃ
Λείψανον &c.

Partem priorem Hexametri tertii citat Suidas voce Τριτάνυστον; idemque Pentametrum tertium adducit v. Βολίς, & v. Φελλός, quæ loca conſule.

[3] Γαμψόν τε δρέπανον, σταχ.] Verba hæc itidem decerpta ſunt ex Epigrammate Anthologiæ ineditæ, quod integrum exhibemus infra v. Θρίναξ.

[4] Γαμψούς. τὰς καμπτούσας καὶ πλαγ. νεφ.] Ex Scholiaſta Ariſtophanis ad *Nubes* pag. 145. (80. Ed. Baſ. *P.*)

[5] Ὄνομα ποταμοῦ] In duobus MSS. Pariſ. legitur ὄνομα τόπου.

[6] Γανόων] De propria vocis hujus ſignificatione vide Caſaubonum ad Athen. lib. i. cap. vi.

[7] Πὰν, ἀγέλην· Νύμφαι, πίδακα· Βάκχε, γάνος] Senſus hujus loci eſt mutilus & imperfectus, qui ſuppleri debet ex Anthol. lib. vi. cap. vii. Epigr. xi. unde verba hæc Suidas deprompſit.

[8] Βότρυος ἕλικα παυσίπονον] Verba hæc in verſione aſteriſco notavi, quoniam nihil ad vocem γάνος faciunt.

[9] Ὑποσημαίνει] Apud Etymologum & Phavorinum rectius legitur ὑποσαίνει, i. e. blanditur, adulatur.

[10] Ἀριστοφάνης] *Theſmophor.* pag. 773. (515. Ed. Baſ. *P.*)

[11] Ἀπὸ τοῦ στόματος] Puto ſcribendum eſſe ἐπὶ τοῦ στόματος; quam lectionem in verſione ſecutus ſum.

Γαργαίρει. ἐν τῷ Ψαμμοκοσιογάργαρα.

Γάργαρα. πόλις Τρωάδος ἐπὶ τῇ ἄκρᾳ τῆς Ἴδης. ὠνομάσθη δὲ ἀπὸ Γαργάρου τοῦ Διός· [1] καὶ Λαρίσσης τῆς [2] ἐν Θεσσαλίᾳ. τὸ ἐθνικὸν Γαργαρεύς.

Γάρμος. ὄνομα κύριον. Ὁ δὲ ἕτερος ταῦρος ἐμυκήσατο κακὸν φώνημα Γάρμῳ.

Γαριζείν. ὄρος.

Γάρος. ἀρσενικῶς λέγεται. ἔστι [3] δὲ οὐδὲν ἄλλο ὁ γάρος, ἢ σηπεδών.

Γαστήρ. ἡ κοιλία. Ὅμηρος διαπαντὸς γαστέρας καλεῖ οὐ κοιλίας. καὶ παροιμία·

Γαστέρα μοι προφέρεις, κάλλιστον ὄνειδος ἁπάντων,
Ἡ πλήρης μὲν ἐλαφροτέρη· κενεὴ δὲ, βαρεῖα.

ἐπὶ τῶν γαστριμαργούντων. [4] Γαστέρα δὲ ὁ Δαβὶδ τὸ τῶν λογισμῶν ταμεῖον ἐκάλεσεν. Ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου, ἡ ψυχή μου, καὶ ἡ γαστήρ μου.

Γαστρίζεσθαι. λαμπρότερον τρέφεσθαι.

Γαστρίζομαι. τύπτομαι εἰς τὴν γαστέρα· [5] Ἀριστοφάνης·

Ὦ πόλις καὶ δῆμ', ὑφ' οἵων θηρίων γαστρίζομαι.

Γαστριμαργία. καὶ Γαστρίμαργος, ὁ ἄπληστος. Γαστριμάργως, ἀπλήστως.

Γάστρις. ὁ περὶ γαστέρα ἀκρατής. [6] καλοῦσι δ' οὕτω καὶ τὸν ἕλμινθας ἔχοντα.

Γαῦλος. ὁ ἐξ ἀλλοτρίων ζῶν. ἢ ὁ εὐαπάτητος. ἢ [7] πλοῖόν τι φορτηγὸν Φοινικικὸν, ἢ ἄκατος. Γαυλὸς δὲ ὀξυτόνως, τὸ ποιμενικὸν ἀγγεῖον, ὃ δέχεται τὸ γάλα. [8] Ἡρόδοτος· Γαύλους τε ἐνταῦθα καταδύσας. ἢ Γαυλὸς, ὁ τοῦ φρέατος ἀντλητήρ. ἢ οἰνηρὸν ἀγγεῖον, ἐκ ξύλων κατεσκευασμένον, ἣν Ἰταλοὶ μαγγάναν ὀνομάζουσιν. ἐπὶ δὲ τῶν γαλακτοδόχων ἀγγείων· [9] Γαυλούς τε [10] γλαγοπῆγας. ἐν Ἐπιγράμματι.

Γαυνάκας [11] ἀμπεχόμενον.

Γαυριᾷ. δοτικῇ. ἀγάλλεται, ἐπαίρεται, θρασύνεται.

Γαυροειδής. ὁ ὑπερήφανος.

Γαῦρον. στερρόν. μέγα. ἀκλινές. ἀκατάπληκτον. [12] Ἀριστοφάνης Βατράχοις·

Οὐδὲν γὰρ οὕτω γαῦρον ἔστ', ὡς Ἡρακλῆς.

Ἀγαθίας· [13] Ὁ γὰρ Βελισάριος τὴν ἐγχείρησιν μείζονα ἔδειξε καὶ γαυροτέραν, καὶ περιχαρής γε τὴν νίκην.

Γαργαίρει. Vide v. Ψαμμοκοσιογάργαρα.

Γάργαρα. Urbs Troadis in cacumine montis Idæ ſita, quæ ſic vocata fuit a Gargaro, Jovis filio, quem Lariſſa urbs Theſſaliæ tulit. Nomen gentile eſt Γαργαρεύς.

Γάρμος. Garmus. Nomen proprium. *Alter vero taurus mugiens mali ominis vocem Garmo reddidit.*

Γαριζείν. Garizin. Mons.

Γάρος. Garus. Eſt generis maſculini. Garus autem nihil aliud eſt quam putredo.

Γαστήρ. Venter. Homerus ventrem ubique γαστέρα vocat, non autem κοιλίαν. Et proverbium: *Ventrem mihi objicis, pulcherrimum probrum omnium, qui plenus quidem, levis eſt; vacuus vero, gravis.* Dicitur de hominibus gulæ & ventri deditis. David vero γαστέρα vocavit locum, in quo cogitationes tanquam in promptuario reconditæ ſunt. *Turbatus eſt ira oculus meus, anima mea, & venter meus.*

-Γαστρίζεσθαι. Lautius vivere.

Γαστρίζομαι. Dicitur de eo, cujus venter verberibus cæditur. Ariſtophanes *Equitibus*: *O civitas & popule, quales beſtiæ ventrem meum cædunt.*

Γαστριμαργία. Ingluvies. Helluatio. Et γαστρίμαργος, guloſus, helluo. Et γαστριμάργως, inſatiabiliter, immoderate.

Γάστρις. Intemperans. Guloſus. Sic etiam vocant eum, qui vermibus laborat.

Γαῦλος. Qui ex alienis vivit. Vel, qui facile decipitur. Vel navigium quoddam onerarium, quale erat Phœnicum, vel acatus. Γαυλὸς vero, cum acuto, vas paſtorale, quo lac excipitur. Mulctrale. Herodotus: *Navibus vero ibi demerſis.* Vel γαυλὸς, ſitula, qua aqua ex puteo hauritur. Item, vas vinarium ligneum, quod Itali manganam vocant. Pro mulctrali vero accipitur in loco hoc Epigrammatis: *Et mulctralia, in quibus lac coagulatur.*

Γαυνάκας ἀμπεχόμενον. Gaunacis indutum.

Γαυριᾷ. Dativo gaudet. Seſe jactat. Faſtu ſe effert. Ferocem ſe præbet.

Γαυροειδής. Superbus.

Γαῦρον. Durum. Magnum. Contumax. Ferox. Ariſtophanes *Ranis*: *Nihil enim eſt adeo ferox, ut Hercules.* Agathias: *Belliſarius enim rem, quam aggrediebatur, majorem & illuſtriorem reddidit.*

---

1 Καὶ Λαρίσσης] Lege τοῦ ἐκ τῆς Λαρίσσης. Vide Stephanum Byzantium v. Γάργαρα.

2 Ἐν Θεσσαλίᾳ] In omnibus Edit. præcedentibus peſſime legitur ἐν Σικελίας; cujus loco ſcribendum eſſe ἐν Θεσσαλίᾳ ex Geographis conſtat. Eſt enim Lariſſa urbs Theſſaliæ.

3 Ἔστι δὲ οὐδὲν ἄλλο ὁ γάρος, ἢ σηπεδών] Artemidorus lib. 1. cap. LXVIII. Γάρον δὲ πίνειν, φθίσιν σημαίνει. ἔστι γὰρ οὐδὲν ἄλλο ὁ γάρος ἢ σηπεδών. Ex hoc loco Artemidori (quem & a Pearſonio obſervatum eſſe video) Suidæ verba deprompta eſſe manifeſtum eſt.

4 Γαστέρα δὲ ὁ Δαβὶδ τὸ τῶν λογισμῶν ταμ.] Hanc notam excerpſit Suidas ex Theodoreto ad Pſalm. XXX. pag. 510.

5 Ἀριστοφάνης] *Equit.* pag. 302. (204. Ed. Baſ. *P.*)

6 Καλοῦσι δ' οὕτω καὶ τὸν ἕλμινθας ἔχοντα] Vide Heſych. v. Γάστριδες·

7 Ἢ πλοῖόν τι φορτηγὸν Φοιν.] Confer cum hoc loco Enarratorem Comici ad *Aves* pag. 570.

8 Ἡρόδοτος] Locus Herodoti exſtat lib. VI. pag. 214, at ubi τὸ γαυλὸς non ſignificat mulctrale, ut Portus Suidam ſecutus exiſtimabat, ſed genus quoddam navigii. Adi ipſum Herodotum.

9 Γαυλούς τε γλαγοπῆγας] Verba hæc decerpta ſunt ex Epigrammate, quod exſtat Anthol. lib. VI. cap. XXIV. ut Portus obſervavit.

10 Γλαγοπῆγας] Unus MS. Pariſ. habet γλαγόπηγας. Sed in Anthologia Epigrammatum loco laudato rectius legitur γλαγοπῆγας, quod in hac Editione ſecutus ſum, cum ante male legeretur γλαγόπηδας.

11 Γαυνάκας] Vide infra v. Καυνάκης.

12 Ἀριστοφάνης Βατράχοις] Pag. 225. (141. Ed. Baſ. *P.*)

13 Ἀγαθίας· Ὁ γὰρ Βελισάριος τὴν ἐγχ.] Locum hunc corrupit & mutilavit Suidas, cujus veram lectionem & integrum ſenſum Lector petere debet ex ipſo Agathia lib. V. pag. 160.

Γαῦρος. Ὁ δὲ [1] γαῦρός τε ὢν ἀνὴρ καὶ ἀγέρωχος, καὶ στρατείαις ὡμιληκὼς, καὶ τοῦτο πρῶτον ἀγαθὸν ἡγούμενος, τὸ ἐν ἀνθρώποις τιμὴν καὶ δόξαν καὶ πλοῦτον, καὶ τὸ ἔχειν ἑαυτῷ ὅ, τι βούλοιτο κεχρῆσθαι, καὶ ἀδεῶς διὰ μέθην νύκτα καὶ ἡμέραν οὐκ εἰδέναι, οὔτε ἀνατέλλοντα καὶ δυόμενον ἥλιον, ἴσα δὲ οὐρανῷ εἶναι νομίσας τὴν μετάκλησιν ἐκ τῶν ἀλύπων καὶ διακεχυμένων εἰς ὀλιγωρείαν διατριβῶν, ἀπορρήξας ἑαυτὸν καὶ κατακλίνας τὴν ψυχὴν εἰς φιλοδοξίαν, βαρὺς ἀναστὰς ἐκ Παμφυλίας ἀνέστρεφε. Τιμάσιος οὗτος ἦν, ὃν Εὐτρόπιος ἤγαγεν.

Γαῦρος. *Ille vero, cum eſſet homo ferox & ſuperbus, & in caſtris acieque multum verſatus, ſummi boni loco ducebat, honoribus eminere, & gloria inter homines clarum eſſe; itemque opibus affluere, & ſuo arbitratu libere vivere, temulentiæque ſecure indulgere, adeo ut diei noctiſque diſtrimen ignores, Solemque nec orientem nec occidentem unquam videas. Idem etiam cœleſtem felicitatem eſſe exiſtimans, vitam ignavam & remiſſam omnique moleſtia vacuam degere, cum ſe [ab omnibus negotiis] quaſi avulſiſſet, & animum ſoli gloriæ cupiditati permiſiſſet, ex Pamphylia [in Lydiam] gravis reverſus eſt.* Hæc de Timaſio dicuntur, quem Eutropius [in aulam] accerſivit.

Γαῖα [2] χάνοι. καταπίοι αὐτὸν ἡ γῆ.

Γαίειος. [3] ὄνομα κύριον. ὁ τῆς γῆς υἱός.

Γαιήϊος. ὁ γήϊνος.

Γαιήοχος. ὁ Ποσειδῶν. γεοῦχος δέ.

Γαιοδότης. [4] ὁ ἀπεμπολῶν γῆν.

Γαιών. ὄνομα ποταμοῦ. Γαιὼν καὶ Φεισὼν, ὀνόματα ποταμῶν. καὶ Γαιῶν, γηΐνων πραγμάτων.

Γαιοῦχος. ὁ τὴν γῆν ὀχῶν.

Γαῖσα, καὶ Γαισός. κοντός. εἶδος ἀμυντηρίου, οἷον δόρατος.

Γεγανωμένος. λελαμπρυσμένος. ἐσκεπασμένος. Τὸ περιέχον τοῦ κονιορτοῦ γεγανωμένον ἐν χώρῳ βοτανώδει. τουτέστι λελευκασμένον.

Γεγαννυμένος. [5] ἐπαγαλλόμενος. Πῶς [6] δὲ ἀνὴρ βασιλείῳ τύφῳ ἐκ παίδων καὶ κολακείᾳ πολλῇ γεγαννυμένος, δίαιτάν τε λαχὼν βαρβαρωτάτην, οὕτω διατεθῆναι.

Γέγειαι [7] βόες. αἱ ἀρχαῖαι. καὶ ἀρσενικῶς γέγειος.

Γέγηθε. χαίρει.

Γεγηροτροφηκώς. ἐν γήρᾳ θρέψας.

Γέγονεν ἐν καλῷ. καλλίστως ἔσχε.

Γεγράψομαι. δεήσομαι.

Ὥστ' οὐ Κρέοντος προστάτου γεγράψομαι.
Σοφοκλῆς [8] φησι.

Γεγωνέναι, καὶ γεγωνεῖν. ἐξάκουστον βοῆσαι.

Γεγωνοκῶμαι. γυναῖκες, αἱ τὰς κώμας ἐμπιπλῶσαι βοήσεων.

Γεγωνόν. ἐξάκουστον. λαμπρὸν φθέγμα. καὶ Γεγωνίσκειν. τὸ φθέγγεσθαι ἐξάκουστον. καὶ Γεγωνότερον,

Γαῖα χάνοι. Terra dehiſcens eum abſorbeat·

Γαίειος. Nomen proprium. Terræ filius·

Γαιήϊος. Idem quod γήϊνος. Terreſtris. Terrenus.

Γαιήοχος. Epithetum Neptuni. Γεοῦχος vero [per ε, non autem per αι diphthongũ ſcribitur.]

Γαιοδότης. Qui terram vendit.

Γαιών. Gæon. Nomen fluvii. Gæon & Phiſon, nomina fluviorum. Et γαιῶν πραγμάτων, rerum terreſtrium.

Γαιοῦχος. Qui terram continet.

Γαῖσα & γαισός. Genus teli. Gæſum. Haſta.

Γεγανωμένος. Splendidus. Tectus. *Cælum pulvere tectum in loco herboſo.*

Γεγαννυμένος. Qui aliqua re ſeſe effert, vel gloriatur. *Quomodo vero vir a puero regio faſtu & vana adulatione inflatus, & vitæ genere maxime barbaro educatus, doctrina excultus eſſe queat?*

Γέγειαι βόες. Boves antiqui. Et γέγειος, genere maſculino, antiquus.

Γέγηθε. Lætatur. Gaudet.

Γεγηροτροφηκώς. Qui in ſenectute aliquem aluit.

Γέγονεν ἐν καλῷ. Præclare ſe habuit.

Γεγράψομαι. [Vocabor.] Indigebo. *Neque enim Creontis patroni unquam vocabor cliens.* Sophocles inquit.

Γεγωνέναι & γεγωνεῖν. Clara voce clamare.

Γεγωνοκῶμαι. Mulieres, quæ vicos clamoribus replent.

Γεγωνόν. Quod clare auditur. Vox clara. Et γεγωνίσκειν, claram vocem edere. Et γεγωτρανώτερον. καὶ Γεγωνὼς, [1] βοήσας γεγωνόν τι.

---

[1] Ὁ δὲ γαῦρός τε ὢν ἀνὴρ καὶ ἀγ.] Vide infra v. Τιμάσιος, ubi fragmentum hoc auctius legitur.

[2] Γαῖα χάνοι. καταπίοι αὐτὸν ἡ γῆ] Ex Scholiaſta Homeri ad Il. Ζ. v. 282.

[3] Γαίειος. ὄνομα κύριον. ὁ τῆς γῆς υἱός] Homerus *Odyſſ.* Η. v. 324. Tityum vocat γαιήϊον υἱὸν, id eſt, terræ filium. Scholiaſta ad eum locum: Γαιήϊον· τὸν τῆς γῆς υἱόν. Huc noſter reſpexit: ſed qui craſſo errore τὸ γαίειος (pro quo Ionice dicitur γαιήϊος) pro nomine proprio hic nobis obtrudit, cum ſit adjectivum a voce γαῖα, terra.

[4] Γαιοδότης. ὁ ἀπεμπ.] Vide Etymologum v. Γαιοδόται.

[5] Ἐπαγαλλόμενος] Sic recte habet Editio princeps Mediolanenſis, quam hic ſecutus ſum. In cæteris autem Editt. male excuſum eſt ἐπαγγελλόμενος, quod longe aliud ſignificat.

[6] Πῶς δὲ ἀνὴρ βασιλείῳ τύφῳ ἐκ π.] Locum hunc ſuo more interpolavit & mutilavit Suidas, qui apud Agathiam lib. II. pag. 67. ſic legitur: Πῶς δὲ ἂν ἀνὴρ βασιλείῳ τύφῳ ἐκ παίδων καὶ κολακείᾳ πολλῇ γεγανωμένος, δίαιτάν τε λαχὼν ἐς ὅ, τι βαρβαρικωτάτην, καὶ πρὸς πολέμους ἀεὶ καὶ πράξεις ὁρῶσαν, πῶς δὴ οὖν ὅδε βίους ἔμελλε μεῖζόν τι καὶ λόγου ἄξιον ἐν τοῖσδε ἀπώνασθαι διδάγμασι καὶ ἐνασκηθῆναι. Loquitur ibi Agathias de Choſroe Perſarum Rege. Patet autem hinc, Suidam pro γεγανωμένος in codice ſuo ſcriptum reperiſſe γεγαννυμένος, quoniam fragmentum hoc voci illi ſubjecit. Sed præferendum eſt τὸ γεγανωμένος, quod hodie codices Agathiæ exhibent.

[7] Γέγειαι βόες. αἱ ἀρχ.] Vide Etymologum.

[8] Σοφοκλῆς] *Oedip. Tyran.* pag. 169.

Γεδεὼν, στρατηγὸς τῶν Ἑβραίων. Μαδιανίταις σὺν τοῖς Ἄραψι καὶ Ἀμαληκίταις μέλλοντος πολεμεῖν, [2] ὁ Θεὸς συνεβούλευεν ἐπιστὰς περὶ μέσην ἡμέραν ἐν ἀκμῇ τοῦ καύματος ὄντος, ἀγαγεῖν τὸν στρατὸν εἰς τὸν ποταμὸν, καὶ τοὺς μὲν κατακλιθέντας καὶ οὕτω πίνοντας εὐψύχους εἶναι ὑπολαμβάνειν· ὅσοι δ' ἂν ἐσπευσμένως καὶ μετὰ θορύβου πίνοιεν, τούτους δὴ νομίζειν ὑπὸ δειλίας τοῦτο πάσχειν, καὶ καταπεπληγότας τοὺς πολεμίους. καὶ εὑρέθησαν τ' ταῖς χερσὶ τεταραγμένως πίνοντες.

Γεδεὼν, κριτὴς τοῦ Ἰσραὴλ, ἐπάταξε τὸν Μαδιὰμ μετὰ τῶν λαψάντων ἐν τῷ πίνειν, καὶ τὸν Ὠρὴβ, καὶ Ζὴβ, καὶ Ζεβεὲ, καὶ Σαλμωνᾶ, τοὺς ἄρχοντας αὐτῶν· τόν τε πύργον τοῦ Φανουὴλ κατέστρεψε, καὶ τοὺς ἄρχοντας αὐτῶν ἠλόησεν ἐν ταῖς ἀκάνθαις, θλίψαντας τὸν Ἰσραὴλ ἔτη ζ'.

Γέενα. ἡ καταδίκη.

Γεζίτης. τοπικόν.

Γεηρόν. τὸ γήϊνον.

Γεθσημανή.

Γελγέλ. ὁ τροχὸς ὀνομάζεται. Καθάπερ οὖν ἐξ ὄρους ὑψηλοῦ τοῦ σωτηρίου στόματος προενεχθέντα ταῦτα τὰ ῥήματα δίκην τροχοῦ κατὰ τὴν οἰκουμένην ἐκυλίσθη, καὶ πᾶσαν ἐπέδραμε· καὶ ἐβαπτίσθησαν πάντες κατὰ ἔθνη καὶ κατὰ πόλεις. διὸ καὶ [3] Γαλιλαία κατακυλιστὴ λέγεται τῇ Ἑλλάδι γλώσσῃ.

Γελάδας. ἀγαλματοποιὸς, διδάσκαλος Φειδίου.

Γέλα, [4] πόλις Σικελίας. καλεῖται δὲ ἀπὸ ποταμοῦ Γέλα, ἐν ᾧ παράκειται ἡ πόλις. ὁ δὲ ποταμὸς ὀνομάζεται οὕτως, ὅτι πολλὴν πάχνην γεννᾷ. ταύτην γὰρ τῇ Ὀπικῶν φωνῇ καὶ Σικελῶν γέλαν λέγεσθαι. ἢ ἀπὸ Γέλωνος τοῦ Αἴτνης καὶ Ὑμάρου. τὸ ἐθνικὸν Γελαῖος, οὐ Γελῷος.

Γελασείοντα. γελαστικῶς ἔχοντα. γελάσαι θέλοντα.

Γελασείω. ἐπιθυμητικῶς ἔχω τοῦ γελᾶν. Δαμάσκιος· Νῦν δὲ καὶ τῷ μὴ πάνυ γελασείοντι γέλωτα παρέξει γενναῖον ἡ τοῦ ἔργου διέξοδος.

Γελασίνοις. γραμμαῖς ταῖς ἐκ τοῦ γελᾶν γινομέναις. ἐν Ἐπιγράμματι·

Καὶ ῥ' ἡ μὲν προχαλοῖς σφραγιζομένη γελασίνοις,
Λευκὴ ἀπὸ γλουτῶν ἤνθεεν [5] εὐβαφίην.

Δημόκριτος ὁ Ἀβδηρίτης ἐπεκλήθη Γελασῖνος, διὰ τὸ γελᾶν πρὸς τὸ κενόσπουδον τῶν ἀνθρώπων.

Γελαστής. ὁ ἐπιγελῶν.

Οὔθ' [6] ὡς γελαστὴς, Οἰδίπους, ἐλήλυθα,
Οὔθ' ὡς ὀνειδιῶν τι τῶν πάρος κακῶν.

ὁ Κρέων φησί.

νότερον, clariore voce prolatum. Et γεγωνὼς, qui clare vociferatus eſt.

Γεδεών. Gedeon, dux Hebræorum. Hunc cum Midianitis, quibus ſe adjunxerant Arabes & Amalecitæ, prælium commiſſurum Deus monuit, ut ſub meridiem Sole maxime fervente exercitum ad fluvium duceret, & eos, qui procumbentes biberent, viros fortes crederet: qui vero trepide & tumultuarie potum ſumerent, eos metu hoſtium perterritos id facere exiſtimaret. Inventi itaque ſunt trecenti, qui trepide & tumultuarie aquam manibus hauſtam biberent.

Γεδεών. Gedeon, Judex Iſraelis, ope illorum, qui aquam lambendo hauſerant, proſtravit Midianitas, & Oreb, & Zeb, & Zebee, & Salmona, illorum principes. Turrim etiam Phanuel evertit, & principes eorum, qui Iſraelem per ſeptem annos afflixerant, ſpinis cæſos necavit.

Γέεννα. Geenna. Condemnatio.

Γεζίτης. Gezites. Nomen a loco deductū.

Γεηρόν. Terreſtre. Terrenum.

Γεθσημανή. Gethſemane. [Nomen loci.]

Γελγέλ. Sic [Hebraice] vocatur rota. *Hæc igitur verba ex Servatoris ore prolata, & tanquam de excelſo monte rotæ inſtar devoluta, totum terrarum orbem percurrerunt, adeo ut omnium nationum & urbium homines baptizarentur. Hinc etiam Galilæa lingua Græca vocatur* κατακυλιστή, [*quaſi dicas, devoluta.*]

Γελάδας. Geladas, ſtatuarius, Phidiæ magiſter.

Γέλα. Gela, urbs Siciliæ, ſic vocata a fluvio Gela, ad quem ſita eſt. Fluvius autem iſte ita vocatur, quod multam gignat pruinam, quæ Opicorum & Siculorum lingua *gela* vocatur. Vel a Gelone, Ætnæ & Hymari filio. Gentile eſt Gelæus, non Gelous.

Γελασείοντα. Ridere geſtientem. Ridere cupientem.

Γελασείω. Ridere cupio. Damaſcius: *Hujus vero rei exitus etiam illi, qui a riſu omnino alienus eſt, ingentum riſum extorqueat.*

Γελασίνοις, Lineis, quæ ex riſu in vultu exiſtunt. In Epigrammate: *Et illa ridens curvis in vultu notata lineis, candidaque a clunibus venuſto colore prædita erat.* † Democritus Abderites dictus eſt Γελασῖνος, quod vana hominum ſtudia ridere ſoleret.

Γελαστής. Riſor. Deriſor. *Nec veni, Oedipe, ut te deriderem, nec ut mala præterita tibi exprobrarem.* Sic Creon inquit.

---

[1] Βοήσας γεγωνόν τι] Sic emendavi, cum ante legeretur βοήσας γεγωνός τις.

[2] Ὁ Θεὸς συνεβούλευεν ἐπιστὰς περὶ μέσην ἡμ.] Hæc, & quæ ſequuntur, ſunt verba Joſephi *Antiq. Jud.* lib. v. cap. VIII. ut Pearſonius etiam monuit

[3] Γαλιλαία κατακυλιστὴ λέγ.] Eadem leguntur ſupra v. Γαλιλαία.

[4] Γέλα, πόλις Σικελίας. καλεῖται δὲ ἀπὸ ποτ.] In MSS. Pariſ. hæc tantum leguntur, Γέλα καὶ Καμάρινα πόλεις Σικελίας. Unde apparet, reliqua a librariis ex Stephano huc tranſlata eſſe.

[5] Εὐβαφίην] Duo MSS. Pariſ. habent εὐαφίην: quarum lectionum utra præferenda ſit difficile dictu eſt, quoniam ſenſus fragmenti hujus admodum eſt obſcurus.

[6] Οὔθ' ὡς γελαστὴς, Οἰδίπους, ἐλ.] Hæc ſunt verba Sophoclis *Oedip. Tyran.* pag. 206.

Γέλγιθες. σκορόδων κεφαλαί. Καὶ[1] πόπιμοι γέλγιθες, ἠδέ τε ὄσχναι, δαψιλῆ οἰνοπόταις γαστρὸς ἐπισόδια.

Γελίμερις. ὄνομα κύριον.

Γελλοῦς[2] παιδοφιλωτέρα. αὕτη ἄωρος ἐτελεύτησε. καὶ τὸ φάντασμα αὐτῆς ἐδόκουν ἐπὶ τὰ παιδία καὶ τοὺς ἀώρους θανάτους ἰέναι.

Γέλων. ὄνομα κύριον. Γέλων δὲ, τὸν γέλωτα.

Γελῶν[3] καθ' ὕπνους, δυσφόρους ἕξεις τρόπους.

Γελῷος. ἐθνικόν. καὶ Γελώων, ἐθνῶν. καὶ Γέλως, ἡ χαρμονή.

Γέλως Μεγαρικός. ἤκμασε γὰρ ἡ Μεγαρικὴ κωμῳδία ἀώρως, ἣν Ἀθηναῖοι καταμωκώμενοι ἐγέλων.

Γέλως πλατύς. [4]Ὁ δὲ Πέρσης ἐς τοσοῦτον ἐληλάκει φρυάγματος, ὡς γέλωτα τῶν ἀγγελλόντων καταχέειν πλατύν. Σιμοκάτης φησί.

Γέλως[5] συγκροτούσιος. ὁ ἄτακτος καὶ ἄσεμνος· ἐκ μεταφορᾶς τοῦ μετὰ κρότου χειρῶν καὶ ποδῶν γενομένου γέλωτος.

Γελοῖος. ὁ καταγέλαστος. προπαροξυτόνως δὲ γέλοιος, ὁ γελωτοποιός. Καὶ παροιμία· [6]Γελοιότερον ἀπεργάζῃ τῶν τὰς κέγχρους ἀποτορνεύειν ἐπιχειρούντων. ἢ καθάπερ τὸν Μυρμηκίδην ἀντιπαρατιθέμενον τῇ Φειδίου τέχνῃ. Καὶ ἑτέρα παροιμία· Γελοιότερον Μελιτίδου. ἐπὶ τῶν ἐπὶ μωρίᾳ διαβεβλημένων. [7]Μελιτίδης γὰρ ἀνὴρ κωμῳδούμενος ὑπὸ τῶν ποιητῶν ἐπὶ μωρίᾳ, κατὰ ταυτὰ τῷ Ἀμφιστείδῃ. τοῦτον δέ φασιν ἀριθμῆσαι μὲν πολλὰ παθόντα μέχρι τῶν πέντε, καὶ πέρα μηκέτι δύνασθαι· γήμαντα δὲ τῆς νύμφης μὴ ἅψασθαι. φοβεῖσθαι γὰρ μὴ αὐτὸν ἡ παῖς τῇ μητρὶ διαβάλλῃ. ὁ δὲ Ἀμφιστείδης ἠγνόει ἐξ ὁποτέρου γονέων ἐτέχθη.

Γελοῖον. γέλωτος ἄξιον.

Γεμίζω. γενικῇ. ἔστι δὲ καὶ αἰτιατικῇ. τὸ ἀντλῶ.

Γεμίνιος. ὄνομα κύριον.

Γέμω. γενικῇ. τὸ πλήθω. Ὁ δὲ [8]Σκιπίων πυνθανόμενος τὸν ἀδελφιδοῦν γέμειν ἀργίας καὶ στάσεως

Γέλγιθες. Alliorum capita. [In Epigrammate:] *Et ad potum invitantia alliorum capita, & agreſtia pyra, quorum eſu bibones vini potum diſtinguere & interpolare ſolent.*

Γελίμερις. Gelimeris. Nomen proprium.

Γελλοῦς παιδοφ. *Puerorum amantior quam Gello.* Hæc immatura ætate obiit: cujus ſpectrum ad pueros, & eos, qui immatura morte obibant, accedere putabatur.

Γέλων. Gelo. Nomen proprium. Item accuſativus ſingularis pro γέλωτα, riſum.

Γελῶν καθ' ὕπν. *Ridens in ſomnis, moroſus eris & difficilis.*

Γελῷος. Gelous. Nomen gentile. Et Γελώων, Geloorum. Et γέλως, riſus.

Γέλως Μεγαρικός. Riſus Megaricus. Megarica enim comœdia intempeſtive floruit, quam Athenienſes ludibrio & riſu excipiebant.

Γέλως πλατύς. Riſus effuſus. *Perſa vero eo inſolentiæ progreſſus eſt, ut nuntios effuſo riſu exciperet.* Simocatta inquit.

Γέλως συγκροτούσιος. Riſus immodeſtus & ſcurrilis. Per tranſlationem ductam a riſu, qui cum manuum pedumque comploſione editur.

Γελοῖος. Riſu dignus. Γέλοιος vero, cum acuto in antepenultima, qui aliis riſum movet. Et proverbium: *Magis ridicule facis, quam qui milium torno polire aggrediuntur: quod Myrmecidem feciſſe dicunt, cum adverſus Phidiæ artificium contenderet.* Et aliud proverbium: *Magis ridicule quam Melitides.* Dicitur in homines fatuos & ſtultos. Melitides enim ob ſtultitiam a Comicis perſtringebatur; ut & Amphiſtides. Hunc enim ajunt magno cum labore ad quinque uſque numerare didiciſſe, nec ulterius progredi potuiſſe. Idem etiam uxorem, quam duxerat, nunquam attigit, metuens ne ab ea apud matrem accuſaretur. Amphiſtides vero ignorabat, ab utro parentum in lucem editus eſſet.

Γελοῖον. Ridiculum. Riſu dignum.

Γεμίζω. Impleo. Hauſta aqua repleo. Genitivo jungitur. Item accuſativo.

Γεμίνιος. Geminius. Nomen proprium.

Γέμω. Genitivo jungitur. Plenus ſum. *Scipio vero cum audiret totum exercitum igna-*

---

[1] Καὶ πόπιμοι γέλγιθες, ἠδέ τ' ὄσχν.] Verba hæc decerpta ſunt ex Epigrammate inedito, quod licet non ſatis ſanum ſit, ex codice MS. tamen hic publici juris faciam, ut materiam præbeam Criticis ingenii ſui acumen exercendi. Κελναγόρου.

Βότρυες οἰνοπίπαντοι, ἐΰσχιστοί τε ῥοιῆς
Θρύμματα, καὶ ξανθοὶ μυελοὶ ἐκ στροβίλων,
Καὶ διλαὶ δάκνεσθαι ἀμυγδαλαῖ, ἤτε μελισσῶν
Ἀμβροσίη, πυκναί τ' ἰτρινέαι ποπάδες,
Καὶ πόπιμοι γέλγιθες, ἰδ' ὑλακυνάδες ὄσχναι,
Δαψιλῆ οἰνοπόταις γαστρὸς ἐπισόδια.
Πανὶ φιλοσκήπωνι καὶ εὐστόρθυγγι Πελήπῳ
Ἀντίθεται λιτὴν δαῖτα Φιλοξενίδης.

Confer Suidam v. Ἀμυγδαλῆ, v. Ἐπισόδιον, v. Ποπάδες, v. Οἰνοπίπαντοι, & v. Στρόβιλος, ubi Epigrammatis hujus fragmenta leguntur.

[2] Γελλοῦς παιδοφιλωτέρα] Vide Zenobium Centur. III. Adag. III.

[3] Γελῶν καθ' ὕπνους, δυσφ.] Verſus hic onirocriticus, qui depromptus eſt ex Aſtrampſycho, in uno eoque antiquiſſimo MS. Pariſ. deeſt; in altero vero ad marginem ſcriptus legitur: unde patet eum a recentioribus Suidæ inſertum eſſe. Idem etiam de omnibus aliis verſibus onirocriticis, qui paſſim apud Suidam leguntur, dicendum eſt.

[4] Ὁ δὲ Πέρσης ἐς τοσοῦτον ἐληλ.] Hæc ſunt verba Theophylacti Simocattæ lib. II. cap. 2.

[5] Γέλως συγκροτούσιος] Diogenianus & Zenobius habent γέλως συγκρούσιος; lectione quidem diverſa, ſed ſenſu eodem.

[6] Γελοιότερον ἀπεργάζῃ————Φειδίου τέχνῃ] Locus hic apud Julianum Orat. III. pag. 208. unde eum Suidas deſcripſit, ſic legitur: Καὶ εἰ μὲν πλείονος τὰ τοιαῦτα διηγεῖται, λέξει δὲ ἡδίστῃ κοσμῶν καὶ ἐπιλεαίνων τὸ φαῦλον καὶ ἀγεννές, γελοιότερον νομίζει τῶν ἀποτορνεύειν τὰς κέγχρους ἐπιχειρούντων καθάπερ, οἶμαι, φασὶ τὸν Μυρμηκίδην ἀντιπαρατιθέμενον τῇ Φειδίου τέχνῃ.

[7] Μελιτίδης γὰρ ἀνὴρ κωμ.] Vide ſupra v. Βουταλίων; itemque Tzetzem Chil. IV. v. 838.

[8] Ὁ δὲ Σκιπίων πυνθανόμενος τὸν ἀδελφ.] Locum hunc negligenter admodum excerpſit Suidas ex Appiano, apud quem in *Iberic.* p. 516. rectius ſic legitur: Πάντας δὲ ἐς τετρακισχιλίους γενομένους παραδοὺς ἄγειν ἀδελφιδῷ Βουτίωνι, σὺν ὀλίγοις αὐτὸς προεξώρμησεν ἐς Ἰβηρίαν ἐπὶ τὸ στρατόπεδον, πυνθανόμενος αὐτὸ γέμειν ἀργίας καὶ στάσεως καὶ τρυφῆς· εὖ εἰδὼς, ὅτι μὴ κρατήσει πολεμίων &c. Hinc apparet, longe alium eſſe loci hujus ſenſum apud ipſum Appianum, quoniam quæ Appianus de exercitu dicit, ea Suidas hic per inſignem ἀβλεψίαν ad Scipionis ex fratre nepotem refert.

καὶ τρυφῆς, ἔφη, μὴ κρατήσειν πολεμίων, πρὶν κατασχεῖν τῶν ἰδίων ἐγκρατῶς.

Γεννάδας. γενναῖος. εὐγενέστατος.

Γεννάδιος, [1] Πατριάρχης Κωνσταντινουπόλεως, νύκτωρ εἰσελθὼν εἰς τὸ ἅγιον θυσιαστήριον προσεύξασθαι, εἶδέ τι φάσμα δαιμόνιον, καὶ ἤκουσε κράζοντος, ὡς αὐτοῦ μὲν ζῶντος ἐνδίδωσιν, ὕστερον δὲ κρατήσει πάντως τῆς Ἐκκλησίας.

Γεννάρχου. πατρός.

Γενναῖος. ὁ εὖ γεγονώς. καὶ, [2] Γενναῖος εἶ ἐκ βαλαντίου. ἐπὶ τῶν διὰ πλοῦτον εὐγενῶν εἶναι δοκούντων. † Οὐ χρημάτων κρείττων ὁ γενναῖος ἀνήρ.

Γενναιότατος. Ὤμοι τάλαινα, ὡς κακῶς διάκεισαι, γενναιότατος περὶ ἐμὲ γενόμενος, καὶ θανάτου με ῥυσάμενος.

Γενεά. [3] κατ' ἐνίους μὲν ἔτη ζ΄. ὅθεν καὶ λέγουσιν οἱ ἰατρικοὶ τῶν [4] δύο γενεῶν μὴ δεῖν φλεβοτομεῖν· τὸν τεσσαρεσκαιδέκατον λέγοντες, ὡς ἔτι προσδεόμενον αἵματος, καὶ οὐδέπω ἔχοντα περισσὸν αἷμα. Κατ' ἐνίους δὲ λ΄. ὅθεν καὶ τὸν Νέστορα βούλονται ἐνενηκονταέτη γεγονέναι. καὶ τριγέρων· ὁ τρεῖς γενεὰς βιούς· τουτέστιν, ἐνενηκοντούτης.

———————Νέστωρ [5]
Ἐν Πύλῳ ἠγαθέῃ τύμβον ἔχει τριγέρων.

Γενεαῖς γενεῶν. τουτέστιν, ἀπείροις γενεαῖς.

Γένεθλα. γεννήματα.

Γενέθλια. ἡ δι' ἐνιαυτοῦ ἐπιφοιτῶσα τοῦ τεχθέντος ἑορτή. καὶ Γενεθλιαλογία. μαντεία περὶ τῆς γενέσεως.

Γενέθλιος, Γενεθλίου, Παλαιστῖνος, ἐκ [6] Πετρῶν, σοφιστής, μαθητὴς Μινουκιανοῦ καὶ Ἀγαπητοῦ, ἀντιπαιδεύσας κατὰ τὰς Ἀθήνας Καλλινίκῳ τῷ διασήμῳ, δεξιὸς τὴν φύσιν, καὶ ὅλην μελέτην ἀπομνημονεύσας ἐν [7] ἀκροάσει. τελευτᾷ δὲ νέος ἐτῶν κη΄. ἔγραψε δὲ λαλιὰς, ἤτοι διαλέξεις, καὶ μελέτας· ὧν ἐστιν ὁ ἄπολις ἑαυτὸν ἀποκηρύττων μετὰ τὴν τῶν Θηβῶν κατασκαφήν. Προπεμπτικὸν πρὸς τοὺς ἑαυτοῦ ἑταίρους Δᾳδοῦχον καὶ Ἀσκληπιάδην. Πανηγυρικούς.

Γενέσια. ἡ δι' ἐνιαυτοῦ ἐπιφοιτῶσα τοῦ τεχθέντος μνήμη.

Γένεσις. ὁ κόσμος. Περὶ τὴν γένεσίν τε πλανᾶται λήθῃ βαρούμενος καὶ κακίᾳ.

Γένεσις. ἡ τοῦ παντὸς διακόσμησις. [8] Ὁ δὲ Ἰσίδωρος διαπτύων τὴν γένεσιν, ἀεὶ πρὸς Θεὸν ἐτέτατο τὴν

via, ſeditione, & luxu corruptum eſſe, dixit, ſe nunquam hoſtium victorem fore, niſi prius ſuos metu diſciplinæ in officio continuiſſet.

Γεννάδας. Generoſus. Nobiliſſimus.

Γεννάδιος. Gennadius, Patriarcha Conſtantinopolitanus, cum noctu orandi gratia ad ſacrum altare acceſſiſſet, ſpectrum quoddam dæmoniacum vidit, quod in hæc verba exclamans audivit: Se ipſo quidem ſuperſtite quieſcere; poſtea vero tota Eccleſia ſe potiturū eſſe.

Γεννάρχου. Patris.

Γενναῖος. Nobili genere natus. Et, *Nobilitatem habes a crumena.* Dicitur in eos, qui ob divitias nobiles ſibi videntur. † Vir generoſus pecunia corrumpi neſcit.

Γενναιότατος. Generoſiſſimus. *Heu me miſeram, ut male habes, qui optime de me meritus es, & a morte me liberaſti.*

Γενεά. Ætas. Secundum quoſdam eſt ſpatium ſeptem annorum: quo ſenſu Medici dicunt, ei, qui ſit duarum ætatum, non eſſe incidendam venam; intelligentes nimirum adoleſcentem quatuordecim annorum, quod ſanguine adhuc egeat, nec dum ſuperfluum habeat ſanguinem. Secundum alios vero [γενὰ eſt ſpatium] xxx. annorum. Unde etiam Neſtorem volunt nonagenarium fuiſſe. Et τριγέρων, qui tres ætates vixit: id eſt, nonagenarius. [In Epigrammate:] *Neſtor, qui tres hominum ætates vixit, in Pylo valde clara ſepulcrum habet.*

Γενεαῖς γενεῶν. Infinitis ætatibus.

Γένεθλα. Soboles. Liberi.

Γενέθλια. Anniverſarium feſtum natalitium. Et γενεθλιαλογία, prædictio natalitia.

Γενέθλιος. Genethlius, Genethlii filius, Palæſtinus, ex urbe Petris, Sophiſta, Minuciani & Agapeti diſcipulus, qui docuit Athenis, celebris illius Callinici æmulus. Hic ingenio optimo præditus fuit, & declamationem integram ſemel auditam memoriter aliquando recitavit. Obiit juvenis, annos XXVIII. natus. Scripſit λαλιὰς, ſive allocutiones, & declamationes, inter quas eſt exul ſe ipſum vendens poſt Thebarum excidium. Propempticum ad amicos ſuos Daduchum & Aſclepiadem. Orationes Panegyricas.

Γενέσια. Natalitia, quæ quotannis in alicujus memoriam celebrantur.

Γένεσις. Mundus. *Per mundum vagatur oblivione & vitiis oneratus.*

Γένεσις. Mundus. *Iſidorus vero mundum hunc contemnens animo ſemper erat in Deum*

---

[1] Γεννάδιος, Πατριάρχης Κωνσταντιν. νύκτωρ εἰσελθ. εἰς τὸ ἅγιον θυσ.] Hæc, & quæ ſequuntur, αὐτολεξεὶ pene etiam leguntur apud Theodorum Lectorem lib. 1. pag. 555.

[2] Γενναῖος εἶ ἐκ βαλαντίου. ἐπὶ τῶν δ.] Ex Zenobio.

[3] Γενεά. κατ' ἐνίους μὲν ἔτη ζ΄. ὅθεν καὶ λ.] Hæc, & quæ ſequuntur, ſunt verba Artemidori lib. II. cap. LXXV. pag. 157. ut Pearſonius recte obſervavit.

[4] Τῶν δύο γενεῶν μὴ δεῖν φλεβοτομεῖν. τὸν τεσσαρεσκαιδέκατον λ.] Hæc corrupta ſunt, quæ apud Artemidorum loco laudato rectius ſic leguntur, τῶν δύο γενεῶν μηδένα φλεβοτομεῖν, τὸν τεσσαρεσκαιδεκαέτη λέγοντες &c.

[5] Νέστωρ ἐν Πύλῳ ἠγαθέῃ τύμβον ἔχει τρ.] Diſtichum integrum, ex quo verba hæc decerpta ſunt, in codice MS. Epigrammatum ineditorum ſic legitur:

Ἡδυεπὴς Νέστωρ, παλαιὸς, Νηλήϊος ἥρως,
Ἐν Πύλῳ ἠγαθέῃ τύμβον ἔχει τριγέρων

Vide etiam Suidam infra v. Τριγέρων.

[6] Ἐκ Πετρῶν] Meurſius ad Heſychium Mileſium pag. 135. legit ἐκ Πατρῶν.

[7] Ἐν ἀκροάσει] Scribe ἐν μιᾷ ἀκροάσει, ut recte legitur apud Heſychium Mileſium.

[8] Ὁ δὲ Ἰσίδωρος διαπτ.] Ex Damaſcio.

ψυχὴν

ψυχήν. καὶ οὐδὲν ἦν ἰδεῖν ἢ ἀκοῦσαι φθεγγόμενον, ἢ τὰ αὐτὰ περὶ τῶν αὐτῶν, ἢ περὶ ἀρετῆς καὶ κακίας.

Γένεσις. Γένεσις λέγεται καὶ ἡ εἱμαρμένη. ἔστι δὲ πρεσβύτερον τῆς γενέσεως ἔννοια καὶ αὐτεξουσιότης. Γένεσις καὶ ἡ ἀρχή. Αἰλιανός· Ἔνθεν οἱ καὶ τὸ ἀῤῥώστημα ἦν τὴν γένεσιν λαβόν.

Γενέτειραν. μητέρα. ποιητικῶς.

Γενετή. πατρία. ἢ γενέσια.

Γενέτης. ὁ πατήρ.

Γενετικόν. ἡ γέννησις.

Γενετυλλίς. δαίμων περὶ τὴν Ἀφροδίτην, γενέσεως αἴτιος, ἀπὸ τῆς γενέσεως τῶν παίδων [1] ὠνομασμένος. πεποίηται δὲ τὸ ὄνομα παρὰ τὴν γένεσιν. οἱ δὲ περὶ τὴν Ἄρτεμίν φασι [2] τοὺς τῶν τοκετῶν ἐφόρους. καὶ [3] πάλιν περὶ τὴν γένεσιν [4] Ἀριστοφάνης·

Ὡς ἡδὺ τὸ μέλος, ὦ πότνιαι Γενετυλλίδες,
Καὶ θηλυδριῶδες, καὶ κατεγλωττισμένον, καὶ
μανδαλωτόν.

Γενειάς. αἱ τρίχες. Γένειον. ὁ τόπος. τὸ μέρος τοῦ σώματος.

Ἐκ δὲ δασκίου γενειάδος
Κρουνοὶ διεῤῥαίνοντο κρηναίου ποτοῦ.

Ὅτι ἡ τοῦ ἄνω χείλους τρίχωσις λέγεται μύσταξ· τὸ δὲ κάτω, πάππος.

Γεννητική. κρείσσων πασῶν καὶ τιμιωτέρα τῶν τῆς ψυχῆς φυσικῶν δυνάμεων ἡ γεννητική. δεύτερον δὲ, ἡ αὐξητική· καὶ τρίτον ἡ θρεπτική. τῆς μὲν γὰρ θρεπτικῆς ἔργον ἐστὶ τὸ σώζειν τὸ εἶδος. μέχρι γὰρ τοσούτου σωζόμεθα, ἕως ἂν τρεφώμεθα. τῆς [5] δὲ αὐξητικῆς, τὸ εἰς τέλειον καὶ κατὰ φύσιν μέτρον ἀγαγεῖν· εἰς ὃ γενόμενα τά τε ζῶα καὶ τὰ φυτὰ ἐπὶ τὸ σκοπιμώτατον τῆς φύσεως τέλος, λέγω δὴ τὴν γεννητικὴν δύναμιν, παραγίνεται. οὗτος γὰρ τῆς φύσεως ὁ τελικώτατος σκοπὸς, διὰ τὴν ἔφεσιν τῆς ἀϊδιότητος, τοῖς θνητοῖς ζώοις ἐπισκευαστῆς τῇ διαδοχῇ γινομένης. ὥστε ἡ μὲν αὐξητικὴ ὕλης ἐπέχει λόγον πρὸς τὴν γεννητικήν· πρὸς δὲ τὴν αὐξητικὴν, ἡ θρεπτική. † Ὅτι Μέλισσος ᾤετο τὸ μὴ γενόμενον οὐκ ἔχειν ἀρχήν. ψεῦδος δέ ἐστι. πολλὰ γὰρ ἀγέννητα ὄντα ἀρχὰς ἔχει.

Γεννησαρέτ. ὄνομα τόπου.

Γέννησιν. τὴν τῶν Ἀφροδισίων μίξιν.

Γεννηταί. [6] οὐχ οἱ ἐκ γένους καὶ ἀφ' αἵματος προσήκοντες, ἀλλ' οἱ ἐκ τῶν γενῶν τῶν συννενεμημένων εἰς τὰς φατρίας. οὗτοι δέ εἰσι καθάπερ οἱ δημόται καὶ φράτορες, νόμῳ τινὶ ἔχοντες κοινωνίαν. τὸ δὲ γένος ἔχει ἄνδρας λ'. αἱ δὲ φατρίαι ἐκαλοῦντο τριττῦς. ὅτι τεσσάρων φυλῶν οὐσῶν, εἰς τρία ἑκάστην διεῖλον μέρη· τὰς μὲν φυλὰς τέσσαρας ποιήσαντες, ἀπομιμησάμενοι τὰς

intento: neque quidquam aliud eum vidiſſes aut audiviſſes loquentem, quam eadem de iiſdem, aut de virtute & vitio.

Γένεσις. Sic etiam fatum vocatur. Mens autem & voluntas libera fato antiquiora ſunt. Γένεσις etiam principium ſive originem ſignificat. Ælianus: *Hinc etiam morbus ejus originem duxit.*

Γενέτειραν. Matrem. Poetice.

Γενετή. Patria. Vel, natalitia.

Γενέτης. Pater.

Γενετικόν. Generatio.

Γενετυλλίς. Genetyllis. Dea, Veneris comes, generationis auctor, a puerorum generatione ſic appellata: quoniam nomen illud a voce γένεσις deductum eſt. Alii vero dicunt Deas partus præſides, quæ circa Dianam ſunt, ſic appellari. Et Ariſtophanes: *O venerandæ Genetyllides, quam ſuave eſt hoc carmen, & molle, & illecebris plenum, & laſcivum.*

Γενειάς. Pili barbæ. At γένειον, mentum, ſive pars corporis, [in qua pili naſcuntur.] *Ex umbroſo autem mento ejus fontes aquæ manabant.* † Superioris labri pili vocantur μύσταξ: inferioris vero πάππος.

Γεννητική. Vis generatrix eſt omnium facultatum naturalium animæ præſtantiſſima & digniſſima. Secunda ab ea eſt facultas auctrix; & tertia, facultas altrix. Hujus officium eſt ſpeciem conſervare. Tamdiu enim conſervamur, quoad nutrimur. Auctricis vero officium eſt, animalia ad perfectam & naturalem menſuram perducere: ad quam poſtquam animalia & plantæ pervenerunt, ultimum & primarium naturæ finem & ſcopum, id eſt facultatem generatricem, conſequuntur. Is enim eſt primarius naturæ ſcopus, propter appetitum æternitatis, quam animalibus ſua natura mortalibus continua propagatio & ſucceſſio tribuit. Quamobrem facultas auctrix materiæ vicem obtinet ad facultatem generatricem; pariterque altrix ad auctricem. † Meliſſus putabat, id, quod natum non eſt, carere principio: quod falſum eſt. Multa enim, quæ generata non ſunt, principiũ habent.

Γεννησαρέτ. Geneſaret. Nomen loci.

Γέννησιν. Coitum Venereum.

Γεννηταί. Sic vocantur, non qui cognatione & ſanguine juncti ſunt, ſed qui ſunt membra familiarum civilium (Γένη Græci vocant) in quas Curiæ (φατρίαι) diſtributæ ſunt. Hi vero lege ſocietatem quandam inter ſe habent, ut populares & Curiales. Γένος triginta habet viros. φατρίαι vero vocabantur etiam τριττῦς. Cum enim quatuor eſſent Tribus, ſinguτοῦ ἐνιαυτοῦ ὥρας· τὰς δὲ Φατρίας καὶ τριττῦς ιβ', καθάπερ οἱ μῆνες. τὰ δὲ γένη λ' ἐν ἑκάστῃ Φατρίᾳ, καθάπερ αἱ ἡμέραι [1]τξέ.

---

[1] Ὠνομασμένος] Scribe ὠνομασμένη. Γενετυλλὶς enim eſt nomen Deæ.

[2] Τὰς τῶν τοκ.] Cum Porto legere malim ταῖς τῶν τοκ.

[3] Πάλιν περὶ τὴν γένεσιν] Hæc verba delenda ſunt, utpote nullum ſenſum hic habentia, & a librario procul dubio, neſcio quid ſomniante, in textum intruſa.

[4] Ἀριστοφάνης] *Theſmophor.* pag. 773. (515. Ed. Baſ. *P.*)

[5] Τῆς δὲ αὐξητικῆς, τὸ εἰς τέλειον καὶ κ.] His gemina habet Philoponus in lib. II. Ariſtot. *de Anima* H. 5. quem confer.

[6] Γεννηταί] Malim γεννῆται, cum circumflexo in penultima, ut paulo poſt.

las in tres partes diviſerunt. Et quatuor quidem Tribus fecerunt, ut imitarentur quatuor anni tempora. Φατρίας vero & Τριττῦς duodecim, ut numerum duodecim menſium æquarent. Singulæ denique Curiæ, ſive Φατρίαι, habebant Γένη triginta: ita ut omnium Curiarum Γένη in unam ſummam collecta implerent numerum CLX, quot dies annus habet.

Γεννῆται.[2] οἱ τοῦ αὐτοῦ γένους κοινωνοῦντες. καὶ γὰρ διῄρηντο κατὰ μέρη οἱ τῶν Ἀθηναίων πολῖται· καὶ τὰ μὲν μέγιστα μέρη Φυλαὶ ὠνομάζοντο. ἑκάστη δὲ Φυλὴ πάλιν εἰς τρία διῄρητο· ὧν ἕκαστον μέρος τριττὺς καὶ φατρία ὠνομάζετο. πάλιν δὲ τῶν Φατριῶν ἑκάστη εἰς γένη διῄρητο τριάκοντα· ἐξ ὧν αἱ ἱερωσύναι ἑκάστοις προσήκουσαι ἐκληροῦντο. καὶ Γεννῆται, οἱ ἐκ τοῦ αὐτοῦ καὶ πρώτου γένους τῶν τριάκοντα γενῶν· οὓς καὶ πρότερόν φησι Φιλόχορος ὁμογάλακτας καλεῖσθαι. Ἰσαῖος μέντοι τοὺς γεννήτας ἁπλῶς τοὺς ἐξ αἵματος συγγενεῖς ὀνομάζει.

Γενικαὶ ἀρεταὶ δ'· Φρόνησις, ἀνδρία, σωφροσύνη, δικαιοσύνη. καὶ ζήτει τὰς ἀντικειμένας αὐταῖς κακίας ἐν τῷ Ὑπερήφανος.

Γενικός. [3] Ἀρτέμιος, ὁ καὶ Ἀναστάσιος, βασιλεὺς Ῥωμαίων, αἰσθόμενος στόλον Σαρακηνῶν ἔρχεσθαι κατὰ τῆς πόλεως, Ἰωάννην ἐφίστησιν ἡγεμόνα τοῦ πολέμου, διάκονον τῆς μεγάλης Ἐκκλησίας, καὶ λογιστὴν τῶν Φόρων, ὃν Γενικὸν καλοῦσιν· ὃς πρὸς τῇ Ῥόδῳ γενόμενος, καταστασιασθεὶς ὑπὸ τοῦ πλήθους ἀναιρεῖται.

Γενικῶς. γενναίως. ἰσχυρῶς.

Γενόμενα καὶ γινόμενα διαφέρει. τὰ μὲν γὰρ γενόμενα πάντως ἀπέβη. τὰ δε γινόμενα ἤτοι ἀποβαίνει, ἢ οὔ.

Γινόμενος ἐξ ὀφθαλμῶν. Φυγών. ἀποδράσας. [4] Ὁ δὲ γινόμενος ἐξ ὀφθαλμῶν, αὐτὸς εἶχε τἀπίχειρα τῆς ἀγνοίας. Γεννώμενος δὲ, διὰ δύο ν, ὁ τικτόμενος.

Γεννήτης. οἷον γεννήτης, ἢ συγγενὴς, ἢ ἔγγονος. τὸ τελευταῖον ἐκδέχεσθαι ἄμεινον.

Γέντα. τὰ μέλη. Γέντα βοὸς μέλδοντες. Καλλίμαχος.

Γέντο. ἀντὶ τοῦ ἔλαβεν. ἕλω, ἑλῶ, εἷλον· ὁ β' ἀόριστος, εἱλόμην, εἵλου, εἵλετο, καὶ ἕλετο, καὶ κατὰ συγκοπὴν ἕλτο, καὶ τροπῇ Δωρικῶς τοῦ λ εἰς ν, ἕντο, ὡς ἦλθε, ἦνθε· καὶ πλεονασμῷ τοῦ γ, γέντο.

Γένυς. τὰ γένεια.

Γένυς. εἶδος πελέκεως.

Ὅτε σοὶ παγχάλκων ἀνταία
Γενύων ὡρμάθη πλαγά.

Γεννῆται. Sic vocabantur, qui erant ejuſdem familiæ civilis. Cum enim cives Athenienſes in certas partes diſtributi eſſent, earum maximæ vocabantur Φυλαὶ, i. e. Tribus. Harum Tribuum unaquæque in tres diviſa erat partes, quarum ſingulæ appellabantur Φατρίαι vel Τριττῦς. Rurſus ſingulæ Φατρίαι diviſæ erant in XXX Γένη, ex quibus ſacerdotia, quæ ad ſingulos pertinebant, ſorte legebantur. Et Γεννῆται vocabantur, qui erant ex eadem familia, & quidem primaria inter reliquas triginta: quos Philochorus ὁμογάλακτας olim appellatos fuiſſe ait. Iſæus tamen γεννήτας conſanguineos ſimpliciter vocat.

Γενικαὶ ἀρεταί. Virtutes cardinales ſunt quatuor, prudentia, fortitudo, temperantia, & juſtitia. Vitia his oppoſita quære in voce Ὑπερήφανος.

Γενικός. Generalis. Artemius, qui & Anaſtaſius, Imperator Romanorum, cum intellexiſſet Saracenos infeſta claſſe urbem petere, Joannem Magnæ Eccleſiæ Diaconum, & Logothetam Generalem bello præfecit: qui cum ad Rhodum appuliſſet, orta ſeditione a plebe interfectus eſt.

Γενικῶς. Generoſe. Fortiter.

Γενόμενα & γινόμενα differunt. Nam γενόμενα dicuntur ea, quæ omnino præterierunt. Γινόμενα vero, quæ vel eveniunt, vel non.

Γενόμενος ἐξ ὀφθαλμῶν. Qui ex oculis & conſpectu ſe ſubtrahit. Qui aufugit. *Cum autem aufugiſſet, ipſe ignorantiæ mercedem accepit.* Γεννώμενος vero, per duo ν, qui generatur.

Γεννήτης. Gentilis, vel cognatus, vel ab aliquo genus ducens. Ultimo ſenſu vocem hanc accipere præſtat.

Γέντα. Membra. Callimachus: *Membra bovis coquentes.*

Γέντο. Cepit. Corripuit. Ab ἕλω fit ἑλῶ, εἷλον, & Aor. 2. med. εἱλόμην, εἵλου, εἵλετο, ἕλετο, & per ſyncopen ἕλτο, & Dorice verſo λ in ἕντο, ut ἦλθε, ἦνθε; & addito γ, γέντο.

Γένυς. Gena.

Γένυς. Securis genus. [Sophocles:] *Cum tibi adverſus ictus æreæ ſecuris inflictus fuit.*

---

[1] τξέ] Sic etiam habent MSS. Pariſ. & omnes Editt. præcedentes. Sed cum diviſio quatuor antiquiſſimarum tribuum Atticarum in φατρίας & γένη ad imitationem anni facta eſſet, ita ut ipſæ quidem tribus, anni temporibus, φατρίαι menſibus, & γένη diebus numero reſponderent; apparet utique pro τξέ hic apud Suidam ſcribendum eſſe τξ', quoniam quatuor illæ tribus CLX tantum γένη habebant, ut ex iis, quæ Suidas hic tradit, manifeſte patet. Plura hac de re diſputat Mauſſacus ad Harpocrationem v. Γεννῆται, quem conſulat Lector.

‡

[2] Γεννῆται. οἱ τοῦ αὐτοῦ γένους κοιν.] Ex Harpocratione.

[3] Ἀρτέμιος, ὁ καὶ Ἀναστάσιος, βασιλ. Ῥωμ.] Hæc, & quæ ſequuntur, αὐτολεξεὶ etiam leguntur ſupra v. Ἀρτέμιος.

[4] Ὁ δὲ γινόμενος ἐξ ὀφθαλμῶν] Hæc verba in Editt. præcedentibus deſiderantur, quæ ex MSS. Pariſ. revocavi. Eadem etiam verba Pearſonius in codice quodam MS. ſe reperiſſe teſtatur.

[5] Ὅτε σοὶ παγχάλκων ἀνταία γεν.] Hæc ſunt verba Sophoclis Electra pag. 90. ut Portus monuit.

Γένυσι. σιαγόσιν. ἐν [1] Ἐπιγράμμασι·

Χὠ μὲν ἐνέκλεισεν φονίαν γένυν, ἐκ δὲ τενόντων
Ἔνθους ῥομβητὴν ἐστροφάλιζε φόβην.

Γεῦχος. ὁ Ποσειδῶν. ὁ τὴν γῆν ἔχων. Γαιήοχος δέ.

Γεωγραφία. ἡ περιήγησις.

Γεώδης. ὁ ἐκ τῆς γῆς.

Γεώλοφον. [2] ὀρεινόν. [3] ὄρος. ὕψωμα γῆς. καλοῦσι δ' οὕτω καὶ τὸν παχὺν καὶ ἀναίσθητον ἄνθρωπον.

---Πέπατο [4] γὰρ οὐ μέγα τοῦτο
Κλήειον ἐν λυπρῇ τῇδε γεωλοφίῃ.

Γεωμέτρης. ὁ τὴν γῆν μετρῶν.

Γεωμετρία. ἐστὶν ἐπιστήμη τοῦ ἐπιστητοῦ, ἢ ὑποληπτοῦ. ἐπιστητὰ γὰρ καὶ ὑποληπτὰ καὶ τὰ ὧν ἐστιν ἡ γεωμετρία ἐπιστήμη. ταύτην δὲ τὴν ἐπιστήμην ἐφεῦρον Αἰγύπτιοι, ἐκ τοῦ ἀπλέτου τῆς γῆς καὶ τῆς διαιρέσεως τῶν χώρων προδιδαχθέντες, εἶτα καὶ συγγράψαντες.

Γεωμόριον. γεώργιον. ἐν Ἐπιγράμμασι·

---Ἐφ' [5] αἷς πολὺν ἔβρασεν ἄντλον
Κριθῶν, καὶ λιπαρὴν εἶδε γεωμορίην.

Γεωμόρος. ὁ περὶ τὴν γῆν κοπιῶν.

Γεωπεῖναι. οἱ μικρὰν καὶ λυπρὰν ἔχοντες γῆν. παρὰ δὲ Ἡροδότῳ οἱ γῆς πεινῶντες καὶ ἀπορούμενοι. καὶ Γεωπόνος, ὁ τὴν γῆν πονῶν καὶ ἐργαζόμενος.

Γεωπός. [6] ὁ γεωργός.

Γεώργιος, [7] διάκονος τῆς μεγάλης Ἐκκλησίας, καὶ χαρτοφύλαξ, τὸ ἐπίκλην Πισίδης. [8] Ἑξαήμερον δι' Ἰάμβων εἰς ἔπη τρισχίλια. εἰς Ἡράκλειον τὸν βασιλέα, καὶ εἰς τὸν κατὰ Περσῶν πόλεμον. [9] ἔπι τε Ἀβαρικὰ καταλογάδην. Ἐγκώμιον εἰς [10] τὸν Μάρτυρα Ἀναστάσιον.

Γεῶρες. οἱ γεωφύλακες.

Γεωφάνιον. [11] χωρίον, ἐν ᾧ μέταλλον.

Γεράνεια. πόλις. καὶ Βιστονία, ἐπίθετον τῆς γεράνου. καί ἐστιν ἐν τῷ Βιστονίᾳ.

Γέρα. οὐδετέρως τιμαί. Καὶ ἐπειδὴ κεκάθαρτο τῷ βασιλεῖ ὁ στρατὸς, καὶ τὰ γέρα σὺν δίκῃ νενέμητο ἑκάστοις, τηνικαῦτα ἔγνω ἐξελαύνειν ἐπὶ τὸν πόλεμον.

Γένυσι. Genis. Maxillis. In Epigrammate: *Et ille quidem (leo) cædis ſitientem rictum clauſit, & fanatica cervicis jactatione jubam rotavit.*

Γεῦχος. Qui terram continet. Eſt epithetum Neptuni. Γαιήοχος vero, [per αι diphthongum ſcribitur.]

Γεωγραφία. Terræ deſcriptio.

Γεώδης. Terreſtris. Terrenus.

Γεώλοφον. Mons. Collis. Tumulus. Sic etiam hominem craſſum & ſtupidum vocant. [In Epigrammate:] *Poſſidebat enim exiguum hoc prædium, in ſterili colle ſitum.*

Γεωμέτρης. Geometra. Terræ menſor.

Γεωμετρία. Geometria eſt ſcientia ejus, quod ſub ſcientiam vel opinionem cadit. Talia enim ſunt ea, circa quæ Geometriæ ſcientia verſatur: quam invenerunt Ægyptii, eamque literis tandem mandarunt, cum ob vaſtam camporum planitiem & agrorum dividendorum neceſſitatem arti huic operam dediſſent.

Γεωμόριον. Ager, qui colitur. In Epigrammate: *In qua* [*area*] *magnum hordei acervum trivit, & pinguem vidit meſſem.*

Γεωμόρος. Agricola.

Γεωπεῖναι. Qui exiguum & ſterilem habent agrum. Apud Herodotum vero ſic appellantur illi, qui agro indigent, ejuſque inopia laborant. Et γεωπόνος, agricola.

Γεωπός. Agricola. Colonus.

Γεώργιος. Georgius, Magnæ Eccleſiæ Diaconus & Chartophylax, cognomento Piſides. Scripſit Hexaemerum, ſive de opificio mundi: quod opus tribus fere millibus verſuum Iambicorum conſtat. De Heraclio Imperatore, & bello Perſico. Adhæc, Abarica, oratione ſoluta: & Encomium Anaſtaſii Martyris.

Γεῶρες. Terræ cuſtodes.

Γεωφάνιον. Locus, in quo metalla naſcuntur.

Γεράνεια. Gerania, urbs. Et Biſtonia, epithetum gruis. Vide in voce Βιστονία.

Γέρα. Eſt generis neutrius, ſignificans honores, præmia. *Rex luſtrato exercitu, & præmiis pro meritis cuique diſtributis, ad bellum proficiſci decrevit.*

---

[1] Ἐν Ἐπιγράμμασι] Anthol. lib. 1. cap. XXXIII. pag. 70. (49. Ed. Henr. Steph. *P.*)

[2] Γεώλοφον. ὀρεινόν. ὄρος. ὕψωμα γ.] Eadem habet Etymologus v. Γαῖα.

[3] Ὀρεινόν] Hæc vox ut ſupervacanea delenda eſt: nec agnoſcit eam Etymologus.

[4] Πέπατο γὰρ οὐ μέγα τοῦτο κληρ.] Fragmentum hoc decerptum eſt ex Epigrammate quodam inedito, quod in Anthologia MS. Zonæ tribuitur. Epigramma illud alibi cum Lectore communicabimus.

[5] Ἐφ' αἷς πολλὺν ἔβρασεν ἄντλον] Fragmentum hoc auctius legitur ſupra v. Ἀντλία.

[6] Γεωπός] Vocem hanc ſuſpecto habeo, quæ forſan ex γεωπόνος corrupta eſt.

[7] Γεώργιος, διάκονος τῆς μεγ.] De hoc Georgio multa congeſſit Leo Allatius in Diatriba *de Georgiis*, quem conſulat Lector.

[8] Ἑξαήμερον δι' Ἰάμβων εἰς ἔπη τρισχ.] Exſtat & hodie opus illud Piſidis, ſed quod tantum verſus 1880, non vero 3000 complectitur, quamvis nec principium nec finis ei deſit, ut Pearſonius etiam monuit. Reliqua vero opera Piſidis, quæ Suidas hic memorat, hodie interciderunt, vel ſaltem in tenebris bibliothecarum adhuc latent.

[9] Ἔπι τι Ἀβαρικὰ καταλογάδην] In MSS. Pariſ. locus hic ita legitur & diſtinguitur, ἔπι τι Ἀβαρικά· καὶ καταλογάδην ἐγκώμιον &c. Hanc lectionem, quam veram eſſe puto, ſi amplectamur, Abarica ſcripta fuerint verſibus; Encomium vero Martyris Anaſtaſii oratione proſa.

[10] Εἰς τὸν Μάρτυρα Ἀναστάσιον] Ab hac lectione omnino diſcrepat MS. Pariſ. A. qui ſic habet, εἰς τὸν μείζω Ἀθανάσιον. Cogitet Lector & inquirat, utrum lectio iſta vulgatæ præferenda ſit.

[11] Γεωφάνιον. χωρίον ἐν ᾧ μ.] Ex Harpocratione: ad quem vide Mauſſacum. Confer etiam Etymologum.

Γέρρα. παρὰ Σικελοῖς τὰ γυναικεῖα καὶ ἀνδρεῖα αἰδοῖα.

Γέρρα.[1] Περσικὰ[2] μέν ἐστι κυρίως ὅπλα τὰ γέρρα· καταχρηστικῶς δὲ ἅπαν σκέπασμα, εἴτε δερμάτινον, εἴτε ἄλλης τινὸς ὕλης γέρρον ἐλέγετο. διὸ καὶ Δημοσθένης τὰ τῶν σκηνῶν σκεπάσματα καὶ περικαλύμματα ἐν τῷ ὑπὲρ Κτησιφῶντος γέρρα καλῶν, ἐμπίπρασθαι λέγει. λέγοιτ' ἂν ὁμοίως γέρρα καὶ τὰ τῶν σκηνῶν περιφράγματα.

Γερράδια. στρωτηρίδια.

Γεράνδρυον. παλαιὸν φυτὸν καὶ γεγηρακός. ἢ τὸ ἐν τῇ ῥίζῃ συμφυὲς καὶ ἐξηραμμένον. εἴρηται παρὰ τὴν δρῦν. δοκεῖ γὰρ πρῶτον φυτὸν γενέσθαι δρῦς. ὅθεν δρυμοὺς ἐκάλουν τοὺς δασεῖς τόπους, ἐξ οἵων δή ποτε ὄντας φυτῶν. καὶ δρυφάκτους, τοὺς ἀπὸ ξύλων περιωρισμένους.

Γεράνδρυον[3] μεταφυτευόμενον. ἐπὶ τοῦ ἀδυνάτου. παρεγγυᾷ ὅτι μὴ δεῖ τοὺς παρηβηκότας προσάγειν εἰς τὰ τῶν ἀκμαζόντων ἔργα.

Γερανία. ὄρος τῆς Μεγαρίδος.

Γέρανος. τὸ ὄρνεον, ἐπίκοινον τοῦ γένους. Βάβριος·

Λίβυσσα γέρανος. ὁ δὲ ταὼς εὐπήληξ
Χλωρὴν ἀεὶ βόσκοιτο χείματος ποίην.

Γέρανοι λίθους καταπεπωκυῖαι. ἐπὶ τῶν προνοητικῶς τι ποιούντων.[4] αἱ γὰρ γέρανοι διὰ τὸ ἐν ὕψει πέτεσθαι, καὶ τῇ εἰς εὐθὺ ὁρμῇ τὴν ἐπὶ τὰ κάτω θέαν ἐμποδίζεσθαι, λίθους βαστάζουσιν, ὅπως κάμνουσαι τῇ πλήσει ῥίπτοιεν, καὶ αἴσθοιντο, πότερον ἐπὶ γῆς ἢ θαλάττης φέρονται. καὶ εἰ μὲν ἐπὶ θάλατταν ἤχοι ὁ λίθος, ἀνύουσι τὴν ὁδόν· εἰ δὲ ἐπὶ γῆς, ἀναπαύονται. τοῦτό φησιν Ἀριστοφάνης· Γέρανοι λίθους καταπεπωκυῖαι.

Γεραρόν. ἔντιμον. ἢ πρεσβύτερον.

Γέρας. ἀμοιβαί. τιμαί. ἀνταποδόσεις.

Γέρασα. πόλις τῆς κοίλης Συρίας. ὁ πολίτης, Γερασηνός.

Γεργέριμον.[5] τὴν ἐν τῷ δένδρῳ πεπανθεῖσαν ἐλαίαν. Πίτυρίν τε, καὶ ἣν ἀπεθήκατο λευκήν. τουτέστι, τὴν συνθλασθεῖσαν, καὶ οὕτως ἀποτεθεῖσαν ἐλαίαν. εἰν ἁλὶ δὲ νήχεσθαι φθινοπωρίδα τὴν κολυμβάδα λέγει.

Γεργεσαῖος. ἀπὸ τόπου. καὶ Γεργεσηνός.

Γέργηθες.[6] ὄνομα πόλεως. ἢ ἡ τύρβη, καὶ οἱ χειρώνακτες οὕτω καλοῦνται[7] παρὰ τοῖς Μιλησίοις τοῖς ἐν περιβολῇ. τουτέστι, τοῖς πλουσίοις.

Γέρρα. Apud Siculos partes genitales tam viri quam mulieris.

Γέρρα. Proprie ſic vocantur ſcuta Perſica. Abuſive vero & quodvis tegumentum, ſive ex pellibus, ſive ex alia aliqua materia confectum, γέρρον appellabatur. Quamobrem etiam Demoſthenes in oratione pro Cteſiphonte ſcenarum tegumenta & vela γέρρα vocans, ea incenſa eſſe dicit. Γέρρα etiam dici poſſunt ſcenarum ſepta.

Γερράδια. Parvæ crates.

Γεράνδρυον. Arbor annoſa & ſenio confecta. Vel, cujus radix concreta eſt & arida. Dicta eſt vox iſta a δρῦς, quercus; quoniam quercus arbor omnium prima fuiſſe videtur. Hinc quoque δρυμοὺς vocabant ſylvas, quaſcunque etiam arbores haberent. Et δρυφάκτους, ſepta lignea, vel cancellos ligneos.

Γεράνδρυον μεταφ. *Vetus arbor tranſplantata* Dicitur de eo, quod fieri non poteſt. Monet autem proverbium, munera juniorum non eſſe ſenibus injungenda.

Γερανία. Gerania, mons Megaridis.

Γέρανος. Grus. Eſt generis epicœni. Babrius: *Libyſſa grus. Pavo vero pulchra criſta decorus tempore hyemis viridi ſemper paſcatur herba.*

Γέρανοι λίθους καταπ. Grues, quæ lapillos deglutiverunt. Dicitur de illis, qui prudenter & provide aliquid agunt. Grues enim quia in ſublimi volant, & recto itinere velociter pergunt, ea, quæ infra ſunt, cernere nequeunt: quæ ratio eſt, quare lapillos geſtent, quos volando laſſæ abjiciunt, ut cognoſcant, utrum ſupra terram, an vero mare ferantur. Et ſi quidem lapis in mare deciderit, iter cœptum continuant; ſin in terram, requieſcunt. Hæc eſt mens Ariſtophanis, cum ait: *Grues, quæ lapillos deglutiverunt.*

Γεραρόν. Honoratum. Venerabile. Vel, antiquius.

Γέρας. Remuneratio. Honor. Præmium.

Γέρασα. Geraſa, urbs Cœleſyriæ. Civis, Geraſenus.

Γεργέριμον. Olivam, quæ in arbore maturuit. [Callimachus: *Olivam ſponte decidentem*] *& vilem, quamque repoſuit, ut in muria natet, albam autumnalem.* Id eſt, olivam contuſam, & ſic repoſitam. Εἰν ἁλὶ νήχεσθαι φθινοπωρίδα vero eam appellat, quam alii κολυμβάδα, i. e. in muria natantem vocant.

Γεργεσαῖος. Gergeſæus. Nomen a loco deductum. Item Gergeſenus.

Γέργηθες. Gergethes. Nomen urbis. Vel vilis turba operariorum & opificum ſic a divitibus Mileſiis appellabatur.

---

[1] Γέρρα. Περσικὰ μέν ἐστι κυρ.] Ex Harpocratione. Vide etiam paulo inferius v. Γέρρον.

[2] Περσικὰ ἔστι μὲν κυρίως ὅπλα] Verum id eſſe ex Herodoto conſtat; quem vide lib. ix. pag. 339.

[3] Γεράνδρυον μεταφυτευόμενον. ἐπὶ τοῦ ἀδ.] Ex Zenobio.

[4] Αἱ γὰρ γέρανοι διὰ τὸ ἐν ὕψει π.] Hæc, & quæ ſequuntur, ſunt verba Scholiaſtæ Ariſtophanis ad *Aves* pag. 594. (412. Ed. Baſ. P.)

[5] Γεργέριμον. τὴν ἐν τῷ δένδρῳ πεπ.] Locus hic eſt mutilus, quem ſic lego & ſuppleo: Γεργέριμον. τὴν ἐν τῷ δένδρῳ πεπανθεῖσαν ἐλαίαν. Καλλίμαχος·

Γεργέριμον, πίτυρίν τε, καὶ ἣν ἀπεθήκατο λευκὴν
Εἰν ἁλὶ νήχεσθαι φθινοπωρίδα.

Τουτέστι τὴν συνθλασθεῖσαν &c. Confer Athenæum lib. ii. pag. 56. ex quo diſcimus, fragmentum, quod Suidas hoc loco affert, ex Callimacho depromptum eſſe.

[6] Γέργηθες. ὄνομα πόλεως] Imo Γέργις, vel Γέργιθος. Vide Stephanum Byzantium.

[7] Παρὰ τοῖς Μιλησίοις τοῖς ἐν περιβ.] Vide Athenæum lib. xii. pag. 524. & infra v. Περιβολή.

Γέρδιος.[1] ὑφάντης. καὶ παρ' ἡμῖν ἡ Γερδία.

Γεραιά. ἡ γραῦς. καὶ Γεραιαὶ, αἱ τοῦ Διονύσου ἱερωμέναι γυναῖκες.

Γεραιός. ἔντιμος. καὶ ὁ ῥυτίδων ἀνάπλεως. [2]Ἐν Ἐπιγράμμασι·

Ῥοιὴν ξανθοχίτωνα, γεραιόφλοιά τε σῦκα.

καὶ αὖθις·

—Οἷς ὁ γεραιὸς
Λαρότερον μαλακῶν ἔπνεεν ἐκ στομάτων.

Γεραίρειν. τιμᾷν. δοξάζειν. καὶ Γέραιρε, δόξαζε, τίμα. καὶ παροιμία· Γέραιρε σαυτόν. ἀντὶ τοῦ, εὔφραινε σαυτὸν μεγαλορρημονῶν.

Γεραιστός. ὄνομα λιμένος.

Γεραίτερος. παλαιότερος.

Λόγος[3] γέ τοι τίς ἐστι τῶν γεραιτέρων·
Ὅσ' ἀνόητα κἂν ἢ μῶρα βουλευσώμεθα,
Ἅπαντ' ἐπὶ τὸ βέλτιον ἡμῖν ξυμφέρειν.

Ποσειδῶν γὰρ καὶ Ἀθηνᾶ ἐφιλονείκησαν περὶ τῆς Ἀττικῆς, καὶ νικῆσαι τὴν Ἀθηνᾶν. ἡττηθέντα δὲ τὸν Ποσειδῶνα καὶ λυπηθέντα καταράσασθαι τῇ πόλει, καὶ λέγειν αὐτὸν, ὅτι γένοιτο τοὺς Ἀθηναίους ἀεὶ [4]κακῶς βουλεύεσθαι. ἀκούσασαν δὲ τὴν Ἀθηνᾶν τὰς κατάρας, προσθεῖναι, ὅτι κακῶς βουλεύσασθαι, καὶ ἐπιτυγχάνειν.

Γερήνιος. ἔντιμος γέρων. ἢ ἐν τῇ Γερήνῃ.

Γέρης.[5] ὄνομα κύριον πένητος καὶ φαλακροῦ, ἔθνους Χαόνων. διεβάλλετο δὲ εἰς μαλακίαν. καὶ [6]Ἀριστοφάνης·

Σοὶ δὲ φίλος τίς ἐστιν ἄλλος ἢ Γέρης;

οὐκ ἔστι δὲ παρὰ τὸ γῆρας.

Γερμανικός. ὁ Φράγγος. οἱ Γερμανοὶ Κελτοὶ λέγονται, οἳ ἀμφὶ τὸν Ῥῆνον ποταμόν εἰσι.

Γέρρον. ὅπλον.[7] Ξενοφῶν· Γέρρον ἐς τὴν ἀριστεράν, κοπὶς ἢ σάγαρις εἰς τὴν δεξιάν. Καὶ αὖθις· Οἱ δὲ γέρρα ἔλαβον δασέων βοῶν ὠμοβόϊνα ἀμφὶ τὰ εἴκοσι.

Γέροντα[8] σαυτὸν εἰ βλέπεις, ἕξεις γέρας. καὶ παροιμία· Γέροντι μηδὲν μή ποτε χρηστὸν ποίει. παρεγγυᾷ μὴ ἀκρίτως εὐεργετεῖν.

Γέρων ἀλώπηξ οὐχ ἁλίσκεται πάγῃ. ἐπὶ τῶν διὰ χρόνου πλῆθος ἐμπείρων καὶ δυσαλώτων. καὶ, Γέρων βοῦς ἀπένθητος δόμοισιν. ἐπὶ τῶν [9]καθαρῶς τελευτησάντων.

Γέρων πίθηκος ἁλίσκεται μὲν, μετὰ χρόνον δ' ἁλίσκεται. ἐπὶ τῶν ἅπαξ δυστυχησάντων.

Γέρδιος. Textor. Et apud nos ſic vocatur textrix.

Γεραιά. Anus. Vetula. Et Γεραιαὶ appellabantur mulieres, Baccho ſacræ: vel ſacerdotes Bacchi.

Γεραιός. Honoratus. Venerabilis. Item, rugarum plenus. In Epigrammate: *Malum Punicum flava tunica veſtitum, & rugoſo cortice circundatas ficus.* Et iterum: *Quibus ſenex ſuave quid molli ſpiravit ex ore.*

Γεραίρειν. Honorare. Laudare. Et γέραιρε, lauda, honora. Et proverbium: *Honora te ipſum.* Id eſt, jactando te ipſum oblecta.

Γεραιστός. Geræſtus. Nomen portus.

Γεραίτερος. Antiquior. Senior. [Ariſtophanes:] *Dictum eſt ſeniorum, omnia etiam ſtulta & temeraria conſilia noſtra felicem eventum habere.* Cum enim Neptunus & Minerva de Attica contenderent, victoria penes Minervam ſtetit. Neptunus igitur ſe victum eſſe dolens Athenienſibus imprecatus eſt, ut mala ſemper conſilia caperent. Qua imprecatione audita Minerva addidit, ut mala quidem conſilia caperent, ſed voti tamen compotes fierent.

Γερήνιος. Honoratus ſenex. Vel, civis urbis Gerenes.

Γέρης. Geres. Nomen proprium pauperis & calvi in gente Chaonum, qui ob mollitiem male audiebat. Et Ariſtophanes: *Tibi vero quis amicus alius præter Gerem?* Non eſt autem deductum a nomine γῆρας, i. e. ſenectus.

Γερμανικός. Germanicus. Francus. Germani Celtæ vocantur, qui circa Rhenum fluvium habitant.

Γέρρον. Scutum. Xenophon: *Scutum in ſiniſtra, & ſecuris vel ſagaris in dextra.* Et iterum: *Illi vero ſcuta ceperunt circiter viginti, ex craſſis & crudis pellibus bubulis confecta.*

Γέροντα σαυτὸν εἰ βλ. *Si te ſenem eſſe ſomniaveris, honorem conſequeris.* Et proverbium: *Nullum unquam beneficium in ſenem conferas.* Monemur eo, ne temere vel abſque delectu cuivis benefaciamus.

Γέρων ἀλώπηξ οὐχ ἁλ. *Vetula vulpes non capitur laqueo.* Dicitur de iis, qui propter peritiam, longi temporis uſu acquiſitam, difficulter capiuntur. Et, *Senex bos non lugetur domi.* De iis dicitur, qui tempeſtive moriuntur.

Γέρων πίθηκος ἁλ. *Vetula ſimia capitur quidem, ſed ſero capitur.* De iis dicitur, qui ſemel in infortunium incidunt.

---

[1] Γέρδιος. ὑφάντης] Vide infra v. Γνάφεως.

[2] Ἐν Ἐπιγράμμασι] Anthol. lib. vi. cap. xiv. Epigr. ultimo, ut Portus obſervavit.

[3] Λόγος γέ τοι τίς ἐστι τῶν γερ.] Tres hi ſenarii leguntur apud Ariſtophanem *Eccleſiaz.* pag. 737. (496. Ed. Baſ. *P.*) Verſus autem ſecundus tam hic apud Suidam quam Ariſtophanem luxatus eſt, cujus metrum Portus ſic in integrum recte reſtituit,
Ὅσ' ἂν ἀνόητ' ἢ μῶρα βουλευσώμεθα.
Vide etiam ſupra v. Ἀθηναίων δυσβουλία, & infra v. Μῶρα.

[4] Κακῶς βουλεύεσθ. ἀκούσασαν δὲ τὴν Ἀθην.] Hinc ſupplendus eſt Scholiaſta Ariſtophanis, apud quem locus hic mutilus hodie legitur.

[5] Γέρης. ὄνομα κ.——μαλακίαν] Ex Scholiaſta Ariſtoph. ad *Acharnenſ.* pag. 399. & ad *Eccleſiaz.* pag. 751.

[6] Ἀριστοφάνης] *Eccleſiaz.* pag. 751.

[7] Ξενοφῶν] *De Inſtit. Cyri* lib. ii. pag. 40.

[8] Γέροντα σαυτὸν εἰ βλέπεις, ἕξεις γέρας] Eſt verſus ad ſomniorum interpretationem pertinens, qui legitur apud Aſtrampſychum.

[9] Καθαρῶς] Male. Scribe καθ' ὥραν, ut habent Zenobius & Diogenianus.

Γερούσιον. ἔντιμον.

Γέῤῥοιν. [1] ἀπὸ σταυροῦ φησιν Εὔπολις. καὶ Δημοσθένης· Τὰ γέῤῥα ἐνεπίμπρασαν. καὶ οἱ τόποι οἱ περιπεφραγμένοι· καὶ ἀσπίδες Περσικαὶ ἐκ λύγων. καὶ γέῤῥα τὰ σκεπάσματα πάντα Ἀττικοί. τινὰ δὲ δερμάτινα σκεπάσματα, καὶ Περσικὰ, οἷς ἀντ' ἀσπίδων ἐχρῶντο. σημαίνει δὲ καὶ πᾶν αἰδοῖον. καὶ αὖθις Ἡρόδοτος· Κῦρος περιελὼν τὰ πολλὰ τῶν πολεμίων, κατέλιπε μόνον τὸ σιωὸν τοῖς στρατιώταις μαχαίρᾳ καὶ γέῤῥῳ καὶ θώρακι μάχεσθαι. † Καὶ γεῤῥοφόροι ὁπλῖται ἐχόμενοι τούτων, σὺν ποδήρεσι καὶ ξυλίναις ἀσπίσιν. Αἰγύπτιοι δὲ οὗτοι ἐλέγοντο.

Γεσάται. [2] ἐθνικόν.

Γέσιος. [3] ἐπὶ Ζήνωνος τὴν λαμπρυνόμενος ἐπὶ τέχνῃ ἰατρικῇ, Πετραῖος τὸ γένος. καθελὼν δὲ τὸν ἑαυτοῦ διδάσκαλον Δόμνον τὸν Ἰουδαῖον, καὶ τοὺς ἑταίρους πρὸς ἑαυτὸν μεταστησάμενος ὀλίγου πάντας, πανταχοῦ ἐγνωρίζετο, καὶ [4] μέγα κλέος εἶχεν, οὐ μόνον ἰατρικῆς ἕνεκα παρασκευῆς, τῆς τε διδασκαλικῆς καὶ τῆς ἐργάτιδος, ἀλλὰ καὶ τῆς ἄλλης ἁπάσης παιδείας. φιλότιμος γὰρ καὶ φιλόπονος ὢν ὁ ἀνὴρ, ἄλλην τε πολλὴν ἐν πολλῷ χρόνῳ μελέτῃ καὶ οὐ φύσει προσπεριεβάλετο δοξοσοφίαν, καὶ τὴν τῶν ἰατρικῶν ἔργων τε καὶ λόγων ἀκριβεστέραν τῶν καθ' ἑαυτὸν πάντων ἰατρῶν τε καὶ ἰατροσοφιστῶν κατώρθωσε τέχνην. βραδέως δὲ ἀρξάμενος ἐπιδεικνύναι δημοσίᾳ τὴν ἐπιστήμην, ταχέως ἀνέδραμέ τε καὶ εὐθήνησεν ἐπ' αὐτῇ, πομπικὸς ὢν καὶ ἐπιδεικτικὸς, φιλοσοφίας μὲν ἐπ' ὀλίγον ἥκων, ἰατρικῆς δὲ ἐπὶ πλεῖστον. ὅθεν καὶ χρημάτων μεγάλων ἐγένετο κύριος, καὶ Ῥωμαϊκῶν ἔτυχεν ἀξιωμάτων οὐ τῶν τυχόντων. ἀποδέχομαι δὲ τὸ ἀνδρεῖον παράστημα τῆς ἀγαθῆς ψυχῆς. τόν τε γὰρ Ἡραΐσκον ἐπιζητούμενον ὑπὸ Ζήνωνος βασιλέως οἴκῳ τῷ ἰδίῳ κατέκρυψε, παραβαλλόμενος πρὸς τὸν κίνδυνον, καὶ ἐπειδὴ ἐν τῇ φυγῇ νοσήσας ἀπηλλάγη τοῦ σώματος, ὅ τι περιστείλας, καὶ τὰ νομιζόμενα θεραπεύσας. ὁ δὲ ἀποσταλεὶς Βασιλικὸς Ἀγάπιον καὶ τοὺς ἄλλους φιλοσόφους κατασχὼν, εἰς τὸ ἀρχεῖον ἀπήγαγε.

Γερούσιον. Honoratum. Venerabile.

Γέῤῥοιν. Sic vallos vocat Eupolis. Et Demoſthenes: *Scenarum tegumenta incenderunt.* Sic etiam loci circumſepti & clypei Perſici ex viminibus contexti vocantur. Item, quævis tegumenta apud Atticos: nec non tegumenta quædam ex pellibus confecta, quibus Perſæ clypeorum loco utebantur. Significat etiam partem genitalem utriuſque ſexus. Et iterum Herodotus: *Cyrus autem, cum reliqua arma militibus ademiſſet, iis tantum reliquit gladium, ſcutum, & thoracem, quibus pugnarent.* † *Hos proxime ſequebantur milites gerra geſtantes, cum talaribus & ligneis clypeis: qui vocabantur Ægyptii.*

Γεσάται. Geſſatæ. Nomen gentis.

Γέσιος. Geſius, Petris oriundus, ſub Zenone arte medica clariſſimus fuit. Cum enim Domni Judæi præceptoris ſui gloriam penitus obſcuraſſet, ejuſque diſcipulos pene omnes ad ſe traduxiſſet, magnam ubique famam & nominis celebritatem conſecutus eſt, non ſolum ob peritiam artis medicæ, quam & in docendo & morbis curandis oſtendebat, ſed etiam ob cæteras omnes diſciplinas, [in quibus inſigniter verſatus erat.] Cum enim vir eſſet honoris cupidus & laboris patientiſſimus, longi temporis ſtudio, non naturæ beneficio id conſecutus eſt, ut & in cæteris ſcientiis excellere videretur, & tam morborum curandorum peritia, quam ratione ſubtiliter & accurate de arte medica diſſerendi omnes ſui temporis medicos & iatroſophiſtas ſuperaret. Quamvis autem ſero artem ſuam oſtendere & profiteri publice cœpiſſet, celeriter tamen crevit, & magnum apud omnes applauſum conſecutus eſt, homo oſtentationis amans, & magno verborum apparatu ſcientiam ſuam venditans, qui in philoſophia quidem exiguos fecerat progreſſus, in arte vero medica maximos. Hinc & magnas ſibi comparavit divitias, & ad honores non vulgares in Republ. Romana pervenit. Virilem vero ejus animum & generoſum nec minus bonum valde laudo. Cum enim Heraiſcus juſſu Zenonis Imperatoris ubique quæreretur, eum non ſolum domi ſuæ occultavit, ſpreto periculo, cui ſe ſuaque omnia exponebat; ſed eidem quoque in fuga ex morbo defuncto juſta honorifice perſolvit. Baſilicus vero [ea de cauſa ab Imperatore] miſſus Agapium cæteroſque philoſophos comprehenſos in prætorium abduxit.

Γεσοί. [5] Οἱ Ῥωμαῖοι πήξαντες τοὺς γεσοὺς, καὶ τὰς περικεφαλαίας τούτοις ἐπιθέντες, φαντασίαν παρέχοντο τοῖς ἐκ διαστήματος, ὡς μένοντες ἐπὶ τοῦ λόφου. ἔστι δὲ ὅπλον μακρόθεν κεντοῦν, ἢ κοντός. Κρίτων ἔγραψεν ἐν τοῖς Γετικοῖς.

Γεῦσις. ζήτει περὶ ποιοτήτων τῶν γεύσεων ἐν τῷ Φαιὸν, καὶ ἐν τῷ Αἰσθήσεις πέντε.

Γεσοί. Gæſa. *Romani autem, cum gæſa humi defixiſſent, iiſque galeas impoſuiſſent, eminus aſpicientibus ſpeciem præbuerunt, quaſi in colle adhuc verſarentur.* Sic Crito in *Geticis.* Eſt autem γεσὸς telum vel contus eminus vulnerans.

Γεῦσις. Guſtus. De guſtuum qualitatibus quære in voce Φαιὸν, & in Αἰσθήσεις πέντε.

---

[1] Ἀπὸ σταυροῦ] Etymologus v. Γέῤῥα habet ἐπὶ σταυροῦ, ut & hic apud Suidam ſcribendum eſt.

[2] Γεσάται. ἐθνικόν] Vide Bochartum in *Chanaan* lib. 1. cap. XLII.

[3] Γέσιος] Totum hunc locum de Geſio ex Damaſcio deſcriptum eſſe patet ex Photio, apud quem in Excerptis ex illo ſcriptore pag. 1073. quædam eorum, quæ Suidas hic habet, αὐτολεξεὶ etiam leguntur, ut Pearſonius recte obſervavit. Cæterum, Geſii hujus meminit etiam Stephanus Byzantius v. Γέα, qui eum περιφανέστατον ἰατροσοφιστὴν vocat.

[4] Καὶ μέγα κλέος——ἁπάσης παιδείας] Hæc etiam αὐτολεξεὶ leguntur apud Photium loco laudato.

[5] Γεσοί] Rectius γαισοὶ, per αι diphthongum. Vide ſupra v. Γαῖσον.

Γεφυρίζων. χλευάζων. ἐξουτελίζων. [1]Πολύβιος· Ὁ δὲ Σύλλας πορθήσας τὰς Ἀθήνας, ἐδέησε μικροῦ διαφθεῖραι τὴν πόλιν θυμωθεὶς διὰ τὰ σκώμματα, ἃ δὴ πολλὰ κατ' αὐτοῦ γεφυρίζων καὶ ἐπικερτομῶν ὁ Ἀρίστων παρ' ὅλην ἀπέῤῥιπτε τὴν πολιορκίαν.

Γεφυρίς. ξένη καὶ ἐπείσακτος. οἱ γὰρ Γεφυραῖοι ξένοι καὶ ἐπήλυτοι ὄντες Ἀθήνησιν ᾤκησαν. [2]οὕτως Ἡρόδοτος.

Γειναμέναις. γεννηθείσαις.

Δάκρυα[3] μὲν Ἑκάβῃ τε καὶ Ἰλιάδεσσι γυναιξὶ
Μοῖραι ἐπέκλωσαν δὴ τότε γειναμέναις.

Γείνατο. ἐγέννησε. καὶ Γείναται, γεννᾷ.

Γειοκόμιον. τὸ γειτνίαμα.

Γειῶραι.[4] οἱ τὴν γῆν φυλάσσοντες.

Γειωρῆσαι.

Γειοτόμον. τὸ ἄροτρον.

Γείσιον, καὶ γεῖσος. τὸ ἄκρον τοῦ τείχους. ἢ στεφάνωμα οἴκου. καὶ Γεῖσα, τειχῶν ἄκρα. ἢ Γεῖσος, ὁ γεωργός.

Γεισίπους,[5] καὶ γεισιπόδισμα, καὶ γεισιποδίζειν. τὸ ἐξέχον τῆς δοκοῦ, ἐφ' οὗ τὸ γεῖσον ἐστὶ, γεισίπους καλεῖται καὶ γεισιπόδισμα. Γεισιποδίζειν δὲ, τὸ ποιεῖν τοῦτο.

Γῆ.[6] ἐπεὶ ἕδρα πάσης πόλεώς ἐστιν ἡ γῆ, ὡς βαστάζουσα τὰς πόλεις, πλάττεται πυργοφόρος.

Γηγενέτης. ὁ γηγενής.

Γηγενεῖς.[7] οἱ ἐκ τῆς γῆς γεγονότες Ἀδὰμ καὶ Εὔα, ἐπεὶ οὐκ ἐκ συνουσίας ἐγένοντο κυρίως. καταχρηστικῶς δὲ, πᾶς ἄνθρωπος.

Γηγενεῖς.[8] ὠχροὺς καὶ νεκρώδεις. ἢ ἀσεβεῖς καὶ θεομάχους· διὰ τοὺς Γίγαντας. οὕτω διαβάλλει τοὺς φιλοσόφους Ἀριστοφάνης Νεφέλαις·

--- Ταῦτ' ἔμαθες τὰ δεξιὰ,
Εἴσω παρελθὼν ἄρτι παρὰ τοὺς γηγενεῖς;

καὶ, [9]Γηγενεῖ φυσήματι. ἀντὶ τοῦ μεγάλῳ, ὥστε σεισμοὺς ποιεῖν. ἀρχαία γὰρ ὑπόνοια τὸ ὑπὸ πνευμάτων κατεχομένων σείεσθαι τὴν γῆν. Ἀριστοφάνης. λέγονται καὶ Γηγενεῖς, οἱ τὰ γήϊνα φρονοῦντες.

Γήδιον. μικρὰ γῆ. Ὑπεδέξατο αὐτοὺς ἄγροικος πένης, γήδιον λεπτὸν κακῶς γεωργῶν.

Γῆ ζώντων. ὁ προσδοκώμενος βίος, ὡς τοῦ θανάτου κεχωρισμένος καὶ ἐλεύθερος λύπης. [10]Δαβίδ· Ὑψώσει σε τοῦ κατακληρονομῆσαι τὴν γῆν.

Γνωσιμαχῆσαι. αἰτιατικῇ. ἀντὶ τοῦ μετανοῆσαι, μεταγνῶναι τὸ δίκαιον καὶ πρέπον. ἢ[6] τὸ γνῶναι τὴν ἑαυτοῦ ἀσθένειαν, καὶ τῶν ἐναντίων τὴν ἰσχύν. Οὐκοῦν οἱ πλεῖστοι ἐγνωσιμάχουν, καὶ μετεβάλλοντο. Ἀρριανός· Εἴ[7] τι Χοσρόης γνωσιμαχήσας, ὑποδύσεται τοῖς ἐκ Ῥωμαίων ξὺν δίκῃ ἀξιουμένοις.

Γνωστοί. φίλοι.

Γνωτός. ἀδελφός. καὶ Γνωτοί, ἀδελφοί. ἐν[8] Ἐπιγράμματι·

Γνωτῶν τερσαλέων ἐκ τερσαλέης λίνα θήρης
Δέχνυσο Πάν. ——————

Ὦ[9] φίλ' Οἰδίπους, γνωτὰ κοὐκ ἄγνωτά μοι
Προσήλθεθ' ἱμείροντες. εὖ γὰρ οἶδ' ὅτι
Νοσεῖτε πάντες· καὶ νοσοῦντες, ὡς ἐγὼ
Οὐκ ἔστιν ὑμῶν ὅς τις ἐξίσου νοσεῖ.

Γνώμων. Sic vocatur ſtilus, qui in ſolariis figitur. Hunc invenit Anaximander, & in horologiis ſciothericis erexit.

Γνώμονα. Sic vocabant dentem, cujus indicio ætatem aſini aliorumque animalium cognoſcebant. Eundem quoque κατηρτυκότα appellabant.

Γνωρίζω. Dativo [junctum ſignificat, notum facio, declaro.] Accuſativo vero, [cognoſco.] *Ut Deum ex nulla alia re cognoſcas, quam ex beneficiis, quibus afficit homines.*

Γνωρίζω. Cognoſco. Viſo. Luſtro. [Item, indico, notum facio.] *Si enim eum tibi notum facere coner, id accidet mihi, quod proverbio dicitur, ut tuum tibi ſomnium narrem.*

Γνώριμοι. Diſcipuli. Pythagoras Samius diſcipulos habuit plures quam ſexcentos.

Γνώσῃ δὲ τοὺς τ. *Cognoſces vero etiam utriuſque noſtrum diſcipulos. Hujus quidem Phormiſius & Megænetus ſervus.* Hæc autem ſunt ſervorum nomina.

Γνῶσις. Cognitio. Res omnes cognoſcuntur vel ex ſimilitudine, &, ſi ita loqui liceat, identitate; vel ex diſſimilitudine & diverſitate. Album enim ex albi collatione cognoſcimus, quia utrumque eſt ſimile: vel ex collatione nigri. Album enim eſt nigro contrarium.

Γνῶσις. Pro κρίσις, judicium. Sic Demoſthenes in oratione contra Ariſtogitonem.

Γνῶσις. Arrianus in Parthicis de Partho Marſiro inquit: *Hanc non eſſe Axidari, ſed ſuam ſententiam. Is autem, cum primus pactis non ſtetiſſet, debitas pœnas luit.*

Γνωσιμαχῆσαι. Cum accuſativo. Pœnitentia duci. Mutata ſententia ſequi id, quod juſtum eſt & decet. Vel ſuam infirmitatem & hoſtium potentiam agnoſcere. *Quamobrem plerique agnita virium ſuarum imbecillitate, ſententiam mutarunt.* Arrianus: *Si forte Choſroes agnita virium ſuarum imbecillitate, juſtis Romanorum poſtulatis cedere vellet.*

Γνωστοί. Amici.

Γνωτός. Frater. Et γνωτοί, fratres. In Epigrammate: *Trium fratrum ex triplici venatione retia, Pan, accipe.* [Et γνωτὰ, nota. Sophocles:] *O miſerandi filii, quid petentes ad me acceſſeritis haud ignoro. Scio enim vos omnes morbo laborare. Et quamvis miſeri ſitis, nemo tamen veſtrum eſt, qui æque miſer ſit ac ego. Dolor enim veſter ad unum tantum & ſingulos veſtrum, non ad alium quenquam*

---

[1] Γνώμων. τὸ ἐν τοῖς ἡλιοτρ.] Eadem repetuntur infra v. Ἡλιοτρόπιον, ubi vide quæ diximus.

[2] Γνώμονα ἔλεγον τὸν βαλλ.] Vide quæ notavimus ſupra ad v. Ἀβολήτωρ.

[3] Γνώσῃ δὲ τοὺς τούτου τε κἀμοῦ μαθητάς] Locus hic apud Ariſtoph. *Ranis* pag. 257. (168. Ed. Baſ. *P.*) rectius ſic legitur:
Γνώσει δὲ τοὺς τούτου γε κἀμοῦ γ' ἑκατέρου μαθητάς.
Τούτου μὲν οὖν Φορμίσιος, Μεγαίνετός θ' ὁ μανής.

[4] Γνῶσις. ἀντὶ τοῦ κρίσις· ὡς Δημ.] Ex Harpocratione.

[5] Ἀρριανὸς ἐν Παρθικοῖς περὶ Πάρθου Μαρσ.] Locus hic eſt obſcurus, & procul dubio mutilus; qui quomodo integritati ſuæ reſtituendus ſit, conſtare nobis poſſet, ſi hodie Arriani *Parthica* exſtarent.

[6] Ἢ τὸ γνῶναι τὴν ἑαυτοῦ ἀσθ.] Simili ſenſu vocem hanc exponit Enarrator Comici ad *Aves* pag. 567. Γνωσιμαχῆσαί ἐστι τὸ γνόντα ὅτι πρὸς κρείττονας αὐτῷ ἡ μάχη, ἡσυχάσαι.

[7] Εἴ τι Χοσρόης γνωσιμαχήσας ὑποδ.] Fragmentum hoc auctius legitur ſupra v. Ἀπιέρασιν.

[8] Ἐν Ἐπιγράμματι] Anthol. lib. VI. cap. XV. Epigr. 2. ut Portus obſervavit.

[9] Ὦ φίλ' Οἰδίπους, γνωτὰ κοὐκ ἀγν.] Hæc, & quæ ſequuntur, ſunt verba Sophoclis *Oedip. Tyran.* pag. 151. ut Portus monuit. Apud Sophoclem tamen primus verſus ita legitur: Ὦ παῖδες οἰκτροί, γνωτὰ &c. Sic & apud Suidam ſcribendum eſt.

Τὸ μὲν γὰρ ὑμῶν ἄλγος εἰς ἕν᾽ ἔρχεται
Μόνον καθ᾽ αὑτὸν, κοὐδέν᾽ ἄλλον· ἡ δ᾽ ἐμὴ
Ψυχὴ πόλιν τε κἀμὲ καὶ σ᾽ ὁμοῦ στένει.

Γνύξ. ἐπὶ γόνατα.

Γνύρου. Ἀνάχαρσις υἱὸς ἦν Γνύρου, μητρὸς δὲ Ἑλληνίδος.

Γόγγρος. εἶδος ἰχθύος, ὃς ἐσθίει τῶν πολυπόδων τοὺς πλοκάμους.

Γογγύλιον. στρογγύλον. καὶ Γογγυλίζειν, ἀντὶ τοῦ μεταστρέφειν. [1] Ἀριστοφάνης·

Ὥσπερ γυναικὶ γογγύλην μεμαγμένην.

αἱ γὰρ γυναῖκες, ἵνα μὴ δοκοῖεν πολυφάγοι εἶναι, ὀλιγοφαγίας δόξαν ἐμφαίνουσι, στρογγύλας ποιοῦσαι τὰς μάζας.

Γοδολίας. ὄνομα κύριον. καὶ [2] μηνός.

Γοερόν. θρηνῶδες. λυπηρόν. κατανυκτικόν. Καὶ γοεροῖο [3] γόοιο.

Γόης, γόητος. κόλαξ. περίεργος. πλάνος. ἀπατεών.

Γοητεία, [4] καὶ μαγεία, καὶ φαρμακεία διαφέρει· ἅπερ ἐφεῦρον Μῆδοι καὶ Πέρσαι. Μαγεία μὲν οὖν ἐστὶν ἐπίκλησις δαιμόνων ἀγαθοποιῶν δῆθεν, πρὸς ἀγαθοῦ τινος σύστασιν· ὥσπερ τὰ τοῦ Ἀπολλωνίου τοῦ Τυανέως θεσπίσματα. Γοητεία δὲ ἐπὶ τῷ ἀνάγειν νεκροὺς δι᾽ ἐπικλήσεως. ὅθεν εἴρηται ἀπὸ τῶν γόων καὶ τῶν θρήνων, τῶν περὶ τοὺς τάφους γινομένων. Φαρμακεία δὲ, ὅταν διά τινος σκευασίας θανατηφόρου πρὸς φίλτρον δοθῇ τινι διὰ στόματος. Μαγεία δὲ καὶ ἀστρολογία ἀπὸ Μαγουσαίων ηὔξατο. οἱ γάρ τοι Πέρσαι Μαγὼγ ὑπὸ τῶν ἐγχωρίων ὀνομάζονται. καὶ Μαγουσαῖοι, οἱ αὐτοί.

Γολγοθά. [5] τόπος.

Γολιάθης. οὗτος Παλαιστῖνος ἦν ἀνὴρ παμμεγεθέστατος, πηχῶν τεσσάρων καὶ σπιθαμῆς, ὅπλα τῇ φύσει τοῦ σώματος ἀναλογοῦντα περικείμενος. ὁ αὐτὸς Γολιὰθ Ἑβραΐδι διαλέκτῳ.

Γολόη. ὄνομα τόπου.

Γολόσσης. ὁ Νομάδων βασιλεύς. καὶ ἔστιν ἐν τῷ Ἀσδρούβας.

Γομόρ. εἶδος μέτρου Ἑβραϊκοῦ.

Γόμορρα. [6] τόπος τῶν Σοδόμων.

Γομφιασμός. ὁ συγκλασμός.

Γομφίους [7] ὀδόντας. κλειδώσεις. καὶ [8] Γομφιόδουπα

pertinet. At animus meus & civitatis, & mei ipſius, & ſimul tuam vicem dolet.

Γνύξ. Genibus flexis.

Γνύρου. Anacharſis fuit Gnyri filius, ex matre Græca vero natus.

Γόγγρος. Congrus, genus piſcis, qui polypodum cirros comedit.

Γογγύλιον. Rotundum. Teres. Et Γογγυλίζειν, convertere. [Et γογγύλη.] Ariſtophanes: *Velut ſubactam mulieri maſſam rotundam* [*apponere ſolent.*] Mulieres enim, ne videantur edaciores eſſe, maſſas rotundas faciunt, & ſic opinionem aliis præbent, ſe parum edere.

Γοδολίας. Godolias. Nomen proprium. Item nomen menſis.

Γοερόν. Luctuoſum. Triſte. Animum vellicans. *Et triſtis luctus.*

Γόης. Aſſentator. Ardelio. Præſtigiator. Impoſtor.

Γοητεία, μαγεία, & φαρμακεία, differunt: quæ tria Medi & Perſæ invenerunt. Μαγεία enim eſt evocatio dæmonum beneficorum, boni alicujus efficiendi cauſa: qualia ſunt Apollonii Tyanenſis præcepta & oracula. Γοητεία vero eſt, per quam animæ defunctorum ab inferis evocantur. Hinc dicta eſt ἀπὸ τῶν γόων, i. e. a lamentis & ejulatibus, qui circa ſepulcra audiuntur. Φαρμακεία vero dicitur veneficium, quo alicui pharmaca letalia, vel philtra præbentur. Magia vero & aſtrologia a Maguſæis [i. e. Perſis,] orta eſt. Perſæ enim ab indigenis Magog vocantur. Et Maguſæi ſunt iidem.

Γολγοθά. Golgotha. Locus ſic vocatus.

Γολιάθης. Goliathes. Hic fuit Palæſtinus, maxima corporis ſtatura præditus, quatuor cubitorum & ſpithamæ longitudinem implens, & arma corporis proceritati reſpondentia geſtans. Idem Hebraica lingua Goliath vocatur.

Γολόη. Nomen loci.

Γολόσσης. Guluſſa, Numidarum Rex. De eo vide in v. Ἀσδρούβας.

Γομόρ. Genus menſuræ Hebraicæ.

Γόμορρα. Gomora. Locus prope Sodoma.

Γομφιασμός. Confractio [dentium.]

Γομφίους. Dentes molares. Septum dentium.

---

[1] Ἀριστοφάνης] *Pace* pag. 626. (435. Ed. Baſ. P.) ubi vide Scholiaſtam, cujus verba Suidas hic deſcripſit.

[2] Μηνός] In MSS. Pariſ. in caſu recto legitur μήν.

[3] Γοεροῖο γόοιο] Sic legitur in 2 MSS. Pariſ. itemque in alio quodam Cod. MS. quo Pearſonius uſus eſt. At priores Edit. corrupte exhibent γοεροῖο μόνοιο. Forte reſpexit Grammaticus noſter ad Homerum Il Ω. v. 524. ubi legitur κρυεροῖο γόοιο.

[4] Γοητεία, καὶ μαγεία, καὶ φαρμ. διαφ.] Huc ſpectant verba Nicephori ad Syneſium *de Inſomn.* pag. 363. Ἄλλο ἐστὶ γοητεία, καὶ ἄλλο μαγεία, καὶ ἄλλο φαρμακεία. Γοητεία μὲν γάρ ἐστιν ἡ ἀπὸ τῶν ἐνύλων καὶ ἀκαθάρτων καὶ κακοποιῶν δαιμόνων ἐστὶν εἰς ἀποκαλουμένη. ἔχει δὲ καὶ τὸ ὄνομα ἀπὸ τῶν γόων, ὡς θρήνων ἄξια πράττουσα. Μαγεία δὲ ἐστὶν ἡ διὰ τῶν μέσων δαιμόνων, ἀΰλων τε καὶ ἐνύλων ἐνεργοῦσα. Φαρμακεία δὲ, ἡ διὰ βρώσεως ἢ πόσεως.

[5] Γολγοθά. τόπος.] Locus hic ex hiſtoria paſſionis Dominicæ ſatis notus eſt.

[6] Τόπος τῶν Σοδόμων] Legendum eſt procul dubio τόπος τις ἐγγὺς τῶν Σοδόμων.

[7] Γομφίους ὀδόντας. κλειδ.] Potius legerim, Γόμφους. ὀδόντας γομφίους. κλειδώσεις.

[8] Γομφιόδουπα χαλινὰ, ἐν Ἐπιγρ.] Locus hic depromptus eſt ex Epigrammate inedito, quod ex Cod. MS. integrum hic cum Lectore communicabo. Μαικίου.

Γομφιόδουπα χαλινὰ, καὶ ἀμφίτρητον ὑπαυχὲν
Κημὸν, καὶ γενύων σφίγκτορ᾽ ἐΰρραφίην,
Τάν τ᾽ ἐπιπληκτείραν ἀπορρύτοιο διωγμοῦ
Μάστιγα, σκαιοῦ δῆγμα τ᾽ ἐπιψελίου,

χαλινὰ, ἐν ἐπιγράμματι· τὰ εἰς τοὺς γομφίους κλυπῶντα· τουτέστι, τὰς σιαγόνας.

Γομφίους. τοὺς προσθίους ὀδόντας. Ὁ δ' ὠχριάσας, γομφίους τε συγκρούσας, μή μοι χαρίζου φησί.

Γομφοπαγῆ¹ ῥήματα. ἀντὶ τοῦ ἀκριβέστατα. πολυσύνθετα. περὶ Αἰσχύλου Ἀριστοφάνης.

Γόμφοι. μύλοι. σφῆνες. δεσμά. ἄρθρα. σύνδεσμοι ὀδόντων.

Γόνατον.[2] Καὶ [3]κάλαμοι ἐνέκειντο ἐν τοῖς κρατῆρσιν οὐκ ἔχοντες γόνατα.

Γονεῦσιν ἀπειθεῖς. τοὺς καὶ μέχρι γονέων ἀγνώμονας παρὰ τῷ Ἀποστόλῳ.

Γονεία. ἡ γέννησις.

Γονοῤῥοίης. ὁ νοσῶν. οὗ ἡ γονὴ ἐκφέρεται ἀκουσίως, καὶ ἐκρέει.

Γονυκλινής. ἐπὶ γόνυ πεσών. Τήν τε γυναῖκα τοῦ βαρβάρου γονυκλινὴς ὢν ἐθεράπευσεν.

Γόνυ κνήμης ἔγγιον. ἐπὶ τῶν ἑαυτοὺς μᾶλλον ἑτέρων ἀγαπώντων. ἔνιοι δὲ ἐπὶ τῶν ὀφειλόντων παρέχειν τοῖς προσήκουσιν. ἐπεὶ ἐγγύτερον τὸ γόνυ.

Γονύων. γονάτων. Ξενοφῶν· Ἐνῆσαν δὲ καὶ κάλαμοι, γόνατα οὐκ ἔχοντες.

Γονυπετῆσαι. αἰτιατικῇ. προσκυνῆσαι.

Γόον. θρῆνον.

Γόρβορα. τόπος τις.

Γοργίας,[4] Χαρμαντίδου, Λεοντῖνος, ῥήτωρ, μαθητὴς Ἐμπεδοκλέους, διδάσκαλος Πώλου Ἀκραγαντίνου, καὶ Περικλέους, καὶ Ἰσοκράτους, καὶ Ἀλκιδάμαντος τοῦ [5]Ἐλάτου· ὃς αὐτοῦ καὶ τὴν σχολὴν διεδέξατο· ἀδελφὸς δὲ ἦν τοῦ ἰατροῦ Ἡροδίκου. Πορφύριος δὲ αὐτὸν ἐπὶ τῆς π' Ὀλυμπιάδος τίθησιν· ἀλλὰ χρὴ νοεῖν πρεσβύτερον αὐτὸν εἶναι. Οὗτος πρῶτος τῷ ῥητορικῷ εἴδει τῆς παιδείας δύναμίν τε φραστικὴν καὶ τέχνην ἔδωκε, τροπαῖς τε, καὶ μεταφοραῖς, καὶ ἀλληγορίαις, καὶ ὑπαλλαγαῖς, καὶ καταχρήσεσι, καὶ ὑπερβάσεσι, καὶ ἀναδιπλώσεσι, καὶ ἐπαναλήψεσι, καὶ ἀποστροφαῖς, καὶ παρισώσεσιν ἐχρήσατο. ἔπραττε δὲ τῶν μαθητῶν ἕκαστον μνᾶς ρ'. ἐβίω δὲ [6]ἔτη ρθ', καὶ συνεγράψατο πολλά.

Γόργια.[7] παρὰ Δωριεῦσι τὰ τῶν ὑποκριτῶν προσωπεῖα, [8]τῶν ἀπὸ τῆς σκηνῆς τραγῳδῶν.

Γοργόνες τρεῖς γυναῖκες, αἳ τοσοῦτον εἶχον φοβερὰ

Et γομφιόδουπα χαλινὰ in Epigrammate vocantur fræna circa maxillas equorum reſonantia.

Γομφίους. Anteriores dentes. *Ille vero palleſcens, & dentes collidens, ne mihi, inquit, gratificeris.*

Γομφοπαγῆ ῥήματα. [Verba clavis compacta. Id eſt,] valde accurata, & ex multis vocibus compoſita. Sic Ariſtophanes de Æſchylo inquit.

Γόμφοι. Dentes molares. Cunei. Clavi. Vincula. Articuli. Dentium ſeries.

Γόνατον. Genu. *Inerant & crateribus calami, geniculis carentes.*

Γονεῦσιν ἀπειθεῖς. Sic apud Apoſtolum vocantur, qui erga ipſos etiam parentes ſeſe contumaces & ingratos præbent.

Γονεία. Generatio.

Γονοῤῥοίης. Qui ſeminis fluxu laborat.

Γονυκλινής. Qui in genua procumbit. *Barbari vero conjugem genibus flexis veneratus eſt.*

Γόνυ κνήμης ἔγγιον. *Genu crure propius.* De iis dicitur, qui ſe ipſos magis quam alios diligunt. Nonnulli vero [proverbium hoc intelligunt] de iis, qui propinquis ſuis officium aliquod præſtare potius tenentur, [quam aliis.] Genu enim [ſura] propius eſt.

Γονύων. Idem quod γονάτων. Genuum. Xenophon: *Inerant autem & calami geniculis carentes.*

Γονυπετῆσαι. Accuſativo jungitur. [Ad genua accidere.] Adorare.

Γόον. Luctum.

Γόρβορα. Gorbora. Locus quidam.

Γοργίας. Gorgias, Charmantidæ filius, Leontinus, Rhetor, Empedoclis diſcipulus, magiſter Poli Agrigentini, & Periclis, & Iſocratis, & Alcidamantis Elaitæ, qui & in Schola ipſi ſucceſſit. Fuit & frater Herodici medici. Quamvis autem Porphyrius eum ad Olympiadem LXXX. referat, ſciendum eſt tamen, eum antiquiorem eſſe. Hic diſciplinæ oratoriæ primus vim elocutionis tribuit, eamque in artem redegit; tropiſque, & tranſlationibus, & allegoriis, & hypallagis, & abuſionibus, & trajectionibus, & reduplicationibus, & repetitionibus, & apoſtrophis, & vocibus pariter deſinentibus uſus eſt. Idem a ſingulis diſcipulis centum minas exigebat. Vixit annos CIX. & multa ſcripſit.

Γόργια. Apud Dorienſes ita vocantur larvæ hiſtrionum tragicorum.

Γοργόνες. Tres mulieres, quæ vultu erant ad-

Κέντρα τ' ἐναρμήεντα διαξίπποιο μύωπος,
    Καὶ πειστὴν ψήκτρης κνῆμα σιδηρόδετον,
Διπλοῖς ἡϊόνων ἀρύσμασιν, Ἴσθμιε, τερφθεὶς
    Δῶρα, Πόσειδον, ἔχοις ταῦτα παρὰ Στρατίου.

Si mihi otium nunc eſſet, tentarem loca Epigrammatis hujus partim corrupta emendare, partim obſcura illuſtrare. At cum per anguſtiam temporis id negatum mihi ſit, aliis provinciam hanc relinquo.

[1] Γομφοπαγῆ ῥήματα. ἀντὶ τοῦ ἀκριβ.] Ex Scholiaſta Ariſtoph. ad *Ranas* pag. 251. (163. Ed. Baſ. *P.*)

[2] Γόνατον] Imo, rectus ſingularis eſt γόνυ, vel γόνας: a quo deducitur plurale γόνατα; non vero a γόνατον.

[3] Καὶ κάλαμοι οὐκ.] Vide paulo inferius v. Γονύων, ubi fragmentum hoc Xenophonti tribuitur.

[4] Γοργίας] De eo vide Philoſtratum *de Vitis Sophiſt.* lib. I.

[5] Ἐλάτου] Imo Ἐλαίτου. Patriam enim Alcidamas habuit Elæam, cujus gentile eſt Ἐλαίτης. Vide quæ diximus ſupra v. Ἀλκιδάμας.

[6] Ἔτη ρθ'] Annos centum & octo ei tribuit Philoſtratus *de Vit. Sophiſt.* itemque Lucianus in *Macrobiis* pag. 917.

[7] Γόργια] Scribendum eſt γοργεῖα, ut apud Etymologum.

[8] Τῶν ἀπὸ τῆς σκηνῆς τραγ.] Lege, τῶν ἐπὶ τῆς σκηνῆς τραγικῆς; vel τῶν ἐπὶ τῆς σκηνῆς τραγῳδῶν.

τὰ πρόσωπα, ὡς τοὺς ὁρῶντας θνήσκειν· ὧν μίαν ἀνελεῖν λογχοδρεπάνῳ τὸν Περσέα.

Γοργόνες[1] Τιθράσιαι. Τίθρασος ποταμὸς, ἢ τόπος Λιβύης, ἔνθα αἱ Γοργόνες διέτριβον.

Γοργών. [2] Ἀριστοφάνης·

Καὶ γοργόν' ἐξήγειρεν ἐκ τῆς ἀσπίδος.

ὡσεὶ ἔλεγεν, οἴδημα ἐποίησεν ἐπὶ τῆς κεφαλῆς· παρ' ὑπόνοιαν. θέλων γὰρ εἰπεῖν, καὶ ἀπὸ τῆς πληγῆς κονδύλην ἐποίησεν, ἔφη, Γοργόνα ἐξήγειρε. Καὶ Αἰλιανός· Καὶ ἐνέκειντο αὐτῷ, τὴν ἐξ αὐτοῦ προφέροντες καὶ [3] προσιόντες, ὡς εἰπεῖν, Γοργόνα, [4] κατεσίγασαν. ἀλλ' ὡς πρόλαλον ὄντα καὶ ἰταμόν. [5] λέγει δὲ περὶ Διοπείθους τοῦ Ἀθηναίου, ὃς νόμον εἰσάγει, τὸν ἀπὸ τοῦ ἄστεος ἐν Πειραιεῖ μείναντα τοῦτον τεθνάναι. οὗτος οὖν ὠψίαθη ποτὲ ἄκων, καὶ κατέμεινεν ἐν τῷ Πειραιεῖ, καὶ αὐτὸν οἱ ἐχθροὶ εἰς δίκην ὑπάγουσι. διὰ τοῦτο λέγει, προσιόντες Γοργόνα. [6] καὶ σκώπτων ὁ αὐτὸς Μόρσιμον καὶ Μελάνθιον φησί.

Γοργόνες.[7] ἀντὶ τοῦ φοβεροὶ εἰς γαστριμαργίαν.

Γοργόνειον. προσωπεῖον. καὶ Γοργόνη, ἡ Γοργώ.

Γοργολόφας.[8] ἡ ἐκ τῆς κεφαλῆς τῆς Γοργοῦς τὴν περικεφαλαίαν ἔχουσα ἡ Ἀθηνᾶ.

Γοργόνωτον.[9] περιφραστικῶς τὴν ἀσπίδα, τὴν ἔχουσαν Γοργόνα.

Γοργός. ἀντὶ τοῦ φοβερός. Ἀμάχιος ἐπὶ Ἰουλιανοῦ ἤκμαζεν, [9] ἄρχων μικρᾶς πόλεως, Ἕλλην γοργός.

Γόργος,[11] ὁ Μεσήνιος, οὐδενὸς ἦν δεύτερος Μεσσηνίων πλούτῳ καὶ γένει· διὰ δὲ τὴν ἄθλησιν κατὰ τὴν ἀκμὴν πάντων ἐνδοξότατος ἐγεγόνει τῶν περὶ τοὺς γυμνικοὺς ἀγῶνας φιλοστεφανούντων. καὶ γὰρ κατὰ τὴν ἐπιφάνειαν, καὶ κατὰ τὴν τοῦ λοιποῦ βίου προστασίαν, ἔτι δὲ καὶ κατὰ τὸ πλῆθος τῶν στεφάνων, οὐδενὸς ἐλείπετο τῶν καθ' αὐτόν. καὶ μὴν ὅτε καταλύσας τὴν ἄθλησιν ἐπὶ τὸ πολιτεύεσθαι καὶ τὸ πράττειν τὰ τῆς πατρίδος ὥρμησε, καὶ περὶ τοῦτο τὸ μέρος οὐκ ἐλάττω δόξαν ἐφέρετο τῆς πρότερον ὑπαρχούσης αὐ-

eo terribili, ut qui eas aſpicerent, morerentur. Harum unam Perſeus haſta falcata interfeciſſe dicitur.

Γοργόνες Τιθράσιαι. Gorgones Tithraſiæ. Tithraſus, fluvius, vel locus in Africa, ubi Gorgones degebant.

Γοργών. Gorgon. Ariſtophanes: *Et Gorgonem excitavit ex clypeo.* Perinde eſt ac ſi dixiſſet, tumorem fecit in capite. Præter expectationem [autem hæc a Comico dicta ſunt.] Cum enim dicere vellet, *ictu tuber excitavit*; ait, *Gorgonem excitavit*. Et Ælianus: *Et inſtabant ei, ſuam ipſi objicientes & intentantes, ut ita loquar, Gorgonem, & ita homini cæteroqui garrulo & impudenti ſilentium impoſuerunt.* Loquitur [hic Ælianus] de Diopithe Athenienſi, qui legem tulerat, ut civi in Pyræo pernoctare capitale eſſet. Sed cum ipſe aliquando invitus opprimente veſpera in Pyræo noctem manſiſſet, inimici eum lege ſua capitis accuſarunt. Propterea dicit προσιόντες Γοργόνα, i. e. Gorgonem objicientes. Idem etiam Morſimum & Melanthium Comice ridet.

Γοργόνες. Sic vocantur homines valde guloſi & voraces.

Γοργόνειον. Larva, [quæ Gorgonem refert.] Et Γοργόνη, idem quod Γοργώ.

Γοργολόφας. Sic dicitur Minerva, caput Gorgonis pro galea in capite geſtans.

Γοργόνωτον. Sic periphraſtice clypeum vocat, qui Gorgonem habet.

Γοργός. Terribilis. Amachius Juliani tempore floruit, urbis parvæ præſes, & religionis gentilium aſſertor acerrimus.

Γόργος. Gorgus Meſſenius opibus ac generis ſplendore Meſſeniorum nulli ſecundus, quod ad athleticam vero laudem attinet, in adoleſcentia omnium, qui in gymnicis ludis coronæ ſtudio decertant, celeberrimus fuit. Nam & formæ dignitate, & totius vitæ exteriore cultu, præterea etiam coronarum numero nulli ætatis ſuæ concedebat. Quinetiam poſtquam relictis certaminibus gymnicis ad rempubl. & negotia patriæ tractanda ſe contulit, hac quoque ex parte non minorem quam ex ante acta vita gloriam retu-

---

1 Γοργόνες Τιθράσιαι] Ariſtophanes *Ranis* pag. 234.

Διασπαράσονται Γοργόνες Τιθράσιαι.

Vide ibi Scholiaſtam, cujus verba Suidas hic deſcripſit.

2 Ἀριστοφάνης] *Acharnenſ.* pag. 426. (306. Ed. Baſ. *P.*)

3 Προσιόντες] Vox hæc mendo laborat, cujus loco ſcribendum eſt προσείοντες, ut Portus recte monuit.

4 Κατεσίγασαν. ἀλλ' ὡς πρόλ.] Probo conjecturam doctiſſimi Perizonii ad fragmenta Æliani, qui ſublata στιγμῇ locum hunc ſic legendum eſſe monet: κατεσίγασαν ἄλλως πρόλαλον &c.

5 Λέγει δὲ περὶ Διοπείθους τοῦ Ἀθην.] Vide infra v. Διοπείθης, & v. Ὠψίαθη.

6 Καὶ σκώπτων ὁ αὐτὸς Μόρσ.] Hæc verba de Ariſtophane intelligenda ſunt, & proinde collocanda ante fragmentum Æliani. Vide Scholiaſtam Ariſtoph. ad *Pacem* pag. 684.

6 Γοργόνες. ἀντὶ τοῦ φοβεροὶ εἰς γαστριμαργίαν] Hæc referenda ſunt ad locum illum Ariſtoph. *Pace* pag. 684. Γοργόνες, ὀψοφάγοι, βατιδοσκόποι &c. Vide ibi veterem Enarratorem.

7 Γοργολόφας] Scribendum eſt γοργολόφα, ut Portus etiam monuit. Ariſtophanes *Equit.* pag. 355. (251. Ed. Baſ. *P.*)-

Ἡ γοργολόφα σ' ἐκέλευε τουτουὶ φαγεῖν.

Huc reſpexit Suidas: ſed qui τὸ σ', quod eliſo τῷ ε dictum eſt pro σε, male cum γοργολόφα conjunxit, & ſic vocem γοργολόφας inde effinxit. Dicitur quidem etiam γοργολόφας, unde vocativus γοργολόφα legitur apud Ariſtophanem *Acharnenſ.* pag. 398. (284. Ed. Baſ. *P.*) ſed id cum ſit maſculini generis, non poteſt eſſe epithetum Minervæ, de qua Ariſtophanes hic loquitur.

8 Γοργόνωτον. περιφραστικῶς τὴν ἀσπ.] Hæc nota referenda eſt ad locum illum Ariſtoph. *Acharnenſ.* pag. 424. (304. Ed. Baſ. *P.*)

Φέρε δεῦρο γοργόνωτον ἀσπίδος κύκλον.

Vide ibi veterem Enarratorem.

9 Ἄρχων μικρᾶς πόλεως] Supra v. Ἀμάχιος plenius legitur, ἄρχων μικρᾶς πόλεως Φρυγίας. Sed fallitur Suidas, quoniam Amachius totius Phrygiæ præſes fuit. In errorem eum induxerunt verba hæc Socratis *Hiſtor. Eccleſ.* lib. III. cap. XV. Ἐν γοῦν τῇ Μηρῷ πόλει τῆς ἐπαρχίας τῆς Φρυγίας ἄρχων ἦν Ἀμάχιος, τὸ τῇδε ἱερὸν ἀνοιχθῆναι προστάξας &c. Locum enim hunc ita intellexit Suidas, ac ſi Amachius Meri tantum urbis præſes fuerit; deceptus procul dubio a vocula peccante ἦν, quæ vel delenda eſt, vel mutanda in ὤν, ut Valeſius recte monuit. Senſus enim illorum verborum eſt, Amachium præſidem Phrygiæ in urbe iſtius provinciæ Mero templum aperiri juſſiſſe &c. Porro ex hoc loco etiam colligitur, Suidam initio forſan ſcripſiſſe, ἄρχων Μηροῦ πόλεως: ſed librarii poſtea τὸ Μηροῦ in μικρᾶς mutaſſe videntur.

10 Γόργος, ὁ Μεσήνιος, οὐδενὸς ἦν δεύτ.] Hæc. & quæ ſequuntur uſque ad finem articuli, αὐτολεξεὶ etiam leguntur in Excerptis ex Polybio, a Valeſio editis, pag. 13. unde Suidas ea deſcripſit.

τῷ. πλεῖστον μὲν ἀπέχειν δοκῶν τῆς τοῖς ἀθληταῖς παρεπομένης ἀγωνίας, πρακτικώτατος δὲ καὶ συνεχέστατος εἶναι νομιζόμενος περὶ τὴν πολιτείαν.

Γοργῶπις.[1] γοργόφθαλμος.

Γοργωπὸν ἕδραν. φοβερὰν καθέδραν.

Γοργύνη.[2] δεσμωτήριον ὑπόγειον. [3] ἢ ἀπὸ δήμου τῆς Ἀττικῆς κακοπράγμονος.

Γοργύρα.[4] τὸ κατὰ γῆς ὄρυγμα. οὕτω Δείναρχος, καὶ Ἡρόδοτος, καὶ ἄλλοι.

Γορδίειον. πόλις. καὶ Γορδιηνὸς, ὄνομα κύριον.

Γορδιαῖος. μὴν ὁ Σεπτέμβριος κατὰ Μακεδόνας.

Γορτύνη. πόλις Κρήτης ἀπὸ ἥρωος Γόρτυος. καὶ Γορτύνιος, ἀπὸ τόπου.

Γόρτυς. ὄνομα νήσου.

Γουνάσομαι. λιτανεύσω. παρακαλέσω.

> Οὐκέτι[5] γουνάσομαι τὴν βάρβαρον, οὐδ' ἐπ' ἐ-
> μαυτῷ
> Κλαύσομαι. ———

Γοῦνδας.[6] τὸ παρ' ἡμῖν λεγόμενον γουνδίον.

Γουνῷ[7] ἀλωῆς. ἐν τῷ γονιμωτάτῳ καὶ καρπίμῳ χωρίῳ τῆς γῆς.

Γώβαρις. ὄνομα κύριον.

Γωβρύας. ὄνομα κύριον.

Γωνία. ἡ τοῦ οἴκου. καὶ [8] γωνιασμός. Λυσίας ἐν τῷ κατὰ Λυσιθέου, εἰ ἔστι γνήσιος· Κάμψαντι, φησὶ, τοῦ τείχους, ὦ βουλὴ, ἐστὶ γωνιασμὸς ἐν ἀριστερᾷ καὶ εὐρυχωρία πάνυ πολλή. καὶ Γωνιασμοὺς, ἀποφυγὰς, ἀπαγωγάς. [9] Ἀριστοφάνης· Ἔδειξα τουτοισὶ λεπτῶν κανόνων εἰσβολὰς, ἐπῶν τε γωνιασμούς.

Γωνίᾳ ἀπορθῶσαι. τὸ ἐν γωνίᾳ ὑπό τινος περανθῆναι.

Γώνυμος. ὁ φερώνυμος.

Γωρυτός. θήκη τόξων. [10] Καὶ κατὰ γωρυτοῦ παρηρτημένοι τρεῖς ἢ πλείους ἄκοντες, πλατεῖς μὲν αἰχμὰς, οὐκ ἀποδέοντες δὲ δοράτων μέγεθος. Καὶ αὖθις· Καὶ γωρυτοὺς πλήρεις ὀϊστῶν.

Γράμματα. τὰ γράμματα Φοίνικες εὗρον πρῶτοι· ἔνθεν καὶ Φοινίκεια ἐκλήθησαν· καὶ τὸν Κάδμον φασὶ πρῶτον εἰς τὴν Ἑλλάδα κομίσαι. ἰατρικὴν δὲ ὁ Ἆπις ὁ Αἰγύπτιος. ὁ δὲ Ἀσκληπιὸς ηὔξησε τὴν τέχνην.

Γραμματεύς.[11] οὗτος πράξεως μὲν οὐδεμιᾶς ἦν κύριος, ὑπανεγίνωσκε δὲ τῇ βουλῇ καὶ τῷ δήμῳ τὰ

lit. Nam & plurimum abeſſe videbatur ab illo ſtupore, qui athletas fere comitari ſolet; & ad res gerendas gnaviſſimus ac prudentiſſimus in Republ. habebatur.

Γοργῶπις. Gorgoneos oculos habens.

Γοργωπὸν ἕδραν. Terribilem ſedem.

Γοργύνη. Carcer ſubterraneus. A populo quodam Atticæ malo & improbo.

Γοργύρα. Locus ſub terra fodiendo excavatus. Sic Dinarchus, & Herodotus, & alii.

Γορδίειον. Gordieum, urbs. Et Gordienus, nomen proprium.

Γορδιαῖος. Gordiæus. Menſis September apud Macedones.

Γορτύνη. Gortyne, urbs Cretæ, ab Herce Gortye. Et Gortynius, nomen [a loco deductum.]

Γόρτυς. Gortys. Inſulæ nomen.

Γουνάσομαι. Genibus flexis orabo. Suppliciter precabor. *Haud amplius ſupplicibus precibus orabo inhumanam* [*puellam,*] *neque ſortem meam deplorabo.*

Γοῦνδας. Idem, quod apud nos dicitur γουνδίον.

Γουνῷ ἀλωῆς. In agro admodum fertili & fructifero.

Γώβαρις. Gobaris. Nomen proprium.

Γωβρύας. Gobryas. Nomen proprium.

Γωνία. Angulus domus. Et γωνιασμὸς, curvitas anguli. Lyſias in oratione contra Lyſitheum, ſi modo is verus ejus auctor eſt: *Flectenti* [*ad hanc partem iter,*] *Senatores,* [*apparet*] *angulus muri ad ſiniſtram, & in loco valde ſpatioſo.* Et γωνιασμοὺς, effugia, fallacias, fraudes. Ariſtophanes: *Docui eos ſubtilium regularum uſum, & verborum fallacias.*

Γωνίᾳ ἀπορθῶσαι. In angulo ab aliquo ſubigi, vel permoli.

Γώνυμος. Qui vere nomen aliquod gerit.

Γωρυτός. Pharetra. *Et ex pharetra tria vel plura jacula dependent, quæ latas habent cuſpides, nec ab haſtis magnitudine differunt.* Et iterum: *Et pharetras plenas ſagittis.*

Γράμματα. Literas Phœnices primi invenerunt (unde etiam Phœniciæ dictæ fuerunt,) eaſque Cadmum in Græciam primum intuliſſe ferunt. Apis vero Ægyptius artem medicam [invenit:] quam Æſculapius auxit.

Γραμματεύς. Scriba. Hic ipſe quidem nullius negotii publici adminiſtrandi poteſtatem πραττόμενα. ὁ δ᾽ ἀντιγραφεὺς καὶ οὗτος [1] ἀπὸ τοῦ γράφειν τὰ παρὰ τῇ βουλῇ ὠνόμασται.

---

[1] Γοργῶπις] Eſt epithetum Minervæ apud Sophoclem in *Ajace* pag. 27. ut Portus monuit.

[2] Γοργύνη] Scribe γοργύρη: quæ vox aliquoties occurrit apud Herodotum lib. III. Vide etiam Euſtath. ad Homerum pag. 1688.

[3] Ἡ ἀπὸ δήμου τ. Ἀττικῆς κακοπρ.] Hæc non pertinere puto ad vocem Γοργύρη, ſed alio referenda eſſe.

[4] Γοργύρα. τὸ κατὰ γῆς ὄρ.] Ex Harpocratione.

[5] Οὐκέτι γουνάσομαι τὴν βάρβ.] Epigramma integrum, ex quo verba hæc decerpta ſunt, exſtat Anthol. lib. VII. pag. 613.

[6] Γοῦνδας. τὸ παρ' ἡμῖν λεγ. γουνδ.] Vide Meurſium in Gloſſario v. Γοῦνα, qui pro γοῦνδας & γουνδίον hic legendum putat γοῦνας & γουνίον.

[7] Γουνῷ ἀλωῆς. ἐν τῷ γονιμ.] Ex Scholiaſta Homeri ad Il. I. v. 530.

[8] Γωνιασμός. Λυσίας ἐν τῷ κατὰ Λυσ.] Eadem habet Harpocratio; ſed brevius.

[9] Ἀριστοφάνης] *Ranis* pag. 257. (168. Ed. Baſ. *P.*) ſed ubi locus hic paulo aliter legitur.

[10] Καὶ κατὰ γωρυτοῦ παρηρ. ——— δοράτων μέγεθος] Fragmentum hoc legitur apud Joſephum *de Bello Jud.* lib. III. pag. 836.

[11] Γραμματεύς. οὗτος πράξ.] Confer Harpocrationem h. v. itemque Petitum *de Legibus Attic.* pag. 257.

Γραμματεύς. ὁ νοτάριος. Τὸν [2] τῶν ἀπορρήτων γραμματέα ἀσηκρῆτις καλοῦσι τὸ ἀξίωμα Ῥωμαῖοι. κληρωτοὶ [3] δὲ ἦσαν τὸν ἀριθμὸν τρεῖς, γράφοντες τὰ δημόσια. οὐδενὸς δὲ ἦσαν οἱ γραμματεῖς οὗτοι κύριοι, ἀλλ᾽ ἢ τοῦ γράφειν καὶ ἀναγνῶναι.

Γραμματείδιον, καὶ γραμματεῖον. τὸ συμβόλαιον. Γραμμάτιον δὲ, τὸ μικρὸν γράμμα. Ἔνθεν μὲν χρυσόν τε καὶ ἄργυρον καὶ γραμματεῖα βασιλικὰ, τὴν τῶν πατρικίων τιμὴν δωρούμενα.

Γραμματείου. διδασκαλείου. Ἅτε προηγμένος ἀνελπίστως ἐκ τοῦ γραμματείου, καὶ τῆς τοιαύτης διαθέσεως, πολὺς ἐπέπνει.

Γραμματείας. ἐξαριθμήσεις. [4] Δαβίδ· Ὅτι οὐκ ἔγνων γραμματείας· ὅμως εἰσελεύσομαι ἐν δυναστείᾳ Κυρίου.

Γραμματιστής. ὁ τὰ πρῶτα στοιχεῖα διδάσκων. Γραμματικὴ δὲ ἐστὶν ἐπιστήμη τοῦ ἀναγινώσκειν καὶ γράφειν. Ὁ δὲ [5] ἐς γραμματιστοῦ ἐφοίτησε παρὰ Ἀντιοχεῦσιν. Καὶ αὖθις· Οὐδὲ τὰ πρῶτα παρὰ τοῖς γραμματισταῖς ἐκμεμαθηκὼς στοιχεῖα. Καὶ αὖθις· Οὐ γὰρ [6] ἄλλο οὐδὲν ἐς γραμματιστοῦ φοιτῶν ἔμαθεν, ὅτι μὴ γράμματα καὶ ταῦτα κακῶς γράψαι.

Γραμματοκύφων. ἀντὶ τοῦ ταπεινὲ γραμματεῦ. κυρίως γὰρ κύφων τὸ ξύλον καλεῖται. [7] Δημοσθένης καὶ ἄλλα σκώπτει τὸν Αἰσχίνην, καὶ γραμματοκύφωνα αὐτὸν καλεῖ· ὃν καὶ υἱὸν εἶναί φησιν ὄνομα Τρόμητος, διδασκάλου δὲ τῶν πρώτων γραμμάτων.

Γραμμή. [8] Γραμμή ἐστιν ἐπιφανείας πέρας· ἢ μῆκος ἀπλατὲς, τὸ μῆκος μόνον ἔχον. καὶ ἡ ἀρχὴ, ἡ ἀφετηρία, ἡ βαλβίς. [9] Ἀριστοφάνης· Γραμμὴ δ᾽ αὑτηί. ἀντὶ τοῦ ἀρχὴ, ἀφετηρία, ἡ λεγομένη βαλβίς. ἐκ μεταφορᾶς τῶν δρομέων.

Πρόβαινε νῦν ὦ θυμέ· γραμμὴ δ᾽ αὑτηί.

Γράσος. ἡ δυσοσμία τῶν τράγων. καὶ Γράσων ἄνθρωπος. ὁ δύσοσμος. [10] Τῷ Γράσωνι μὴ ὀργίζου.

Γρατιανός. [11] Οὗτος ὡς ἐπύθετο τὴν τοῦ Οὐάλεντος τοῦ θείου τελευτὴν, αὐτίκα πρὸς τὴν ἑῴαν Ῥώμην διέθει, καὶ καταγνοὺς τῆς τοῦ θείου Οὐάλεντος τῆς περὶ τοὺς Χριστιανοὺς ὠμότητος, τοὺς μὲν ὑπ᾽ ἐκείνου ἐξορισθέντας διὰ ταχέων ἀνεκαλεῖτο, οὐσίας τε

habebat, ſed Senatui & populo prælegebat ea, quæ gerebantur. Idem etiam ἀντιγραφεὺς vocabatur, quod acta Senatus ſcriptis mandaret.

Γραμματεύς. Scriba. Notarius. Scribam arcanorum Romani *a ſecretis* vocant. † Tres erant ſcribæ [apud Athenienſes,] qui ſorte creabantur, & acta publica ſcribebant. His nullius rei gerendæ poteſtas data erat, præterquam ſcribendi & prælegendi.

Γραμματείδιον, & γραμματεῖον. Tabula contractus. Γραμμάτιον vero, litera parva. *Inde vero & aurum & argentum & diplomata regia, quibus Patriciorum dignitas conferebatur, [attulerunt.]*

Γραμματείου. Ludi literarii. *Magnum præ ſe ferebat faſtum, utpote qui præter ſpem ex ludo literario prodierat.*

Γραμματείας. Enumerationes. David: *Quamvis iis omnibus enumerandis impar ſim, tamen in potentia Domini intrabo.*

Γραμματιστής. Literator. Sive, qui prima elementa docet. Grammatica vero eſt legendi & ſcribendi ſcientia. *Ille vero apud Antiochenſes ludum literatoris frequentavit.* Et iterum: *Qui ne prima quidem elementa apud literatores didicerat.* Et iterum: *Ludum enim literatoris frequentans nihil aliud didicit, niſi literas eaſque male pingere.*

Γραμματοκύφων. Vilis ſcriba & literator. Proprie enim κύφων appellatur collare ligneum, [cui cervices maleficorum illigantur.] Demoſthenes tum aliis dicteriis Æſchinem inſectatur, tum etiam γραμματοκύφωνα eum vocat: quem etiam filium eſſe dicit Trometis cujuſdam literatoris.

Γραμμή. Linea. Linea eſt ſuperficiei finis; aut longitudo ſine latitudine, [aut] ſolam tantum longitudinem habens. Item, principium, carceres, & locus, unde curſores ad curſum emittebantur. Ariſtophanes: *Progredere nunc, mi anime: hi enim ſunt carceres.*

Γράσος. Fœtor hircorum. Et Γράσων ἄνθρωπος, homo male olens. *Hircũ olenti ne iraſcaris.*

Γρατιανός. Gratianus. Hic audita Valentis patrui morte, protinus Conſtantinopolin petiit, damnataque ſævitia, qua adverſus Chriſtianos uſus fuerat, primum quidem cunctos, qui a Valente in exilium miſſi erant, celeriter revocavit, bonaque eis reſtituit, ac damαὐτοῖς ἀποδιδοὺς, καὶ θεραπεύων τὰς βλάβας· πᾶσι δὲ νόμον παρεῖχεν ἀδεῶς καὶ ἀδιέκτως ἐν ταῖς ἰδίαις Ἐκκλησίαις συνάγεσθαι. μόνους δὲ τῶν εὐκτηρίων εἴργεσθαι Εὐνομιανοὺς, Φωτεινιανοὺς, Μανιχαίους. † Ὅπου ἐν τῷ περιπάτῳ ἔφιπποι στῆλαι ἵσταντο Γρατιανοῦ, Οὐαλεντινιανοῦ, καὶ Θεοδοσίου, καὶ κυρτοῦ Φιρμιλιανοῦ πρὸς γέλωτα.

---

[1] Ἀπὸ τοῦ γράφειν] Imo ἀπὸ τοῦ ἀντιγράφειν.

[2] Τὸν τῶν ἀπορρήτων γραμματέα ἀσηκρ. καλοῦσι τὸ ἀξ. Ῥωμ.] Procopius *de Bello Perſ.* lib. II. cap. VII. Ἐτύγχανε γὰρ Ἰουστινιανὸς βασιλεὺς Ἰωάννην τε τὸν Ῥουφίνου καὶ Ἰουλιανὸν τὸν τῶν ἀπορρήτων γραμματέα πρέσβεις παρὰ Χοσρόην στείλας. Ἀσηκρῆτις καλοῦσι τοῦτο τὸ ἀξίωμα Ῥωμαῖοι. Σήκρητα γὰρ καλεῖν τὰ ἀπόρρητα νενομίκασιν. Ex hoc loco Suidæ verba deprompta eſſe apparet.

[3] Κληρωτοὶ δὲ ἦσαν τὸν ἀριθμ.] Hæc, & quæ ſequuntur, de ſcribis veterum Athenienſium intelligenda ſunt: quod ideo moneo, ne quis forte hæc ad inſtituta Romanorum, quorum mentio proxime præcedit, referenda eſſe putet. Solet enim ſæpe Suidas excerpta de rebus diverſiſſimis abſque ulla nota diſtinctionis uni voci ſubjicere: quæ res incautum Lectorem facile decipere poteſt.

[4] Δαβίδ] Pſalm. LXX. v. 16. ubi vide Theodoretum.

[5] Ὁ δὲ ἐς γραμματιστοῦ ἐφοίτησε παρὰ Ἀντιοχ.] Procopius *de Bello Perſ.* lib. II. cap. VI. Ὁ δὲ Παῦλος οὗτος ἐτέθραπτο τε ἐν γῇ τῇ Ῥωμαίων, καὶ εἰς γραμματιστοῦ παρ᾽ Ἀντιοχεῦσιν ἐφοίτησεν. Hinc Suidæ verba deprompta ſunt.

[6] Οὐ γὰρ ἄλλο οὐδὲν ἐς γραμμ.] Hæc ſunt verba ejuſdem Procopii de Joanne Cappadoce, lib. I. *de Bello Perſ.* cap. XXIV. pag. 70. Vide etiam infra v. Ἰωάννης ὁ Καππαδ. ubi hic ipſe locus repetitur.

[7] Δημοσθένης] Locus Demoſthenis, ad quem Suidas hic reſpicit, exſtat in oratione pro Cteſiphonte pag. 343.

[8] Γραμμή ἐστιν ἐπιφ.——τὸ μῆκος μόνον ἔχον] Hæc ſunt verba Laertii *Zenone*, Segm. CXXXV. ut Pearſonius obſervavit.

[9] Ἀριστοφάνης] *Acharnenſ.* pag. 394. (281. Ed. Baſ. *P.*)

[10] Τῷ γράσωνι μὴ ὀργίζου] Fragmentum hoc depromptum eſt ex Marc. Anton. lib. I. §. 28. ſed ubi legitur, Τῷ γράσωνι μήτι ὀργίζῃ; i. e. *Num ſuccenſes ei, qui hircum olet?*

[11] Γρατιανός. οὗτος ὡς ἐπύθετο τὴν τοῦ Οὐάλεντος τοῦ θείου τελ.—— Μανιχαίους] Hæc leguntur in Excerptis ex Joanne Antiocheno, a Valeſio editis, pag. 846. unde Suidas ea deſcripſit.

Γραῦς. καὶ ἡ ἄνθρωπος· καὶ[1] ὁ ἀνώτατος ἀφρὸς ἐν τῷ ὑπερζεῖν τὰ ὄσπρια γινόμενος. Ἀριστοφάνης Πλούτῳ·

--- Πολὺ τῶν ἄλλων χυτρῶν τἀναντία
Αὗται ποιοῦσι. ———

ποιητικῶς δὲ γρηῦς λέγεται.

Ἡ γρηῦς, ἡ χερῆπις, ἡ γυρὴ πόδας,
Πύστιν κατ᾽ ἐσθλὴν ὕδατος Παιωνίου,
Ἦλθεν[2] ποθ᾽ ἑρπύζουσα σὺν δρυὸς ξύλῳ.

Γραῦς ἀνακροτήσασα πολὺν κονιορτὸν ἐγείρει. ἐπὶ τῶν δι᾽ ἐμπειρίαν πολλὰ πράγματα κινούντων.

Γραῦς ὥς τις ἵππος τὸν χαραδραῖον τάφον
Ἕξεις,

ἐπὶ τῶν ἀξίως τὰ ἔσχατα παθόντων· παρόσον οἱ γεγηρακότες ἵπποι εἰς τὰς χαράδρας κρημνίζονται κα ἐμβάλλονται.

Γραῦς[3] σέριφος. ἡ ἐν παρθενίᾳ γεγηρακυῖα· ἀπὸ μεταφορᾶς τῆς ἀγουραίας ἀκρίδος, ἣν καλοῦσι γραῦν σέριφον καὶ μάντιν.

Γραῦς χορεύει. ἐπὶ τῶν παρ᾽ ὥραν τι διαπραττομένων. ταῖς γὰρ νέαις πρέπει τὸ χορεύειν. καὶ, Γραῶν ὕθλοι. ἡ παροιμία ἐπὶ τῶν μάτην ληρούντων.

Γραφάς. δικαστήρια. κατηγορίας.

Γραφή τε καὶ Λευκαῖος οὐ ταυτόν. ἐπὶ τῶν ἀνόμοια γραφόντων.

Γράφεται. ἀντὶ τοῦ γράφει. ἢ κατηγορεῖ.

Γραφεύς. ὁ ζωγράφος.

Ὃς τοῖς νεκροῖσι ζωγραφεῖ τὰς ληκύθους.

τοιαῦτα γὰρ ἐν τοῖς μνήμασιν ἔγραφον. καὶ Δημοσθένης γράφειν, τὸ ζωγραφεῖν.

Γράφειν ἐς τάχος. οὕτω λέγεται κατὰ διαστολήν. Προκόπιος· Τὴν ἐς τάχος γράφουσαν μοῖραν.

Γραφή. ἡ περὶ τῶν δημοσίων ἀδικημάτων κατηγορία, καὶ περὶ τῶν ἄλλων ἁμαρτημάτων. γίνονται δὲ γραφαὶ καὶ νόμων καὶ ψηφισμάτων οὐκ ἐπιτηδείων εἰσκομίζεσθαι δοκούντων· αἵτινες γραφαὶ παρανόμων καλοῦνται.

Γραφή.[4] δημοσίου τινὸς ἐγκλήματος ὄνομα. οὐ μόνον δὲ ὅταν ψήφισμα ἢ νόμου κατηγορῇ τις, παρανόμων γραφὴν ἀποφέρεσθαι λέγεται· ἀλλὰ καὶ

na reſarcivit. Deinde vero lege lata cujuſcunque religionis hominibus permiſit, ut ſecure ac libere conventus in Eccleſiis propriis agerent. Solis Eunomianis, Photinianis, ac Manichæis conventicula ademit. † In Peripato erectæ erant ſtatuæ equeſtres Gratiani, Valentiniani, Theodoſii, & Phirmiliani gibbi riſus gratia.

Γραῦς. Anus. Item ſpuma, quæ in ſumma olla leguminibus bullientibus cernitur. Ariſtophanes *Pluto*: *Ollæ hæ longe aliter comparatæ ſunt, quam aliæ.* Poetice vero pro γραῦς dicitur γρηῦς. *Anus paupercula, curvos habens pedens, ob celebrem famam aquæ Pæoniæ baculo querno innixa, & ægre moliens gradum, aliquando acceſſit.*

Γραῦς ἀνακροτ. *Anus ſubſultans multum pulveris excitat.* De iis, qui propter uſum rerum magnas turbas excitant.

Γραῦς ὥς τις ἵππ. *Anus velut equus in torrente ſepulcrum habebis.* Dicitur de iis, quibus merito peſſimus vitæ exitus contingit. Equi enim ſenio confecti in torrentes & foſſas præcipitantur.

Γραῦς σέριφος. *Anus ſeripha.* Dicitur de ea, quæ in virginitate conſenuit. Per tranſlationem ductam ab agreſti locuſta, quam anum ſeripham & mantin vocant.

Γραῦς χορεύει. *Anus ſaltat.* De iis dicitur, qui aliquid faciunt, quod ætatem ipſorum non decet. Adoleſcentulas enim decet ſaltare. Et, *Nugæ aniles.* Proverbium, quod dicitur de iis, qui nugas temere effutiunt.

Γραφάς. Judicia. Accuſationes.

Γραφή καὶ Λευκ. *Scriptura & Leucæus non ſunt idem.* De iis dicitur, qui diſſimilia ſcribunt.

Γράφεται. Scribit, vel, accuſat.

Γραφεύς. Pictor. *Qui mortuis lecythos pingit.* Hujuſmodi enim picturas in monumentis pingebant. Et Demoſthenes τὸ γράφειν dixit pro ζωγραφεῖν, i. e. pingere.

Γράφειν ἐς τάχος. Notis ſcribere. Sic dicitur per diaſtolen [pro ταχυγραφεῖν.] Procopius: *Partem celeriter ſcribentem.*

Γραφή. Accuſatio criminum publicorum, & aliorum delictorum. Inſtituuntur autem & accuſationes ob leges & decreta, quæ perperam lata & facta videntur: quæ actiones παρανόμων vocantur.

Γραφή. Actionis publicæ nomen. Non ſolum autem cum quis decretum aut legem aliquam accuſat, γραφὴν παρανόμων ἀποφέρεσθαι ἐπ' ἄλλοις δημοσίοις ἀδικήμασι. πολλὴ δὲ ἡ χρῆσις τοῖς ῥήτορσιν.

---

[1] Καὶ ὁ ἀνώτατος ἀφρὸς] Vide Scholiaſtam Nicandri ad Alexiph. pag. 47.

[2] Ἦλθεν ποθ᾽ ἑρπύζουσα σὺν δρ.] Idem ſenarius legitur infra v. Διασκήνησαντι.

[3] Γραῦς σέριφος] Apud Heſychium & Zenobium, nec non in Vaticana Proverbiorum Appendice hodie legitur Γραῦς ἔριφος; quod Eraſmus, qui lectionem illam amplectitur, vertit, *Anus hædus.* Sed lectionem Suidæ recte defendit doctiſſimus Leopardus *Emendat.* lib. v. cap. xxi. quem vide.

[4] Γραφή. δημοσίου τινὸς ἐγκλήματος ὄνομα——ῥήτορσι] Ex Harpocratione.

Γραφή. ζωγραφία. κατηγορία. καὶ [1] ἐπιγράμμασιν. [2] Ἀπορῶ, γράφω. γράφω μὲν, ἀντὶ τοῦ καταγράφω, ἢ ζωγραφῶ ἐπὶ τῆς γῆς [3] ξὺν τῷ δακτύλῳ, καί τινι τοιούτῳ παιδιᾷ τινι.

Γραφή. κατηγορία. ἐγκλήματα.

Γράφω. τὸ ἐπιστέλλω. δοτικῇ. [4] ἰστέον, ὅτι τὸ γράφω πρὸς διάφορον σημασίαν διάφορον ἔχει καὶ τὴν σύνταξιν. καὶ εἰ μὲν γράφω σοι ἐστὶ, δοκεῖ σημαίνειν τὸ ἐπιστέλλω σοι. εἰ δὲ γράφω σε, σημαίνει τὸ ἐκτύπωμά σου ποιῶ· ὡς τὸ, οἱ τὰς μορφὰς γράψαντες καὶ τὰ γράμματα. εἰ δὲ γράφομαί σε, σημαίνει τὸ κατὰ σοῦ ἐγγραφὰς ποιῶ, εἰς δικαστήρια ἐκτίθεμαι· ὡς τὸ, γράφομαί σε φόνων καὶ παρανόμων ἐπὶ τοῦ Ῥαδαμάνθυος.

Γράψαι. κοιλᾶναι. διασκάψαι.

Γράψομαι. κατηγορήσω. [5] Ἀριστοφάνης·

--- Γράψομαι,
Μήδοισιν αὐτὸν προδιδόναι τὴν Ἑλλάδα.

Γραῖα. ἡ παλαιά.

Γραικοί.[6] οἱ Ἕλληνες. ἀπὸ κώμης τινός. ἢ ἀπὸ Γραικοῦ τινος. ἐκ τοῦ Γραῖξ, Γραικός.

Γραιοσόβαι.[7] ἀπὸ τῶν ἰχθύων ἀποσοβοῦντες τὰς γραΐδας, ὡς μὴ ἀγοράζειν. ἢ γραυσὶ συγκοιμώμενοι. σοβάδες γὰρ αἱ πόρναι.

Γραιούδια. οἱ παρ' ἡμῖν ἑφθοὶ ὄμφακες.

Γρηγόριος,[8] Ναζιανζοῦ Ἐπίσκοπος, (σταθμὸς δὲ ἐστὶν οὗτος Καππαδοκίας) ἀνὴρ ἐλλογιμώτατος, ἀναγκαῖος φίλος Βασιλείου τοῦ τῆς Καισαρείας Ἐπισκόπου, τῆς ἐν Καππαδοκίᾳ. οὗτος οὐ μόνον γραμματικὸς, καὶ τὰ ἐς τὴν ποίησιν δεξιὸς, ἀλλὰ πολλῷ πλεῖον καὶ εἰς φιλοσοφίαν ἐξήσκητο, καὶ ῥήτωρ ἦν ἀμφιδέξιος. οὗτος ἔγραψε καταλογάδην πολλά. εἰς γὰρ τρεῖς μυριάδας στίχων τὰ συντάγματα αὐτοῦ συνέθηκεν· ἀφ' ὧν εἰσὶ τάδε. Περὶ τῆς τελευτῆς τοῦ ἀδελφοῦ Καισαρείου. Ἐπιτάφιος εἰς τὸν ἑαυτοῦ πατέρα. ἕτερος εἰς τὴν ἀδελφὴν Γοργονίαν. Περὶ φιλοπτωχίας. Ἔπαινοι τῶν Μακκαβαίων. Ἔπαινοι Κυπριανοῦ. Ἔπαινοι Ἀθανασίου. [9] Ἔπαινοι Ἥρωνος φιλοσόφου. Κατὰ Ἰουλιανοῦ τοῦ βασιλέως λόγοι δύο. Περὶ τοῦ ἁγίου πνεύματος λόγος εἷς. Πανηγυρικοὶ λόγοι δέκα· καὶ ἕτεροι πλεῖστοι καὶ πᾶσι γνώριμοι.

dicitur; ſed nomen hoc de aliis etiam criminibus publicis dicitur. Frequens autem hujus vocis uſus eſt apud oratores.

Γραφή. Pictura. Accuſatio. Item, inſcriptio. [Ariſtophanes:] *Dubito, ſcribo.* Γράφω hic ſignificat deſcribo, vel digito aut aliquo alio inſtrumento in terra ludicra quædam pingo.

Γραφή. Accuſatio. Crimina.

Γράφω. Literas ad aliquem ſcribo. Dativo jungitur. Sciendum eſt, verbum γράφω pro diverſa ſignificatione, diverſam etiam habere conſtructionem. Nam ſi dicas, γράφω σοι, ſignificat, literas ad te ſcribo. Sin γράφω σε, ſignificat, imaginem tuam pingo. *Qui imagines & literas pinxerunt.* At γράφομαί σε ſignificat, te accuſo, in jus voco. Ut, *Te cædium & legum perperam latarum accuſo coram Rhadamantho.*

Γράψαι. Sculpere. Cœlare. Effodere.

Γράψομαι. Accuſabo. Ariſtophanes: *Accuſabo eum, tanquam Græciam Medis prodentem.*

Γραῖα. Vetula. Anus.

Γραικοί. Græci. [Sic vocati] ab oppido quodam. Vel ab aliquo, cui nomen erat Græcus. [Γραικὸς vero deducitur] a Γραῖξ, Γραικός.

Γραιοσόβαι. Qui vetulas a piſcibus arcent, ne eos emant. Vel, qui cum vetulis concumbunt. Σοβάδες enim vocantur meretrices.

Γραιούδια. Sic apud nos vocantur coctæ uvæ immaturæ.

Γρηγόριος. Gregorius, Epiſcopus Nazianzenus, (eſt autem Nazianzus ſtatio Cappadociæ) vir celeberrimus, & Baſilii Cæſareæ in eadem Cappadocia Epiſcopi familiaris amicus. Hic non ſolum Grammaticus & Poeta excellens, ſed etiam multo magis philoſophus inſignis, & orator peritiſſimus fuit. Idem oratione ſoluta multa ſcripſit, operaque ejus circiter xxx millia verſuum continent: ex quibus & hæc ſunt. De obitu fratris Cæſarii. Oratio funebris in patrem ſuum. Altera in ſororem Gorgoniam. De pauperibus amandis. Laudes Maccabæorum. Laudes Cypriani. Laudes Athanaſii. Laudes Heronis philoſophi. Contra Julianum Imperatorem orationes duæ. De Spiritu S. oratio una. Orationes panegyricæ decem: aliæque plurimæ, quæ omnibus notæ ſunt. Secutus eſt autem genus dicendi, quo uſus διακολούθησε δὲ τῷ Πολέμωνος χαρακτῆρι τοῦ Λαοδικέως, τοῦ σοφιστεύσαντος ἐν Σμύρνῃ· ὃς ἐγεγόνει διδάσκαλος Ἀριστείδου τοῦ ῥήτορος. ἐγράφη δὲ αὐτῷ καὶ ἑτέρα βίβλος δι' ἑξαμέτρων, παρθενίας καὶ γάμου καθ' ἑαυτοὺς διαλεγομένων· καὶ εἰς ἑτέρας ὑποθέσεις ἐν παντοίοις καὶ διαφόροις μέτροις, ἅ τινα συνάγονται εἰς ἐπῶν μυριάδας τρεῖς. τοῦ δὲ Γρηγορίου τούτου καὶ Φιλοστόργιος ὁ Ἀρειανὸς ἐν τῇ κατ' αὐτὸν ἱστορίᾳ μνήμην πεποίηται, καί φησι· [1] Γρηγόριος γὰρ ἤκμαζε κατ' ἐκείνους τοὺς χρόνους ἐν τῇ Ναζιανζῷ (σταθμὸς δὲ οὗτος ὁ τόπος Καππαδοκίας) καὶ Βασίλειος ἐν Καισαρείᾳ τῆς Καππαδοκίας, καὶ Ἀπολλινάριος ἐν τῇ Λαοδικείᾳ τῆς Συρίας. τρεῖς δὴ οὗτοι τότε ἄνδρες τοῦ ὁμοουσίου προεμάχουν κατὰ τοῦ ἑτεροουσίου, μακρῷ πάντας παρενεγκόντες τοὺς πρότερον καὶ ὕστερον ἄχρις ἐμοῦ τῆς αὐτῆς αἱρέσεως προστάντας· ὡς παῖδα παρ' αὐτοῖς κριθῆναι τὸν Ἀθανάσιον. τῆς τε γὰρ ἔξωθεν καλουμένης παιδεύσεως ἐπιπλεῖστον οὗτοι προεληλύθεισαν, καὶ τῶν ἱερῶν γραφῶν, ὁπόσα εἰς ἀνάγνωσιν καὶ τὴν πρόχειρον μνήμην ἔτεινε, πολλὴν εἶχον τὴν ἐμπειρίαν. καὶ μάλιστά γε αὐτῶν ὁ Γρηγόριος. καὶ μὴν καὶ συγγράφειν ἕκαστος αὐτῶν εἰς τὸν αὐτοῦ τρόπον ἦν ἱκανώτατος. τῷ μέν γε Ἀπολλιναρίῳ τὸ ὑπομνηματικὸν εἶδος τῆς λέξεως μακρῷ ἄριστα εἶχε. Βασίλειος δὲ πανηγυρίσαι λαμπρότατος ἦν. τῷ δέ γε Γρηγορίῳ, καὶ παρ' ἀμφοτέροις ἐξεταζομένῳ, μείζω βάσιν εἰς συγγραφὴν εἶχεν ὁ λόγος. καὶ ἦν εἰπεῖν Ἀπολλιναρίου μὲν ἁδρότερος, Βασιλείου δὲ σταθερώτερος. τοσαύτης δὲ αὐτοῖς ἐν τῷ λέγειν καὶ γράφειν δυνάμεως οὔσης, καὶ τὸ ἦθος οὐδὲν ἧττον οἱ ἄνδρες παρείχοντο πρὸς τὴν τῶν πολλῶν θέαν ἐπαγωγότατον. ὥστε καὶ οἷς ὁρῶντο, καὶ οἷς ἔλεγον, καὶ ὁπόσα γράφοντες διεδίδοσαν, διὰ πάντων ᾕρουν εἰς τὴν ἑαυτῶν κοινωνίαν τοὺς καθ' ὁποῦν αὐτῶν εὐμαρέστερον ἁλίσκεσθαι δυναμένους. Τοσαῦτα περὶ αὐτῶν ὡς ἐν παραδρομῇ Φιλοστόργιος, καὶ ταῦτα Ἀρειανὸς ὤν, ἔγραψεν. ἔτι γοῦν περιὼν εἰς τὸν οἰκεῖον τόπον ὁ Γρηγόριος Ἐπίσκοπον καταστήσας ἐν τῇ λαχούσῃ αὐτὸν Ἐκκλησίᾳ, αὐτὸς ἐν ἀγρῷ τινι βίον μοναδικὸν ἐπηνέγκατο. ἐλάσας δὲ περὶ τὰ ἐνενήκοντα ἔτη καὶ ἐπέκεινα, [2] Θεοδοσίου τρίτον καὶ δέκατον ἔτος ἄγοντος, καταλύει τὸν βίον, ἀνάξιον τοῦτο τῆς αὐτοῦ παθὼν ἀρετῆς, καὶ τῆς καθέδρας ἀποκρουσθῆναι τῆς βασιλευούσης τῶν πόλεων, καὶ προκριθῆναι μᾶλλον τοὺς φαυλοτέρους, ἢ τὸν ἐπ' ἀρετῇ καὶ λαμπρότητι βίου πάντων μᾶλλον ὑπερέχοντα.

---

[1] Ἐπιγράμμασιν] Portus legendum putat ἐπιχειρήμασι: quod non aſpernor.

[2] Ἀπορῶ, γράφω] Hæc verba ſumpta ſunt ex loco illo Ariſtophanis *Acharnenſ.* pag. 371. (262. Ed. Baſ. *P.*)

Ἀπορῶ, γράφω, παρατίλλομαι, λογίζομαι.

Vide ibi veterem Enarratorem. cujus verba Suidas hic deſcripſit.

[3] Ξὺν τῷ δακτύλῳ, καί τινι τοιούτῳ παιδιᾷ τινι] Locum hunc ſic emendabis: Ξὺν τῷ δακτύλῳ, καί τινι τοιούτῳ παιδιάς τινας.

[4] Ἰστέον, ὅτι τὸ γράφω πρὸς διάφ. σημ. διάφ.] Eadem pene habet Etymologus.

[5] Ἀριστοφάνης] *Pace* pag. 631. (438. Ed. Baſ. *P.*)

[6] Γραικοί. οἱ Ἕλληνες] Vide Stephanum Byzantium v. Γραικός & ibi Berkelium.

[7] Γραιοσόβαι. ἀπὸ τῶν ἰχθ.] Ex Scholiaſta Ariſtophanis ad *Pacem* pag. 685. (466. Ed. Baſ. *P.*)

[8] Γρηγόριος, Ναζιανζοῦ Ἐπίσκ.] Confer Hieronymum *de Scriptor. Eccleſ.* ejuſque interpretem Sophronium, apud quem nonnulla eorum, quæ Suidas hic habet, αὐτολεξεὶ quoque leguntur.

[9] Ἔπαινοι Ἥρωνος φιλ.] Aliter Hieronymus in *Catalogo Script. Eccleſ.* cujus verba adducam: *Laudes Maximi philoſophi, poſt exilium reverſi, quem falſo nomine quidam Heronis ſuperſcripſerunt, quia eſt & alius liber, vituperationem ejuſdem Maximi continens; quaſi non licuerit eundem & laudare & vituperare pro tempore.*

Γρηγόριος, Νύσσης Ἐπίσκοπος, ἀδελφὸς Βασιλείου τοῦ Καισαρέως, ἀνὴρ καὶ αὐτὸς ἐλλογιμώτατος, καὶ πάσης ὑπάρχων παιδείας ἀνάπλεως· προσκείμενος δὲ μᾶλλον τοῖς τῇ ῥητορικῇ χαίρουσι. καὶ γοῦν εὐδόκιμος ἐν ταύτῃ γεγένηται καὶ λαμπρὸς, εἴ τις ἄλλος τῶν πάλαι ταύτῃ γεγενημένων. οὗτος συνέταξε κατ' Εὐνομίου λόγον ἐξαίρετον, καὶ τεῦχος

fuit Polemo Laodicenſis, qui Smyrnæ eloquentiam docuit, & Ariſtidis Rhetoris præceptor fuit. Scripſit & alium librum verſibus hexametris, in quo virginitas & conjugium inter ſe colloquuntur. Item de aliis argumentis diverſo & omnifario genere verſuum, quorum numerus xxx millia circiter implet. Hujus Gregorii Philoſtorgius Arrianus quoque in hiſtoria ſua mentionem facit his verbis: *Floruit illis temporibus Gregorius Nazianzi, (eſt autem Nazianzus ſtatio Cappadociæ) & Baſilius Cæſareæ in Cappadocia, & Apollinaris Laodiceæ in Syria. Hi tres viri tunc pro Homouſio contra Heterouſium propugnabant, longo intervallo ſuperantes omnes illos, qui & ante & poſt ad meam uſque ætatem hæreſis illius defenſores fuerunt; adeo ut Athanaſius cum iis collatus puer judicaretur. Nam & in diſciplinis profanis maximos fecerant progreſſus, &, quod ad lectionem & promptam memoriam attinet, in ſacris literis inſigniter verſati erant; præſertim vero Gregorius. Adhæc, unuſquiſque illorum in ſuo genere ſtilo plurimum valebat. Apollinaris enim eo orationis genere, quod commentariis ſcribendis eſt aptiſſimum, excellebat. Baſilius vero in panegyrico genere dicendi palmam ferebat. At Gregorii cum utroque comparati ſtilus magis erat fundatus & ſolidus. Nam & Apollinari in dicendo erat uberior, & Baſilio gravior. Cum autem tanta eſſent & dicendi & ſcribendi facultate præditi, iis etiam fuere moribus, quibus oculi plebis maxime allicerentur. Itaque & aſpectu, & oratione, & ſcriptis paſſim editis, in ſuam ſententiam & familiaritatem pertrahebant omnes, qui ulla ratione pertrahi commode poterant.* Hæc de iis Philoſtorgius, quamvis Arrianus, obiter ſcripſit. Gregorius autem ſuperſtes adhuc alium Eccleſiæ ſuæ Epiſcopum in locum ſuum ſubſtituit, & ipſe ruri vitam monachi egit. Deceſſit anno decimo tertio Theodoſii Imperatoris, annos natus amplius xc, haud dignum virtutis ſuæ præmium conſecutus, ut qui principis urbium ſedem non obtinuerit, prælatis deterioribus viro illi, qui virtute & vitæ claritate omnibus antecelleret.

Γρηγόριος. Gregorius, Epiſcopus Nyſſenus, frater Baſilii Cæſarienſis, vir & ipſe clariſſimus, omnique doctrina refertus; eloquentiæ tamen ſtudio magis deditus: cujus laude adeo floruit, ut nulli veterum cederet. Hic eximiam orationem contra Eunomium ſcripſit; & opus admirabile de fabricatione hominis: aliaſque Homilias plurimas. Item in θαυμάσιον εἰς τὴν τοῦ ἀνθρώπου κατασκευήν· ἄλλας τε πυκνὰς καὶ συνεχεῖς ὁμιλίας. εἴς τε τὰ ᾄσματα ᾀσμάτων, καὶ εἰς τὸν Ἐκκλησιαστήν, καὶ πρὸς τὴν ἀδελφὴν [1] Μακαρίναν μακρόν τινα καὶ περικαλλῆ περὶ ψυχῆς συνέθηκε λόγον. ἄλλα τε πολλὰ γεγραφήκει· καὶ τὸν πολυθαύμαστον ἔπαινον τοῦ πρώτου τῶν μαρτύρων Στεφάνου. καὶ βίον δὲ συνέταξε Γρηγορίου τοῦ ἐν θαύμασι διαλάμψαντος.

---

[1] Γρηγόριος γὰρ ἤκμαζε κατ' ἐκείνους τοὺς χρ. —— ἁλίσκεσθαι δυναμένους.] Hæc omnia αὐτολεξεὶ leguntur etiam ſupra v. Ἀπολλινάριος.

[2] Θεοδοσίου τρίτον καὶ δέκατον ἔτος ἄγ.] Imo, ut Pearſonius recte obſervavit, deceſſiſſe potius videtur anno Theodoſii undecimo: quod colligi poteſt ex verbis his Hieronymi in *Catalogo Script. Eccleſ. Deceſſitque ante hoc ferme triennium ſub Theodoſio principe.* Scripſit autem Hieronymus Catalogum ſuum anno Theodoſii xiv. ut ipſe in præfatione operis illius innuit.

Γρηγόριος, [2] ὁ καὶ Θεόδωρος, ὁ Θαυματουργός, Νεοκαισαρείας τῆς ἐν τῷ Πόντῳ Ἐπίσκοπος, νέος κομιδῇ διὰ τὴν παίδευσιν Ἑλληνικῶν τε καὶ Ῥωμαϊκῶν γραμμάτων ἀπὸ τῆς Καππαδοκίας εἰς Βηρυτόν, κἀκεῖθεν εἰς Καισάρειαν τὴν τῆς Παλαιστίνης διέβη, ἅμα Ἀθηνοδώρῳ ἀδελφῷ· οὓς καὶ κατὰ μέρος εἰς τὴν τοῦ Χριστοῦ πίστιν εἰσάγων Ὠριγένης, ζηλωτὰς ἰδίους κατέστησεν. ἐπὶ πέντε τοίνυν παρ' αὐτοῦ παιδευθέντες ἐνιαυτοὺς πρὸς τὴν πατρίδα ἀποπέμπονται· ἀφ' οὗ ὁ Γρηγόριος ἀποδημῶν, πανηγυρικὸν εὐχαριστίας τῷ Ὠριγένει ἔγραψε λόγον, καὶ συγκαλεσάμενος πάντας τοὺς ἐπιχωρίους, αὐτοῦ τε τοῦ Ὠριγένους παρόντος, τοῦτον ἀνέγνω τὸν λόγον, ὅς τις καὶ ἄχρι τοῦ παρόντος ὑπάρχει. ἔγραψε δὲ μετάφρασιν εἰς τὸν Ἐκκλησιαστήν, ἐλάχιστον μέν, πάνυ δὲ θαυμαστὸν λόγον· καὶ ἄλλας τε πολλὰς καὶ ποικίλας ἐπιστολὰς συνεγράψατο, ποιήσας σημεῖα καὶ θαύματα ὑπὲρ ἄνθρωπον, ἡνίκα Ἐπίσκοπος ἐτύγχανεν. ἐτελεύτησεν ἐπ' [3] Αὐρηλιανοῦ.

Γρηγόριος καὶ Ἀθηνόδωρος συναίμονες· ἀλλ' ὁ μὲν τερατουργός· ὁ δὲ σοφιστής. ἔγραψε δὲ καὶ περὶ [4] σαρκώσεως καὶ πίστεως λόγον.

Γρηγόριος, [5] ἀδελφὸς Ἑρμείου τοῦ φιλοσόφου· ὃς ἅπαν ἦν τοὐναντίον τῷ Ἑρμείᾳ, ὀξύτατος μὲν εἰς ὑπερβολὴν καὶ εὐκίνητος ἐπί τε τὰς ζητήσεις καὶ τὰς μαθήσεις· ἄλλως δὲ οὐχ ἡσύχιος, οὐδὲ γαλήνην ἐν τοῖς ἤθεσι φέρων τινά, ἀλλά τι καὶ [6] παρακεκινηκός. ἐπεὶ δὲ Ἀθήνηθεν ἧκεν εἰς Ἀλεξάνδρειαν, ὕστερον ὁ Γρηγόριος ἑάλω τῇ νόσῳ ἐπὶ τὸ πλέον, ὥστε δύσχρηστον αὐτοῦ καὶ πολλαχῇ παραλλάττον γενέσθαι τὸ ὄργανον. οὕτω φησὶ Δαμάσκιος εἰς τὴν φιλόσοφον ἱστορίαν.

Γρήνικος. ποταμός.

Γρῆτυς. ὁ βυρσεύς

Γρίος. ὄνομα κύριον.

Γριπεύς. ἰχθύων θηρευτής. [7] Γριπεύς, Ἑρμείη, σοὶ τάδε δῶρα φέρει. καὶ γριπηῒς τέχνη.

> Ἑρμῶναξ [8] δ' ἐκίχανεν, ὅτε γριπηΐδι τέχνῃ
> Εἷλκε τὸν ἐκ πελάγους ἰχθυόεντα βόλον.

Γρῖφος. τὸ δίκτυον. λέγεται δὲ καὶ ὁ δύσκολος

Cantica Canticorum, & in Eccleſiaſten, & ad ſororem Macarinam prolixam & perelegantem orationem de anima. Scripſit & multa alia; & admirabile illud encomium Stephani primi martyris; & vitam Gregorii, qui miraculis claruit.

Γρηγόριος. Gregorius, (qui & Theodorus) Thaumaturgus, Neocæſareæ, quæ in Ponto eſt, Epiſcopus, valde adoleſcens ob Græcarum & Romanarum literarum ſtudium e Cappadocia Berytum, & inde Cæſaream Palæſtinæ ſe contulit una cum fratre Athenodoro. Hos Origenes ad fidem Chriſti paulatim traduxit, & ſui ſectatores reddidit. Cum igitur ad annos quinque ab eo eruditi in patriam remitterentur, Gregorius diſcedens orationem panegyricam, in qua Origeni gratias agit, ſcripſit, eamque omnibus indigenis convocatis, ipſo quoque Origene præſente, recitavit; quæ etiam nunc exſtat. Scripſit & metaphraſin in Eccleſiaſten, breviſſimam illam quidem, ſed admirabilem: multaſque alias & varias epiſtolas. Idem ſub Aureliano deceſſit, clarus multis miraculis, quæ jam Epiſcopus edidit.

Γρηγόριος. Gregorius & Athenodorus, fratres germani: quorum ille miraculis claruit; hic vero ſophiſta fuit. Scripſit & de Incarnatione & Fide orationem.

Γρηγόριος. Gregorius, frater Hermiæ Philoſophi, qui Hermiæ plane diſſimilis fuit, ſupra modum acutus, & ad quæſtiones & diſciplinas expeditus: cæteroqui inquietus, nec moribus placidis, ſed mentis nonnihil emotæ. Cum vero Athenis Alexandriam veniſſet, morbo correptus eſt, qui corporis ejus organum inutile pene reddidit, & valde immutavit. Sic Damaſcius inquit in *Hiſtoria Philoſophica*.

Γρήνικος. Grenicus, fluvius.

Γρῆτυς. Coriarius.

Γρίος. Grius. Nomen proprium.

Γριπεύς. Piſcator. [In Epigrammate:] *Piſcator, Mercuri, hæc tibi dona fert.* Et γριπηῒς τέχνη, ars piſcatoria. *Hermonax autem nactus eſt, poſtquam arte piſcatoria ex mari traxit rete piſcibus plenum.*

Γρῖφος. Rete piſcatorium. Sic etiam dici-

---

[1] Μακαρίναν] Codex Vatic. habet Μακρίναν, ut Pearſonius ad marginem Suidæ ſui annotavit. At Editio princeps Mediolanenſis, Μακαρίαν.

[2] Γρηγόριος, ὁ καὶ Θεόδωρος, ὁ Θαυματουργὸς, Νεοκ.] Hæc, & quæ ſequuntur, ex Sophronio, Hieronymi interprete, Suidas deſcripſit.

[3] Ἐπ' Αὐρηλιανοῦ] Sic habent 2 MSS. Pariſ. cujus loco in prioribus Editt. peſſime legitur ἐπὶ Ἰουλιανοῦ. Diu enim ante Julianum Thaumaturgus hic obiit, ut ex hiſtoria Eccleſiaſtica conſtat. Vide Cl. Gulielmum Cave in *Hiſtor. Liter. Scriptor. Eccleſiaſtic.*

[4] Περὶ σαρκώσεως] Malim, περὶ ἐνσαρκώσεως.

[5] Γρηγόριος, ἀδελφὸς Ἑρμείου τοῦ φιλ.] Hæc, & quæ ſequuntur, αὐτολεξεὶ etiam leguntur apud Photium in Excerptis ex Damaſcio, pag. 1044. ut Pearſonius quoque obſervavit.

[6] Παρακεκινηκός] Malim παρακεκινηκώς, ut legitur apud Photium loco laudato.

[7] Γριπεύς, Ἑρμείη, σοὶ τάδε δ.] Verba hæc decerpta ſunt ex Epigrammate, quod legitur Antholog. lib. VI. cap. III. Epigr. VIII. ut Portus etiam monuit.

Δικαιοσύνη. Juſtitia eſt ſcientia rerum expetendarum, & fugiendarum, & neutrarum. Juſtitia igitur eſt virtus communis, & quæ ab aliis virtutibus æquivoce diſtinguitur. Differunt autem fortitudo & juſtitia, quamvis ſub eodem virtutis genere collocentur. Nam aliter fortitudo eſt mediocritas; aliter vero juſtitia. Illa enim inter duo vitia, audaciam & timiditatem, media eſt. Hæc vero inter exceſſum illum & defectum, per quem quis vel plus vel minus ſuo habet. Hæc eſt enim origo injuſtitiæ, & in eo eſſentia ejus conſiſtit. Præterea, in aliis verſatur fortitudo; in aliis vero juſtitia. Illa enim in periculis tolerandis verſatur: hæc vero in ſervanda paritate; quæ tam in rerum diſtributione, quam in contractibus ſpectatur. Et ſic comparata ſunt ea quæ idem genus habent.

Δικαιοσύνη. οὐχ ἡ πολιτικὴ ἀρετὴ, ἀλλ' ἡ μείζων, τῷ δὲ αὐτῷ ὀνόματι λεγομένη. [4]Δικαιοσύνην δὲ τὴν ἑκάστη τῶν λοιπῶν ἀρετῶν οἰκειοπραγίαν ἀρχῆς πέρι, καὶ τοῦ ἄρχεσθαι. καὶ δικαιοσύνη, ἀποχὴ τῶν κερδῶν.

Δικαιοσύνη. καὶ ἡ τελεία ἀρετὴ, καὶ ἡ δικαία αἴτησις· ὡς ὁ Ψάλλων· [5]Εἰσάκουσον, Κύριε, δικαιοσύνης μου.

Δικαιότερον σταχάνης. ἐπὶ τῶν τὰ δίκαια ἀγαπώντων. σταχάνην γὰρ οἱ Δωριεῖς τὴν τρυτάνην καλοῦσιν. ἴσως παρὰ τὴν στάσιν. καὶ ἑτέρα παροιμία· Δικαιότερος τρυτάνης.

Δικαιούμενος. κολαζόμενος. δίκης τυγχάνων.

Δικαιοῦν. [6]δύο δηλοῖ· τό, τε κολάζειν, καὶ τὸ δίκαιον νομίζειν. οὕτως Ἡρόδοτος· Δικαιῶν τοῖς αὐτοῖς τοὺς Σκύθας ἀμύνεσθαι, οἷς δὴ καὶ αὐτοὶ ἐς Ἀθηναίων τοὺς ἐνδόντας τὴν ἄκραν ὑπῆρξαν παρασπονδήσαντες. Καὶ αὖθις Ἀππιανός· Ξυμβάσεις ποιεῖν, ἐφ' οἷς ἂν Γάβιοι δικαιῶσιν. ἀντὶ τοῦ, δίκαιον εἶναι νομίζωσι. Καὶ Ἰώσηπος· Οἱ δὲ ἐφ' ὕβρει τὴν δικαίωσιν λογιζόμε-

Δικαιοσύνη. Juſtitia, non civilis illa, ſed major & nobilior virtus; quamvis eodem nomine appellata. Juſtitia vero continet cujuſque cæterarum virtutum proprium munus in imperando & parendo. † Juſtitia eſt abſtinentia a lucris.

Δικαιοσύνη. Juſtitia. Eſt & perfecta virtus; & juſta petitio: ut Pſaltes dicit: *Exaudi Domine juſtitiam meam.*

Δικαιότερον σταχάνης. *Trutina juſtius.* De iis, qui juſtitiam diligunt. Dorienſes enim trutinam vocant σταχάνην: fortaſſe a nomine στάσις. Et aliud proverbium: Δικαιότερος τρυτάνης: quod idem ſignificat.

Δικαιούμενος. Qui punitur. Qui pœnas dat.

Δικαιοῦν. Duo ſignificat: & punire, & juſtum cenſere. Sic Herodotus: *Juſtum eſſe cenſens, iiſdem malis ulciſci Scythas, quibus ipſi priores contra fœdus affecerant Athenienſes illos, qui arcem dediderant.* Et iterum Appianus: *Pacem facere iis conditionibus, quas Gabii juſtas eſſe cenſuiſſent.* Et Joſephus: *Illi vero animadverſionem contumeliæ*

---

[1] Ἡ κωμῳδία] Intelligit Ariſtophanem, apud quem hæc me legiſſe memini, quamvis locus nunc non ſuccurrat.

[2] Καὶ ὁ Προφήτης] Ezech. III. 20.

[3] Δικαιοσύνη. ἐπιστήμη ὧν αἱρετέον, καὶ εὐλαβητέον, καὶ οὐδετ.] Sic Stoici Juſtitiam definiebant, ut teſtatur Laertius lib. VII. Segm. XCII.

[4] Δικαιοσύνην δὲ τὴν ἑκάστη τῶν λοιπ.] Locum hunc ita lego: Δικαιοσύνην δέ φησι τὴν ἑκάστης τῶν λοιπῶν ἀρετῶν &c.

[5] Εἰσάκουσον, Κύριε, δικ.] Pſalm. XVI. 1.

[6] Δικαιοῦν] Vide infra v. Ἐδικαίου & Ἐδικαιώθησαν: itemque Paul. Leopardum *Emend.* lib. V. cap. IX. & Gatakerum in Diſſertat. *de Stylo Nov. Inſtr.* cap. VIII.

ναι, κατασπάσαντες τῶν ὅπλων πολλά, ᾤχοντο εἴς τι χωρίον.

Δικαιοῦσαν. καταδικάζουσαν. [1] Ὑπὲρ δὴ τούτων τὴν Ἄρτεμιν μηνίσαι, καὶ μέλλειν δικαιοῦσαν αὐτοὺς τῆς γῆς ἀγονίᾳ.

Δικαίωμα. Ὅτι [2] οὐδὲν δικαίωμα τῶν ὅπλων ἰσχυρότερον. πᾶς γὰρ ὁ δυνάμει προὔχων, δικαιότερα ἀεὶ καὶ πράττειν καὶ λέγειν δοκεῖ. † Ἀρχέλαος, ὁ Φυσικὸς τὴν αἵρεσιν ἐπικληθεὶς, ἐδόξασε τὸ δίκαιον καὶ αἰσχρὸν οὐ φύσει εἶναι, ἀλλὰ νόμῳ.

Δικαιώματα, νόμος, ἐντολαὶ, κρίματα. [3] Νόμον καλεῖ, τὸν ὑπὸ τοῦ Θεοῦ διὰ τοῦ Μωσέως δεδομένον. Ἐντολὰς δὲ καὶ προστάγματα πάλιν τὸν αὐτὸν, ὡς βασιλικῶς ἐνταλθέντα καὶ προσταχθέντα. Δικαιώματα, ὡς δικαιοῦν τὸν κατορθοῦντα δυνάμενον. Κρίματα δὲ, ὡς τὰς θείας ψήφους ὑποδεικνύντα καὶ τὰς ἀξίας ἀντιδόσεις τῶν τε ἐννόμως καὶ παρανόμως βιούντων. Μαρτύρια δὲ, ὡς διαμαρτυρόμενον καὶ ὑποδεικνύντα, οἵαις ὑποβληθήσονται ποιναῖς οἱ ταῦτα παραβαίνοντες. Δικαιώματα δὲ, καὶ αἱ κατακρίσεις.

Δικαιώματα. εὐλόγους ἀφορμάς. Ἐάν τε γὰρ νικῶμεν ἡμεῖς, ἕξεις πρὸς ἐμὲ δικαιώματα μεγάλα, διότι κεκοινώνηκας ἡμῖν τῶν μεγίστων κινδύνων.

Δικαίως κἀδίκως. ἀντὶ τοῦ παντὶ τρόπῳ. [4] Ἀριστοφάνης Πλούτῳ·

— Ἡ γὰρ οἰκία
Αὕτη ᾽στὶν, ἣν δεῖ χρημάτων σε τήμερον
Μεστὴν ποιῆσαι, καὶ δικαίως κἀδίκως.

τουτέστι, πάσῃ τέχνῃ.

Δικαίωσις. κατάκρισις. Οὐ γάρ τι που μετὰ μακρὸν ἐκολάσθη δικαιώσει. † Δικαιωθέντων πάντων τῶν ἀδελφῶν Ἀρισταίου τοῦ Γίγαντος δικαίωσιν τὴν πρεπωδεστάτην.

Δικαιώσεις. [5] Λυσίας τὰς δικαιολογίας. Θουκυδίδης δὲ τὰς κολάσεις λέγει.

Δικαιωτήρια. ἤγουν δικαστήρια.

Δίκελλα. γεωργικὸν ἐργαλεῖον. Οὐ βουσὶ καὶ δικέλλῃ ποριζομένοις τὸν βίον, ἀλλ᾽ ἵππῳ καὶ μαχαίρᾳ. καὶ δικελλίτης.

Δικέραιον. δύο κέρατα ἔχουσαν. ἐν [6] Ἐπιγράμματι·

Δέρμα δὲ, καὶ δικέραιον ἀπὸ στόρθυγγα μετώπων
Σπασάμενος, κέρα θῆκε παρ᾽ ἀγρότιδι.

Δίκη. ἡ ὑπὲρ ἰδιωτικῶν ἀδικημάτων συνισταμένη κατηγορία, καὶ ἧς τὸ τίμημα ὥρισται τοῖς νόμοις. Ὁ δὲ δίκην [7] ἄδικον δικάσας, καὶ διαφυγὼν μὴ ἀπολέ-

cauſa factam eſſe putantes, armis dereptis, ad locum aliquem [occupandum] iverunt.

Δικαιοῦσαν. Condemnantem. [Punientem.] *Hac de cauſa Dianam iratam eſſe, & terræ ſterilitate eos ulciſci.*

Δικαίωμα. Jus. *Nullum jus armis eſt potentius. Quiſquis enim potentia præſtat, juſtiora ſemper & facere & dicere videtur.* † Archelaus, a ſecta, quam ſequebatur, Phyſicus appellatus, cenſuit, nihil eſſe juſtum vel turpe natura, ſed inſtituto.

Δικαιώματα, νόμος, ἐντολαὶ, κρίματα. Jura, Lex, Præcepta, Judicia. Legem vocat eam, quæ per Moſen a Deo data eſt. Præcepta vero & mandata eandem Legem vocat, ut regio more latam & imperatam. Δικαιώματα vero, ut quæ juſtum reddere poſſit eum, qui recte facit. Κρίματα vera, ut judicia hominibus oſtendentem, & digna præmia eorum, qui vel a criminibus vacuam, vel impiam vitam egerunt. Μαρτύρια denique, ut interminantem & declarantem, quas pœnas ſubituri ſint, qui eam violaverint. Δικαιώματα etiam vocantur condemnationes, [ſive pœnæ.]

Δικαιώματα. Jura. Privilegia. *Si enim vincamus, magna a me conſequeris privilegia, quia maximorum periculorum ſocius nobis fuiſti.*

Δικαίως κἀδίκως. Per fas nefaſque. Sive, quovis modo. Ariſtophanes *Pluto: Hæc enim eſt domus, quam te hodie per fas nefaſque pecunia replere oportet.* Sive, omni arte, & quavis ratione.

Δικαίωσις. Condemnatio. Pœna. *Haud enim diu poſt juſta pœna affectus eſt.* † *Cum omnes fratres Ariſtæi Gigantis dignas [impietatis ſuæ] pœnas dediſſent.*

Δικαιώσεις. Sic Lyſias vocat cauſarum defenſiones in Judicio. Thucydides vero pœnas & ſupplicia.

Δικαιωτήρια. Loca, in quibus exercentur judicia.

Δίκελλα. Inſtrumentum ruſticum. Ligo. *Non bobus & ligone, ſed equo & gladio victum ſibi parantibus.* Et δικελλίτης, qui ligone terram fodit.

Δικέραιον. Bicornem. In Epigrammate: *Pellem vero, & bina hæc cornua, a frontibus avulſa, Dianæ venatrici dedicavit.*

Δίκη. Accuſatio, quæ de privatis delictis inſtituitur, & cujus æſtimatio legibus definita eſt. *Ille vero de cauſa ſemel jam judicata* θῆναι [illegible], τούτων πάλιν καὶ δίκην γενέσθαι ἄδικον. αἱ τοιαῦται δίκαι οὕτω λέγονται, αἱ εἰς [1]ἄκαιρον ἀποκαθιστάμεναι, ἤτοι διά τινα πολιτικὴν αἰτίαν, ἢ τῶν μαρτύρων ἁλόντων [2]ψευδοκατηγόρων.

---

[1] Ὑπὲρ δὴ τούτων τὴν Ἄρτεμιν μηνίσαι, καὶ μελλ.] Idem fragmentum legitur etiam ſupra v. Ἀγόνων.

[2] Ὅτι οὐδὲν δικαίωμα τῶν ὅπλ.] Eadem recitat Suidas ſupra v. Γνώμη.

[3] Νόμον καλεῖ τὸν ὑπὸ τοῦ Μωσ.] Totum hunc locum deſcripſit Suidas ex Theodoreto ad Pſalm. CXVIII. v. 2. pag. 879. ut Pearſonius obſervavit.

[4] Ἀριστοφάνης Πλούτῳ] Pag. 24. (13. Ed. Baſ. P.)

[5] Δικαιώσεις. Λυσίας τὰς δικαιολ.] Ex Harpocratione.

[6] Ἐν Ἐπιγράμματι] Antholog. lib. VI. cap. XV. pag. 568. ut Portus etiam monuit.

[7] Δίκην ἄδικον] Legendum eſſe ἀνάδικον ex ſequentibus patet. Eſt autem δίκη ἀνάδικος judicium, quod reſciſſa priore ſententia de re aliqua de integro inſtituitur. Vide Heſychium v. Ἀνάδικοι, & Harpocrationem v. Ἀναδικάσασθαι.

Δίκη.[3] κρίσις. σημαίνει μὲν καὶ ἄλλα· ἰδίως δὲ ἐπὶ τῶν ἰδιωτικῶν ἐγκλημάτων λέγεται, ὡς Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος δῆλον ποιεῖ.

Δίκη δίκην ἔτικτε, καὶ βλάβη βλάβην. παροιμία ἐπὶ τῶν φιλοδίκων καὶ συνειρόντων δίκας δίκαις. καὶ

Δίκην ὑφέξει, κἂν ὄνος δάκῃ κύνα.

ἐπὶ τῶν ἐπὶ μικροῖς συκοφαντουμένων.

Δίκην. τρόπον. [4]Καὶ ὁ μὲν ἐξετρίβη πίτυος δίκην, ῥιφεὶς εἰς θάλασσαν, καὶ δίδωσι δίκας αὐτῷ γένει.

Δίκης. δικαιοσύνης. ἢ τιμωρίας. [5]Ἥξομεν κομιούμενοι παρ' ἀνδρῶν ἀνοσίων καὶ ψευδόρκων δίκας. † Ὅτι τὴν δίκην φασὶν οἱ παλαιοὶ εὐθεῖάν τε εἶναι, καὶ ἀκλινῆ, καὶ ἄτρεπτον· καὶ τοῦτο ᾄδουσι μὲν πλεῖστοι. ἤδη δὲ καὶ ἀνάγκη. φύσιν γὰρ δήπου τὸ δίκαιον τοιαύτην εἴληχεν. Ἡσίοδος δὲ αὐτὴν λέγει καὶ παρθένον, καὶ ἀδιάφθορον, τῇ τε ἄλλῃ, καὶ μέντοι καὶ ὑπ' εὐνῆς Ἀφροδισίου· αἰνιττόμενος, ὅτι μὴ χρὴ δολοῦν τὸ δίκαιον, μήτε ἄλλως πεισθέντα, μήτε λέχει παρατραπέντα. Φησὶ δὲ καὶ μετιέναι αὐτὴν τιμωρουμένην τούτους, οἷσπερ ἂν ὕβρις μέμηλε κακὴ καὶ σχέτλια ἔργα. τοῖς γε μὴν ἐκείνην σέβουσι τήν τε γῆν τὰ οἰκεῖα βρύειν φησὶν ἀγαθά, καὶ τὴν θάλατταν χορηγεῖν ὅσα τίκτει καὶ τρέφει μάλ' ἀφθόνως. ἀκούω δὲ αὐτὴν καὶ παρ' αὐτοῦ Διὸς καθῆσθαι θρόνῳ, καὶ κοινωνὸν τῶν ἀρίστων βουλευμάτων εἶναι. καὶ Ὅμηρος δὲ μέγα αὐτῆς τὸ κράτος ὑμνεῖ, καὶ λέγει, τοῖς ἀτιμάζουσιν αὐτὴν μηνιεῖν τὸν Θεόν, καὶ λάβρους καταντλεῖν ὑετοὺς[6] αὐτήν, καὶ χειμάρρους ἐπ' αὐτοὺς ὠθεῖσθαι, καὶ ἀφανίζειν πόλεις αὐτῶν καὶ ἔργα καὶ ποίμνας. καὶ ταύτῃ κολάζεσθαι τῇ τιμωρίᾳ ὕβρεως καὶ ἀτασθαλίας [7]ἔργα ὑπομένοντας πρεπωδέστερα, καὶ ἕτερα ἄττα.

Δίκης[8] ἀνάκρισις. οὐ πάσας δίκας κελεύουσιν οἱ νόμοι εἰσάγεσθαι, ἀλλ' ὅταν ὁ φεύγων ἀντιλέγῃ καὶ

denuo disceptans, cum condemnationem effugisset, effecit, ut de re eadem denuo judicium institueretur. Δίκαι ἀνάδικοι vero dicuntur judicia, quæ reſciſſa priore ſententia de re aliqua de integro inſtituuntur; vel propter cauſam aliquam civilem; vel teſtibus falſi teſtimonii convictis.

Δίκη. Hæc vox tum alia ſignificat; tum peculiariter de privatis criminibus dicitur: ut Demoſthenes in oratione contra Cononem declarat.

Δίκη δίκην ἔτικτ. *Lis litem parit, & noxa noxam.* Proverbium hoc dicitur in homines contentioſos, & qui lites ex litibus nectunt. Et, *Pœnas dabit, vel ſi aſinus canem momorderit.* Dicitur de iis, qui ob res parvi momenti calumniis litium vexantur.

Δίκην. Inſtar. In modum. *Ille quidem pinus inſtar extirpatus eſt, in mare projectus; pœnaſque cum toto genere ſuo dedit.*

Δίκης. Juſtitiæ. Vel, pœnæ. *De viris nefariis & perjuris pœnas ſumpturi veniemus.* † Juſtitiam veteres eſſe dicunt rectam & rigidam & talem quæ flecti neſciat: idque plurium Poetarum teſtimonio proditum eſt. Nec aliter ſeſe res habere poteſt, cum Jus eam naturam ſortitum ſit. Heſiodus vero eam virginem eſſe dicit, & incorruptam, tum quod ad alia, tum etiam quod ad concubitum venereum attinet; innuens ſcilicet, non oportere nos juſtitiam adulterare, nec aliis rationibus inductos, nec amore corruptos. Dicit etiam, eam ulciſci & punire eos, qui injuriæ & impiis facinoribus ſtudeant. Illis vero, qui eam colant, terram fructus largiter producere, & mare abunde ſuppeditare omnia, quæ parit & alit. Quinetiam audio, eam Jovis throno aſſidere, & optimorum conſiliorum eſſe participem. Præterea, Homerus magnam ejus potentiam canit, dicens, contemptoribus ejus Deum iraſci, violentoſque imbres in eos effundere & torrentes immittere, qui urbes, arva, & greges illorum perdant & deleant. Et hanc quidem pœnam illorum eſſe dicit, quibus injuria & ſcelera cordi ſint.

Δίκης ἀνάκρισις. Non omnes cauſæ per leges in Judicium introduci poſſunt, ſed cum περιγράφηται, λέγων, εἰσαγώγιμον μὴ εἶναι αὐτὴν, πρότερον ἐπὶ τούτῳ γίνεται κρίσις, ἥτις δίκης ἀνάκρισις λέγεται.

---

[1] Εἰς ἄκαιρον ἀποκαθισάμεναι] Peſſime. Scribendum enim eſt, εἰς ἀκέραιον ἀποκαθ. quam lectionem in verſione ſecutus ſum. Apud Heſychium quoque v. Ἀνάδικοι pro οἱ εἰς ἀκεραίαν ἱσκαθισάμενοι, ſcribere præſtat οἱ εἰς ἀκέραιον ἀποκαθιστάμενοι.

[2] Ψευδοκατηγόρων] Hanc lectionem, quam etiam agnoſcit Heſychius v. Ἀνάδικοι, Portus fruſtra ſuſpectam habet. Uti enim, exempli cauſa, apud Græcos dicitur ἁλοὺς κλέπτης, i. e. *convictus furti*; & ἁλοὺς μοιχὸς, *convictus adulterii*: ſic etiam recte dicas, ἁλοὺς ψευδοκατήγορος, pro ψευδοκατηγορίας.

[3] Δίκη. κρίσις. σημαίνει μὲν καὶ ἄλλα· ἰδίως δὲ ἐπὶ τῶν ἰδ.] Ex Harpocratione.

[4] Καὶ ὁ μὲν ἐξετρίβη πίτυος δ.] Videtur fragmentum hoc depromptum eſſe ex libro Æliani *de Providentia*, ex quo non pauca loca Suidam in Lexicum ſuum tranſtuliſſe conſtat. Certe idem Ælianus phraſi hac uſus eſt *Var. Hiſtor.* lib. VI. cap. XIII. ubi ſic inquit: Καλῶς τὸ δαιμόνιον ἐπὶ τριγονίαν τυραννίδας μὴ ἄγειν, ἀλλ' ἢ παραχρῆμα ἐκτρίβειν τοὺς τυράννους πίτυος δίκην &c. i. e. *Recte Deus tyrannides ad tertiam uſque generationem durare non ſinit, ſed aut confeſtim tyrannos tanquam piceas extirpat*, &c. Vide ad eum locum doctiſſimos interpretes. Eleganter autem illi, qui funditus intereunt, piceæ inſtar extirpari dicuntur, quod arbor illa ſemel exciſa nunquam renaſci & repullulare credatur. Euſtath. ad Il. A. pag. 42. Τινὲς δὲ ἐχετικῶς εἶπον τὸ [illegible] ἐκτίμιον τῶν βίων τῶν βληθέντων δίκην πεύκης· ἥτις ἐκτμηθεῖσα οὐκέτι ἀναβλαστάνει. Lege ibi & ſequentia. Parœmiographi: Πεύκης τρόπον. αὕτη πίπτει κατὰ τῶν πανωλεθρίᾳ ἀπολλυμένων· παρ' ὅσον ἡ πεύκη κοπεῖσα οὐκέτι φύεται.

[5] Ἥξομεν κομιούμενοι παρ' ἀνδρ.] Totum hunc locum Kuhnius Æliano adſcribit; ſed qui duo diverſa fragmenta miſcuit & in unam quaſi maſſam compegit. Verba enim illa priora, ἥξομεν ——— ψευδόρκων δίκας, diſtinguenda ſunt a ſequentibus, quippe quæ ex alio auctore excerpta eſſe, vel ſaltem novam eſſe παρεκβολήν, non ſolum ſenſus, ſed etiam particula ὅτι declarant.

[6] Αὐτήν] Senſus requirit αὐτῶν: quod & Kuhnius monuit.

[7] Ἔργα ὑπομένοντας πρεπ.] Locum hunc corruptum vel mutilum eſſe exiſtimo, quoniam non ſatis cohærere mihi videtur cum iis, quæ præcedunt.

[8] Δίκης ἀνάκρισις] Vide Harpocrationem v. Ἀνάκρισις, & ibi Valeſium: itemque ſupra v. Διαμαρτυρία.

Δίκης δικαιότερος. καθ' ὑπερβολὴν ἐπὶ τῶν σφόδρα δικαίων.

Δίκης ὀφθαλμός. [1] Ὡς καὶ πάντας ἀνθρώπους ὁμολογῆσαι, διότι, κατὰ τὴν παροιμίαν, [2] ἔστι δίκης ὀφθαλμός, ἧς μηδέ ποτε καταφρονεῖν ἀνθρώπους ὑπάρχοντας.

Δίκηλα. [3] μιμήματα. εἰκάσματα. τὸ δὲ δίφθογγον. κυρίως τὸ ὁμοίωμα καὶ εἴκελον τῷ Διΐ· καταχρηστικῶς δὲ, πᾶν ὁμοίωμα.

Δικηλιστῶν, [4] καὶ μιμηλῶν. εἶδος ἐστὶ κωμῳδίας, ὥς φησι Σωσίβιος ὁ Λάκων.

Δικοτεροπεῖ. φυγαδεύει.

Δικιδίοις. ὑποκοριστικῶς, ταῖς δίκαις.

Δικλίς. δίθυρον. [5] ἐν Ἐπιγράμματι·

Δικλίδας ἀμφετίναξεν ἐμοῖς Γαλάτεια προσώποις.

Δικοῤῥαφεῖν. [6] δίκας συῤῥάπτειν. ἐν τοῖς δικαστηρίοις ἀναστρέφεσθαι.

Δίκορος. ὅτι Ἀναστάσιος ὁ τῶν Ῥωμαίων βασιλεὺς Δίκορος ἐλέγετο.

Δίκορσον. δικόρυφον.

Δικραές. δικέφαλον.

Δίκρανα. Παρεσκεύαστο δὲ καὶ δίκρανα, ὥστε ἀπωθεῖσθαι τὴν τῶν λεγομένων σκαλῶν προσαγωγήν.

Δίκραιος.

Δικραίρῳ [7] δικέρωτα· δασυκνάμῳ δασυχαίταν. ἐν Ἐπιγράμματι.

Δίκροτα. διήρη. [8] Πλοῖα μονήρη, ἔστιν ἃ καὶ δίκροτα κατεσκευάσαντο. τινὰ δὲ καὶ ἐκ τῆς πρύμνης καὶ ἐκ τῆς πρώρας ἑκατέρωθεν πηδαλίοις ἤσκητο, ὅπως αὐτοί τε μὴ μεταστρεφόμενοι καὶ ἐπιπλέωσι, καὶ ἀναχωρῶσι, καὶ τοὺς ἐναντίους ἐν τῷ παράπλῳ καὶ ἀπόπλῳ αὐτῶν σφάλλωσιν.

Δικροῖς. διφυέσι ξύλοις. δικρανίοις. [9] Ἀριστοφάνης·

Δικροῖς ἐώθουν τὴν Θεὸν κεχράγμασι.

τὴν εἰρήνην λέγων. ἔδει δὲ εἰπεῖν ξύλοις, καὶ εἶπε κεχράγμασι. ἐπειδὴ οἱ ῥήτορες δημηγοροῦντες τῇ κραυγῇ ἔπειθον μὴ ποιῆσαι εἰρήνην.

reus exceptione utitur, negans, litem ab actore ſibi intendi poſſe, tunc ea de re prius inſtituitur judicium, quod δίκης ἀνάκρισις dicitur.

Δίκης δικαιότερος. Juſtitia juſtior. Per hyberbolen de hominibus valde juſtis dicitur.

Δίκης ὀφθαλμός. Juſtitiæ oculus. *Adeo ut omnes faterentur, eſſe quendam, ut proverbio dicitur, juſtitiæ oculum, quem quidem ab hominibus ſperni haudquaquam fas ſit.*

Δίκηλα. Simulacra. Effigies. Syllaba prima per diphthongum ει ſcribitur. Proprie ſignificat ſimulacrum & imaginem Jovis: quaſi dicas Διῒ εἴκελον. Abuſive vero quamlibet imaginem.

Δικηλιστῶν, & μιμηλῶν. Diceliſtarum, & mimorum. Genus eſt Comœdiæ, ut ait Soſibius Laco.

Δικοτεροπεῖ. In exilium pellit.

Δικιδίοις. Diminutive. Liticulis.

Δικλίς. Fores. In Epigrammate: *Fores Galatea coram me ſubito clauſit.*

Δικοῤῥαφεῖν. Lites conſuere. In judiciis frequenter verſari.

Δίκορος. Anaſtaſius Romanorum Imperator Dicorus vocabatur.

Δίκορσον. Quod geminum habet verticem. Bivertex.

Δικραές. Biceps.

Δίκρανα. Furcæ. *Paratas etiam habebant furcas, quibus ſcalæ muris admotæ dejicerentur.*

Δίκραιος. Biceps. In Epigrammate: *Bicipiti* [*Pani*] *bicornem; & hirſuta crura habenti hirſutam* [*capram donat.*]

Δίκροτα. Biremes. *Naves uniremes, quaſdam etiam biremes confecerunt. Nonnullæ & a puppi & a prora gubernaculis utrinque inſtructæ erant, ut nec, cum in hoſtem vela darent, nec cum ſe reciperent, ſe convertere neceſſe haberent, ſed tam in acceſſu quam receſſu hoſtem eludere poſſent.*

Δικροῖς. Bifurcis. Bicipitibus. Bifidis. Ariſtophanes: *Bifurcis Deam expellebant clamoribus.* Pacem intelligit. Cum autem dicere oporteret [δικροῖς] ξύλοις, i. e. bifurcis lignis, [præter expectationem δικροῖς] κεχράγμασι dixit: idque ideo, quia oratores magno cum clamore in concionibus populo perſuadebant, ne pacem faceret.

---

[1] Ὡς καὶ πάντας ἀνθρώπους ὁμολ.] Hæc ſunt verba Polybii apud Conſtantinum in Collectaneis a Valeſio editis pag. 117.

[2] Ἔστι δίκης ὀφθαλμός] Diphilus apud Theodoretum Θεραπ. pag. 564. Ἔστι δὲ δίκης ὀφθαλμὸς, ὃς τὰ πάνθ' ὁρᾷ. Euſebius orat. de Laud. Conſtant. pag. 661. Καὶ δίκης ὀφθαλμὸν ὑπέρχειν, ἔφορον τῶν ἀνθρωπίνων πραγμάτων. Anthol. lib. III. cap. VI. pag. 301.

Ὄμμα δίκης καθορᾷ πάντα τὰ γιγνόμενα.

Vide etiam Stobæum in Eclog. Phyſ. lib. I. cap. VII.

[3] Δίκηλα] Scribe δείκηλα, per ει diphthongum, ut recte ſupra.

[4] Δικηλιστῶν] Vide omnino Athenæum lib. XIV. pag. 621.

[5] Ἐν Ἐπιγράμματι] Antholog. lib. VII. pag. 593.

[6] Δικοῤῥαφεῖν] Voce hac uſus eſt Ariſtophanes *Avibus* pag. 607. ad quem locum nota hæc Suidæ referenda eſt.

[7] Δικραίρῳ δικέρ.] Hexameter hic eſt pars Epigrammatis, quod integrum exſtat Anthol. lib. VI. cap. XXIV. ut Portus monuit.

[8] Πλοῖα μονήρη. ἔστιν ἃ καὶ δίκρ.] Fragmentum hoc apud Dionem, vel potius Xiphilinum in Epit. Dionis pag. 402. paulo auctius ſic legitur: Καὶ πλοῖα δὲ τοῖς Βυζαντίοις πεντακόσια, τὰ μὲν πλεῖστον μονήρη, ἔστι δ' ἃ καὶ δίκροτα κατεσκεύαστο, ἐμβόλους ἔχοντα· καί τινα αὐτῶν ἑκατέρωθεν καὶ ἐκ τῆς πρύμνης καὶ ἐκ τῆς πρώρας πηδαλίοις ἤσκητο, καὶ κυβερνήτας ναύτας τε διπλοῦς εἶχεν, ὅπως αὐτοὶ μὴ ἀναστρεφόμενοι (melius Suidas μεταστρεφόμενοι) καὶ ἐπιπλέωσι καὶ ἀναχωρῶσι, καὶ τοὺς ἐναντίους ἐν τῷ προσπλῷ καὶ ἐν τῷ ἀπόπλῳ σφῶν σφάλλωσι. Narrat ibi Dio hiſtoriam de urbe Byzantio a Severo Imperatore per triennium obſeſſa, & tandem capta.

[9] Ἀριστοφάνης] *Pace* 668. (457. Ed. Baſ. *P.*) ubi ſic legitur:

Τήνδε μὲν δικροῖς ἐώθουν τὴν Θεὸν κεκράγμασι.

Scholiaſta ad eum locum: Δικροῖς. δικράνοις. ἔδει εἰπεῖν ξύλοις δικράνοις, τουτέστι διφυέσι. ὁ δὲ εἶπε, δικροῖς κεκρ. &c. Sic & apud Suidam ſcribendum eſt.

Δικτατωρεία. ἀρχὴ ἀνυπεύθυνος.

Δικτάτωρ. ὁ διπλασίαν τὴν ἀρχὴν ἔχων. [1] ὃς παρὰ Ῥωμαίοις καὶ δισύπατος καλεῖται. ἀρχὴ δ' ἦν πρόσκαιρος, οὐ διὰ βίου, καὶ ἀνεύθυνος. ἢ ὁ μονάρχης πάντων κρατῶν.

Δικτάτωρ. Ἐπειδὴ [2] Μάλλιος, ἀνὴρ Λατῖνος μὲν γένος, καὶ μέγα παρὰ τοῖς ὁμοφύλοις δυνάμενος, ἀναστήσας πανδημεὶ τὸ Λατίνων γένος, χεῖρά τε μισθοφόρων πολλὴν ἀγείρας, τιμωρεῖν τοῖς κηδεσταῖς ἀτίμως παρεωσμένοις ἠξίου τῆς δυναστείας, ἡ βουλὴ καταδείσασα τὸ πλῆθος τοῦ πολεμίου νέφους, καινὸν ἡγεμονίας εὑρίσκει γένος, προχειρισαμένη τότε πρῶτον Δικτάτωρα, [3] ὃς καθ' Ἑλλάδα γλῶτταν κληθείη ἂν εἰσηγητὴς τῶν λυσιτελῶν· ὑπερέχων μὲν τῆς τῶν ὑπάτων ἀρχῆς, τοῖς δὲ βασιλεῦσι προσφερέστατος. ἀνυπεύθυνόν τε γὰρ τῶν ὅλων εἶχε τὸ κράτος, καὶ ἰσοτύραννον ἐν τῷ καθεστηκότι χρόνῳ τὴν ἐξουσίαν. [4] τοιγαροῦν Γάϊος Καῖσαρ πρότερος, καὶ μετὰ τοῦτον Αὔγουστος Ὀκτάβιος, ὧν ὕστερον κατὰ τοὺς οἰκείους χρόνους μνημονεύσομεν, ὑπὸ τῷδε ὀνόματι τῆς μοναρχίας ἀντιλαμβάνεσθαι διέγνωσαν.

Δικταῖον σπήλαιον.

Δικτυεύς. ὁ ἁλιεύς.

Δίκτυον. καὶ παροιμία· Δικτύῳ ἄνεμον θηρᾷς. ἐπὶ τῶν μάτην καὶ ἀνοήτως τι ποιούντων. καί, Δίκτυον φυσᾷς. ἐπὶ τῶν ὁμοίως ἀνοήτων.

Δικτυωτή. καγκελωτή. καὶ δικτυωτός. ὁ πολύπλοκος.

Δίκτυς, ἱστορικός. ἔγραψεν Ἐφημερίδα. [5] ἔστι δὲ τὰ μεθ' Ὅμηρον καταλογάδην ἐν βιβλίοις θ'. Ἰταλικά. Τρωϊκοῦ διακόσμου. οὗτος ἔγραψε τὰ περὶ τῆς ἁρπαγῆς, καὶ περὶ Μενελάου, καὶ πάσης Ἰλιακῆς ὑποθέσεως.

Δίκτυς. Ἐπὶ Κλαυδίου τῆς Κρήτης ὑπὸ σεισμοῦ κατενεχθείσης, καὶ πολλῶν τάφων ἀνεῳχθέντων, εὑρέθη ἐν ἑνὶ τούτων [6] τὸ σύνταγμα τῆς ἱστορίας Δίκτυος, τὸν Τρωϊκὸν περιέχον πόλεμον, ὅπερ λαβὼν Κλαύδιος ἐξέδωκε γράφεσθαι.

Δικῦμα. τὰ διδυμοτόκα πρόβατα.

Δίλημμα. τὸ διττῶς λαμβανόμενον φρόνημα.

Διλήμματον. διχῶς νοούμενον.

Διλιμνῖται.[7]

Δικτατωρεία. Dictatura. Magiſtratus ſummus: quo qui fungitur, nemini rationes reddere tenetur.

Δικτάτωρ. Dictator. Geminum habens magiſtratum: qui apud Romanos etiam Biſconſul appellatur. Magiſtratus autem ille ad tempus tantum durabat, nec erat perpetuus: & qui eo fungebatur, a rationibus reddendis immunis erat.

Δικτάτωρ. Dictator. Cum Manlius, homo Latinus, & apud ſuos magnæ auctoritatis, omne Latinum nomen concitaſſet, & magnam mercenariorum manum coegiſſet, ut injuriam affinibus ſuis factam, qui per ignominiam regno pulſi erant, ulciſceretur, Senatus hoſtium multitudine territus, novum imperii genus excogitat, creato tunc primum Dictatore, quem Græce dicas εἰσηγητὴν τῶν λυσιτ. i. e. ſuaſorem rerum utilium. Hic & Conſulibus erat ſuperior, & Regibus ſimillimus: quippe qui nemini rationes reddere teneretur, & poteſtatem haberet ad tempus regiæ parem. Quamobrem etiam Cajus Cæſar, & poſt eum Octavius Auguſtus, quorum deinceps ſuis locis mentionem faciemus, ſub hoc nomine imperium ſuſceperunt.

Δικταῖον σπήλαιον. Dictæum antrum.

Δικτυεύς. Piſcator.

Δίκτυον. Rete piſcatorium. Et proverbium: *Reti ventos venaris.* De iis, qui fruſtra & ſtulte aliquid faciunt. Et, *Rete inflas.* Itidem de ſtultis dicitur.

Δικτυωτή. Reticulata. Cancellata. Et δικτυωτός, reticulatus, multos nexus habens.

Δίκτυς. Dictys, Hiſtoricus. Scripſit Ephemeridē. Item, Rerum, poſt id tempus geſtarum, in quo Homerus deſinit, libros novem, oratione proſa. Res Italicas. Ad hæc, opus, quod Τρωϊκὸν Διάκοσμον inſcripſit. Præterea, de raptu Helenæ, & Menelao, & omnibus hiſtoriæ Trojanæ partibus.

Δίκτυς. Dictys. Cum ſub Claudio [Imperatore] Creta terræ motu quaſſata fuiſſet, & multis in locis terra diſceſſiſſet, in ſepulcri cujuſdam hiatu opus hiſtoricum Dictyis de bello Trojano repertum fuit: quod Claudius cum accepiſſet, deſcribendum curavit.

Δικῦμα. Oves gemelliparæ.

Δίλημμα. Dilemma. Sententia anceps.

Διλήμματον. Quod ancipitem habet ſenſum.

Διλιμνῖται. Diliminitæ.

---

[1] Ὃς παρὰ Ῥωμαίοις καὶ δισύπατος καλ.] Hæ ſunt germanæ nugæ, & merum Græculi cujuſdam ſomnium, qui in hiſtoria Romana plane hoſpes erat.

[2] Μάλλιος ἀνὴρ Λατ.] Imo Μαμίλιος, ut ex Livio & Dionyſio Halicarnaſſenſi conſtat.

[3] Ὃς καθ' Ἑλλάδα γλῶτταν κλ. ἂν εἰσηγ.] Inepte. Quid enim commune habet hæc interpretatio cum voce *Dictator?*

[4] Τοιγαροῦν Γάϊος Καῖσαρ πρ.] Eutropius in *Breviario: Nec quicquam ſimilius poteſt dici, quam Dictatura antiqua huic imperii poteſtati, quam nunc Tranquillitas veſtra habet: maxime cum Auguſtus quoque Octavianus, de quo poſtea dicemus, & ante eum Cajus Cæſar ſub Dictatura nomine atque honore regnaverint.* Idem plane dicit, quod hic Suidas.

[5] Ἔστι δὲ] In codice Vaticano, teſte Pearſonio, legitur ἔτι δέ: quod fortaſſe verum eſt. Videntur enim Ἐφημερὶς, & Τὰ μεθ' Ὅμηρον, opera diverſa fuiſſe.

[6] Τὸ σύνταγμα τῆς ἱστορίας Δικτ.] Intelligit ipſam illam hiſtoriam belli Trojani, quæ hodie adhuc exſtat, & Dictyis nomen mentitur. Nec de alio opere & ſcriptore accipiendus videtur Euſtathius ad Il. Υ. pag. 1192. ubi τὸν τὰ Δικτυακὰ μελετήσαντα laudat. Ceterum, fabulam de reperta in Creta inſula Dictyis Hiſtoria Trojana Joannes Malala quoque pag. 322. his verbis refert. Τῷ δὲ ιγ' ἔτει τῆς βασιλείας τοῦ αὐτοῦ Κλαυδίου Καίσαρος ἔπαθεν ὑπὸ θεομηνίας ἡ Κρήτη νῆσος πᾶσα. ἐν οἷς χρόνοις ηὑρέθη ἐν τῷ μνήματι τοῦ Δίκτυος ἐν κασσιτερίνῳ κιβωτίῳ ἡ Ἔκθεσις τοῦ Τρωϊκοῦ πολέμου, μετὰ ἀληθείας παρ' αὐτοῦ συγγραφεῖσα πᾶσα. Ἔκειτο δὲ πρὸς κεφαλὰς τοῦ λειψάνου τοῦ Δίκτυος· καὶ νομίσαντες τὸ αὐτὸ κιβώτιον θησαυρὸν εἶναι, προσήνεγκαν αὐτὸ τῷ βασιλεῖ Κλαυδίῳ· καὶ ἐκέλευσε μετὰ τὸ ἀνοῖξαι, καὶ γνῶναι, τί ἐστι, μεταγραφῆναι αὐτά, καὶ ἐν τῇ δημοσίᾳ βιβλιοθήκῃ ἀποτεθῆναι αὐτά.

[7] Διλιμνῖται] Eſt nomen gentis, de qua vide Agathiam l. III. p. 93.

Διλοχία. δύο λόχοι. καὶ ὁ ἡγούμενος αὐτῶν διλοχίτης.

Διμήτωρ. ὁ Διόνυσος.

Διμίτριος. ὁ ἔχων δύο μίτρας. Δημήτριος δὲ, διὰ τοῦ η, ὄνομα κύριον.

Διμοιρίτης. τοῦτο ἐνίοτε τριώβολον ἀποδεδώκασιν, ἐπειδὴ τοῦτο δίμοιρόν ἐστι τῆς δραχμῆς. ὁ οὖν τοῦτο λαμβάνων στρατιώτης, διμοιρίτης ἐλέγετο. ἔστι δέ τις καὶ στρατιωτικὴ ἀρχὴ, ὡς λοχαγὸς, διὰ τὸ παρ' ἄλλους στρατιώτας δύο μοίρας λαμβάνειν. [1]οἱ δὲ διμοιρίαν καὶ ἡμιλοχίαν ταυτό φασι. καὶ διμοιρίτης, καὶ ἡμιλοχίτης· ὁ ἄρχων τῆς διμοιρίας, καὶ τῆς ἡμιλοχίας.

Δινδύμοις. οἱ ἐν Δινδύμοις τῆς Μιλησίας οἰκοῦντες, Ξέρξῃ χαριζόμενοι, τὸν νεὼν τοῦ ἐπιχωρίου Ἀπόλλωνος τοῖς βαρβάροις προὔδοσαν. καὶ ἔστιν ἐν τῷ Βραγχίδαι.

Δῖναι. αἱ τῶν ὑδάτων συστροφαί. καὶ δίνης, τῆς συστροφῆς τῶν ὑδάτων.

Δινεύοντες. στρέφοντες.

Δινήεντος. δίνας ἔχοντος. συστροφὰς ὕδατος περιφερεῖς τινας [2]πεποιημένας.

Δινήσας. στρέψας. Ἀρριανός· Δῖναί τε εἰσιν ὅπη ἀτόπως ἐπιστρέφουσαι, ὡς μὴ πρόσθεν ἐμπίπτειν χρῆναι τὴν ἑπομένην τῇ προπλεύσῃ νηῒ, ἢ τὴν φθάνουσαν τῇ ἄγαν εἰρεσίᾳ ἐκ τῆς δίνης ἐξελαθεῖσαν εἰς εὐθὺ τοῦ πλοῦ καταστῆναι.

Δῖνος. ἡ περιδίνησις ἡ αἰθερία. ἡ συστροφή. [3]Ἀριστοφάνης Νεφέλαις· Ἀλλ' αἰθέριος δῖνος. οἱ δὲ, ὅτι κεραμεοῦν ἐστιν ἀγγεῖον. τουτέστι, βαθὺ ποτήριον, ὃ καλεῖται δῖνος. Δῖνόν φησι Ἀριστοφάνης, καὶ τὰς νεφέλας θεάς.

Δινωτήν. περιφερῆ.

Δινωτοῖς. λιθοστρώτοις.

Διό. σύνδεσμος.

Διόβλητος. ὁ ὑπὸ κεραυνοῦ βληθείς. Ὁ δὲ τοῦ τολμήματος ἡγεμὼν διόβλητος γενόμενος, εἶτα κατεπρήσθη.

Διόβλητοι. οὐρανόθεν βαλλόμενοι. Σκηπτοί τε κατολίσθανον καὶ ἐγένοντο διόβλητοι ἅπαντες.

Διογενής. εὐγενέστατος.

Διογενειανὸς, Ἡρακλείας Πόντου, γραμματικὸς, γεγονὼς αὐτὸς ἐπὶ Ἀδριανοῦ βασιλέως. ἐπιστητέον δὲ, μή ποτε ἐστὶν ὁ ἐκ τῆς Ἀλβάκης Ἡρακλείας τῆς ἐν Καρίᾳ ἰατρός. ἦ γὰρ ἦν οὗτος [4]παντοίοις λόγοις. οὐ γὰρ εὗρον ῥητῶς τὸ ἐξ Ἡρακλείας αὐτὸν εἶναι τῆς ἐν Πόντῳ· ἀλλ' οὕτω παρά τισι δεδόξασται. ἔστι δὲ αὐτοῦ βιβλία ταῦτα. [5]Λέξεις παντοδαπαὶ κατὰ στοιχεῖον, ἐν βι-

Διλοχία. Duo manipuli. Et διλοχίτης appellatur eorum dux.

Διμήτωρ. Bimater. Eſt epithetum Bacchi.

Διμίτριος. Qui duas mitras habet. Δημήτριος vero, per η, eſt nomen proprium.

Διμοιρίτης. Sic appellabatur miles, qui tres obolos accipiebat. Illi enim dimidiam partem drachmæ conſtituunt. Διμοιρίτης etiam vocabatur dux quidam ordinum militarium, ut λοχαγός; quod præ cæteris militibus duas [ſtipendii] partes acciperent. Alii vero διμοιρίαν & ἡμιλοχίαν idem eſſe dicunt. Et διμοιρίτης vocatur dux Dimœriæ; ut ἡμιλοχίτης, dux Hemilochiæ.

Δινδύμοις. Dindymis. *Qui Dindymis in Mileſia habitabant, Xerxi gratificantes, templum Apollinis, qui iſthic colebatur, Barbaris prodiderunt.* Vide in v. Βραγχίδαι.

Δῖναι. Vortices. Et δίνης. Vorticis.

Δινεύοντες. Verſantes. Contorquentes.

Δινήεντος. Vortices habentis. Aquam in gyrum torquentis.

Δινήσας. Qui contorquet. Arrianus: *Vortices erant rapidiſſimi, ita ut navis, quæ præcedentem ſequebatur, non prius in eos impellenda eſſet, quam altera ſumma remorum vi inde eluctata recto curſu rurſus pergeret.*

Δῖνος. Vortex ætherius. Turbo. Ariſtophanes *Nubibus: Sed vortex ætherius.* Alii dicunt, τὸ δῖνος hic ſignificare vas fictile, ſive poculum profundum. Ariſtophanes vorticem [cœleſtem] & nubes Deas vocat.

Δινωτήν. Tornatam. Rotundam.

Δινωτοῖς. Teſſellatis.

Διό. Conjunctio. Quamobrem.

Διόβλητος. Fulmine ictus. *Facinoris vero illius dux & auctor fulmine ictus poſtea conflagravit.*

Διόβλητοι. De cœlo tacti. Fulmine icti. *Et omnes fulminibus, quæ e cœlo cadebant, percuſſi perierunt.*

Διογένης. Nobiliſſimus. Jove genitus.

Διογενειανός. Diogenianus Heracleota, Ponticus, Grammaticus, qui ſub Adriano vixit. Videndum autem an non forte ſit medicus ille, qui ex Albace Heraclea, urbe Cariæ, oriundus erat. Erat enim omni doctrinæ genere eruditus: neque expreſſe a quoquam traditum reperi, eum eſſe ex Heraclea Ponti, ſed ita nonnulli opinantur. Libri ejus hi βλίοις ε΄. ἐπιτομὴ δέ ἐστι τῶν Παμφίλου λέξεων βιβλίων ε΄ καὶ [1]τετρακοσίων. καὶ τῶν Ζωπυρείων ἐπιγραμμάτων Ἀνθολόγιον. Περὶ ποταμῶν, λιμνῶν, κρηνῶν, ὀρῶν, ἀκρωρειῶν. Περὶ [2]ποταμῶν κατὰ στοιχεῖον, ἐπίτομον[3] ἀναγραφήν. Συναγωγὴν καὶ πίνακα τῶν ἐν πάσῃ τῇ γῇ πόλεων. καὶ τὰ λοιπά.

---

[1] Οἱ δὲ διμοιρίαν καὶ ἡμιλ.] Ælianus *Tactic.* cap. v. Τὰς δὲ δύο ἐνωμοτίας διμοιρίας ἐκάλεσαν· καὶ τὸν ἡγούμενον αὐτῆς διμοιρίτην. ὥστε τὸ ἡμιλόχιον καὶ διμοιρίαν καλεῖσθαι· καὶ τὸν ἡμιλοχίτην, διμοιρίτην.

[2] Πεποιημένας] Scribe ποιοῦντας. Scholiaſta Homeri ad Il. Β. pag. 877. Δινήεντος. Δίνας καὶ συστροφὰς ποιοῦντος ἐν τῷ καταφέρεσθαι.

[3] Ἀριστοφάνης Νεφέλαις] Pag. 148. (82. Ed. Baſ. *P.*)

[4] Παντοίοις λόγοις] Deeſt πεπαιδευμένος, vel ſimile quid: ut Portus etiam monuit.

[5] Λέξεις παντοδαπαὶ κατὰ στοιχ.] De hoc opere audiendus eſt Heſychius in Epiſtola ad Eulogium: Διογενιανὸς δέ τις μετὰ τούτους γεγονὼς, ἀνὴρ σπουδαῖος καὶ φιλόκαλος, τά τε προειρημένα βιβλία, καὶ πάσας τὰς σποράδην παρὰ πᾶσι κειμένας λέξεις συναγαγὼν ὁμοῦ πάσας, καθ' ἕκαστον στοιχεῖον συντέθεικε· λέγω δὴ τάς τε Ὁμηρικὰς, καὶ Κωμικὰς, καὶ Τραγικὰς, τάς τε παρὰ τοῖς Ῥήτορσι κειμένας. Lege ibi & ſequentia. Ad hoc opus Diogeniani procul dubio reſpexit Scholiaſta Nicandri ad *Theriaca* pag. 15. ubi inquit: Διογενιανὸς δὲ χλοάεις

Διογένης. ὄνομα Φιλοσόφου, ὁ καὶ Κυνός. Ὅτι χρὴ περὶ τῆς ἀνδρείας Διογένους λέγειν, τῆς πρᾳότητος Ξενοκράτους, τῆς Ἀριστοτέλους πολυμουσίας, τῆς Θεοφράστου βαρύτητος, Ζήνωνος αὐστηροῦ καὶ γενναίου τρόπου, Πλάτωνος σεμνότητος, Πολέμωνος ἐγκρατείας. τούτων γὰρ οὐκ ἔστιν ὅστις οὐ πάντα ἀγαθὸς ὤν, διέφερεν ὅμως τοῦ πλησίον κατὰ πολύ. Φέρεται καὶ Ἐπίγραμμα[4] εἰς αὐτόν·

Διόγενες, ἄγε, λέγε, τίς ἔλαβέ σε μόρος
Ἐς ἅιδος; ἔλαβέ με κυνὸς ἄγριον ὀδάξ.

τὸ δὲ Ἐπίγραμμα διὰ βραχέων.

Διογένης, ἢ Οἰνόμαος, Ἀθηναῖος, τραγικός. γέγονεν ἐπὶ τῆς τῶν λ΄ καταλύσεως. δράματα αὐτοῦ, Ἀχιλλεύς, Ἑλένη, Ἡρακλῆς, Θυέστης, Μήδεια, Οἰδίπους, Χρύσιππος, [5]Σεμέλη.

Διογένης, Ἱκεσίου υἱὸς, τραπεζίτου, Σινωπεύς. ὃς φυγὼν τὴν πατρίδα διὰ τὸ παρακόψαι νόμισμα, ἦλθεν εἰς Ἀθήνας, καὶ Ἀντισθένει παραβαλὼν τῷ Κυνικῷ, ἠράσθη τοῦ ἐκείνου βίου, καὶ τὴν Κυνικὴν φιλοσοφίαν ἠσπάσατο, πολλῆς οὔσης αὐτῷ ὑπεριδὼν οὐσίας. γηραιὸς δὲ ὢν ὑπὸ [6]πειρατοῦ Σκιρτάλου ἐλήφθη, καὶ πραθεὶς ἐν Κορίνθῳ Ξενιάδῃ τινὶ, παρὰ τῷ πριαμένῳ διέμεινεν, οὐχ ἑλόμενος λυθῆναι ὑπὸ τῶν Ἀθηναίων, ἢ τῶν οἰκείων φίλων. ἐπὶ δὲ τῆς [7]ριγ΄ Ὀλυμπιάδος κατέστρεψε τὸν βίον, δηχθεὶς ὑπὸ κυνὸς τὸ σκέλος, καὶ θεραπείας ὑπεριδὼν, κατὰ τὴν αὐτὴν ἡμέραν, ὅτε καὶ ὁ Μακεδὼν Ἀλέξανδρος ἐν Βαβυλῶνι ἀπέθανεν.

Διογένης, Ἀντισθένους ὁμιλητής· ὃς πρῶτος Κλέων[8] ἐπεκλήθη. ἐν πίθῳ δὲ διέτριβεν. ἐρομένῳ δὲ αὐτῷ, πῶς ἂν πρωτεύσειεν, ἐπολιτεύετο γὰρ, ὁ Θεὸς ἀνεῖλεν, εἰ παραχαράξειεν. ὁ δὲ τὸ νόμισμα παρεχάραξεν· ἐφ' ᾧ φυγὼν, ἦλθεν εἰς Ἀθήνας. ἐντυχὼν δὲ

ſunt. Omnis generis vocabula ordine alphabetico libris v. expoſita. Eſt autem epitome vocabulorum, quæ Pamphilus & Zopyrion libris ccccv. expoſuerant. Florilegium Epigrammatum. De fluminibus, lacubus, fontibus, montibus, & promontoriis. Fluminum brevis recenſio ſecundum ordinem alphabeticum. Collectio & tabula omnium totius terræ urbium: & alia.

Διογένης. Diogenes. Nomen Philoſophi, qui & Canis appellatus fuit. *Oportet dicere de Diogenis fortitudine, de Xenocratis manſuetudine, de Ariſtotelis varia eruditione, de Theophraſti gravitate, de Zenonis auſteris ac virilibus moribus, de Platonis majeſtate, de Polemonis continentia. Horum enim nemo eſt, qui quamvis non in omni virtutum genere excelleret, aliis tamen non longe præſtaret.* Circumfertur etiam epigramma hoc in Diogenem: *Diogenes, age, dic, quonam correptus fato ad Orcum deſcendiſti? Sævo morſu canis interii.* Epigramma hoc ſyllabis brevibus conſtat.

Διογένης. Diogenes, vel Oenomaus, Athenienſis, Tragicus: vixit eo tempore, quo xxx Tyranni ſublati fuerunt. Fabulæ ejus ſunt, *Achilles, Helena, Hercules, Thyeſtes, Medea, Oedipus, Chryſippus, Semele.*

Διογένης. Diogenes, Hiceſii trapezitæ filius, Sinopenſis; qui, cum monetam adulteraſſet, ex patria profugus Athenas venit, & Antiſthenem Cynicum ſectari cœpit; cujus vivendi rationem cum valde probaret, Cynicam philoſophiam amplexus eſt, magnis opibus, quas habebat, contemptis. Senex vero a Scirtalo pirata captus, & Xeniadæ cuidam Corinthio venditus, apud eum permanſit, nec ab Athenienſibus nec ab amicis ſuis redimi volens. Obiit Olympiade cxiii. cum curationem cruris a cane admorſi neglexiſſet; eodem die, quo Alexander Babylone obiit.

Διογένης. Diogenes, Antiſthenis diſcipulus, primum Cleon cognominatus, in dolio habitavit. Huic ſciſcitanti, quo pacto principatum [inter cives ſuos] conſequi poſſet, (Rempubl. enim gerebat) Deus reſpondit: Si [numiſma] adulteraret. Is igitur mone-

---

καλῶς αὔξεσθαι καὶ βλαστάνειν. Item auctor Lexici Rhetorici apud Euſtathium ad Odyſſ. E. pag. 1533. Διογενιανὸς οἴακας λέγει, οἷς τὰ πηδάλια ἐπιστρέφουσιν. ἤγουν κανόνας καὶ κρίκους, δι' ὧν ἱμάντες διείργονται. Vide etiam Harpocrationem v. Ἀρεστὴρ, & Suidam ead. v. itemque Etymologum v. Ἀπελαίπυρος, & v. Βρύττειν.

[1] Τετρακοσίων. καὶ τῶν Ζωπυρ.] Locus hic prava interpunctione laborat, quem Reineſius *Var. Lect.* lib. II. cap. I. pag. 128. ſic diſtinguendum eſſe recte monuit: τετρακοσίων, καὶ τῶν Ζωπυρείων. Ἐπιγραμμάτων Ἀνθολόγιον. Non enim Zopyrion Epigrammata ſcripſerat, ut priores interpretes putarunt; ſed varias λέξεις a litera α uſque ad δ digeſſerat; reliquas κατὰ στοιχεῖον uſque ad ω Pamphilus adjecerat, teſte Suida infra v. Πάμφιλος. Hujus igitur operis a Zopyrione inchoati, & a Pamphilo abſoluti epitomen Diogenianum confeciſſe, Suidas Lectorem hic docere vult: cujus tamen mens propter pravam interpunctionem a pleriſque hactenus intellecta non fuit.

[2] Περὶ ποταμῶν] Cum τὸ ποταμῶν jam ante præceſſerit, aſſentior Andreæ Schotto, qui in Præfat. ad Parœmiographos a ſe editos hic legendum cenſet παροιμιῶν. Exſtat enim adhuc hodie brevis Collectio Proverbiorum, a Diogeniano ſecundum ordinem alphabeticum digeſta: quam ipſam Suidam hic deſignare voluiſſe puto. Antequam Diogenianum linquam, moneo Lectorem, Euſebium *de Præpar. Euang.* lib. IV. cap. III. ex Diogeniano quodam fragmentum contra μαντικήν; & l. VI. c. VIII. ex eodem fragmentum de Fato contra Chryſippum producere: qui Diogenianus an idem ſit cum eo, de quo hic Suidas agit, videant eruditi.

[3] Ἐπίτομον ἀναγραφήν] Scribendum eſt in caſu recto, ἐπίτομος ἀναγραφή; & deinceps, συναγωγὴ καὶ πίναξ. Præceſſerat enim, ἔστι δὲ αὐτοῦ βιβλία ταῦτα.

[4] Ἐπίγραμμα] Epigramma hoc in Diogenem legitur etiam apud Diogenem Laertium lib. VI. Segm. LXXIX. & ſupra v. Ἄγε.

[5] Σεμέλη] Hujus fabulæ meminit Athenæus.

[6] Ὑπὸ πειρατοῦ Σκιρτάλου] Vide Menag. ad Laert. lib. VI. Segm. LXXIV.

[7] Ριγ΄ Ὀλυμπ.] Meurſius *Lect. Att.* lib. II. cap. XXII. legendum monet ριδ΄ Ὀλυμπιάδος.

[8] Κλέων] Forte Κλύων, inquit Menagius ad Laert. lib. VI. Segm. XX.

Ἀντισθένει κατὰ δόξης διαλεγομένῳ, ἐφιλοσόφησε. πλέων δὲ ὑπὸ καταποντιστῶν ληφθεὶς, ἐπράθη. κηρυττόμενος δὲ, καὶ ἐρωτώμενος, τί εἰδείη, ἄρχειν ἀνθρώπων, ἔφη. καὶ θεασάμενος Κορίνθιον πλούσιον ἄνθρωπον, καὶ ἄσωτον, τούτῳ με, ἔφη, πώλησον. δεσπότου γὰρ δεῖται. ὁ δὲ ὠνεῖται, καὶ εἰς Κόρινθον ἄγει, καὶ τῶν παίδων ἀποδείκνυσι παιδαγωγόν. ἔλεγε δὲ δαίμονα ἀγαθὸν εἰς τὴν οἰκίαν εἰσεληλυθέναι.

tam adulteravit, eaque de cauſa ex patria profugus Athenas venit: cumque Antiſthenem contra gloriam diſſerentem forte audiviſſet, ad philoſophiam animum adjunxit. Idem mare navigans a piratis captus & venditus eſt. Cumque præco eum venalem pronuntiaret, interrogatus, quam artem ſciret? Hominibus ſe imperare noſſe reſpondit. Et Corinthium quendam divitem, qui & prodigus erat, conſpicatus, huic, inquit, me vende. Domino enim indiget. Is igitur eum emptum & Corinthum ductum liberorum ſuorum pædagogum conſtituit, dixitque, bonum Genium ædes ſuas ingreſſum eſſe.

Διογένης. [1] Ὅτι Διογένης εἶχεν ἐρῶντα παῖδα, καὶ πικρὸς ὢν πατὴρ, οὐ συνεγίνωσκε νέου ῥαθυμίαν, ἀλλὰ ἀνείργων αὐτὸν καὶ ἀναστέλλων τοῦ πόθου, μᾶλλόν οἱ τὸ πάθος παρώξυνε. καὶ ἦν τοῦ κακοῦ δεινὴ ἐπίτασις. ἐξερριπίζετο γὰρ ὁ ἔρως, ἐμποδὼν ἱσταμένου τοῦ Διογένους, καὶ ἐς τὴν παροῦσαν νόσον μᾶλλον ἐξήπτετο ὁ νέος. ἧκεν οὖν εἰς Δελφοὺς, ὡς ἑώρα φιλόνεικον ὂν τὸ κακὸν, καὶ δυσαναχετῶν τε ἅμα καὶ περιαλγῶν, ἐρωτᾷ, εἴ οἱ πέπαυται νοσῶν ποτε ὁ παῖς. ὁ δὲ, ὡς εἶδεν οὐ πάνυ φρενήρη γέροντα, οὐδὲ ἐρωτικαῖς συγγνώμονα ἀνάγκαις, λέγει ταῦτα·

Λήξει παῖς σὸς ἔρωτος, ὅταν κούφῃ νεότητι
Κύπριδος ἱμερόεντι καταφλεχθῇ φρένας οἴστρῳ.
Ὀργὴν οὖν πρήϋνον ἀμειδέα, μηδ' ἐπίτεινε
Κωλύων. πράσσεις γὰρ ἐναντία σοῖσι λογισμοῖς.
Ἢν δ' ἐφ' ἡσυχίην ἔλθῃς, λήθην τάχος ἕξεις
Φίλτρων, καὶ νήψας αἰσχρᾶς καταπαύσεται ὁρμῆς.

Ἀκούσας τοίνυν ὁ Διογένης ταῦτα, τὸν μὲν θυμὸν κατεστόρεσεν, ἐλπίδος δὲ ὑπεπλήσθη χρηστῆς, ἔχων τῆς τοῦ παιδὸς σωφροσύνης ἐγγυητὰς ἀξιόχρεως· καὶ ἐν ταυτῷ βελτίων ἐγένετο πατὴρ, ἡμερωθεὶς τε καὶ πραϋνθεὶς τὸν τρόπον. τοῦτό τοι καὶ ὁ τραγικὸς Αἵμων, ὁ τοῦ Σοφοκλέους, ἀπεδείξατο, τῆς Ἀντιγόνης ἐρῶν, καὶ πικρῷ ζυγομαχῶν πατρὶ τῷ Κρέοντι· καὶ γάρ τοι καὶ ἐκεῖνος ὁμοίως ἐλαυνόμενος, ξίφει πρὸς τὸν ἔρωτα καὶ τὸν πατέρα τὴν νόσον διελύσατο.

Διογένης, ἢ Διογενειανὸς, Κυζικηνὸς, γραμματικός. ἔγραψε Πάτρια [2] Κυζίκου. Περὶ τῶν ἐν τοῖς βιβλίοις [3] σημείων. Περὶ ποιητικῆς. Περὶ στοιχείων.

Διόγνητος. ὄνομα κύριον.

Διοδεία. ἡ διέλευσις.

Διόδωρος μονάζων, ἐν τοῖς χρόνοις Ἰουλιανοῦ καὶ Οὐάλεντος ἐπισκοπήσας Ταρσῶν τῆς Κιλικίας. οὗτος ἔγραψεν, ὥς φησι Θεόδωρος Ἀναγνώστης ἐν τῇ Ἐκκλησιαστικῇ Ἱστορίᾳ, διάφορα. εἰσὶ δὲ τάδε. Ἑρμηνεῖαι εἰς τὴν παλαιὰν πᾶσαν· Γένεσιν, Ἔξοδον, καὶ ἐφεξῆς. καὶ εἰς Ψαλμοὺς· καὶ εἰς τὰς δ' Βασιλείας. εἰς τὰ ζητούμενα τῶν Παραλειπομένων. εἰς τὰς Παροιμίας. Τίς διαφορὰ [4] θεωρίας καὶ ἀλληγορίας. εἰς

Διογένης. Diogenes. Hic filium habebat amantem: cumque, ut durus pater, adoleſcenti minime indulgeret, ſed eum identidem coerceret & ab amore revocaret, morbum magis irritavit & auxit. Amor enim quaſi flabello incendebatur, obſiſtente Diogene, & præſentis morbi vis in adoleſcentis animo vehementius exardeſcebat. Diogenes igitur, ut vidit malum eſſe pertinax, Delphos proficiſcitur, & indignationis doloriſque plenus interrogat oraculum, an filius ſuus aliquando deſiturus eſſet hoc morbo laborare. Deus autem, cum parum cordatum ſenem videret, nec amatoriis aliquid dantem neceſſitatibus, hæc reſpondit: *Deſinet filius tuus amare, cum levi juventute veneris amabili conflagraverit animus œſtro. Iram igitur tempera triſtem, neque intende prohibendo. Tuis enim ipſe contraria facies cogitationibus. Si vero mitior eſſe cœperis, celeriter obliviſcetur amorum, & reſipiſcens turpi ceſſabit a libidine.* His auditis Diogenes iram compreſſit, & bona ſpe repletus eſt, idoneos quippe habens ſponſores, filium ſuum ad bonam frugem rediturum eſſe: ſimulque melior evaſit pater, moribus mitior & lenior factus. Idem & tragicus Hæmon apud Sophoclem demonſtravit, Antigones amore flagrans, & cum duro parente Creonte conflictans. Nam & ille ſimili modo vexatus, gladio morbum abrupit, ut amoris ſimul & parentis ſævitiam effugeret.

Διογένης. Diogenes, vel Diogenianus, Cyzicenus, Grammaticus: ſcripſit Origines Cyzici. De notis librorum. De Poetica. De Elementis.

Διόγνητος. Diognetus. Nomen proprium.

Διοδεία. Tranſitus.

Διόδωρος μονάζων. Diodorus monachus, Juliani & Valentis temporibus vixit, & Tarſi in Cilicia Epiſcopus fuit. Scripſit varia, ut Theodorus Lector in hiſtoria Eccleſiaſtica tradit. Sunt autem hæc: Interpretationes in totum vetus Teſtamentum; Geneſin, Exodum, & reliqua. In Pſalmos. In quatuor libros Regum. In loca difficiliora Paralipomenorum. In Proverbia. Quomodo inter ſe dif-

---

[1] Ὅτι Διογένης εἶχεν ἐρῶντα π.] Totum hoc fragmentum Kuhnius ad Ælianum refert; ſed qui id male cum alio fragmento conjungit, in quo non de Diogene, ſed de Dionyſio quodam mercatore agitur.

[2] Πάτρια Κυζίκου] Hoc opus ſeptem libris conſtitiſſe diſcimus ex Stephano Byzantio v. Βέσβικος.

[3] Σημείων] Intellige notas Criticorum, quales erant *obelus, antiſigma, diple, ceraunium*, & ſimiles. Confer cum hoc loco, quæ diximus ſupra v. Ἀρίσταρχος.

[4] Θεωρίας] Θεωρία hic ſignificat ſenſum abſtruſiorem & myſticum: cui opponitur τὸ ῥητὸν, ſive ſenſus literalis. Sozomenus *Hiſtor. Eccleſ.* lib. VIII. cap. 2. de Diodoro noſtro: Ὃν ἐπυθό-

τὸν Ἐκκλησιαστήν. εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων. εἰς τοὺς Προφήτας. Χρονικὸν, διορθούμενον τὸ σφάλμα Εὐσεβίου τοῦ Παμφίλου περὶ τῶν χρόνων. εἰς τὰ δ' Εὐαγγέλια. εἰς τὰς Πράξεις τῶν Ἀποστόλων. εἰς τὴν ἐπιστολὴν Ἰωάννου τοῦ Εὐαγγελιστοῦ. Περὶ τοῦ, εἷς Θεὸς ἐν Τριάδι. Κατὰ Μελχισεδεκιτῶν. Κατὰ Ἰουδαίων. Περὶ νεκρῶν ἀναστάσεως. [1] Περὶ ψυχῆς. Κατὰ διαφόρων περὶ αὐτῆς αἱρέσεων. Πρὸς Γρατιανὸν κεφάλαια. Κατὰ ἀστρονόμων καὶ ἀστρολόγων καὶ εἱμαρμένης. Περὶ σφαίρας, καὶ τῶν ζ' ζωνῶν, καὶ τῆς ἐναντίας τῶν ἀστέρων πορείας· Περὶ τῆς Ἱππάρχου σφαίρας. Περὶ προνοίας. Κατὰ Πλάτωνος περὶ Θεοῦ καὶ Θεῶν. Περὶ φύσεως καὶ ὕλης, ἐν ᾧ, τί τὸ δίκαιόν ἐστι. Περὶ Θεοῦ καὶ ὕλης Ἑλληνικῆς [2] πεπλασμένης. ὅτι αἱ ἀόρατοι φύσεις οὐκ ἐκ τῶν στοιχείων, ἀλλ' ἐκ μηδενὸς μετὰ τῶν στοιχείων ἐδημιουργήθησαν. Πρὸς Εὐφρόνιον Φισόσοφον, κατὰ πεῦσιν καὶ ἀπόκρισιν. Κατὰ Ἀριστοτέλους περὶ σώματος οὐρανίου. Πῶς θερμὸς ὁ ἥλιος. Κατὰ τῶν λεγόντων ζῶον τὸν οὐρανόν. Περὶ τοῦ, πῶς ἀεὶ μὲν ὁ δημιουργὸς, οὐκ ἀεὶ δὲ τὰ δημιουργήματα. Πῶς τὸ θέλειν καὶ τὸ μὴ θέλειν ἐπὶ Θεοῦ ἀϊδίου ὄντος. Κατὰ Πορφυρίου περὶ ζώων καὶ θυσιῶν.

Διόδωρος, [3] ὁ Οὐαλέριος ἐπικληθεὶς, Φιλόσοφος, μαθητὴς Τηλεκλέους, Ἀλεξανδρεὺς, υἱὸς [4] Πολίωνος τοῦ Φιλοσόφου, τοῦ γράψαντος τὴν Ἀττικὴν λέξιν· γεγονὼς ἐπὶ τοῦ Καίσαρος Ἀδριανοῦ.

Διόδωρος Σικελιώτης, ἱστορικός. ἔγραψε Βιβλιοθήκην. ἔστι δὲ ἱστορία Ῥωμαϊκή τε καὶ ποικίλη ἐν βιβλίοις μ'. γέγονε δὲ ἐπὶ τῶν χρόνων Αὐγούστου Καίσαρος, καὶ ἐπάνω.

Διόδωρος, καὶ αὐτὸς κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν, Αὐλητρίς, ὡς Ἀθήναιος ἐν τῷ δεκάτῳ τῶν Δειπνοσοφιστῶν λέγει. ἐν δὲ τῷ ιβ' φησὶν, ὅτι Ἐπίκληρος, καὶ Πανηγυρισταί.

Δίοδοι. αἱ ὁδοί. ἀπὸ τοῦ διοδεύειν. [5] Ἀριστοφάνης·

Αἱ δὲ γυναῖκες κατὰ τὰς διόδους
Προσπίπτουσαι τοῖς ἀπὸ τοῦ δείπνου,
Τάδε λέξουσιν· Δεῦρο παρ' ἡμᾶς·
Ἐνθάδε μεῖραξ ἔστ' ὡραία.

Διοκαισάρεια, ἡ νῦν λεγομένη Ἀνάζαρβα, πόλις ἐν Κιλικίᾳ. πρότερον δὲ Κύϊνδα ἐλέγετο. καὶ ἔστιν ἐν τῷ Ἀνάζαρβα.

Διοκλῆς, Ἀθηναῖος, ἢ Φλιάσιος, ἀρχαῖος κωμικὸς, σύγχρονος Σαννυρίωνι καὶ Φιλλυλίῳ. δραμα-

ferant theoria & allegoria. In Eccleſiaſten. In Canticum Canticorum. In Prophetas. Chronicon, in quo errata ab Euſebio Pamphili in chronologia admiſſa emendantur. In IV Euangelia. In Acta Apoſtolorum. In Epiſtolam Joannis Euangeliſtæ. De eo, quod ſit unus Deus in Trinitate. Contra Melchiſedecitas. Contra Judæos. De reſurrectione mortuorum. De anima. Contra diverſas de ea hæreticorum opiniones. Ad Gratianum capita. Contra Aſtronomos, & Aſtrologos, & Fatum. De Sphæra, & VII Zonis, & contrario aſtrorum motu. De Hipparchi ſphæra. De providentia. Contra Platonem de Deo & Diis. De natura & materia: in quo opere tractatur de eo, quod juſtum eſt. De Deo, & falſa Græcorum materia. Naturas inviſibiles non ex elementis, ſed una cum elementis ex nihilo factas eſſe. Ad Euphronium philoſophum per interrogationem & reſponſionem. Contra Ariſtotelem de corpore cœleſti. Quomodo Sol ſit calidus. Contra eos qui cœlum animal eſſe dicunt. De eo, quomodo opifex quidem ſemper, opera vero ejus non ſemper [permaneant.] Quomodo velle & nolle ſit in Deo æterno. Contra Porphyrium de animalibus & ſacrificiis.

Διόδωρος. Diodorus, cognomento Valerius, Philoſophus, Teleclis diſcipulus, Alexandrinus, filius Polionis Philoſophi, qui de vocibus Atticis ſcripſit. Vixit ſub Adriano Cæſare.

Διόδωρος. Diodorus Siculus, Hiſtoricus, ſcripſit *Bibliothecam*, quæ hiſtoriam Romanam & variam libris XL complectitur. Vixit ſub Imperatore Auguſto, & ante illum.

Διόδωρος. Diodorus, Comicus. Hujus comœdiis ab Athenæo lib. X. *Dipnoſophiſtarum* accenſetur *Tibicina*: & lib. XII. *Epiclerus* & *Panegyriſtæ*.

Δίοδοι. Viæ, per quas itur. A διοδεύειν, per aliquem locum ire. Ariſtophanes: *Fœminæ vero in viis accedentes ad eos, qui a cœna redibunt, hæc dicent: Huc veni: hic enim adoleſcentula adeſt formoſa.*

Διοκαισάρεια. Diocæſarea, nunc Anazarba dicta, urbs Ciliciæ, quæ ante Cyinda vocabatur. Vide in v. Ἀνάζαρβα.

Διοκλῆς. Diocles, Athenienſis, aut Phliaſius, Comicus antiquus, æqualis Sannyrionis &

μην ἰδίων συγγραμμάτων πολλὰς καταλιπεῖν βίβλους· περὶ δὲ τὸ ῥητὸν τῶν ἱερῶν λόγων τὰς ἐξηγήσεις ποιήσασθαι, τὰς θεωρίας ἀποφυγόντα. Id eſt: *Quem accepi multos libros a ſe ſcriptos poſteris reliquiſſe, & ſacram ſcripturam ad literam expoſuiſſe, omiſſo ſenſu myſtico.* Et Socrates lib. VI. cap. III. Διόδωρος δὲ αὐτῶν ὕστερον Ἐπίσκοπος Ταρσοῦ γενόμενος, πολλὰ βιβλία συνέγραψε, ψιλῷ τῷ γράμματι τῶν θείων προσέχων γραφῶν, τὰς θεωρίας αὐτῶν ἐκτρεπόμενος. *Diodorus vero poſtea ad Epiſcopatum Tarſi promotus, multos conſcripſit libros, ſimplicem tantum atque obvium ſcripturarum ſenſum inquirens, myſticam vero earum interpretationem refugiens.* Θεωρία igitur quid ſignificet, hinc patet. Ab ea differt *allegoria*; quod hæc in inferioribus ſubſiſtat, nec in tam ſublimi argumento verſetur, quam *theoria*: quæ ratio eſt, quare Diodorus, ut Suidas hic teſtatur, de differentia *theoria* & *allegoria* ſcripſerit.

[1] Περὶ ψυχῆς. Κατὰ διαφ.] Lego, περὶ ψυχῆς, καὶ διαφόρων &c. Κατὰ enim cum καὶ, & vice verſa, a librariis ſæpe confundi ſolere, non ignorant, qui in ſtudio Critico vel leviter verſati ſunt.

[2] Πεπλασμένης] Priores Editt. habent πεπλανημένης. Sed magis placet πεπλασμένης, quod in 2 MSS. Pariſ. reperi.

[3] Διόδωρος] De variis Diodoris egit Meurſius ad Chalcidium pag. 20. & 21. quem vide. Omiſit autem Diodorum Megaricum, cujus mentio exſtat apud Euſtathium ad Odyſſ. Λ. pag. 1397. 34. & Diodorum Ariſtophanium, quem idem laudat ad Odyſſ. Δ. pag. 1480. 24. & Athen. lib. IV. pag. 180.

[4] Υἱὸς Πολίωνος] Vide infra v. Πολίων.

[5] Ἀριστοφάνης] *Eccleſiazuſis* pag. 745. (500. Ed. Baſ. P.)

τα αὐτοῦ, [1] Θάλαττα, Μέλιτται, Ὄνειροι, [2] Βάκχαι, Θυέστης β΄. τοῦτον [3] δέ φασιν εὑρεῖν καὶ τὴν ἐν τοῖς ὀξυβάφοις ἁρμονίαν, ἐν ὀστρακίνοις ἀγγείοις, ἅπερ ἔκρουεν ἐν ξυλυφίῳ. τὸ δὲ Θάλαττα ἑταίρας ὄνομά ἐστιν, [4] ὡς Ἀθήναιός φησιν.

Διοκλητιανὸς καὶ Μαξιμιανὸς, βασιλεῖς Ῥωμαίων. Ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ γαμβροῦ αὐτοῦ διωγμὸς κατὰ Χριστιανῶν ἐκινήθη φρικωδέστατος. προσέταξαν γὰρ κατὰ χώραν καὶ πόλιν τὰς τοῦ Χριστοῦ Ἐκκλησίας καταστρέφεσθαι, καὶ τὰς θείας αὐτῶν γραφὰς κατακαίεσθαι. τοὺς δὲ Χριστιανοὺς εὑρισκομένους ἀναγκάζεσθαι θύειν τοῖς δαίμοσιν. ἡττηθέντες δὲ τῷ πλήθει τῶν ἀναιρουμένων Χριστιανῶν, ἐξέθεντο δόγμα, ὥστε τοὺς εὑρισκομένους Χριστιανοὺς ἐξορύττεσθαι τὸν δεξιὸν ὀφθαλμόν· οὐ μόνον διὰ τὸ ὀδυνηρὸν, ἀλλὰ καὶ διὰ τὸ ἄτιμόν τε καὶ πρόδηλον, καὶ τῆς τῶν Ῥωμαίων πολιτείας ἀλλότριον· οὓς ἡ θεία δίκη ἐνδίκως μετελθοῦσα, δικαίως ἐξέκοψε. καὶ ὁ μὲν ἐσφάγη ὑπὸ τῆς συγκλήτου· ὁ δὲ ἀπήγξατο. Οὗτος ὁ ἀνὴρ καὶ μισόχριστος [5] μνήμῃ καὶ ὀργῇ τῶν περὶ τὴν ἀρχὴν νεωτερισθέντων περὶ τὴν Αἴγυπτον, οὐ μετρίως οὐδὲ ἡμέρως τῷ κρατεῖν ἀπεχρήσατο, ἀλλὰ προγραφαῖς τε καὶ φόνοις τῶν ἐπισήμων μιαίνων ἐπῆλθε τὴν Αἴγυπτον. ὅτε δὴ καὶ τὰ περὶ [6] χυμείας ἀργύρου καὶ χρυσοῦ τοῖς παλαιοῖς αὐτῶν γεγραμμένα βιβλία διερευνησάμενος ἔκαυσε, πρὸς τὸ μηκέτι πλοῦτον Αἰγυπτίοις ἐκ τῆς τοιαύτης περιγίνεσθαι τέχνης, μηδὲ χρημάτων αὐτοὺς θαρροῦντας περιουσίᾳ, τοῦ λοιποῦ Ῥωμαίοις ἀνταίρειν. ἦν δὲ τὸ ἦθος ποικίλος τις καὶ πανοῦργος· τῷ δὲ λίαν συνετῷ καὶ ὀξεῖ τῆς γνώμης ἐπεκάλυπτε πολλάκις τὰ τῆς οἰκείας φύσεως ἐλαττώματα, πᾶσαν σκληρὰν πρᾶξιν ἑτέροις ἀνατιθείς. ἐπιμελὴς δὴ ὅμως καὶ ταχὺς ἐν ταῖς τῶν πρακτέων ἐπιβολαῖς. καὶ πολλὰ τῶν τῆς βασιλικῆς θεραπείας ἐπὶ τὸ αὐθαδέστερον παρὰ τὰ καθεστηκότα Ῥωμαίοις πάτρια μετεσκεύασεν. † Ὅτι Διοκλητιανὸς καὶ Μαξιμιανὸς τὴν βασιλείαν ἀφέντες, τὸν ἰδιώτην μετῆλθον βίον. καὶ ὁ μὲν ἐς Σάλωνας, πόλιν Ἰλλυρικήν· ὁ δὲ ἐς τῶν Λευκανῶν ἀφίκετο. καὶ ὁ μὲν Μαξιμιανὸς πόθῳ τῆς ἀρχῆς ἐς μεταμέλειαν ἦλθε. Διοκλητιανὸς δὲ ἐν ἡσυχίᾳ κατεγήρα ἐν ἔτεσι τρισὶν, ὑπερβάλλουσαν ἀρετὴν ἐνδειξάμενος· τῆς δὲ Ἑλληνικῆς θρησκείας οὐδ᾽ ὅλως ἀποστάς.

Διακωχή. ἀνακωχὴ χρόνου. Ἐν μάχαις τισὶν αὐτοὺς νικήσας, καὶ διακωχὴν αἰτήσασιν, ἔδωκε.

Διολισθαίνω. καὶ διολισθεῖν, ἐκφυγεῖν. [7] Ὥστε τοὺς χρήστας διολισθεῖν. τουτέστι, τοὺς δανειστὰς ἐκφυγεῖν.

Philyllii. Fabulæ ejus ſunt, *Thalatta. Apes, Somnia, Bacchæ, Thyeſtes ſecundus.* Hunc ajunt inveniſſe harmoniam quandam muſicam, ex ſono acetabulorum & vaſorum fictilium conſtantem, quæ bacillo percutiebat. Thalatta autem meretricis erat nomen, ut ait Athenæus.

[3] Διοσκουρίδης Ἀναζ.] De variis hujus nominis ſcriptoribus vide Jonſium *de Scriptor. Hiſt. Phil.* lib. II. cap. VI. Omiſit autem Dioſcoridem quendam, quem ἐν σταθμοῖς καὶ μέτροις citat Tzetzes Chil. XIII. cap. CDLXXIX.

[4] Ὁ ἐπικληθεὶς Φακᾶς] Confundit hic Suidas duos Dioſcorides. Anazarbenſis enim Dioſcorides, cujus hodie adhuc *de Materia Medica* & *Alexipharmacis* ſcripta exſtant, diverſus erat ab eo, qui Φακᾶς cognominabatur, ut monuit etiam Jonſius loco laudato, quem conſule.

[5] Συνῆν δὲ Κλεοπάτρᾳ ἐπὶ Ἀντ.] De ætate Dioſcoridis Anazarbenſis videndus eſt Marſilius Cagnatus *Var. Obſerv.* lib. II. cap. XXVIII. qui recte quidem contra Suidam oſtendit, eum poſt Cleopatræ & Antonii tempora vixiſſe; ſed in eo non habet aſſentientes eruditos, quod eundem Plinio juniorem faciat: cum vel paulo eo antiquior fuerit, ut exiſtimat Salmaſius in *Exercitat. Plin.* vel ſaltem eodem, quo ille, tempore vixerit, ut contendit Jonſius loco ante laudato.

[6] Διὸς Κόρινθος] Proverbium hoc fuſius enarrat Scholiaſta Ariſtophanis ad *Ranas* pag. 232. quem omnino confer.

[7] Προσέχοντος] Addita negatione, οὐ προσέχοντος legendum eſſe, ſenſus manifeſto flagitat.

[8] Διοσκόριος, Μυραῖος, κ.] Hæc repetuntur infra v: Θυάτειρα: ſed loco alieno.

[9] Διὸς κώδιον] Confer Heſychium h. v.

Δίοσμος.[1] ἡ διαπορθμευτικὴ δύναμις τῶν ὀσφραντῶν παρὰ Θεοφράστῳ. οὐκ[2] ἔστι δὲ ἡ ῥὶς τὸ αἰσθητήριον, ἀλλ' ἡ μαστοειδὴς τοῦ ἐγκεφάλου ἀπόθεσις.

Διὸς φήμη. ἡ μαντεία. ὁ γὰρ Ἀπόλλων ὑποφήτης τοῦ πατρὸς, καὶ παρ' ἐκείνου λαμβάνει τὰς μαντείας, καὶ τοῖς ἀνθρώποις ἐκφέρει. καὶ [3] Ὅμηρος·

Διὸς ἄγγελος ὄσσα δεδήει.

Διὸς[4] ψῆφος. οὕτως [5] καλεῖται, ἐν ᾧ Ἀθηνᾶ καὶ Ποσειδῶν ἐκρίθησαν. Κρατῖνος Ἀρχιλόχοις·

Ἔνθα Διὸς μεγάλου θῶκος πεσσοί τε καλοῦνται.

ὁ γὰρ τόπος, ἐν ᾧ ἐκρίθησαν, Διὸς ψῆφος καλεῖται. τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν ἱερῶν καὶ ἀθίκτων.

Διότι. ἔσθ' ὅτε καὶ ἀντὶ τοῦ ὅτι λαμβάνεται. οὕτω γὰρ ἄλλοι τε πολλοὶ, καὶ Ἱεροκλῆς. † Κατὰ[6] τρεῖς δὲ τρόπους τὸ σαφέστερον ἡμῖν θεωρεῖται. καθ' ἕνα μὲν τὸ ὅτι τοῦ διότι. σαφέστερον μὲν γὰρ, καὶ πρῶτον εἰς γνῶσιν. καὶ γὰρ ὅτι ἔχομεν ψυχὴν, καὶ ὅτι ἀθάνατος, προχειρότερον εἰς νόησιν τοῖς πολλοῖς μᾶλλον, ἢ τὸ παραχωρῆσαι,[7] καὶ ἐπιβάλλειν τῷ λόγῳ, τῷ ταῦτα κατασκευάζοντι. δεύτερον, τὸ [8] καθόλου καὶ συγκεχυμένον τοῦ μερικοῦ καὶ διῃρημένου. οἷον τὸ εἰδέναι ἁπλῶς, ὅτι σῶμα, ἢ ὅτι τοιόνδε σῶμα, τουτέστιν οὐράνιον, ἢ γήϊνον, ἢ τοιῶσδε ἢ τοιῶσδε κεκραμένον. τρίτον, τὸ ὡς πρὸς ἡμᾶς μὲν πρῶτον, ὕστερον δὲ τῇ φύσει. τῶν γὰρ ἁπλουστέρων, ἅπερ ἐστὶ τῇ φύσει πρῶτα ἡμῖν, τὰ συνθετώτερα γνωριμώτερα.

Διότιμος. ὄνομα κύριον.

Διοτρεφής. ὑπὸ Διὸς τεθραμμένος.

Διοφάνης.[9] οὗτος Μεγαλοπολίτης ἦν. ὃς μεγάλην ἕξιν εἶχεν ἐν τοῖς πολεμικοῖς, διὰ τὸ πολυχρονίου γεγονότος τοῦ πρὸς Νάβιν πολέμου τοῖς Μεγαλοπολίταις ἀστυγείτονος, πάντα συνεχῶς τὸν χρόνον ὑπὸ τὸν Φιλοποίμενα τεταγμένος, τριβὴν ἐσχηκέναι τὴν κατὰ πόλεμον ἔργων ἀληθινήν. χωρίς τε τούτων, κατὰ τὴν ἐπιφάνειαν, καὶ κατὰ τὴν σωματικὴν χρείαν, ἦν ὁ ἀνὴρ δυνατὸς καὶ καταπληκτικός. τὸ δὲ κυριώτερον, πρὸς πόλεμον ὑπῆρχεν ἀνὴρ ἀγαθὸς, καὶ τοῖς ὅπλοις ἐχρῆτο διαφερόντως.

Διόφαντος. ὄνομα κύριον.

Δι' ὄχλου. ἐπιβαρές. [10] Ἀριστοφάνης·

Κεἰ γὰρ δι' ὄχλου τοῦτ' ἐστὶ τοῖς θεωμένοις,
Ὅμως ἔχει τερπνόν τι καὶ κωμῳδικόν.

Διώβολον, καὶ τριώβολον, καὶ ἡμιωβόλιον ὁμοίως.

Δίοσμος. Facultas tranſmittendi odores ad nares, apud Theophraſtum. Non eſt autem ipſe naſus inſtrumentum odoratus, ſed pars cerebri mammæ inſtar extuberans.

Διὸς φήμη. Oraculum Jovis. Apollo enim eſt patris miniſter in oraculis edendis, & ab illo oracula accepta hominibus reddit. Et Homerus:

Jovis nuncia fama percrebeſcebat.

Διὸς ψῆφος. Jovis ſuffragium. Sic locus vocatur, in quo de Minerva & Neptuno judicium factum eſt. Cratinus Archilochis: *Illic Jovis magni ſedes calculique vocantur.* Locus enim, in quo [de Minervæ Neptunique controverſia] judicium factum eſt, *Jovis ſuffragium* vocatur. Hoc autem proverbium de rebus ſacris & non tangendis uſurpatur.

Διότι. Interdum ſumitur pro ὅτι, tum apud multos alios, tum etiam Hieroclem. † Tribus modis id, quod notius nobis eſt, conſideratur. Primum enim, rem eſſe, notius nobis eſt, & prius a nobis cognoſcitur, quam cur ſit. Etenim, habere nos animam, eamque eſſe immortalem, facilius vulgo intelligitur, quam rationes, quibus iſtud confirmatur & demonſtratur. Deinde res univerſalis & confuſa notior eſt particulari & diſtincta: ut, ſcire ſimpliciter eſſe corpus, quam eſſe tale corpus: id eſt, cœleſte, vel terreſtre, vel hoc aliove modo temperatum. Tertio loco, id, quod reſpectu quidem noſtri prius eſt, at natura poſterius. Nam ſimplicibus, quæ prima ſunt natura, compoſita nobis ſunt notiora.

Διότιμος. Diotimus, Nomen proprium.

Διοτρεφής. A Jove nutritus.

Διοφάνης. Diophanes. Hic Megalopolitanus fuit, & magno uſu rei militaris inſtructus. Bello enim adverſus Nabidem tyrannum diuturno, & Megalopolitanis finitimo, ſub Philopœmenis diſciplina aſſidue militans, veram bellicarum rerum peritiam collegerat. Præterea, ipſa ſpecie & corporis robore conſpicuus ac formidabilis erat: quodque eſt præcipuum, ſtrenuus bellator, & tractandorum inprimis armorum peritus.

Διόφαντος. Diophantus. Nomen proprium.

Δι' ὄχλου. Moleſtum. Grave. Ariſtophanes:

Quamvis enim moleſtũ hoc ſit ſpectatoribus,
Tamen habet aliquid jucundum & comicum.

Διώβολον, & τριώβολον, & ἡμιωβόλιον, [per ω ſcribuntur.]

---

[1] Δίοσμος. ἡ διαπορθμευτικὴ δύναμις τῶν ὀσφρ.] Vide Philoponum in lib. II. Ariſtot. *de Anima* M. III. b. & Suidam infra v. Κογχύλη.

[2] Οὐκ ἔστι δὲ ἡ ῥὶς τὸ αἰσθητήριον, ἀλλ' ἡ μασ] Hæc apud Philoponum in lib. II. Ariſtot. *de Anima*, M. 4. a. paulo plenius ſic leguntur: Ἔστι δὲ τὸ ὀσφραντικὸν αἰσθητήριον ἡ κατὰ τὰ ἐμπρόσθια τοῦ ἐγκεφάλου μαστοειδὴς αὐτοῦ ἀπόφασις. Sed pro ἀπόφασις legendum eſt ἀπόφυσις: uti etiam hic apud Suidam pro ἀπόθεσις reſcribi debet.

[3] Ὅμηρος] Il. B. v. 93.

[4] Διὸς ψῆφος. οὕτως καλ.] Huc ſpectant ea, quæ habet Heſychius v. Διὸς θᾶκοι, cujus verba hic adſcribam, ut emendem: Διὸς θᾶκοι καὶ πεσσοί. τινὲς γράφουσι ψῆφοι. φασὶ δὲ ἐν τῇ τῶν Ἀθηναίων διαψήφισιν. (lege διαψηφίσει) ὅτι ἠμφισβήτει Ἀθηνᾶ καὶ Ποσειδῶν, τὴν Ἀθηνᾶν Διὸς δεηθῆναι ὑπὲρ αὐτῆς τὴν ψῆφον ἐνεγκεῖν, καὶ ὑποσχέσθαι ἀντὶ τούτου τὸ τοῦ Πολιέως ἱερὸν (lege ἱερεῖον) πρῶτον θύεσθαι ἐπὶ βωμοῦ.

[5] Καλεῖται] Adde τόπος.

[6] Κατὰ τρεῖς δὲ τρόπους τὸ σαφ.] Hæc, & quæ ſequuntur, apud Alexandrum Aphrod. in *Topica* me legiſſe memini; quamvis locus nunc non ſuccurrat.

[7] Παραχωρῆσαι] Wolfius recte monuit, legendum eſſe προχωρῆσαι.

[8] Τὸ καθόλου καὶ συγκεχ.] Vide Ariſtotel. *Phyſic.* lib. I. cap. I.

[9] Διοφάνης. οὗτος Μεγαλοπ.] Hæc, & quæ ſequuntur, leguntur apud Polybium in Excerptis a Valeſio editis pag. 110.

[10] Ἀριστοφάνης] *Eccleſiaz.* pag. 750.

Διωγκωμένον. πεφυσημένον.

Διῴδει. ἐφλέγμαινε.

Διῳδηκότα. ἐξωγκωμένον. Ὅσοι γὰρ ἐκ τῆς αὐτῆς σπορᾶς γεγόνασι, κάτω τὸν πόδα τὸν δεξιὸν ἔχουσι διῳδηκότα, καὶ βάδισιν ἀσθενῆ τε καὶ νωθῆ. καὶ διῳδηκὼς, ὁμοίως.

Διωθεῖτε. ἀποστρέφετε. καὶ διωθούμενοι. ἀνατρεπόμενοι. ἐκβαλλόμενοι.

Δίωκε ἀρετήν. ζήλου. ἐπιτήδευε.

Διώκειν. εἰς ἀγορὰν ἄγειν. τοῦτο λέγεται, ὅταν περιυποφύγῃ τις. τάττεται δὲ καὶ ἐπὶ τοῦ συντόνως ἐλαύνειν. καὶ διωκόμεθα, ἀντὶ τοῦ κατηγορούμεθα.

Διώκειν. ἀντὶ τοῦ ἄγειν εἰς κρίσιν, καὶ κατηγορεῖν. καὶ ἐπὶ τοῦ ἐπιθυμεῖν καὶ ὀρέγεσθαι. διώκειν γὰρ φαμὲν ἀρετήν. καὶ ἐπὶ τοῦ διελθεῖν. Αἱ δὲ νῆες ἐς φυγὴν καταστᾶσαι, πολλοὺς μετεδίωξαν τόπους. αἱ μὲν γὰρ εἰς Ἰόνιον κόλπον ἐξέπλευσαν· αἱ δὲ ἄλλῃ.

Διῳκίσατο. διεχώρισεν. ἀπ' ἀλλήλων ἐποίησε. Καὶ διῳκίσατο τοὺς ἀνθρώπους ἀπὸ Θεοῦ ἡ ἀνοσιότης. ὅστις δὲ δι' ἀρετῆς καὶ ὁσιότητος ἀπάγων ἑαυτὸν ἀπὸ τῶν ἀνθρωπίνων πραγμάτων καὶ σπουδασμάτων ἐπ' αὐτὸν τὸν Θεὸν, καὶ ζῶν τυγχάνει παρόντος, καὶ τελευτήσας μετῳκίσατο πρὸς αὐτόν.

Διῳκισμένος. γενικῇ. κεχωρισμένος.

Διώκω σε. ἐλαύνω σε. τὸ δὲ κατηγορῶ, γενικῇ. Ὁ γὰρ διώκων τοῦ ψηφίσματος.

Διωλύγιον. μέγα. καὶ παροιμία· [1] Διωλύγιον κακόν. ἐπὶ τῶν μέγα τι καὶ δεινὸν ὑφισταμένων. Διωλύγιον γάρ ἐστι τὸ μέγα καὶ ἐπὶ πολὺ διῆκον. [2] Οὕτω δυοπαλίζεις διωλύγιος φλυαρία. [3] Πλάτων δέ. καὶ Δαμάσκιος· Ταῦτα οὐ διωλύγιος φλυαρία δόξειεν ἂν εἶναι; καὶ δικαίως οὐ κατὰ γραῶν ὕθλον λεγόμενον, ἀλλὰ πέρα τοῦ μεγίστου φληνάφου.

Διωμοσία. ὅρκοι οἱ ὑπὸ τῶν δικαζομένων γινόμενοι· τοῦ μὲν ὀμνύντος, ὅτι παθὼν ἐγκαλεῖ· τοῦ δὲ ἄρα, ὅτι οὐκ ἐποίησε.

Διωμοσία, καὶ [4] ἀντωμοσία. ὅταν οἱ κατηγοροῦντες ὀμνύωσιν, ὡς ἀληθῶς κατηγοροῦσι, τοῦτο διωμοσία. ὅταν δὲ οἱ κατηγορούμενοι ὀμνύωσι τὸν αὐτὸν ὅρκον, διαλυόμενοι τὰ ἐγκλήματα, τοῦτο ἀντωμοσία.

Διώμοτος. [5] Διωμότους συνίστασθαι τοῖς διαφερομένοις ἐκέλευε τοὺς ῥήτορας. τουτέστι τοὺς συνηγόρους. † Ὅτι ὁ Σιμόκαττος ἐπὶ τοῦ ὅρκου ἐχρήσατο τῇ διωμοσίᾳ, λέγων· [6] Οἱ Μαυρούσιοι διωμοσίαν κατὰ τῶν Ῥωμαίων ἐποιήσαντο.

Διωγκωμένον. Inflatum. Tumens.

Διῴδει. Tumebat.

Διῳδηκότα. Tumentem. Inflatum. Tumidum. *Quotquot enim ab eadem origine procreati ſunt, inferne dextrum pedem tumidum habent, & greſſum infirmum & tardum.* Et διῳδηκώς. Inflatus. Tumidus.

Διωθεῖτε. Propellite. Avertite. Et διωθούμενοι. Repulſi. Ejecti.

Δίωκε ἀρετήν. Sectare virtutem. Stude virtuti. Virtutis ſtudio da operam.

Διώκειν. Aliquem in jus rapere. Vel, reum judicio perſequi. Dicitur etiam de eo, qui magna contentione aliquem perſequitur. Et διωκόμεθα, accuſamur.

Διώκειν. In judicium adducere, & accuſare. Item, concupiſcere, deſiderare, & optare. Dicimus enim διώκειν ἀρετήν: ſectari virtutem. Id eſt, deſiderare, optare, ejuſque conſequendæ deſiderio teneri. Item, tranſire. *Naves vero in fugam verſæ, per multa loca tranſiverunt. Aliæ enim in ſinum Ionium; aliæ vero alio enavigarunt.*

Διῳκίσατο. Disjunxit. Sejunxit. Alios ab aliis ſeparavit. *Et impietas homines a Deo diſjunxit. Quiſquis vero per virtutem & ſanctitatem a rebus & ſtudiis humanis ſeſe ad ipſum Deum convertit, & vivens præſentia ejus fruitur, & mortuus ad ipſum commigrat.*

Διῳκισμένος. Genitivo jungitur. Disjunctus.

Διώκω σε. Perſequor te. At cum ſignificat accuſo, genitivo jungitur. *Ille vero ob decretum eum accuſans.*

Διωλύγιον. Magnum. Ingens. Et proverbium: Διωλύγιον κακόν. Quod de iis dicitur, qui magnum aliquod & grave malum ſuſtinent. Διωλύγιον enim dicitur magnum, & quod longe penetrat. * * * * * Plato [dixit διωλύγιος φλυαρία: i. e. Nugæ maximæ.] Et Damaſcius: *Hæccine nugæ immanes eſſe videantur? Imo, non ſolum anilibus fabulis ſimilia ſunt, ſed maximam etiam futilitatem ſuperant.*

Διωμοσία. Jusjurandum de calumnia, quod a litigantibus juratur: quorum alter quidem jurat, ſe ab eo, quem accuſat, injuria affectum eſſe: alter vero negat, ſe id, [quod ipſi objicitur,] feciſſe.

Διωμοσία, & ἀντωμ. Cum actores jurant, ſe bona fide & non animo calumniandi alterum accuſare, id vocatur διωμοσία. Cum vero rei idem jusjurandum jurant, crimina diluentes, id vocatur ἀντωμοσία.

Διώμοτος. Juratus. *Oratores ligantium patrocinium juratos ſuſcipere juſſit.* † Simocatta voce διωμοσία pro jurejurando uſus eſt, cum dicit: *Mauruſii contra Romanos conjurarunt.*

---

[1] Διωλύγιον κακόν] Syneſius *de Providentia* pag. 106. Typhonis uxorem διωλύγιον κακὸν, id eſt, *immane malum* vocat. Vide etiam Parœmiographos.

[2] Οὕτω δυοπαλίζεις διωλ. φλ.] In fragmento hoc nil niſi tenebras cerno, quas aliis diſcutiendas relinquo.

[3] Πλάτων δέ] Plato in Theæteto pag. 122. διωλύγιος φλυαρία dixit: ad quem locus Suidas procul dubio reſpexit. Sed mirum eſt, cum ipſa verba Platonis non adduxiſſe, abſque quibus ſenſus hujus loci mutilus eſt, nec ſcias, quid Suidas hic ſibi velit.

[4] Ἀντωμοσία] Vide ſupra h. v.

[5] Διωμότους συνίστασθαι τοῖς διαφερομένοις ἐκέλ. τοὺς ῥήτ.] Hæc ſunt verba Procopii *Hiſt. Arcan.* cap. XXVI.

[6] Οἱ Μαυρούσιοι διωμοσίαν κατὰ τῶν Ῥωμ.] Ad oram Suidæ mei hic notaveram, *Ex Simocatt.* lib. VII. cap. VI. Sed ad Simocattam rediens, locum iſtum ibi non inveni: unde ſuſpicor, me in numero libri vel capitis erraſſe.

Δίων,[1] Ἱππαρίνου, Συρακούσιος, Φιλόσοφος Πλατωνικὸς, τοῦ Σικελίας τυράννου Διονυσίου τοῦ προτέρου τῆς γαμετῆς Ἀριστομάχης ἀδελφός· ὃς καὶ ἐκράτησε τῆς Σικελίας τυραννίδος, ἐκβαλὼν τὸν τοῦ προτέρου Διονυσίου υἱὸν Διονύσιον· οὗ πάλιν ἀδελφὸς Νισαῖος ἐξέβαλε Δίωνα τοῦτον. ἔγραψεν ἐπιστολὰς πρὸς Πλάτωνα, καὶ ἄλλους τινάς.

Δίων, ὁ[2] Κάσιος χρηματίσας, ὁ ἐπίκλην Κοκκήϊος· οἱ δὲ, Κοκκηϊανός· Νικαεὺς, ἱστορικὸς, γεγονὼς ἐπὶ τῶν χρόνων Ἀλεξάνδρου τοῦ Μαμαίας. ἔγραψε Ῥωμαϊκὴν ἱστορίαν ἐν βιβλίοις π΄. διαιροῦνται δὲ κατὰ δεκάδας. Περσικά. [3]Γετικά. Ἐνόδια. Τὰ κατὰ Τραϊανόν. Βίον Ἀρριανοῦ τοῦ Φιλοσόφου.

Δίων, ὁ Πασικράτους, Προυσαεὺς, σοφιστὴς, καὶ Φιλόσοφος· ὃν Χρυσόστομον ἐκάλεσαν.[4] ἀντεποιεῖτο δὲ σεμνότητος, ὡς καὶ λεοντῆν φοροῦντα προϊέναι. ἦν δὲ λεπτὸς τὸ σῶμα, καὶ διέτριψε τὸ πλεῖστον παρὰ Τραϊανῷ Καίσαρι, ὡς καὶ συγκαθέζεσθαι ἐν τῷ βασιλικῷ ὀχήματι.[5] ἔγραψεν, εἰ φθαρτὸς ὁ κόσμος. Ἐγκώμιον Ἡρακλέους, καὶ Πλάτωνος. Ὑπὲρ Ὁμήρου πρὸς Πλάτωνα δ΄. Περὶ τῶν Ἀλεξάνδρου ἀρετῶν, η΄.

Διώνασα. ὄνομα κύριον.

Διωναία.[6] ἡ Ἀφροδίτη. καὶ Διώνη. ἡ αὐτή.

Διώνυμον. περιβόητον. ὀνομαστόν. περίφημον. Διώνυμοι ἐν τοῖς Ἕλλησι. † [7] Διώνυμοι κόλακες περιηχοῦσιν ἡμᾶς, Κλείσοφοί τε, καὶ Στρουθίαι, καὶ Θήρωνες, καὶ οἱ περὶ τὴν Διονυσίου βομβοῦντες τράπεζαν, καὶ οἱ περὶ τὴν δαῖτα Ἀλεξάνδρου μεμηνότες.

Διωξικέλευθα[8] κέντρα.

Διώξιππος, Ἀθηναῖος, κωμικός. δράματα αὐτοῦ,[9] Ἀντιπορνοβοσκὸς, Φιλάργυρος, Ἱστοριογράφος, Διαδικαζόμενοι.

Διώξομαί σε δειλίας. ἀντὶ τοῦ κατηγορήσω σου. Ἐς δικαστὰς αὐτὸν ἀγαγόντες, ἐδίωξαν κατηγορήσαντα τυραννίδος.

Διώρης. ὄνομα κύριον.

Διωρία.[10] ἀνακωχή. Δόξαν δ' ἐπανεῖναι τὴν πολιορκίαν, καὶ διωρίαν βουλῆς τοῖς στασιασταῖς παρασχεῖν.

Δίων. Dion, Hipparini filius, Syracuſanus, Philoſophus Platonicus, Ariſtomachæ, uxoris Dionyſii prioris, Siciliæ tyranni, frater, qui Siciliæ tyrannide potitus eſt, ejecto Dionyſio, Dionyſii prioris filio; cujus frater Niſæus viciſſim hunc Dionem ejecit. Scripſit epiſtolas ad Platonem, & alios quoſdam.

Δίων ὁ Κάσιος. Dion, Caſſius vulgo dictus, cognomento Coccejus, vel, ut alii, Coccejanus, Nicenus, Hiſtoricus: qui vixit temporibus Alexandri Mammææ filii. Scripſit hiſtoriæ Romanæ libros LXXX. qui in Decades diſtributi ſunt. Item, Perſica: Getica: Enodia: Res a Trajano geſtas: Vitam Arriani Philoſophi.

Δίων. Dion, Paſicratis filius, Pruſaenſis, Sophiſta, & Philoſophus: quem Chryſoſtomum appellarunt. Hic gravitatem adeo affectabat, ut & leonina pelle indutus prodiret. Corpore fuit tenui & gracili, maximamque ætatis partem apud Trajanum Imperatorem exegit, ut etiam in curru imperatorio cum eo ſederet. Scripſit, An mundus interire poſſit. Encomium Herculis & Platonis. Pro Homero adverſus Platonem libros quatuor. De Alexandri virtutibus libros VIII.

Διώνασα. Dionaſa. Nomen proprium.

Διωναία. Dionæa. Venus. Eadem & Dione vocatur.

Διώνυμον. Celebrem. Clarum. Famoſum. *Celebres inter Græcos.* † *Celebres aſſentatores nos circumſonant, Cliſophi, Struthiæ, & Therones, & illi, qui Dionyſii menſam circumſtrepunt, & circa epulas Alexandri inſaniunt.*

Διωξικέλευθα κέντρα. Stimuli, vel calcaria, quibus equus ad curſum incitatur.

Διώξιππος. Dioxippus, Athenienſis, Comicus. Ejus fabulæ ſunt, *Antipornoboſcus, Philargyrus, Hiſtoriographus, Litigantes.*

Διώξομαί σε δειλίας. Timiditatis te accuſabo. *Ad judices adductum accuſarunt, quod in tyrannidem invectus fuiſſet.*

Διώρης. Diores. Nomen proprium.

Διωρία. Induciæ. Intermiſſio. Temporis intervallum. *Cum autem obſidionem remittere viſum fuiſſet, & ſpatium deliberandi ſeditioſis præbere.*

---

[1] Δίων] Hujus Dionis vitam prolixe deſcribit Plutarchus, quem vide.

[2] Δίων, ὁ Κάσιος χρ.] De eo vide Voſſium *de Hiſt Gr.* lib. II. cap XV.

[3] Γετικά] Imo Dionem Caſſium cum Dione Chryſoſtomo Suidas hic confudit. Poſteriori enim *Getica* tribuenda eſſe diſcimus ex Philoſtrato, qui lib. II. *de Vit. Soph.* pag. 491. expreſſe refert, Dionem Chryſoſtomum de iſto argumento ſcripſiſſe.

[4] Ἀντεποιεῖτο δὲ σεμνότητος, ὡς καὶ λεοντῆν φορ. πρ.] Idem teſtatur Photius in *Bibliotheca*, Cod. CCIX. ubi plura de hoc Dione legere licet.

[5] Ἔγραψεν] Mirum eſt, Suidam hic nullam mentionem facere orationum, quas Dio ſcripſit: quarum argumenta recenſet Photius loco laudato. Cæterum a Dionibus, quos Suidas hic recenſet, diverſus fuiſſe videtur ille, quem noſter infra v. Οὐδὲ Ἡρακλῆς citat ἐν δευτέρῳ τῆς δευτέρας συντάξεως; & Scholiaſta Nicandri pag. 29. ἐν τῷ πρώτῳ τῆς τρίτης συντάξεως.

[6] Διωναία. ἡ Ἀφροδ.] Epithetum hoc Veneri procul dubio tributum fuit a Διωνία, quæ erat urbs Cypri, teſte Stephano Byzantio.

[7] Διώνυμοι κόλακες περιηχ.] Fragmentum hoc ampliabis ex ipſo Suida infra v. Κλείσοφος.

[8] Διωξικέλευθα κέντρα] Ex Anthol. lib. VI. cap. 2. Epigr. 1. Vide etiam infra v. Κημός.

[9] Ἀντιπορνοβοσκὸς, Φιλ.] Harum fabularum, excepta ultima, meminit Athenæus.

[10] Διωρία] Vide ſupra v. Διορία: ubi oblitus ſum monere, Phrynichum τὸ διορία pro προθεσμία prorſus damnare. Verba ejus hæc ſunt: Διωρία (ſcribe διορία, per ο) ἐσχάτως ἀδόκιμον. ἀντ' αὐτοῦ δὲ προθεσμίαν ἐρεῖς.

Διώροφον. τὸ οἴκημα τὸ δύο ἔχον στέγας.

Διώρυξ,[1] διώρυγος.

Διωρυχή. διάνοιξις τοίχων, ἢ χωμάτων. Διορυγὴ δὲ, ἡ ὄρυξις.

Διωσόμεθα. ἀπωσόμεθα, καὶ ἀποπεμψόμεθα.

Διωστῆρσιν. ἀναφορεῦσι τοῖς ἀναβαστάζουσι.

Δίπαλτος. ἀμφοτέραις ταῖς χερσίν. οἷον[2] περιδεξίοις. παντὶ σθένει. [3] Σοφοκλῆς· Πᾶς δὲ στρατὸς δίπαλτος ἄν με χειρὶ φονεύοι. ἢ οὕτως· Ὁ στρατός με φονεύοι, λαβὼν τὰ δίπαλτα δόρατα.

Διπλασιάσαι.[4] διχῶς λέγεται. ἢ γὰρ τὸν τόπον, ἐν ᾧ ἡ φάλαγξ, μένοντος τοῦ πλήθους τῶν ἀνδρῶν· ἢ τὸν ἀριθμὸν αὐτόν. γίνεται δὲ ἑκάτερον διχῶς. ἢ κατὰ λόχους, ἢ κατὰ ζυγά. ταυτὸν δὲ εἰπεῖν, κατὰ μῆκος ἢ κατὰ βάθος. κατὰ μῆκος μὲν οὖν γίνεται διπλασιασμὸς ἀνδρῶν, ὅταν μεταξὺ τῶν προϋπαρχόντων λόχων παρεμβάλωμεν, ἢ [5] παρεμπλέκωμεν ἄλλους αὐτοῖς ἀριθμοὺς, τὸ μῆκος φυλάττοντες τὸ αὐτὸ τῆς φάλαγγος. ὥστε πύκνωσιν γενέσθαι μόνον ἐκ τῆς τῶν ἀνδρῶν διπλασιάσεως. κατὰ βάθος δὲ, ὅταν μεταξὺ τῶν προϋπαρχόντων ζυγῶν παρεμβάλωμεν, ἢ παρεμπλέκωμεν ἄλλα αὐτοῖς ἰσάριθμα· ὥστε κατὰ βάθος πύκνωσιν εἶναι μόνον. κατὰ μῆκος δὲ τόπου γίνεται διπλασιασμὸς, ὅταν τὴν προειρημένην κατὰ μῆκος πύκνωσιν μανότητι μετατάττωμεν· ἢ οἱ παρενταθέντες ἐξελίξωσι κατὰ βάθος. ἔνιοι δὲ τοὺς τοιούτους ἀποδοκιμάζουσι· καὶ μάλιστα, ἐγγὺς ὄντων τῶν πολεμίων. ἐφ' ἑκάτερα δὲ τῶν κεράτων τοὺς [6] ψιλοὺς καὶ [7] τοὺς ἵππους ἐπεκτείναντες, τὴν ὄψιν τοῦ διπλασιασμοῦ χωρὶς ταραχῆς τῆς φάλαγγος ἀποδιδόασι.

Διπλαῖ. τὸ θηλυκὸν πληθυντικόν. ὅτι τὸ ἁπλᾶ, καὶ διπλᾶ, καὶ πολλαπλᾶ, καὶ πάντα τὰ τοιαῦτα περισπῶσιν οἱ Ἀττικοί. ἀργυρᾶ, χρυσᾶ, κεραμεᾶ· ἀπὸ τοῦ κεραμεοῦν· καὶ φοινικᾶ, ἀπὸ τοῦ φοινικοῦν.

Διπλόη. ἡ ἀπάτη.

Διπλόη. ἡ ἔξωθεν ἀρετὴ φαινομένη· ἔσωθεν δὲ γέμουσα κακίας. καὶ οἱ φιλίαν μὲν ὑπισχνούμενοι, προϊέμενοι δὲ αὐτὸν τοῖς πολεμίοις. Πισίδης·

Ἐπέσχεν ὑμῶν τὴν βολὴν ὑπηγμένην
Ἡ τοῦ χιτῶνος ἐμπεσοῦσα διπλόη.

τάττεται δὲ ἡ λέξις καὶ ἐπὶ τῶν σκολιῶν τοὺς τρόπους.

Διπλοῦν κάππα. ἀντὶ τοῦ διπλοῦν κακόν. καὶ, Τρία κάππα κάκιστα· Καππαδοκία, Κρήτη, καὶ Κιλικία.

Διποδία.[8] εἶδος ὀρχήσεως. Ἀριστοφάνης·

Διώροφος. Domus geminum tectum habens.

Διώρυξ. Foſſa.

Διωρυχή. Perfoſſio parietum & aggerum. Διορυγὴ vero, foſſio.

Διωσόμεθα. Repellemus, & amandabimus.

Διωστῆρσιν, Vectibus, quibus aliquid portamus.

Δίπαλτος. Ambabus manibus. Vel, dextre & prompte. Totis viribus. Sophocles: *Totus exercitus utraque manu tela conjiciens me interficiet*. Vel ſic: Exercitus me interficiet, correptis haſtis, quæ utraque manu vibrantur.

Διπλασιάσαι. Conduplicare. Bifariam dicitur: aut locum, in quo eſt phalanx, manente virorum eadem multitudine; aut ipſum numerum. Fit autem utrumque bifariam; vel manipulatim, vel jugatim: id eſt, vel ſecundum longitudinem, vel ſecundum latitudinem. Ac ſecundum longitudinem fit conduplicatio virorum, cum inter eos manipulos, qui adſunt, interſeruerimus aut implicuerimus alios numeros, eadem ſervata phalangis longitudine, ut ex iſta virorum conduplicatione denſitas tantum aciei accedat. Secundum profunditatem vero, cum inter priora juga interſeruerimus aut implicuerimus alia numero eis paria, ut in profunditate modo ſit denſitas. In longitudine vero fit conduplicatio loci, cum ſupra dictam in longitudine denſitatem raritate transferimus: aut cum ii, qui interſiti ſunt, ſecundum profunditatem ſe explicant. Nonnulli vero hos improbant, præſertim vicinis hoſtibus. In utroque autem cornu velitibus & equitibus extenſis, conſpectum conduplicationis abſque perturbatione phalangis efficiunt. *Wolf.*

Διπλαῖ. Fœmininum pluralis numeri. Duplices. Hæc autem nomina ἁπλᾶ, διπλᾶ, πολλαπλᾶ, & omnia hujus generis, Attici circumflectunt. Sic & ἀργυρᾶ, χρυσᾶ, κεραμεᾶ, a κεραμεοῦν; & φοινικᾶ, a φοινικοῦν.

Διπλόη. Fraus.

Διπλόη. Virtus, quæ extrinſecus quidem ita apparet: ſed intrinſecus vitiis referta eſt. Dicitur etiam hæc vox de illis, qui ſe amicos quidem aliorum fore pollicentur, ſed tamen hoſtibus eos produnt. Piſides: *Teli veſtri clam in me contorti ictum repreſſit oppoſita veſtis duplicata.* Idem vocabulum etiam dicitur de iis, qui non ſunt moribus ſimplicibus & apertis, ſed doloſis.

Διπλοῦν κάππα. Duplex cappa. Id eſt, duplex malum. Et, Tria cappa peſſima. Cappadocia, Creta, & Cilicia.

Διποδία. Genus ſaltationis. Ariſtophanes:

---

[1] Διώρυξ, διώρυγος] Phrynichus: Διώρυγος, διώρυγα, διὰ τοῦ γ' κακῶς. οἱ γὰρ ἀρχαῖοι ταῦτα διὰ τοῦ χ λέγουσι, διώρυχος, διώρυχα.

[2] Περιδεξίοις] Lege περιδεξίως, ut apud Scholiaſtam Sophoclis ad *Ajacem* pag. 25. unde Suidas hæc deſcripſit.

[3] Σοφοκλῆς] In *Ajace* pag. 25. ut Portus obſervavit.

[4] Διπλασιάσαι. διχῶς λ.] Vide Æliani *Tactica* cap. XXVIII. XXIX. Cæterum, verſionem Wolfii in hoc articulo retinui, iis tantum in locis interpolatam & mutatam, ubi & textum Græcum mutavi.

[5] Παρεμπλέκωμεν] Sic habet MS. Pariſ. A. At priores Editt. minus recte περιεμπλέκωμεν.

[6] Ψιλοὺς] Sic recte 2 MSS. Pariſ. At priores Editt. male, πολεμίους. Vide Arcerium in notis ad Æliani *Tactica* cap. XXVIII.

[7] Τοὺς ἵππους] Potius, τοὺς ἱππέας

[8] Διποδία] In prioribus Editt. non ſolum male excuſum eſt διαποδία; ſed etiam totus hic articulus alieno loco inter Διοικεῖν & Διτάλαντον legitur, unde eum in ſedem hanc retraxi, quam duo

Ἵν' ἐγὼ ¹διποδιέξω γε, κἀείσω καλὸν
Ἐς τὼς Ἀσαναίως τε καὶ ἡμᾶς ἅμα.

ἀντὶ τοῦ Ἀθηναίους.

Διπτύχια.² δύο περιβόλαια ἔχοντα· ὡς τὸ μὲν ὑπεστρῶσθαι, τὸ δὲ ἕτερον ὑποβεβλῆσθαι.

Δίπυρος ἄρτος. ὁ παρὰ Ῥωμαίοις λεγόμενος παξαμᾶς.³ Σισύρας⁴ ἐπὶ τῶν ὤμων φέροντες, ἐν αἷς δὴ ἄλλο οὐδὲν, ὅτι μὴ διπύρους ἄρτους οἴκοθεν ἐμβεβλημένοι ἀφίκοντο.

Δίρκη. ἡ πηγή. καὶ κύριον ὄνομα. καὶ ἔστιν ἐν τῷ Ἀντιόπη.

Δὶς ἑπτὰ πληγαῖς ⁵πολύπους πιλούμενος. ἐπὶ τῶν κολάσεως ἀξίων. παρόσον ὁ πολύπους θηρευθεὶς τύπτεται πολλάκις πρὸς τὸ πίων γενέσθαι. καὶ ἑτέρα παροιμία· Δὶς καὶ τρὶς τὸ καλόν. οὕτω χρὴ τὸ καλὸν πολλάκις λέγειν. καὶ, Δὶς παῖδες οἱ γέροντες. ἐπὶ τῶν πρὸς τὸ γῆρας εὐηθεστέρων εἶναι δοκούντων. καὶ,

Δὶς ⁶πρὸς τὸν αὐτὸν αἰσχρὸν προσκρούειν λίθον.

ἐπὶ τῶν ἐκ δευτέρου τοῖς ἀτοπήμασι περιπιπτόντων.

Δισκεύων. ἐκδεχόμενος. ἢ κυλίων. καὶ ἐν Ἐπιγράμματι· Καὶ νῦν δίσκος ἐμοὶ κρόταλον.

Δίσκος. ὁ ⁷σόλος.

Διτάλαντον. Καταστήσαντες διτάλαντον πετροβόλον, τὰ μὲν κατέβαλλον τῶν τειχῶν, τὰ δὲ διέσειον.

Δὶς κράμβη θάνατος.

Διοιγνύντες. ἀνοίγοντες.

Διοιδούντων. ἐκφυσώντων.

Διοιδοῦσα. ἀντὶ τοῦ ὀγκουμένη.

Διοικεῖν. ἀντὶ τοῦ διαιρῆσθαι· ὥστε μὴ ἐν ταυτῷ πάντας οἰκεῖν, ἀλλὰ χωρὶς, καὶ κατὰ μόνας.

Διοικίζω. τὸ διαχωρίζω. καὶ διοικίζεσθαι. χωρίζεσθαι. διοικῶ δὲ, τὸ τελειῶ.

Διοιμώζειν.

Διοίσασα. διαπεράσασα.

Διοίσεται. διαφορὰν ἕξει.

Διοίσεται· ⁸Σοφοκλῆς·

Τροφῆς στερηθεὶς σοῦ διοίσεται μόνος.

ἀντὶ τοῦ, διάξει, βιώσεται.

Διοίσειν. διαφέρειν, ἢ διαφορὰν ἔχειν. ⁹Πίστεις τε ἔδοσαν, ὡς καὶ προθύμως σφίσι τὸν πόλεμον διοίσαντες. ἀντὶ τοῦ συνδιενεγκόντες. † Τὸν πίθον οὔτ' ἐπει-

Ut ego ſaltem, & pulchrum in Athenienſes & nos ſimul carmen canam. Ἀσαναίως enim hic [Dorice] dictum eſt pro Ἀθηναίως.

Διπτύχια. Duplicem veſtem ſtragulam habentia: ita ut altera ſit ſubſtrata, altera vero ſuperſtrata.

Δίπυρος ἄρτος. Panis bis coctus: qui apud Romanos Paxamas vocatur. *Pelles humeris portantes, in quibus nihil aliud quam panes bis coctos domo diſcedentes ſecum tulerant.*

Δίρκη. Dirce. Fons. Item nomen proprium. Vide in voce Ἀντιόπη.

Δὶς ἑπτὰ πλ. *Bis ſeptem plagis polypus contuſus.* De iis dicitur, qui pœna digni ſunt. Polypus enim captus ſæpe cæditur, ut pinguis fiat. Et aliud proverbium: *Bis & ter, quod pulchrum eſt.* Oportet enim id, quod pulchrum eſt, ſæpe iterare. Et, *Senes bis pueri.* Dicitur de iis, qui ob ſenectutem ſimpliciores eſſe videntur. Et, *Bis ad eundem lapidem impingere turpe eſt.* De iis, qui in eoſdem errores iterum incidunt.

Δισκεύων. Diſco ludens. Vel, volvens. Et in Epigrammate. *Et nunc diſcus mihi eſt crepitaculum.*

Δίσκος. Diſcus. Globus ferreus.

Διτάλαντον. Duorum talentorum pondus habens. *Cum autem catapultam, duorum talentorum ſaxa jaculantem, [eo loco] conſtituiſſent, muros partim proſtraverunt, partim vero concuſſerunt.*

Δὶς κράμβη. Crambe bis [cocta] mors eſt.

Διοιγνύντες. Aperientes.

Διοιδούντων. Inflatorum. Tumidorum.

Διοιδοῦσα. Tumens. Inflata. Tumida.

Διοικεῖν. Disjuncturum eſſe: ita ut non in eodem loco omnes habitent, ſed ſeparatim & ſingulatim.

Διοικίζω. Disjungo. Separo. Et διοικίζεσθαι. Disjungi. Separari. Διοικῶ vero, perficio. [Adminiſtro.]

Διοιμώζειν. Lamentari.

Διοίσασα. Quæ trajecit.

Διοίσεται. Differet.

Διοίσεται. Vivet. Deget. Sophocles: *Te nutritio orbatus ſolus vitam deget.*

Διοίσειν. Differre. Diverſum eſſe. [Item, tolerare, ſuſtinere.] *Et fidem dederunt, ut qui prompte & alacriter cum ipſis bellum ſuſtinuiſ-*

MSS. recte ei aſſignant. Pro διαποδία autem ſcribendum eſſe διποδία, non ſolum probatur auctoritate MStorum, itemque Pollucis & Heſychii: ſed idem etiam patet ex verbo διποδιάζω, quod inde formatum legitur apud Ariſtophanem *Lyſiſtrata* pag. 910. (569. Ed. Baſ. P.)

[1] Διποδιέξω] Lege διποδιάξω, ut apud Ariſtophanem loco laudato.

[2] Διπτύχια] Legendum potius δίπτυχα, ut habet Heſychius. Et deinde ἐπιβεβλῆσθαι pro ὑποβεβλῆσθαι.

[3] Παξαμᾶς] Vide de hac voce Dufrenium in Gloſſario Græco.

[4] Σισύρας ἐπὶ τῶν ὤμων φέροντ.] Fragmentum hoc legitur apud Procopium *Hiſt. Arc.* cap. VI. idemque repetitur infra v. Σισύρα.

[5] Πολύπους] Metri gratia ſcribendum eſt πουλύπους.

[6] Δὶς πρὸς τὸν αὐτ.] Senarius hic in legem metri peccat, quem præeunte Scaligero in Collectione proverbiorum ſic legerim:

Δὶς πρὸς τὸν αὐτὸν αἰσχρὸν ἐγκρούειν λίθον.

[7] Ὁ σόλος] Editt. Baſil. & Genev. inepte habent ὁ πόλος.

[8] Σοφοκλῆς] *Ajace*, pag. 31. ut Portus monuit.

[9] Πίστεις τε ἔδοσαν] In hoc exemplo, & eo, quod proxime ſequitur, τὸ διαφέρειν, vel διοίσειν, nihil facit ad ſignificationem illam, quam Suidas ei hic tribuit. Quare ſuſpicor, duo iſta loca non eſſe ab ipſo Suida, ſed ab alio, qui ea primum ad oram libri annotaverat: unde poſtea in textum irrepſiſſe videntur. Tolle enim iſta, & ſuccedet ῥῆσις hæc, Οὐδὲν διοίσεις Χαιρ. in qua τὸ διοίσειν ex mente Suidæ *differre* ſignificat. Sane, exploratum nobis eſt, Suidam eo, quo diximus, modo, ſæpiſſime interpolatum eſſe, eamque eſſe rationem, quare ῥήσεις ex auctoribus excerptæ tot in locis Lexici hujus a mente & interpretatione Suidæ diſcrepent.

χὲς διοίσειν, ὅτι ἀσφαλὲς καινὸν ὄντα. ἀντὶ τοῦ ἀνοῖξαι. καὶ παροιμία·

Οὐδὲν [1] διοίσεις Χαιρεφῶντος τὴν φύσιν.

ἐπὶ τῶν ὠχρῶν καὶ ἰσχνῶν. ἐπεὶ τοιοῦτος ὁ Χαιρεφῶν τὴν φύσιν καὶ τὴν ἰδέαν, ἅτε σοφίᾳ [2] συντετηκώς. ὅθεν καὶ νυκτερὶς ἐκαλεῖτο. καὶ [3] Ἀριστοφάνης·

— Οὐδὲν διοίσοντ' ἄντικρυς
Τῶν Ἡρακλειδῶν, οὐδ' ὁτιοῦν τοῦ Παμφίλου.

οὗτος τραγῳδοποιὸς ἐγένετο, καὶ ἔγραψε τὰ συμβάντα τοῖς Ἡρακλείδαις.

Διοίσομαι. ἀμφιβαλῶ. Οὐ μὴν κατὰ τοῦτο διοίσομαι οὐδέν.

Δίυγρος. ὁ ἀσθενής.

Διΰλισις. [4] ἡ διήθησις.

Διϋπνίζω. ἐξανιστῶ. καὶ διύπνισεν, ἐξύπνισεν.

Διφαλαγγία [5] ἀντίστομος. ἥτις μὲν ἡγεμόνας ἔχει μέσους τεταγμένους· τοὺς δὲ οὐραγοὺς ἔξω ἔχουσα ἐξ ἑκατέρων τῶν μερῶν ἐν παραγωγαῖς τεταγμένους, οὓς μὲν ἐν δεξιᾷ, οὓς δὲ ἐν εὐωνύμῳ. τοὺς δὲ οὐραγοὺς ἐν μέσῳ τεταγμένους. καὶ διφαλαγγίαι, αἱ δύο φαλαγγαρχίαι· ἄνδρες ὀκτακισχίλιοι ἑκατὸν ἐνενήκοντα δύο. τοῦτο δὲ καὶ μέρος ὑπ' ἐνίων καλεῖται. ἀλλὰ καὶ κέρας. καὶ ὁ ἡγούμενος, κεράρχης.

Διφασία. ἡ [6] διχονολογία, καὶ διχονοσύνη.

Διφάσια. [7] Ἐν τοῖσι τρώματα μεγάλα διφάσια Μιλησίων ἐγένετο, ἔν τε Λιμενείῳ χώρης τῆς σφετέρης μαχεσαμένων, καὶ ἐν Μαιάνδρου πεδίῳ.

Διφθέρα. ποιμενικὸν περιβόλαιον ἐκ δερμάτων. † Ὅτι [8] ἀσκώματα λέγεται τὰ ἐν ταῖς κώπαις σκεπαστήρια ἐκ δερμάτων, οἷς χρῶνται ἐν ταῖς τριήρεσι, καθ' ὃ τρῆμα ἡ κώπη βάλλεται. εἰς διφθέρας γὰρ τὰς διανοίας ἑαυτοῦ γράψας ὁ [9] Θωρακίων, ἔπεμπε τοῖς πολεμίοις ἐν τῇ Λακωνικῇ.

Διφρεία. ἡ τοῦ ἅρματος περιφέρεια.

Διφρηλατῶν. [10] Σοφοκλῆς·

Σὺ δ' ὦ τὸν αἰπὺν οὐρανὸν διφρηλατῶν
Ἥλιε, πατρῴαν τὴν ἐμὴν ὅταν χθόνα
Ἴδῃς, ἐπισχὼν χρυσόνωτον ἡνίαν,
Ἄγγειλον ἄτας τὰς ἐμὰς, μόρον τ' ἐμόν.

ὁ Αἴας φησί. καὶ διφρηλάτης.

Διφρίσκος. [11] τὸ σκεῦος, ἐν ᾧ ἐφεστῶτες οἱ ἡνίοχοι ἐλαύνουσιν. ὑποκοριστικῶς δὲ εἶπε, διὰ τὸ κούφους εἶναι καὶ μικροὺς τοὺς ἀγωνιστικούς.

ſent. † *Nec æquum eſt, nec tutum, dolium novum aperire.* Διοίσειν enim hic poſitum eſt pro ἀνοῖξαι. Et proverbium: *Specie oris & corporis nihil a Chærephonte differes.* Dicitur de hominibus pallidis & macilentis. Tali enim corpore & vultu erat Chærephon, ut qui ſtudio philoſophiæ impalluiſſet. Unde etiam *Veſpertilio* appellabatur. Et iterum Ariſtophanes: *Qui nihil prorſus differt ab Heraclidis Pamphili.* Hic fuit poeta Tragicus, & de Heraclidis eorumque fatis fabulam ſcripſit.

Διοίσομαι. Ambigam. Dubitabo. *Haud tamen hac de re ullo modo dubitabo.*

Δίυγρος. [Humidus. Mollis.] Infirmus.

Διΰλισις. Percolatio.

Διϋπνίζω. Ex ſomno excito. Expergefacio. Et διύπνισεν. Expergefecit. Excitavit.

Διφαλαγγία ἀντ. Phalanx duplex, frontem fronti oppoſitam habens. Hæc cum inſtruitur, duces in medio collocantur; tergiductores vero extrinſecus ab utraque aciei obliquæ parte: alii quidem ad dextram, alii vero ad ſiniſtram. Et διφαλαγγίαι ſunt duæ phalangarchiæ, ſive viri 8192. Idem autem & μέρος a quibuſdam appellatur; ut & κέρας: ejuſque dux κεράρχης.

Διφασία. Sermo duplex, & ſecum non conſentiens.

Διφάσια. Gemina. Bina. [Herodotus:] *Quibus annis Mileſii binas magnas clades acceperunt, prælio & in Limenio, regionis ſuæ loco, & in Mæandri planitie commiſſo.*

Διφθέρα. Pellicea paſtorum veſtis. † Ἀσκώματα vocantur remorum tegumenta ex pellibus confecta, quibus [nautæ] utuntur in eo foramine, cui remus inſeritur. Thorycion enim conſilia ſua in pellibus ſcripta cum hoſtibus in Laconia communicabat.

Διφρεία. Aurigatio.

Διφρηλατῶν. Currum agitans. Curru invectus. Sophocles: *Tu vero, qui per altum cælum currum agis, Sol, cum patriam meam aſpexeris, aureo fræno inhibens equos, infelix fatum meum annuntia.* Sic Ajax inquit. Et διφρηλάτης, auriga.

Διφρίσκος. Locus in curru, ubi aurigæ ſtantes aurigantur. Diminutive vero [διφρίσκος] dixit, quia currus, quibus ad certamina utuntur, ſunt leves & parvi.

---

[1] Οὐδὲν διοίσεις Χαιρ.] Senarius hic legitur apud Ariſtophanem *Nubibus*, pag. 155. (88. Ed. Baſ. *P.*) Vide etiam infra v. Χαιρεφῶν.

[2] Συντετηκώς] Apud Scholiaſtam ad modo indicatum locum Comici hodie male legitur συνεστηκώς.

[3] Ἀριστοφάνης] *Pluto* pag. 41. (22. Ed. Baſ. P.)

[4] Διΰλισις] Sic recte MS. Pariſ. A. At priores Editt. male διΰλησις, per η.

[5] Διφαλαγγία ἀντίστομος] Confer omnino Ælianum in *Tacticis* cap. XL. ubi Lectori ſchema διφαλαγγίας ἀντιστόμου exhibetur. Notandum autem eſt, pro διφαλαγγία ἀμφίστομος ibi legendum eſſe διφαλ. ἀντίστομος, ut hic apud Suidam.

[6] Διχονολογία] Scribe διλογία: ut recte habet Heſychius. Sequens vero vox διχονοσύνη prorſus inducenda eſt, quoniam eam ineptus aliquis ſciolus adjecit, qui non videbat, præcedens διχονολογία corruptum eſſe.

[7] Ἐν τοῖσι τρώματα μεγάλα διφ.] Fragmentum hoc legitur apud Herodotum lib. 1. pag. 5. ut Portus obſervavit.

[8] Ὅτι ἀσκώματα λέγεται τὰ ἐν ταῖς κώπ.] Hæc, & quæ ſequuntur, ſunt verba Scholiaſtæ Ariſtophanis ad *Ranas* pag. 230. eademque leguntur ſupra v. Ἀσκώματα. Vide etiam Enarratorem ad *Acharnenſ.* pag. 376.

[9] Θωρακίων] Sic habet MS. Pariſ. A. a quo leviter diſcrepat Ariſtophanes, apud quem *Ranis* pag. 230. idem vocatur Θωρυκίων. Priores vero Editt. male habent Ἑρμίων.

[10] Σοφοκλῆς] *Ajace* pag. 51. ut Portus monuit.

[11] Διφρίσκος. τὸ σκεῦος, ἐν ᾧ ἐφεσ.] Ex Scholiaſta Ariſtophanis ad *Nubes* pag. 124. (60. Ed. Baſ. *P.*)

Δίφρον. σελλίον. ἅρμα. ἢ καθιστήριον. καὶ διφρηφόρος, ἡ τὸ σελλίον βαστάζουσα. [1] Ἀριστοφάνης· Δίφρον διφροφόρος. ταῖς γὰρ κανηφόροις σκιάδειον καὶ δίφρον ἠκολούθει τις ἔχουσα. καὶ διφροφορουμένους, φορείοις φερομένους.

Διφροφόροι. Στράττις ἐν Ἀταλάνταις. [2] Ἡρόδοτος· Διφροφορουμένους παρὰ Πέρσαις. Φορείοις φερομένους. † Καὶ τεθέντος αὐτῷ δίφρου τινὸς, ἰζήσας, κήρυκας διεπέμπετο, τοὺς ἐν τῷ τείχει σφᾶς ἐκδιδόναι παραινῶν.

Δίφρος. καὶ τὸ ἅρμα. παρὰ τὸ δύο φέρειν· τὸν παραβάτην, καὶ τὸν ἡνίοχον. ἐξ οὗ καὶ διφρηλάτης.

Διφυᾶ. δύο φύσεις ἔχοντα.

Διφῶν. ζητῶν. ἐρευνῶν.

Δίχα. διχῶς.

Διχαζούσης. κλινούσης. Ἤδη δὲ τοῦ καύματος ἀκμάζοντος, καὶ διχαζούσης τῆς ἡμέρας.

Διχῆ. διχῶς.

Δίχηλα ζῶα. βοῦς, ἔλαφος, δορκὼν· οἷς συμβέβηκεν ἐν τοῖς ὀπισθίοις ποσὶν ἀστραγάλους ἔχειν.

Διχομηνία. τοῦ μηνὸς τὸ ἥμισυ. καὶ διχομηνιαία, πεντεκαιδεκαταία τοῦ μηνὸς, ἢ τῆς σελήνης.

Διχόθεν. ἀπὸ τῶν δύο μερῶν.

Διχοτομία[3] φάλαγγος. ἡ εἰς δύο ἴσα τομή. ταύτης δὲ τὰ μέρη καλεῖται κέρατα· ὧν τὸ μὲν εὐώνυμον κέρας λέγεται καὶ οὐρά· τὸ δὲ ἕτερον, δεξιὸν κέρας, καὶ κεφαλὴ, καὶ δεξιὸν ἀκρωτήριον, καὶ δεξιὰ ἀρχή. ἄραγος, καὶ ὀμφαλὸς, καὶ συνοχὴ, φράγμα, ὡς ἔνιοι, καὶ στόμα, ὡς ἕτεροι, ἡ διχοτομία καλεῖται.

Δίψα. τῷ δίψει, καὶ τὸ δίψος, καταχρηστικώτερον εὑρίσκεται, ὅπερ ἡ δίψα. δίψη δὲ τότε γράφεται διὰ τοῦ η, ὅταν ἔχῃ ἐπαγόμενον θηλυκὸν ἐπισημαῖνον αὐτό. ὡς ἂν δίψῃ τῇ ἐπιγινομένῃ. εἰ δὲ μὴ οὕτως εἴη, διὰ διφθόγγου τῷ δίψει.

Διψάς. εἶδος ὄφεως. ἔστι δὲ ἔχεως ὀλιγωτέρα, ἀποκτεῖναι δὲ ὀξυτέρα. οἱ δὲ δηχθέντες ἐξ αὐτῆς, ἐξάπτονται εἰς δίψος, ὥστε ῥήγνυσθαι. λευκὴ δέ ἐστι, καὶ ἔχει ἐν τῇ οὐρᾷ γραμμὰς β'. πρηστῆρα δὲ αὐτήν τινες καλοῦσιν. καύσωνα δὲ ἄλλοι. γίνεται δὲ ἐν Λιβύῃ καὶ Ἀραβίᾳ μᾶλλον. καλοῦσι δὲ αὐτὴν καὶ μελάνουρον, καὶ ἀμμοάτιν, καὶ κεντρίδα.

Διψῶ.[4] αἰτιατικῇ. τὸ ἐπιθυμῶ. Θεῷ γὰρ βούλομαι ἀρέσκειν, καὶ πρὸς ἐκεῖνον ὁρᾶν, καὶ τῇ ἐκείνου βουλήσει ἕπεσθαι· τῷ οἴακι τῷ ἐκείνου.

Δίφρον. Sella. Currus. Sedes. Et διφροφόρος, ſellam geſtans. Ariſtophanes: *Ubi eſt ſellifera.* Caniſtriferas enim quædam ſequebatur, umbellam & ſellam ferens. Et διφροφορουμένους, qui ſellis vel lecticis geſtantur.

Διφροφόροι. Selliferi. Strattis in *Atalantis.* Et Herodotus: *Illos, qui apud Perſas ſellis geſtabantur.* † *Cum autem ſella quadam ipſi poſita ſediſſet, præconibus miſſis, illis, qui intra urbem erant, ſuaſit, ut ſe dederent.*

Δίφρος. Sic etiam currus dicitur: quod duos vehat; militem & aurigam. Hinc διφρηλάτης, auriga.

Διφυᾶ. Duas naturas habentia.

Διφῶν. Quærens. Scrutans. Inveſtigans.

Δίχα. Bifariam. Dupliciter.

Διχαζούσης. Inclinante. Vergente. *Cum æſtus eſſet maximus, & dies jam inclinare cœpiſſet.*

Διχῆ. Bifariam. Bipartito. Duobus modis.

Δίχηλα. Animalia biſulca: ut bos, cervus, caprea; quæ in poſterioribus pedibus talos habent.

Διοχομηνία. Dimidia menſis pars. Et διχομηνιαία, quæ decimo quinto die menſis aliquid facit.

Διχόθεν. A duabus partibus.

Διχοτομία φάλαγγος. Phalangis in duas partes æquales diviſio. Hæ autem partes vocantur *cornua*: quorum alterum quidem ſiniſtrum cornu appellatur, & cauda; alterum vero dextrum cornu, & caput, & dextra aciei extremitas, & dextrum principium. Præterea, dimidia illa phalangis pars appellatur etiam ἄραγος, & ὀμφαλὸς, & συνοχὴ, & ſecundum nonnullos, φράγμα, vel, ut alii, στόμα.

Δίψα. Sitis. Τῷ δίψει & τὸ δίψος abuſive poſitum reperitur pro ἡ δίψα. Δίψη vero, ſequente nomine fœminino, quod ad præcedens illud referatur, ſcribitur per η. Ut, δίψῃ τῇ ἐπιγ. *Siti, quæ ſecuta eſt.* Sin ſecus, ſcribitur per diphthongum ει, δίψει.

Διψάς. Genus ſerpentis, vipera minus, ſed celerius [veneno ſuo] necans: a quo morſi tanta ſiti exardeſcunt, ut rumpantur. Eſt autem hæc dipſas alba, & caudam habet duabus lineis diſtinctam; naſciturque præcipue in Libya & Arabia. Eandem etiam quidam vocant preſterem: alii vero cauſonem; itemque melanurum, & ammoatin, & centridem.

Διψῶ. Accuſativo jungitur. Cupio. Concupiſco. *Deo enim placere volo, & illum intueri, & ejus voluntutem ſequi, illiuſque ductu regi.*

---

[1] Ἀριστοφάνης] *Eccleſiazuſis* pag. 746. (501. Ed. Baſ. *P.*) ubi tamen non legitur, δίφρον διφροφόρος: ſed, Ποῦ 'σθ' ἡ διφροφόρος; Διφροφόροι autem appellabantur apud Athenienſes pediſſequi vel pediſſequæ, quæ viros vel fœminas opulentiores ſequi ſolebant, ſellas plicatiles, quas ὀκλαδίας vocabant, ferentes. Ælianus *Var. Hiſt.* lib. IV. cap. XXII. Καὶ ὀκλαδίας αὐτοῖς δίφρους οἱ παῖδες ὑπέφερον, ἵνα μὴ καθίζωσιν ἑαυτοὺς εἰκῆ, καὶ ὡς ἔτυχε. Loquitur ibi de Athenienſibus.

[2] Ἡρόδοτος] Lib. III. pag. 137. ubi ſic legitur: Τῶν Περσέων τοὺς διφροφορουμένους.

[3] Διχοτομία φάλαγγ.] Huc egregie faciunt verba Æliani in *Tacticis* cap. VII. Διαιρεῖται δὲ ἡ φάλαγξ οὕτως. εἰς μὲν ὁλοσχερῆ μέρη δύο, ἀπὸ τῆς μετώπου διχοτομίας δι' ὅλου τοῦ βάθους· ὧν τὸ μὲν ἥμισυ δεξιὸν καλεῖται κέρας καὶ κεφαλή· τὸ δὲ λοιπὸν, εὐώνυμον λέγεται κέρας, καὶ οὐρά. Αὕτη δὲ ἡ διχοτομία τοῦ μήκους ὀμφαλὸς προσαγορεύεται, καὶ στόμα, καὶ ἄραρος. Pro voce ultima ἄραρος Suidas hic habet ἄραγος: quarum lectionum neutra ſuſpicione mendi apud me caret.

[4] Διψῶ. τὸ ἐπιθυμῶ] Artemidorus lib. I. cap. LXVIII. pag. 56. Τὸ μὲν γὰρ διψᾷν οὐδὲν ἄλλο ἐστὶν, ἢ ἐπιθυμεῖν. Vide etiam Athen. lib. X. pag. 433. qui pluribus exemplis ſignificationem iſtam verbi διψᾷν confirmat.

Διψῶν. καὶ δίψα, ἡ ἐπιθυμία. Δημοσθένης. Διψῶ τοῦ κωνείου.

Δμηθέντα. [1] δαμασθέντα. ὑπείξαντα.

Δεδμηκότες. δαμάσαντες.

Δμῆσις. ἡ δάμασις.

Δμωΐς. ἡ δούλη.

Δμώς. ὁ δοῦλος. καὶ δμωός.

Δνοπαλίζω. [2] Οὕτω δνοπαλίζεις διωλύγιος φλυαρία.

Δνοπαλίξεις. τουτέστι, διὰ τῶν χειρῶν κινήσεις, καὶ ἐκτινάξεις. ἡ εὐθεῖα, ἡ δνοπάλιξις.

Δνοφερόν. μέλαν. σκοτεινόν.

---Ὀλοφύρατο[3] χερσὶν ἀμήσας
Ἀνδροφόνοις δνοφερὰν κρατὸς ὕπερθε κόνιν.

Δοάξω. [4] ἀμφιδόξω.

Δόβειρα. ὄνομα πόλεως.

Δογματίζει. θεολογεῖ. [5] Φυσιοῦται. δογματίζειν ἐστὶ, τὸ δόξαν τιθέναι· ὡς τὸ νομοθετεῖν, νόμους τιθέναι.

Δόγματα[6] ἑκατέρως καλεῖται· τό, τε δοξαζόμενον, καὶ ἡ δόξα αὐτή. τούτων δὲ τὸ μὲν δοξαζόμενον, πρότασίς ἐστιν· ἡ δὲ δόξα, ὑπόληψις. ὁ τοίνυν Πλάτων, περὶ μὲν ὧν κατείληφεν, ἀποφαίνεται· τὰ δὲ ψευδῆ διελέγχει· περὶ δὲ τῶν ἀδήλων ἐπέχει. καὶ περὶ τῶν αὐτῷ δοκούντων ἀποφαίνεται διὰ τεσσάρων προσώπων, Σωκράτους, Τιμαίου, [7] ξένου. εἰσὶ δ' οἱ ξένοι, οὐχ ὥς τινες ὑπέλαβον, Πλάτων καὶ Παρμενίδης, ἀλλὰ πλάσματά ἐστιν ἀνώνυμα. περὶ δογμάτων. Οἱ μὲν γεννητὸν, οἱ δὲ ἀγέννητον· καὶ οἱ μὲν ἔμψυχον, οἱ δὲ ἄψυχον. Ἀναξαγόρας δὲ καὶ Πυθαγόρας εἰς Αἴγυπτον ἀφικόμενοι, καὶ τοῖς Αἰγυπτίων καὶ Ἑβραίων αὐτόθι σοφοῖς ὁμιλήσαντες, τὴν περὶ τῶν ὅλων γνῶσιν ἠκουτίσθησαν. ὕστερον δὲ καὶ Πλάτων, ὡς Πλούταρχος ἐν τοῖς Παραλλήλοις φησίν. οὐ μὴν δὲ ἀλλὰ καὶ Θεοὺς[8] Αἰγύπτιοι πρῶτοι τὸν ἥλιον καὶ τὴν σελήνην ὠνόμασαν· καλέσαντες τὸν μὲν ἥλιον, Ὄσιριν· τὴν δὲ σελήνην, Ἶσιν· ἅτε[9] ὁρῶντες αὐτοὺς δρόμῳ ἰόντας, Θεοὺς ἐκ τοῦ θεῖν καὶ ἰέναι ὠνόμασαν.

Δοθιῆνι.[10] σκορόδῳ ἠμφιεσμένῳ ἔοικεν.

Διψῶν. [Sitiens. Vehementer cupiens.] Et δίψα. Cupiditas. Deſiderium. Demoſthenes. *Cicutam concupiſco.*

Δμηθέντα. Domitum. Victum. Cedentem.

Δεδμηκότες. Qui domuerunt.

Δμῆσις. Subactio. Ipſe domandi actus.

Δμωΐς. Serva.

Δμώς, & δμωός. Servus.

Δνοπαλίζω. [Manu moveo. Quatio. Tundo.] *Sic* [*aures noſtras*] *ingenti garrulitate obtundis.*

Δνοπαλίξεις. Motiones & agitationes, quæ manibus fiunt. Caſus rectus eſt δνοπάλιξις.

Δνοφερόν. Nigrum. Atrum. Obſcurum. [In Epigrammate:] *Luxit, manibus bellicoſis atrum ſupra caput pulverem accumulans.*

Δοάξω. Ambigam. Dubitabo.

Δόβειρα. Dobera. Nomen urbis.

Δογματίζει. De Deo vel natura diſſerit, & dogma aliquod tradit. Δογματίζειν eſt, dogma vel opinionem aliquam proponere: ut νομοθετεῖν, leges ponere.

Δόγματα ἑκατ. Dogmata duplici ſenſu dicuntur: & id quod opinamur; & opinio ipſa. Ex his id, quod opinamur, eſt propoſitio: opinio vero, perſuaſio de aliqua re. Plato igitur, quæ percepit, ea enuntiat: falſa vero coarguit, & de incertis aſſenſum inhibet. Atque de his quidem, quæ ipſi vera videntur, quatuor perſonas loquentes inducit: Socratem, Timæum, hoſpitem [Athenienſem, & hoſpitem Eleatam.] Sunt autem hoſpites, non, ut quidam putarunt, Plato & Parmenides; ſed fictæ quædam perſonæ, quæ nomine carent. De dogmatibus. Philoſophorum alii [mundum] ortum habuiſſe, alii vero ortu caruiſſe dicunt. Item alii animatum, alii vero inanimatum eum ſtatuunt. Anaxagoras vero & Pythagoras in Ægyptum profecti, & Ægyptiorum & Hebræorum uſi conſuetudine, rerum cognitionem ab illis hauſerunt. Poſtea vero & Plato, ut Plutarchus in *Parallelis* refert. Quinetiam Ægyptii primi Solem & Lunam Deos vocarunt: Solem quidem Oſirin; Lunam vero Iſidem nominantes. Vocarunt autem eos Θεοὺς, i. e. Deos; a θεῖν currere: quod eos currere & ire viderent.

Δοθιῆνι. *Similis eſt furunculo, qui allio veſtitus eſt.*

---

[1] Δαμασθέντα] Hæc vox in prioribus Editt. deſideratur, quam ex MSS. revocavi.

[2] Οὕτω δνοπαλίζεις διωλ.] Idem fragmentum legitur ſupra v. Διωλύγιον.

[3] Ὀλοφύρατο χερσὶν ἀμ.] Verba hæc decerpta ſunt ex Epigrammate, quod integrum exſtat Antholog. lib. III. cap. VII. pag. 319.

[4] Ἀμφιδόξω] Potius ἀμφιδοξῶ, vel ἀμφιδοξήσω. Præſens enim eſt ἀμφιδοξέω.

[5] Φυσιοῦται] Hoc nihil ad rem facere videtur; niſi forte conſequens pro antecedenti poſitum eſſe dicas: quod doctores & magiſtri ſæpe cum faſtu aliquo dogmata ſua tradere ſoleant. Sed & ſic interpretatio illa eſt frigida, & ineptæ proxima.

[6] Δόγματα ἑκατέρως καλ.———πλάσματά ἐστιν ἀνώνυμα] Hæc ſunt verba Laertii Lib. III. Segm. LII.

[7] Ξένου] Supple ex Laertio, τοῦ Ἀθηναίου ξένου, τοῦ Ἐλεάτου ξένου.

[8] Θεοὺς Αἰγύπτιοι πρῶτοι τὸν ἥλιον καὶ τὴν σελ.] Diodorus Siculus lib. I. pag. 10. Τοὺς δ' οὖν κατ' Αἴγυπτον ἀνθρώπους τὸ παλαιὸν γενομένους, ἀναβλέψαντας εἰς τὸν κόσμον, καὶ τὴν τῶν ὅλων φύσιν καταπλαγέντας καὶ θαυμάσαντας, ὑπολαβεῖν εἶναι δύο Θεοὺς ἀϊδίους τε καὶ πρώτους, τόν τε ἥλιον καὶ τὴν σελήνην, ὧν τὸν μὲν Ὄσιριν, τὴν δὲ Ἶσιν ὀνομάσαι. Id eſt, *Vetuſtiſſimos igitur in Ægypto mortales, mundum ſupra ſe contemplatos, & non ſine ſtupore demiratos univerſi naturam, duos eſſe Deos exiſtimaſſe æternos & primos, Solem & Lunam, quorum iſtum Oſirim, hanc vero Iſidem appellarint.* Hunc locum Diodori ad verbum tranſcripſit Euſebius lib. I. *Præp. Euang.* cap. IX. Vide præterea Diogenem Laertium in *Proœmio*, qui idem de Ægyptiis teſtatur.

[9] Ἅτε ὁρῶντες αὐτοὺς δρόμῳ ἰόντας, Θεοὺς ἐκ τοῦ θεῖν καὶ ἰέναι ὠνόμασαν] His gemina habet Plato in *Cratylo* pag. 263. quem Suidas, vel potius auctor anonymus, ex quo Suidas, ſecutus fuiſſe videtur. Verba Philoſophi hæc ſunt: Ἅτε οὖν αὐτὰ (ſcilicet ἄστρα) ὁρῶντες πάντα ἀεὶ ἰόντα δρόμῳ καὶ θέοντα, ἀπὸ ταύτης τῆς φύσεως τῆς τοῦ θεῖν, Θεοὺς αὐτοὺς ἐπονομάσαι. Idem etiam verbis Platonis tradit Euſebius *Præp. Euang.* lib. I. cap. IX. pag. 29.

[10] Δοθιῆνι. σκορόδῳ ἀμφ.] Non miror Portum loco huic notam ſuam ſolitam N. L. qua ſibi non liquere fatetur, appinxiſſe. Neſciebat enim, unde locus hic excerptus eſſet: quem Suidas deſcripſit ex Ariſtoph. *Veſpis* pag. 514. ubi ſic legitur:

Δοθίων.[1] Φῦμα φλυκταίνῃ ἐοικός. Ἔχουσα δοθίωνα νεωστὶ ἀποφυόμενον ἄρτι.

Δόκανα.[2] τάφοι τινὲς ἐν Λακεδαιμονίᾳ· παρὰ τὸ δέξασθαι τοὺς Τυνδαρίδας.

Δοκεύει. ἐπιτηρεῖ.

Δόκησις. ὑπόνοια. ἢ τὸ μὴ ὄν, νομιζόμενον δέ. ὅ ἐστι φαντασία, καὶ σκιά, καὶ ὄναρ.

Δόκησις ἀληθείας. περιφραστικῶς ἡ ἀλήθεια παρὰ Θουκυδίδῃ.

Δοκησίσοφος. ἀντὶ τοῦ φρόνιμος. [3] Ἀριστοφάνης· Νεανίας δοκησίσοφος.

Δοκίδες. ἀστέρων ὀνόματα.

Δοκιμάσας. ἀντὶ τοῦ κρίνας. καὶ δοκιμασθείσαις. κυρωθείσαις. βεβαιωθείσαις. Μαθὼν ὡς ταῖς ἤδη ὑπὸ Ζαχαρίου δοκιμασθείσαις σπονδαῖς οὐ στέργουσι Ῥωμαῖοι, ἐπαφίησι τὸν [4] Χοσδρὼ κατὰ τῆς Ῥωμαίων ἐπικρατείας.

Δοκιμασθείς.[5] Δημοσθένης μὲν ἀντὶ τοῦ [6] εἰς ἄνδρας ἐγγραφείς. λέγει δὲ καὶ ἐπὶ τῶν ἀρχόντων τὸ δοκιμασθῆναι. ἐλέγετο δὲ καὶ ἐπὶ τῶν πολιτευομένων τὸ δοκιμασθῆναι, εἰ καὶ μηδ᾽ ἥντινα [7] ἦρχον ἀρχήν. ἐνίοτε δὲ καὶ αὐτῶν ἐξητάζετο ὁ βίος. Λυκοῦργος δὲ τρεῖς δοκιμασίας φησὶ κατὰ τὸν νόμον γίνεσθαι. καὶ γὰρ μία μέν ἐστιν, [8] ἣν οἱ ἐννέα ἄρχοντες δοκιμάζονται. ἄλλην [9] δέ, ἣν οἱ ῥήτορες. τρίτη δέ, ἣν οἱ στρατηγοί. λέγει [10] δὲ ἐν τῷ αὐτῷ λόγῳ καὶ [11] ἱππέων δοκιμασίαν.

Δοκιμασίαν ἐπαγγεῖλαι. τὸ [12] δίκην ἑταιρήσεώς τι-

Δοθίων. Furunculus, vel puſtula, phlyctænæ ſimilis. *Habens furunculum recens enatum.*

Δόκανα. Sepulchra quædam in Laconia: in quibus Caſtor & Pollux conditi fuerunt.

Δοκεύει. Obſervat.

Δόκησις. Opinio. Sive id, quod non eſt, quamvis eſſe putetur. Hoc eſt, phantaſia, & umbra, & ſomnium.

Δόκησις ἀληθείας. Sic apud Thucydidem periphraſtice ipſa veritas dicitur.

Δοκησίσοφος. Qui ſapiens ſibi videtur. Ariſtophanes: *Adoleſcens, qui ſapiens ſibi videtur.*

Δοκίδες. Stellarum nomina.

Δοκιμάσας. Qui judicavit. Qui exploravit. Et δοκιμασθείσαις, judicatis, confirmatis. *Cum intellexiſſet, Romanos non eſſe contentos fœdere a Zacharia jam confirmato, Choſdroum* [*cum exercitu*] *in ditionem Romanorum mittit.*

Δοκιμασθείς. Apud Demoſthenem ſignificat eum, qui in virorum album relatus eſt. Dicebatur vero etiam τὸ δοκιμασθῆναι de magiſtratibus: itemque de iis, qui Reipubl. negotia tractabant, etiamſi nullo magiſtratu fungerentur. Interdum vero etiam illorum vita & mores examinabantur. Lycurgus autem dicit, tria examina ſecundum leges fieri ſolita fuiſſe. Unum, quo novem Archontes: alterum, quo Oratores; & tertium, quo belli Duces examinarentur. In eadem oratione Equites etiam examinatos fuiſſe dicit.

Δοκιμασίαν ἐπαγγεῖλαι. Impudicitiæ crimine

Ἰδού. θεῶ τὸ χρῆμα, καὶ σκέψαι μ᾽ ὅτῳ
Μάλιστ᾽ ἔοικα τὴν βάδισιν τῶν πλουσίων.
Ὅτῳ; δοθιῆνι σκόροδον ἠμφιεσμένῳ.

Sic etiam apud Suidam ſcribendum eſt. Senſum autem hujus loci ex ipſo Comico, ejuſque interpretibus Lector petat. Nobis enim ſufficit digitum ad fontes intendere, & Lectorem docere, unde Suidas ſua deprompſerit: quod tamen ſi quis leve putet, & tale, quod a quovis facile præſtari poſſit, non parum fallitur.

[1] Δοθίων] Idem quod δοθιήν. Neſcio tamen an ſolius Suidæ auctoritas ſufficiat, ad vocem iſtam civitate Græca donandam: præſertim, cum apud Enarratorem Comici ad *Veſpas* pag. 515. unde noſter hæc deſcripſit, legatur δοθιήν. Certe & alii ſcriptores Græci id, quod Latinis eſt *furunculus*, δοθιῆνα vocant, non δοθίωνα, ut ex Lexicis vulgatis notum eſt. Heſychius tamen δοθίων pro δοθιὴν etiam agnoſcit: dummodo locum, ubi vox illa exſtat, a mendo prius liberes. Hodie enim apud eum in ſerie ſua ſic legitur: Δολίων, ὁ δοθιήν. At certum eſt, τὸ δολίων mendo laborare, ejuſque loco ſcribendum eſſe δοθίων: quamvis Henricus Stephanus in Theſauro ſuo mendoſam lectionem Heſychii, uti ſæpe alibi, ita & hic, bona fide ſecutus ſit. Cæterum, apud eundem Heſychium δοθιὴν habes non ſolum loco laudato, ſed etiam v. Ἀμυάνορες, & v. Ὀλοφυκτίς.

[2] Δόκανα. τάφοι τινὲς ἐν Λακεδ.] Miror, quo auctore hæc Suidas tradat. Alii enim ſcriptores δόκανα apud Spartanos vetuſta quædam Caſtoris & Pollucis ſimulacra appellata fuiſſe docent. Plutarchus ἐν τῷ περὶ φιλαδελφίας pag. 478. Τὰ παλαιὰ τῶν Διοσκούρων ἀφιδρύματα οἱ Σπαρτιᾶται δόκανα καλοῦσιν. ἔστι δὲ δύο ξύλα παράλληλα δυσὶ πλαγίοις ἐπεζευγμένα. Ad hunc locum Plutarchi reſpexit Euſtathius ad Il. P. pag. 1125. 60. ubi ait: Παράγωγον δὲ δοκοῦ καὶ τὰ παρὰ τοῖς παλαιοῖς δόκανα, ὧν χρῆσις καὶ παρὰ Πλουτάρχῳ. ἦσαν δὲ αὐτὰ Διοσκούρων ἀφιδρύματα, ὡς ἐκεῖνος καὶ ἱστορεῖ καὶ ἐκφράζει.

[3] Ἀριστοφάνης] *Pace* pag. 627. (436. Ed. *Baſ. P.*)

[4] Τὸν Χοσδρώ] Lege una voce Ταγχοσδρώ. Eſt enim nomen proprium ducis Perſarum, qui Tanchoſdro appellabatur. Vide infra v. Ἐμβοληθῆ, & v. Ταγχοσδρώ.

[5] Δοκιμασθείς. Δημοσθένης μὲν ἀντὶ τοῦ, εἰς ἄνδρ.] Ex Harpocratione: ad quem vide Valeſium.

[6] Εἰς ἄνδρας ἐγγραφείς] Hinc ille, qui nondum in virorum album relatus erat, appellabatur ἀδοκίμαστος. Harpocratio: Ἀδοκίμαστος. Δοκιμασθῆναι λέγεται, τὸ εἰς ἄνδρας ἐγγραφῆναι. καὶ ἀδοκίμαστος, ὁ μήπω ἐγγεγραμμένος. Appellationis autem iſtius ratio eſt, quod apud Athenienſes nemo virorum albo inſcriberetur, antequam populares habito examine cognoviſſent, aliquem parentibus civibus Atticis natum, vel ſecundum leges adoptatum fuiſſe. Vide Petitum *de Leg. Att.* lib. II. cap. IV. pag. 152.

[7] Ἦρχον ἀρχήν] Sic MSS. Pariſ. & Harpocratio. At priores Editt. εἶχον ἀρχήν.

[8] Ἣν οἱ ἐννέα ἄρχοντες δοκιμ.] De hac Novemvirorum apud Athenienſes δοκιμασία prolixe agit Petitus in Commentario ad *Leges Att.* pag. 237. 238. quem vide.

[9] Ἄλλην δέ, ἣν οἱ ῥήτορες] Et hunc locum illuſtrat idem Petitus pag. 260. 261.

[10] Λέγει δὲ ἐν τῷ αὐτῷ λόγῳ] Scilicet Lycurgus ἐν τῷ περὶ τῆς διοικήσεως, ut ex Harpocratione conſtat.

[11] Ἱππέων δοκιμασίαν] Equites olim apud Athenienſes examinatos fuiſſe, diſcimus etiam ex oratione Lyſiæ κατὰ Ἀλκιβιάδου λειποταξίου, pag. 140.

[12] Τὸ δίκην ἑταιρήσεώς τινα καταγ.] At latius patebat actio illa, nec impudicitiam ſolum perſequebatur, ſed etiam alia quædam crimina, ut expreſſe nos docet Æſchines orat. contra Timarchum, pag. 174. 175. cujus verba, quoniam ſunt lectu digna, & apprime huc faciunt, hic deſcribere non gravabor. Τίνας δ᾽ οὐκ ᾤετο (ὁ νομοθέτης) δεῖν λέγειν; τοὺς αἰσχρῶς βεβιωκότας. τούτους οὐκ ἐᾷ δημηγορεῖν. καὶ ποῦ τοῦτο δηλοῖ; δοκιμασία φησὶ ῥητόρων· Ἄν τις λέγῃ ἐν τῷ δήμῳ, τὸν πατέρα τύπτων ἢ τὴν μητέρα, ἢ μὴ τρέφων, ἢ μὴ παρέχων οἴκησιν, τοῦτον οὐκ ἐᾷ λέγειν. —— καὶ τίσι δεύτερον ἀπεῖπε μὴ λέγειν; εἰ τὰς στρατείας, φησί, μὴ ἐστρατευμένος, ὅσαι ἂν αὐτῷ προσταχθῶσιν, ἢ τὴν ἀσπίδα ἀποβεβληκώς. —— τρίτον τίσι διαλέγεται; εἰ πεπορνευμένος, φησίν, ἢ ἡταιρηκώς —— τέταρτον τίσι διαλέγεται; εἰ τὰ πατρῷα, φησί, κατεδηδοκώς, ἢ ὧν κληρονόμος γένηται. —— τούτους οὖν ἐξείργει τοῦ βήματος. τούτοις ἀπαγορεύει μὴ δημηγορεῖν. ἐὰν δέ τις παρὰ ταῦτα μὴ μόνον λέγῃ, ἀλλὰ καὶ συκοφαντῇ καὶ ἀσελγαίνῃ, καὶ μηκέτι τοιοῦτον ἄνθρωπον δύνηται φέρειν ἡ πόλις, ΔΟΚΙΜΑΣΙΑΝ μέν, φησίν, ΕΠΑΓΓΕΙΛΑΤΩ Ἀθηναίων ὁ βουλόμενος, οἷς ἔξεστι. Locus eſt inſignis: ex quo diſcimus, actionem, quæ δοκιμασία vocabatur, inſtitutam fuiſſe contra oratores, non ſolum eos, qui impudici fuiſſent, ſed etiam qui patrem vel matrem verberaſſent, aut non aluiſſent, aut tectum ad habitandum non præbuiſſent: vel qui militiæ nomina non dediſſent; vel clypeum in prœlio abjeciſſent; vel patrimonium dilapidaſſent. Hæc paucis complexus eſt Pollux lib. VIII. cap. VI. pag. 387. Δοκιμασία τοῖς δημαγωγοῖς ἐπηγγέλλετο, εἰ ἡταιρηκότες εἶεν, ἢ τὰ πατρῷα κατεδηδοκότες, ἢ τοὺς γονέας κεκακωκότες, ἢ ἄλλως κακῶς βεβιωκότες· ἀτίμους αὐτοὺς ἐχρῆν εἶναι, καὶ μὴ λέγειν.

ναι καταγγεῖλαι. γίνεται δὲ ἡ τῆς ἑταιρήσεως δοκιμασία οὐ πᾶσιν, ἀλλὰ πολιτευομένοις ῥήτορσι, καὶ ψηφίσματα γράφουσι.

Δοκιμαστῆρες. [1] οἱ ἐτασταί. [2] Ὁ δὲ ὢν καὶ πρότερον ἐν γε Ἰταλιώταις πᾶσι δόκιμος, μεῖζον, ὡς τὸ εἰκός, ἐπὶ φιλανθρωπίᾳ κλέος ἀπηνέγκε.

Δοκιμώταται τῶν πόλεων.

Δοκός. τὸ μέγα ξύλον.

Δοκοῦντα. ἀντὶ τοῦ ἀρέσκοντα. Πολλὰ λέγει παράδοξα, καὶ δοκοῦντα τοῖς φιλοσόφοις, πολλὰ τῶν καθ' ᾅδου, οὔπω τινὰ ἀκοὴν φέροντα τῷ Ἴσιδι τοσούτων ἀκουσμάτων.

Δολίωνος. ὄνομα κύριον.

Δολιχά. μακρά. πολλά. [3] Δόλιχος, τὸ ἱπποδρόμιον. ἀπὸ τοῦ κάμπτειν. Στάδιον δέ, ὁ ὀρθὸς δρόμος.

Δολιχεύουσι. περιοδεύουσιν. Αἰλιανός· [4] Διονύσιος τοὔνομα, ἔμπορος τὸ ἐπιτήδευμα, δολιχεύσας πολλοὺς πολλάκις πλοῦς, περιβάλλεται πλοῦτον εὖ μάλα ἁδρόν.

Δολιχόν. μακρόν. ἢ πολύ. Ἔχειν δὲ δόρυ, οὐ κατὰ τὸ ἐξ ἵππου μαχόμενον δολιχόν, ἀλλ' ὥστε μόνον τὴν ἐπιδορατίδα ὑπερέχειν ἐς ὕψος.

Δόλιχος. τὸ ὄσπριον. καὶ τὸ ὄνομα τοῦ δρόμου προπαροξυτόνως. δολιχὸς δέ, τὸ ἐπίθετον, ὁ μακρός, ὀξυτόνως. ἔστι δὲ ὁ δόλιχος [5] κδ' στάδια.

Δολιχόσκιον. τὸ [6] μακροπόρευτον.

Δολοβέλλας. ὄνομα κύριον.

Δολόμητις. δολιόβουλος.

Δόλος. ἡ ἐπὶ λύμῃ τῶν ἀδελφῶν ἐπιβουλή τε καὶ μηχανὴ παρὰ τῷ Ἀποστόλῳ.

Δόλοψ. ὄνομα κύριον.

Δόλοπες. ἔθνος Θετταλικόν.

Δόλων. οὕτω καλεῖται ὁ παρὰ τοῖς Κυζικηνοῖς τὴν Ἄρτεμιν θεραπεύων γυναικεῖος θίασος, ὥς φησιν Αἰλιανός. καὶ Δόλων, ὁ παρὰ Ὁμήρῳ. καὶ φυτόν.

Δόλωνες. τὰ μικρὰ ἱστία. [7] Χαλάσαντες τὰ μεγάλα ἄρμενα, τοῖς μικροῖς, ἃ δὴ δόλωνες καλοῦσιν, ἕπεσθαι. καὶ αὖθις· Προβαλόμενος τοῦ παντὸς στόλου ναῦς ὀλίγας, ταύταις, τοὺς δόλωνας ἐπαράμενος, ἔπλει. † Οἱ δὲ Ῥωμαῖοι πλησίον γενόμενοι καθεῖλον τοὺς δόλωνας.

aliquem accuſare. Actio autem illa impudicitiæ non adverſus quoſvis iuſtituebatur, ſed oratores negotia publica tractantes, & decreta ſcribentes.

Δοκιμαστῆρες. Examinatores. Cenſores. [Et δόκιμος. Laudatus. Probatus.] *Ille vero cum jam ante apud omnes Italos magno in pretio haberetur, majorem etiam, ut par eſt, ob humanitatem conſecutus eſt gloriam*

Δοκιμώταται τῶν πόλεων. Omnium urbium laudatiſſimæ & præſtantiſſimæ.

Δοκός. Trabs.

Δοκοῦντα. Placita. *Multa dicit relatu mira, quæ a Philoſophis ſtatuuntur: multa item eorum quæ apud Inferos fiunt* * * * *

Δολίωνος. Nomen proprium.

Δολιχά. Longa. Multa. Δόλιχος, curriculum. A κάμπτειν, i. e. flectere. Stadium vero eſt curſus rectus.

Δολιχεύουσι. Multas terras mariaque obeunt. Ælianus: *Dionyſius quidam nomine, mercator, cum multas longaſque navigationes ſæpe confeciſſet, ingentes divitias ſibi comparavit.*

Δολιχόν. Longum. Vel multum. *Habere haſtam, non longam, qualem habere ſolet is, qui ex equo pugnat; ſed talem, cujus ſumma tantum cuſpis promineat.*

Δόλιχος. Nomen leguminis. Item, nomen curſus, cum acuto in antepenultima. Δολιχὸς vero adjectivum, [ſignificat] longus, habetque accentum in ultima. Continet autem dolichus XXIV ſtadia.

Δολιχόσκιον. Longe ſe extendens.

Δολοβέλλας. Dolobella. Nomen proprium.

Δολόμητις. Doloſis conſiliis inſtructus. Doloſus.

Δόλος. Apud Apoſtolum ita vocantur inſidiæ & machinæ, quæ in fratrum perniciem parantur.

Δόλοψ. Dolops. Nomen proprium.

Δόλοπες. Dolopes. Gens Theſſalica.

Δόλων. Apud Cyzicenos ita vocatur muliebris cœtus, qui Dianam colit, ut ait Ælianus. Dolon etiam eſt nomen viri, cujus meminit Homerus. Item, planta.

Δόλωνες. Parva vela. *Juſſit eos majora vela demittere, & minoribus, quæ dolones vocant, expanſis, ſequi.* Et iterum: *Cum ante totam claſſem paucas quaſdam naves [hoſtibus] objeciſſet, cum his præceſſit, minoribus velis expanſis.* † *Romani vero, cum propius acceſſiſſent, dolones demiſerunt.*

---

[1] Δοκιμαστῆρες] Sic apud Lacedæmonios magiſtratus quidam appellabatur. Vide infra v. Χαίρων.

[2] Ὁ δὲ ὢν καὶ πρότερον ἐν γε Ἰταλ.] Hoc exemplum non pertinet ad vocem δοκιμαστῆρες, ſed δόκιμος, quæ incuria librariorum excidit.

[3] Δόλιχος, τὸ ἱπποδρόμιον. ἀπὸ τοῦ κ.] Neſcio, an hæc Lector abſque cenſura dimiſſurus ſit. Certe mihi non probantur.

[4] Διονύσιος τοὔνομα, ἔμπορος τὸ ἐπιτ.] Fragmentum hoc auctius legitur infra v. Κόφα.

[5] Κδ' στάδια] Sic habent omnes editi, & unus MS. Pariſ. At in duobus aliis codicibus MSS. exaratum reperi κ' στάδια, i. e. viginti ſtadia. Quomodo autem hæc concilies cum iis, quæ Suidas habet ſupra v. Δίαυλος, ubi Dolicho ſeptem tantum ſtadia tribuuntur? Confer loca & examina.

[6] Τὸ μακροπόρευτον] Secundum hanc interpretationem τὸ δολιχόσκιον non fuerit compoſitum ex δολιχὸς, & σκιὰ umbra; ſed ex δολιχὸς, & κίω, eo, vado: quaſi dicas δολιχόκιον. Vide Etymologum.

[7] Χαλάσαντες τὰ μεγάλα ἄρμ.——ἕπεσθαι] Fragmentum hoc legitur apud Procopium lib. I. *Vandal.* cap. XVII.

Δολώνεια. πόλις.

Δόμα. τὸ διδόμενον δῶρον.

Δόμεν, ὅσκεν δῷ· καὶ μὴ δόμεν, ὅσκεν μὴ δῷ. Ἡσίοδός[1] φησιν. ἀντὶ τοῦ, δόμεναι καὶ μὴ δόμεναι.

Δομέστικοι.[2] οἱ τῶν Ῥωμαίων ἱππεῖς. οἱ κατὰ Ῥωμαίους οἰκειακοὶ στρατιῶται.

Δομετιανὸς,[3] βασιλεὺς Ῥωμαίων, ἀδελφὸς Τίτου νεώτερος, Νέρωνι, καὶ Καλλιγόλᾳ, καὶ Τιβερίῳ, τοῖς αἴσχιστα καὶ φαυλότατα προστᾶσι τῆς ἡγεμονίας, ἤπερ τῷ πατρὶ καὶ τἀδελφῷ προσεοικὼς τὸν τρόπον. μετρίοις γὰρ δὴ τῆς ἀρχῆς προοιμίοις χρησάμενος, εὐθὺς εἰς πλειονά τε καὶ ἄτοπα γνώμης ἐκπίπτει μειονεκτήματα. πλεονεξίαν τε νοσῶν ἄμετρον καὶ ἀσέλγειαν, θυμοῦ τε ἀκρατὴς ὢν, καὶ ἀπαραίτητος ἐν ταῖς κολάσεσι, φιλαπεχθήμων τε καὶ φιλάργυρος, εἴ καί τις ἕτερος. ταχέως γοῦν πρὸς ἁπάντων μῖσος ἐφειλκύσατο, ὥστε τό, τε τοῦ ἀδελφοῦ καὶ τοῦ πατρὸς ἀποσβέσαι κλέος. σφαγαῖς τε γὰρ τῶν ἐπισήμων τῆς βουλῆς ἑκάστης ἡμέρας ἐμίαινε τὴν πόλιν. τάς τε ἴσας τοῖς κρείττοσι μεταδιώκων τιμὰς, οὐχ ὑπέμεινεν ἑτέρων αὐτοῦ γενέσθαι κατὰ τὸ Καπιτώλιον ἀνδριάντων στάσιν ἐκ χρυσοῦ τε καὶ ἀργύρου πεποιημένων. ἀπείχετο δὲ οὐδὲ τοῦ τῶν συγγενῶν φόνου, ἀλλ' ἐπὶ πάντας τοὺς ἀφ' αἵματος τὴν ἀνοσίαν ἤγαγε δεξιάν· οὔτε θεοὺς ὁμογνίους, οὔτε δίκην αἰδούμενος· ἀλλ' ὁμοῦ τά τε θεῖα περιφρονῶν, καὶ τὰ ἀνθρώπινα.

Δομετιανὸς,[4] βασιλεὺς Ῥωμαίων, ἀδελφὸς Τίτου· οὗ διάδοχος γενόμενος, οὐ τὴν πατρικὴν καὶ ἀδελφικὴν ἐζήλωσεν ἀρίστην πολιτείαν, ἀλλὰ τὴν Τιβερίου καὶ Νέρωνος ἀνοσιουργίαν ἐκ διαμέτρου. καὶ δὴ πᾶν εἶδος κακίας ἐπελθὼν, μιαιφονίας τε καὶ γυναικομανίας ἅμα καὶ ἀνδρομανίας ἀνάπλεως γενόμενος, αὐτὸν ὁ ἄθεος τελευταῖον ἀπεθέωσε. κἀντεῦθεν οὖν ἔχθιστον ἅπασι καὶ ἀπόβλητον, διὰ τὸ φονικόν τε καὶ θηριῶδες τῆς μιαρᾶς γνώμης, ἑαυτὸν ὁ τάλας ἀποφήνας, εἰκότως μάλα τὰ ἐπίχειρα τῆς οἰκείας δυσμενείας κομισάμενος, αἰσχίστῳ μόρῳ τὸν μυσαρὸν καὶ βέβηλον καταστρέφει βίον. οὗτος σὺν τῷ βασκάνῳ δαίμονι νεμεσήσας τῷ ἀδελφῷ, τοῦτον ἀναιρεῖ φαρμάκῳ, ἔρωτι τῆς ἀρχῆς. καὶ πονηρῶς πράγματα Ῥωμαίων διαθεὶς, οὐδὲν ὠμότητος, οὐδὲ πλεονεξίας, οὐδὲ φονικῆς ἐνεργείας, ἢ ἑτέρου τινὸς παραλέλοιπεν εἶδος ἢ σπούδασμα, μετὰ καὶ τοῦ ἀκρατὴς εἶναι καὶ ἀκόλαστος τὰ περὶ τὸ σῶμα. οὗτος καὶ Νέρβαν μετέστησεν, ὡς ἐπιβουλεύοντα τῇ βασιλείᾳ. καὶ Ἀπολλώνιον τὸν Τυανέα, ὡς φίλον Νέρβα, συλλαβὼν ἀπέκειρε, καὶ δέσμιον εἰς δικαστήριον ἤγαγεν. καὶ ἐπεὶ ὁ φιλόσοφος οὐκ ἐνεδίδου,[5] ἐπεγγελῶν τὰ γινόμενα παρ'

Δολώνεια. Dolonia. Urbs.

Δόμα. Donum, quod datur.

Δόμεν. Pro δόμεναι, dare. Heſiodus: *Da ei, qui dedit: non vero da ei, qui non dedit.*

Δομέστικοι. Equites, vel milites apud Romanos, qui vulgo *Domeſtici* vocantur.

Δομετιανός. Domitianus, Romanorum Imperator, Titi frater natu minor, Neroni, & Caligulæ, & Tiberio, qui turpiſſime & peſſime imperio præfuerunt, quam patri aut fratri moribus ſimilior. Moderatis enim imperii principiis uſus, confeſtim in plurima & graviſſima animi vitia incidit, immoderata pluris habendi cupiditate & libidine [luxuque] laborans, & iræ impotens, & inexorabilis in animadverſionibus, & inimicitiarum gerendarum amans, & pecuniæ cupidus, ſi quis alius. Celeriter autem omnium odium in ſe attraxit [ſibique conciliavit,] ita ut & fratris & patris gloriam extinxerit. Nam & cædibus inſignium Senatorum quotidie urbem polluebat, & præſtantioribus pares honores ſectans, non patiebatur aliorum, præter ſuas, ex auro & argento factas ſtatuas in Capitolio collocari. Ac ne a cognatorum quidem cæde abſtinuit, ſed in omnes conſanguineos impiam injecit dextram, neque Deos gentilitios, neque Juſtitiam veritus: ſed ſimul & divina & humana jura contemnens. *Port.*

Δομετιανός. Domitianus, Romanorum Imperator, frater Titi, cujus ſucceſſor cum fuiſſet, nec paternam, nec fraternam, optimam adminiſtrandæ Reipubl. formam eſt æmulatus, ſed Tiberii & Neronis impietatem, ex diametro [illi oppoſitam.] Quamobrem etiam omne vitiorum [& ſcelerum genus] perſequutus, & cædium pollutione, & mulierum amatarum inſania, ſimul etiam virorum amatorum furore repletus, ſe ipſum atheus [ac impius] ille in Deorum numerum retulit. Hinc igitur ille miſer, cum ob ingenii cædibus addicti crudelitatem & impuræ mentis feritatem ſe omnibus inimiciſſimum & dignum, qui ab omnibus rejiceretur, oſtendiſſet, jure optimo præmia ſui hoſtilis animi, [quo omnes perſequebatur,] conſequutus, fœdiſſima morte impuram & profanam vitam finivit. Hic imperii cupiditate [flagrans,] ac æſtuans invidia adverſus fratrem, eum veneno tollit, & Romanorum res male adminiſtrans, nullum crudelitatis, nullum avaritiæ, nullum ſanguinarii facinoris, aut alicujus alius [impietatis ac inhumanæ feritatis] genus aut ſtudium prætermiſit. Huc adde, quod & impotens eſſet, & intemperans in corporis voluptatibus. Hic

---

[1] Ἡσίοδος] *Oper. & Dier.* v. 354.

Καὶ δόμεν, ὅς κεν δῷ, καὶ μὴ δόμεν, ὅς κεν μὴ δῷ.

[2] Δομέστικοι] Vide Ducangium in utroque Gloſſario.

[3] Δομετιανὸς, βασιλεὺς Ῥωμ.] Totus hic locus αὐτολεξεὶ etiam legitur apud Joannem Antiochenum in Excerptis a Valeſio editis, pag. 817. unde Suidas iſta deſcripſit. Joannes Antiochenus autem eadem vel ipſe ex Eutropio vertit, vel, quod potius crediderim, a Græco aliquo iſtius ſcriptoris interprete, qui olim exſtabat, mutuatus eſt. Latina enim Eutropii Græcis Joannis Antiocheni mire reſpondent.

[4] Δομετιανὸς, βασιλεὺς Ῥωμ.—— καταστρέφει βίον] Hæc αὐτολεξεὶ etiam leguntur apud Cedrenum pag. 244.

[5] Ἐπεγγελῶν τὰ γινόμενα παρ' αὐτοῦ, αἰσχ.] Duo MSS. Pariſ. plenius: Ἐπεγγελῶν τὰ γινόμενα παρ' αὐτοῦ, καὶ ἐπιπλήττων τοῖς πραττομένοις, αἰσχυνθεὶς &c.

αὐτοῦ, αἰσχυνθεὶς ἀφῆκεν αὐτόν. [1] τότε φασὶ καὶ τὸ πολυθρύλλητον ἔπος εἰπεῖν τὸν Ἀπολλώνιον·

Οὐ μέν με κτενέεις, ἐπεὶ οὔτοι μόρσιμός εἰμι·

καὶ ἄφαντον γενέσθαι παραχρῆμα. οὗτος καὶ τοὺς φιλοσόφους καὶ μαθηματικοὺς ἐφυγάδευσεν ἀπὸ Ῥώμης. ἐπὶ τούτου καὶ Ἰωάννης ὁ Εὐαγγελιστὴς εἰς Πάτμον ἐξορίζεται. καὶ τοὺς ἀπὸ τοῦ γένους Δαβὶδ ἀναιρεῖσθαι προσέταξε· καὶ Χριστιανοὶ πολλοὶ ἐπ' αὐτοῦ μαρτυροῦσι. Νέρβας δὲ ἀπολύει τῆς ἐξορίας τὸν Θεολόγον Ἰωάννην. Ἀδριανὸς δὲ πολλὰ ἀνορθώσας, καὶ Λαζοῖς, ἤτοι Κόλχοις, βασιλέα ἐπέστησεν. οὐκ εὐβούλως δὲ τῆς Μεσοποταμίας παραχωρεῖ Πέρσαις δεηθεῖσιν αὐτοῦ, κτηθείσης ὑπὸ Τραϊανοῦ Ῥωμαίων, καὶ τὸν Εὐφράτην ὅρον ποιεῖται τῆς ἀρχῆς. οὗτος διὰ τὸ φονικὸν καὶ τὸ θηριῶδες ἔχθιστος ὤν, πρὸς τῶν οἰκείων συστάντων ἐπ' αὐτῷ κατακλείνεται, καὶ [2] παρασκευασαμένους εἰσπέμψαι σὺν ξιφιδίῳ Στέφανον τὸν ἀπελεύθερον· καὶ τοῦτον προσπεσόντα Δομετιανῷ καθεύδοντι τὸ μεθημερινόν, πατάξαι μέν, οὐ μὴν καιρίαν, ἀναπηδήσαντος ἐκείνου.

etiam Nervam, ut imperio inſidiantem, amovit: & Apollonium Tyaneum, ut Nervæ amicum, comprehenſum totondit, & vinctum in judicium adduxit. Cum vero Philoſophus illi non cederet, deridens ejus acta, verecundia motus, eum dimiſit. Tunc autem ajunt Apollonium illud valde celebre carmen dixiſſe: *Nequaquam me occides, quia non eſt in fatis, ut a te interficiar.* Atque e veſtigio ipſum evanuiſſe ferunt. Hic & Philoſophos & Mathematicos Roma expulit. Sub hoc & Joannes Euangeliſta in Patmum relegatur. Idem etiam Davidici generis homines interfici juſſit: multique ſub eo Chriſtiani Martyres facti ſunt. Sed Nerva Joannem Theologum illa relegatione liberavit. Adrianus vero multis rebus emendatis [atque correctis,] Lazis etiam, ſeu Colchis, Regem præfecit. Non prudenter tamen Meſopotamiam a Trajano Romanis partam, Perſis orantibus conceſſit, & imperii [Romani] terminum Euphratem conſtituit. Hic Domitianus cum ob ſuam crudelitatem & feritatem omnibus odioſiſſimus eſſet, a ſuis, qui conſpirationem in ipſum fecerant, interficitur. Nam ex compoſito [in ejus cubiculum] immiſerant cum pugione Stephanum ejus libertum: qui in Domitianum meridianis horis dormientem irruens, ipſum percuſſit quidem, at non letali plaga, quod ille [ex ſuo lecto ſtatim] exiluiſſet. *Port.*

Δομήτιος. ὄνομα κύριον.

Δομετία. ὄνομα κύριον.

Δομῖνος, [3] φιλόσοφος, Σύρος τὸ γένος, ἀπό τε Λαοδικείας καὶ Λαρίσσης πόλεως Συρίας, μαθητὴς Συριανοῦ, καὶ τοῦ Πρόκλου συμφοιτητής, ὥς φησι Δαμάσκιος. ἐν μὲν τοῖς μαθήμασιν ἱκανὸς ἀνήρ· ἐν δὲ τοῖς ἄλλοις φιλοσοφήμασιν ἐπιπολαιότερος. διὸ καὶ πολλὰ τῶν Πλάτωνος δοξάσμασιν οἰκείοις [4] διέστρεψε. καὶ διαλυμηνάμενος, ἀποχρώσας ὅμως εὐθύνας τῷ Πρόκλῳ δέδωκε, γράψαντι πρὸς αὐτὸν ὅλην πραγματείαν, καθαρτικήν, ὥς φησιν ἡ ἐπιγραφή, τῶν δογμάτων τοῦ Πλάτωνος. ἦν δὲ οὐδὲ τὴν ζωὴν ἄκρος, οἷον ἀληθῶς φιλόσοφον εἰπεῖν. ὁ γὰρ Ἀθήνησιν Ἀσκληπιὸς τὴν αὐτὴν ἴασιν ἐχρησμῴδει Πλουτάρχῳ τε τῷ Ἀθηναίῳ, καὶ τῷ Σύρῳ Δομνίνῳ. τούτῳ μὲν αἷμ' ἀποπτύοντι πολλάκις, καὶ τοῦτο φέροντι τῆς νόσου τὸ ὄνομα· ἐκείνῳ δὲ οὐκ οἶδα ὅ, τι νενοσηκότι. ἡ δὲ ἴασις ἦν ἐμπίπλασθαι χοιρείων κρεῶν. ὁ μὲν δὴ Πλούταρχος οὐκ ἠνέσχετο τῆς τοιαύτης ὑγείας, καί τοι οὐκ οὔσης αὐτῷ παρανόμου κατὰ τὰ πάτρια· ἀλλ' ἀναστὰς ἀπὸ τοῦ ὕπνου, καὶ [5] διαγκωνισάμενος ἐπὶ τοῦ σκίμποδος, ἀποβλέπων εἰς τὸ ἄγαλμα τοῦ Ἀσκληπιοῦ, (καὶ γὰρ ἐτύγχανεν ἐγκαθεύδων τῷ προδόμῳ τοῦ ἱεροῦ) Ὦ δέσποτα, ἔφη, τί δὲ ἂν προσέταξας Ἰουδαίῳ νοσοῦντι ταύτην τὴν νόσον; οὐ γὰρ ἂν ἐκείνῳ ἐμφορεῖσθαι χοιρείων κρεῶν προσέταξας. ταῦτα εἶπεν. ὁ δὲ Ἀσκληπιὸς αὐτίκα ἀπὸ τοῦ ἀγάλμα-

Δομήτιος. Domitius. Nomen proprium.

Δομετία. Domitia. Nomen proprium.

Δομῖνος. Domninus Philoſophus, natione Syrus, ex Laodicæa, vel Lariſſa, urbe Syriæ, Syriani diſcipulus, & Procli condiſcipulus, ut ait Damaſcius. In mathematicis quidem diſciplinis vir fuit exercitatus, ſed in aliis Philoſophiæ partibus longe exercitatior. Quamobrem etiam multa Platonica [dogmata] ſuis ſententiis pervertit. Cumque ea corrupiſſet, ſufficientes tamen juſtaſque pœnas Proclo perſolvit, qui ſcripſit adverſus ipſum integrum librum, Platonicorum dogmatum, ut fert inſcriptio, purgatorem. Sed ne in ipſa quidem vita fuit adeo exquiſitus, ut vere Philoſophus dici poſſet. Nam Æſculapius Athenienſis eandem medicinam præſcripſit & Plutarcho Athenienſi, & Domnino Syro; huic quidem ſanguinem ſæpe expuenti, & hoc morbi nomen ferenti: illi vero, neſcio quo morbi genere laboranti. Medicina vero hæc fuit, ut ſuillis carnibus replerentur. Plutarchus tamen talem recuperandæ ſanitatis rationem non tulit, quamvis ea non eſſet ipſi legibus patriis interdicta: ſed ſomno excitatus, & ulnis in lectulo diductis, Æſculapii ſtatuam intuens, (in templi enim veſtibulo dormiebat) O Domine, inquit: Quid ſi Judæo, hoc morbo laboranti, [idem remedium] præſcripſiſſes? Neque enim illi imperaſſes, ut ſuillis carnibus ſe repleret. Hæc cum dixiſ-

---

[1] Τότε φασὶ καὶ τὸ πολυθρύλλητον ἔπος εἰπεῖν τὸν Ἀπολλ.] Confer Philoſtratum lib. VIII. cap. 2. & Cedrenum pag. 245.

[2] Παρασκευασαμένους] Cum Porto legere malim, παρασκευασαμένων, propter præcedens συστάντων.

[3] Δομῖνος, φιλόσοφος, Σύρος τὸ γ.] Totum hunc articulum deſcripſit Suidas ex Damaſcii Hiſtoria Philoſophica, ut & ſtilus & argumentum ſuadent.

[4] Διέστρεψε] Sic habet MS. Pariſ. A. cujus loco in prioribus Editt. legitur ἀνέστρεψε; quod minus placet.

[5] Διαγκωνισάμενος] Vide ſupra h. v.

τος ἐμμελέστατον δή τινα [1]φθόγγον, ἑτέραν ὑπεγράψατο θεραπείαν τοῦ πάθους. Δομνῖνος δὲ οὐ κατὰ θέμιν πεισθεὶς τῷ ὀνείρῳ, θέμιν τοῖς Σύροις πάτριον, οὐδὲ παραδείγματι τῷ Πλουτάρχῳ χρησάμενος, ἔφαγε τότε καὶ ἤσθιεν ἀεὶ τῶν κρεῶν. λέγεται γοῦν, μίαν εἰ διέλειπεν ἡμέραν ἄγευστος, ἐπιτίθεσθαι τὸ πάθημα πάντως, ἕως ἀνεπλήσθη. τούτῳ οὖν ἤδη γεγηρακότι νεώτερος ὢν ἐντυχεῖν ὁ Ἀσκληπιάδης λέγεται, ἰδεῖν δὲ ἄνθρωπον ἔχοντά τι περιττὸν καὶ ἀστεμφὲς, οὐκ ἀξιοῦντα λόγου πολλοῦ τοὺς ἐντυγχάνοντας ἰδιώτας, ἢ ξένους, ἄλλως τε καὶ τοὺς τῷ διαφέρειν αὐχοῦντας. ἀμέλει καὶ αὐτῷ προσενεχθῆναι τραχύτερον. ἐπεὶ δὲ περὶ ἀριθμητικοῦ ὅτου δὴ θεωρήματος οὐκ ἠξίου ὁμολογεῖν πρὸς αὐτὸν, οἷα δὲ νέος ὢν, οὐδὲ ἐνδιδόναι τι μαλθακὸν, ἀλλὰ διελέγχειν τὸν λόγον οὕτω θρασέως, ὥστε τὸν Δομνῖνον μηκέτι προσίεσθαι αὐτὸν εἰς ὁμιλίαν.

Δόμνος. ὄνομα κύριον.

Δόμος. οἶκος.

Δόνακες. κάλαμοι ἁλιευτικοί. ἢ αὐλοί. ἡ εὐθεῖα, δόναξ.

Δονάτος. ὄνομα κύριον.

Δονεῖται. κλονεῖται. σαλεύεται. [2]Ἀριστοφάνης·

Πάνυ γάρ τις ἔρως με δονεῖ
Τῶνδε τῶν σῶν βοστρύχων.

ἀντὶ τοῦ κινεῖ, ἐρεθίζει.

Δόξα. ὑπόνοια. ὑπόληψις. Δόξα δέ ἐστιν, ὁ παρὰ τῶν πολλῶν ἔπαινος. εἰ δὲ τῶν πολλῶν, ὅτι τῶν οὐκ εἰδότων.

Δόξα. [3] τὸ λογικὸν καὶ γνωστικὸν μέρος τῆς ψυχῆς διαιρεῖται εἰς νοῦν, διάνοιαν, δόξαν. ἡ μὲν οὖν δόξα καταγίνεται περὶ τὸ καθόλου, τὸ ἐν τοῖς αἰσθητοῖς. οἶδε γὰρ ὅτι τὸ λευκὸν διακριτικὸν ὄψεως· καὶ ὅτι πᾶς ἄνθρωπος δίπους. ἔτι γε μὴν τῶν διανοητῶν οἶδεν ἄνευ λόγου τὰ συμπεράσματα. οἷον, ὅτι ἡ ψυχὴ ἀθάνατος, οἶδε. διὰ τί δὲ, οὐκέτι. ὥστε [4]δοξαστά ἐστι τό, τε ἐν τοῖς αἰσθητοῖς καθόλου, καὶ τῶν διανοητῶν τὰ [5]συμπεράσματα. ὅθεν καὶ καλῶς ὁρίζεται τὴν δόξαν [6]Πλάτων ἐν τῷ Σοφιστῇ, διανοίας λέγων ἀποτελεύτησιν. τῆς γὰρ διανοίας συλλογισαμένης, ὅτι ἀθάνατος ἡ ψυχὴ, τὸ συμπέρασμα μόνον οἶδεν ἡ δόξα. διανοίας δέ ἐστι τὸ οἷον ὁδόν τινα διανύειν, μεταβαίνουσαν ἀπὸ προτάσεως εἰς συμπέρασμα· ἐξ οὗ καὶ τὴν κλῆσιν εἵλκυσε.

Δόξα. [7]Σοφοκλῆς·

Τί δῆτα δόξης, ἢ τί κληδόνος καλῆς

ſet, Æſculapius ſtatim ex ſtatua ſonum ſuaviſſimum edens, alteram curandi morbi rationem ipſi præſcripſit. Domninus vero, cum nec ſecundum patrias Syrorum leges ſomnio paruiſſet, nec Plutarchi exemplum ſequutus fuiſſet, tunc ſuillas carnes comedit, & iis ſemper veſcebatur. Fertur autem, ſi forte diem unum intermiſiſſet, nec ſuillas carnes comediſſet, ille morbus ipſum omnino invaſiſſe, donec iis impleretur. Hunc igitur jam ætate provectum Aſclepiades adoleſcens conveniſſe fertur, & vidiſſe hominem illum habere quiddam eximium & conſtans; qui cum idiotis aut peregrinis non multum colloqui vellet, præcipue vero cum illis, qui ſe cæteris præſtare gloriarentur. Quinetiam ſe ab ipſo dicebat tractatum aſperius, quum de neſcio quo arithmetico theoremate contenderet cum ipſo, &, ut adoleſcens, ipſi nullo modo cedere vellet: at ipſius rationem adeo audacter redargueret, ut Domninus ipſum ad colloquium admittere noluerit. *Port.*

Δόμνος. Domnus. Nomen proprium.

Δόμος. Domus. Ædes.

Δόνακες. Calami piſcatorii. Vel, tibiæ. Rectus caſus eſt, δόναξ.

Δονάτος. Donatus. Nomen proprium.

Δονεῖται. Turbatur. Agitatur. Quaſſatur. Et δονεῖ, movet, laceſſit. Ariſtophanes: *Plane enim me amor quidam cincinnorum tuorum movet.*

Δόξα. Opinio. Gloria. Gloria autem eſt laus, quæ a populo tribuitur. Si vero a populo, manifeſtum eſt, eam ab illis tribui, qui ſunt imperiti.

Δόξα. Pars illa animæ, qua ratiocinamur & intelligimus, dividitur in mentem, intellectum, & opinionem. Ac opinio quidem verſatur circa univerſalia ſenſilia. Novit enim album facillime a viſu diſcerni: & omnem hominem eſſe bipedem. Adhæc, rerum intellectilium concluſiones abſque ratione novit: veluti, animam eſſe immortalem. Cur vero [ſit immortalis,] non novit. Quamobrem ſub opinionem cadunt tam univerſalia ſenſilia, quam concluſiones intellectilium. Unde Plato in *Sophiſta* opinionem recte definit, intellectus concluſionem. Poſtquam enim intellectus ratiocinando collegit, animam eſſe immortalem, opinio ſolam tantum concluſionem novit. Intellectus autem velut iter quoddam conficit, a propoſitione ad concluſionem tranſiens: unde etiam appellationem traxit.

Δόξα. Gloria. Sophocles: *Quid igitur gloria, aut vana fama, quæ in ore hominum ver-*

---

[1] Φθόγγον] Deeſt verbum ἱεὶς, vel ſimile quid.

[2] Ἀριστοφάνης] *Eccleſiaz.* pag. 752. (506. Ed. Baſ. P.)

[3] Δόξα. τὸ λογικὸν καὶ γνωστικὸν μέρος τῆς ψυχ.] Hæc, & quæ ſequuntur, ſunt verba Philoponi in Procœm. ad Ariſtot. *de Anima*, A. 1. ut Pearſonius recte obſervavit.

[4] Δοξαστά] Apud Philoponum loco laudato hodie legitur δόξα. Sed lectio Suidæ præferenda eſt.

[5] Συμπεράσματα. ὅθεν καὶ καλ.] In prioribus Editt. inter voces συμπεράσματα & ὅθεν hæc addita leguntur: Καὶ τοῦτ' ἐστὶν ἡ δόξα, γνῶσις. διὰ τί δὲ ἀθάνατος ἡ ψυχὴ, οὐκέτι οἶδεν ἡ δόξα. διανοίας γὰρ ἔργον ἐστὶ τοῦτο. Sed verba iſta, quæ nec Philoponus agnoſcit, & manifeſtam ταυτολογίαν continent, tanquam ſupervacanea hic inducenda putavi.

[6] Πλάτων ἐν τῷ Σοφιστῇ] Pag. 167. F. ubi Philoſophi verba hæc ſunt: Οὐκοῦν ἐπείπερ λόγος ἀληθὴς ἦν καὶ ψευδής, τούτων δ' ἐφάνη διάνοια μὲν αὐτῆς πρὸς ἑαυτὴν ψυχῆς διάλογος· δόξα δὲ, διανοίας ἀποτελεύτησις· φαίνεται δὲ, ὃ λέγομεν, σύμμιξις αἰσθήσεώς τε καὶ δόξης· ἀνάγκη δὴ καὶ τούτων τῷ λόγῳ ξυγγενῶν ὄντων, ψευδῆ τε αὐτῶν ἔνια καὶ ἐνίοτε εἶναι.

[7] Σοφοκλῆς] *Oedip. Colon.* pag. 280. ut Portus monuit.

Μάτην ῥεούσης ὠφέλημα γίνεται;
Εἰ τὰς Ἀθήνας φασὶ θεοσεβεστάτας
Εἶναι, μόνας δὲ τὸν κακούμενον ξένον
Σώζειν οἵας τε, καὶ μόνας ἀρκεῖν ἔχειν·
Κἀμοί γε ποῦ ταῦτ' ἐστιν;

Δόξα. ἔπαινος.

Δόξα Θεοῦ. Παρὰ [1]τῷ Ἀποστόλῳ τὸ δημιουργικὸν καὶ προνοητικόν. ταύτην τοιγαροῦν προσεκύνησαν εἰδώλοις, ἐν ὁμοιώματι ἀνθρώπων καὶ πετεινῶν καὶ τῶν λοιπῶν.

Δόξαν. ἀρέσαν. βεβουλευμένον. Δόξαν δὲ τοῖς Αἰγυπτίοις τὸν μὲν ἕτερον αὐτόθι μένειν, τὸν δὲ ἕτερον εἰς τὰς περιχώρους πόλεις ἀφικόμενον, ἐφ' οἷς ποιήσεται εἰρήνην, ὁρίσαι. Καὶ αὖθις· [2]Δοξάζων ἑαυτὸν ὑπὸ τῶν ἐναντίων καταφρονεῖσθαι. Σοφοκλῆς·

Σοὶ μὲν δοκεῖν ταῦτ' ἐστίν· ἐμοὶ δ' ἄγαν φρονεῖν.

οἷον, σοὶ μὲν ταῦτα ἐν δόξῃ καταλαμβάνεται· ἐγὼ δὲ σαφῶς ἐπίσταμαι.

Δοξάριον. δόξα. ὑποκοριστικῶς.

Δοξάσαι. ὑπονοῆσαι· εἰκάσαι. [3]Ἀριστοφάνης·

Δοξάσαι ἔστι κόραι, τὸ δ' ἐτήτυμον οὐκ ἔχω εἰπεῖν.

καὶ [4]Σοφοκλῆς·

——Δόξα μοι παρεστάθη
Ναοὺς ἱκέσθαι δαιμόνων, τάδ' ἐν χεροῖν
Στέφη λαβούσῃ.

Τὸν [5]σπουδαῖον οὐ δεῖ δοξάσαι. τουτέστι, ψεύδει μὴ συγκατατίθεσθαι.

Δοξασίας. δόξης. ὑπολήψεως. Δίων ἐν Ῥωμαϊκῶν νγ'· Προσέσται δὲ καὶ τῆς ἐμῆς δοξασίας.

Δόξης. Οἱ δὲ σὺν τῷ Φαβίῳ μέγα ἐκβοήσαντες, οὐκέτι δόξης ἀλλὰ πολέμου ἔργα παρείχοντο.

Δοξοκοπία. κενοδοξία. Ἀππιανός· Ὁ δὲ Φλαμίνιος τὴν ἀρχὴν ἀπὸ δοξοκοπίας ᾑρημένος, ἠπείγετο Ἀννίβᾳ συμπλακῆναι. Λέγεται δὲ καὶ δημοκοπία, καὶ δοξοκοπία. [6]Ὑπάτους αἱροῦνται, ἐκ δόξης πολεμικῆς Λεύκιον· ἐκ δὲ δημοκοπίας, Τερέντιον.

Δοξολογῶ σε. ὑμνῶ σε.

Δοξολογούμενος.

Δορά. τὸ δέρμα. καὶ δορὰ ὄνων. [7]Ὁ Ἐμπεδοκλῆς Κωλυσανέμας ἐπεκλήθη, διὰ τὸ ἀνέμου πολλοῦ ἐπιθεμένου τῇ Ἀκράγαντι, ἐξελάσαι αὐτὸν, δορὰς ὄνων περιθέντα τῇ πόλει.

Δόρατα. λογχάρια.

Δοράτιον. μικρὸν δόρυ.

Δορί. τῷ δόρατι.

Δοριάλωτον. αἰχμάλωτον.

ſatur, prodeſt? Si enim Athenas dicunt eſſe religioſiſſimas, & ſolas afflictum hoſpitem ſervare, eique opem ferre poſſe: ubinam hæc mihi ſunt?

Δόξα. Gloria. Laus.

Δόξα Θεοῦ. Sic apud Apoſtolum vocatur vis illa Dei, qua omnia creavit; itemque ejus providentia. Hanc [gentiles] ſub hominum, volucrum, aliarumque rerum ſpecie falſis Diis attribuerunt.

Δόξαν. [Pro δόξαντος.] Cum viſum fuiſſet. Cum placuiſſet. Cum decretum fuiſſet. *Cum autem Ægyptiis placuiſſet, ut alter quidem illic maneret, alter vero ad vicinas urbes profectus ſtatueret, quibus conditionibus pax facienda eſſet.* Et iterum: *Exiſtimans ſe ab adverſariis contemni.* Sophocles: *Tibi quidem hæc opinari licet: meum vero eſt, accuratius ea intelligere.* Vel, tu quidem ea opinaris, ego vero certo ſcio.

Δοξάριον. Diminutive. Parva gloria.

Δοξάσαι. Opinari. Suſpicari. Conjicere. Ariſtophanes: *Conjicere quidem licet, puellæ: non autem certi quid affirmare poſſum.* Et Sophocles: *Faciendum mihi putavi, ut templa Deorum adirem, has corollas manibus tenens.* † Virum probum non oportet opinari. Id eſt, mendacio non aſſentiri.

Δοξασίας. Opinionis. Suſpicionis. Conjecturæ. Dion Hiſtor. Rom. lib. LIII. *Addam etiam meam hac de re opinionem.*

Δόξης. Opinionis. *Illi vero, qui cum Fabio erant, ingenti clamore ſublato, non amplius opinionis ſed belli opera faciebant.*

Δοξοκοπία. Vana jactantia. Affectatio gloriæ. Popularis auræ captatio. *Flaminius vero, qui populi favore Conſulatum adeptus erat, cum Annibale manus conſerere quamprimum cupiebat.* Pro δοξοκοπία autem dicitur etiam δημοκοπία. *Conſules autem eligunt: Lucium, ut rei bellicæ peritum; & Terentium, ut qui apud populum gratioſus eſſet.*

Δοξολογῶ σε. Celebro te. Laudo te.

Δοξολογούμενος. Laudatus. Celebratus.

Δορά. Pellis. Et δορὰ ὄνων, pellis aſinorum. Empedocles vocatus eſt Κωλυσανέμας: quod, cum vehemens ventus in Agrigentum irruiſſet, urbe pellibus aſinorum circundata, eum propulſaſſet.

Δόρατα. Haſtæ.

Δοράτιον. Parva haſta.

Δορί. Haſta. Pro δόρατι.

Δοριάλωτον. Bello captum.

---

[1] Παρὰ τῷ Ἀποστόλῳ] Intelligit Divum Paulum ad Romanos cap. I.

[2] Δοξάζων ἑαυτὸν ὑπὸ τῶν ἐναντ. καταφρ.] Fragmentum hoc legitur apud Polyb. lib. III. cap. LXXXII.

[3] Ἀριστοφάνης] *Pace* pag. 632. ſed ubi pro οὐκ ἔχω εἰπεῖν, hodie legitur, ἄχθομαι ὑμῖν.

[4] Σοφοκλῆς] *Oedip. Tyran.* ut Portus monuit.

[5] Τὸν σπουδαῖον οὐ δεῖ δοξάσαι. τουτέστι, ψεύδει μὴ συγκ.] Hæc ſunt verba Laertii *Zenone* Lib. VII. Segm. 121. ut Pearſonius etiam obſervaverat.

[6] Ὑπάτους αἱροῦνται, ἐκ δόξης πολ.] Idem fragmentum legitur etiam ſupra v. Δημοκοπῶν.

[7] Ὁ Ἐμπεδοκλῆς Κωλυσ.] Vide Laertium *Empedocle*, ſegm. LX & noſtrum ſupra v. Ἄπνου.

Δορύκλυτος.[1] περὶ τὸ δόρυ ἔνδοξος.

Δορίκτητος πλοῦτος. ὁ ἀπὸ πολέμου.

Δόριλλος.[2] τὸ γυναικεῖον αἰδοῖον· ἐφ' ὕβρει τοῦ τραγῳδοποιοῦ Δορίλλου.

Δορίσκος.[3] χωρίον Θρᾳκικόν.

Δορκαλίδες. ὄργανόν ἐστι κολαστικόν τι. ἢ μάστιγες αἱ ἀπὸ ἱμάντων δορκάδων.

Δορκάς. καὶ παροιμία·

Μὴ πρὸς λέοντα δορκὰς ἅψωμαι μάχης.

ἐπὶ τῶν τὴν ἰσχὺν ἀνίσων.

Δόρκων. ὄνομα τόπου. καὶ ὁ ἔλαφος.

Δοροδόκος.[4] τὸ [5] ξύλον τὸ ὑποδεχόμενον τῆς οἰκίας τὸν ὄροφον.

Δορός. δόρατος.

Ἴσως[6] τοι, κεἰ βλέποντα μὴ 'πόθουν,
Θανόντ' ἂν οἰμώξειαν ἐν χρείᾳ δορός.

Τέκμησσά φησι, γυνὴ Αἴαντος περὶ Ἀγαμέμνονος.

Δορπήσας. δειπνήσας.

Δόρπεια. ἡ πρώτη ἡμέρα, ἡ τῶν Ἀπατουρίων. ἡ δ' ἑξῆς, Ἀνάρρυσις. Κουρεῶτις δὲ, ἡ τρίτη. καὶ πλατύτερον ἐν τῷ Ἀπατούρια.

Δόρπιστος. δείπνου ὥρα.

Δόρπος. ὁ δεῖπνος. καὶ δορπορή. ὁ αὐτός. δόρπος οὖν τὸ ἑσπερινὸν δεῖπνον· παρὰ τὸ δόρυ παύειν. καὶ ἐν τῷ Δεῖπνος.

Δόρυ. τὸ ἀκόντιον. Καὶ δορύκτητον ὄλβον ἐδέξατο.

Δόρυ[7] κηρύκειον. παροιμία, ἐπὶ τῶν ἅμα παρακαλούντων καὶ ἀπειλούντων. Οἱ [8] δὲ κατευθέντες εἰς Δελφοὺς ὑπ' Ἀθηναίων Γεφυραῖοι, λαβόντες χρησμόν· Ἀνδρὶ Γεφυραίῳ φίλος οἶκος· ἀκολουθοῦντες βουσὶν, ἕως ἂν οὗ ἐκεῖνοι κοπιάσωσιν, ὡς ὁ Θεὸς αὐτοῖς ἔχρησεν, ὅπως ἐκεῖ καταμείνωσι, πολεμουμένων Ἀθηναίων ὑπὸ Εὐμόλπου, ὑπὸ τὴν Τάναγραν καλουμένην ὤδευσαν, δόντες μὲν τῷ προηγουμένῳ κηρύκειον, καθοπλίσαντες δὲ κατόπιν τοὺς νέους.

Δορυάλειον. τόπος. καὶ Δορύλαιον. τόπος.

Δορυμέδων. ὄνομα κύριον.

Δορυμήστορος. τοῦ ἐπιστημόνως πολεμοῦντος.

Δορύξενος.[9] ὁ ἐκ τῶν πολεμίων φίλος, ὡς [10] Γλαῦ-

Δορύκλυτος. Haſta clarus. Bello inclytus.

Δορίκτητος πλοῦτος. Divitiæ bello partæ.

Δόριλλος. Pudendum muliebre, [ſic vocatum,] in contumeliam Dorilli Tragici.

Δορίσκος. Doriſcus. Oppidum Thraciæ.

Δορκαλίδες. Inſtrumentum quoddam, quo ſontes torquentur. Vel flagella, ex caprearum loris confecta.

Δορκάς. Caprea. Dama. Et proverbium: *Ne caprea cum leone pugnam ineam.* Dicitur de iis, qui viribus ſunt impares.

Δόρκων. Nomen loci. Item cervus.

Δοροδόκος. Lignum, quod tectum domus ſuſtinet.

Δορός. Pro δόρατος. Haſtæ. [Sophocles:] *Fortaſſe, quamvis viventem non amaverint, mortuum deplorabunt, urgente belli neceſſitate.* Tecmeſſa Ajacis uxor de Agamemnone hæc dicit.

Δορπήσας. Qui cœnavit. Qui cœnam ſumpſit.

Δόρπεια. Dorpia. Primus Apaturiorum dies. Secundus autem appellabatur Anarrhyſis; & tertius Cureotis. De hac re fuſius agitur v. Ἀπατούρια.

Δόρπιστος. Cœnæ hora.

Δόρπος. Cœna. Et δορπορή. Idem. Δόρπος igitur vocatur veſpertina cœna: quod tunc haſta quieſcat. Vide in v. Δεῖπνος.

Δόρυ. Haſta. Jaculum. *Et opes bello partas accepit.*

Δόρυ κηρύκειον. Haſta & caduceum. Proverbium de iis, qui precibus minas jungunt. Gephyræi ab Athenienſibus Delphos miſſi, accepto Oraculo: *Viro Gephyræo domus amica:* cum boves ſequerentur, ut illic manerent, ubi illi defatigati fuiſſent, prout oraculum ipſis præceperat; Eumolpo Athenienſes oppugnante, Tanagram ita dictam profecti ſunt, & duci quidem caduceum dederunt, juventutem vero pone ſequentem armarunt.

Δορυάλειον, & Δορύλαιον. Nomen loci.

Δορυμέδων. Dorymedon. Nomen proprium.

Δορυμήστορος. Artis bellicæ periti.

Δορύξενος. Qui ex hoſte factus eſt amicus:

---

[1] Δορύκλυτος] Scribendum eſſe δορικλυτὸς vel cœcus videat.

[2] Δόριλλος] Scholiaſta Ariſtophanis ad *Ranas* pag. 237. ſcribit Δόριλος. At Heſychius, Δορύαλλος. In hoc trivio quæ via ſequenda ſit, difficile dictu eſt.

[3] Δορίσκος. χωρίον Θρᾳκ.] Vide Harpocrationem h. v. & Herodotum lib. VII. pag. 406.

[4] Δοροδόκος] Vide omnino Valeſium ad Harpocrationem v. Στρωτήρ.

[5] Τὸ ξύλον] Hæ duæ voces deſunt in prioribus Editt. at exſtant in 2 MSS. Pariſ.

[6] Ἴσως τοι, κεἰ βλ.] Hæc ſunt verba Sophoclis *Ajace* pag. 56. ut Portus monuit.

[7] Δόρυ κηρύκειον. παροιμία, ἐπὶ τῶν ἅμα παρακ.] Locus hic Suidæ emendandus & ſupplendus eſt ex Euſtathio ad Iliad. Γ. pag. 408. qui eadem plane ex Pauſaniæ Lexico recitat. Verba Euſtathii hæc ſunt: Θατέρᾳ μὲν δόρυ, θατέρᾳ δὲ κηρύκειον προΐσχειν. ὃ δὴ παροιμία ἦν, ὥς φησι Παυσανίας, ἐπὶ τῶν ἅμα παρακαλούντων καὶ ἀπειλούντων. οἱ δεκατευθέντες γὰρ, φησὶν, εἰς Δελφοὺς ὑπὸ Ἀθηναίων Γεφυραῖοι, λαβόντες χρησμὸν, ὡς

Ἀνδρὶ Γεφυραίῳ οἶκος φίλος, οἶκος ἄριστος·

εἶτα βουσὶν ἀκολουθοῦντες, ἕως οὗ ἐκεῖνοι κοπιάσουσιν, οἱ βόες δηλαδὴ, ὡς ὁ Θεὸς αὐτοῖς ἔχρησεν, ὅπως ἐκεῖ καταμείνωσι· πολεμουμένων Ἀθηναίων ὑπὸ Εὐμόλπου, ἐπὶ Τάναγραν ὤδευσαν, δόντες μὲν τῷ προηγουμένῳ κηρύκειον, ὡς ἐπὶ πρεσβείᾳ καὶ εἰρήνῃ, καθοπλίσαντες δὲ κατόπιν τοὺς νέους. ὅθεν παροιμία ἐξέπεσεν, ἐπὶ τῶν ὅμοια (lege ἀνόμοια) τινὰ ποιούντων, λέγουσα, δόρυ καὶ κηρύκειον. Qui hæc legerit, vix dubitabit, quin & Suidas ſua ex eodem Pauſaniæ Lexico deſcripſerit. Cæterum, non ſolum Euſtathius loco citato, ſed etiam Zenobius & Heſychius proverbium hoc cum copula efferunt, δόρυ καὶ κηρύκειον: quod magis placet.

[8] Οἱ δὲ κατευθέντες] Sic habent omnes Editt. ſed mendoſe: cujus loco Portus legendum putabat, οἱ δὲ καταχθέντες. At Euſtathius loco laudato habet οἱ δεκατευθέντες, i. e. decimati: quæ lectio an veritati hiſtoriæ congruat, propter ſilentium veterum ſcriptorum affirmare non habeo.

[9] Δορύξενος. ὁ ἐκ τῶν πολ.] Sophocles *Electra* pag. 82.

Μέγιστος αὐτοῖς τυγχάνει δορυξένων.

Scholiaſta ad illum locum: Δορυξένων. φίλων. κυρίως δὲ δορύξενοι καλοῦνται, οἱ ἐν πολέμῳ γενόμενοι φίλοι, ὡς Γλαῦκος καὶ Διομήδης. Huc Suidas reſpexiſſe videtur. Pauſanias apud Euſtath. ad Il. Γ. pag. 405. Δορύξενος, ὁ ἐκ πολεμίων φίλος. καὶ ὁ πρεσβεύων περὶ λύτρων, εἰ ζωγρηθεῖέν τινες. Hæc ad verbum reſpondent iis, quæ Suidas hic habet. Vide etiam infra v. Ἰδιόξενος.

[10] Ὡς Γλαῦκος καὶ Διομήδης] Hæc verba in prioribus Editt. male collocata ſunt poſt ζωγρηθεῖέν τινες: quæ nos loco ſuo recte reſtituiſſe non ſolum ex ſenſu patet, ſed etiam ex Scholiaſta Sophoclis, cujus verba paulo ante adduximus.

κος καὶ Διομήδης. ὁ πρεσβεύων περὶ λύτρων, εἰ ζωγρηθεῖεν τινες. [1] Δορυξένους ἐκάλουν καὶ τοὺς ὁπωσοῦν ἐπιξενωθέντας. [2] Ἀνδρὸς τοιοῦδ', ὅτῳ πρῶτον μὲν ἡ δορύξενος κοινὴ παρ' ἡμῖν αἰὲν ἐστὶν ἑστία. ἢ ἐπιταλικῶς νῦν ἀντὶ τοῦ, ἡ καὶ πολεμίοις φίλη.

Δορυξόος. [3] Ἀριστοφάνης·

Κεἴ τις δορυξόος, ἢ κάπηλος ἀσπίδων,
Ἦν [4] ἐμπολῶν βέλτιον, ἐπιθυμεῖ μαχῶν,
Ληφθεὶς ὑπὸ λῃστῶν ἐσθίοι κριθὰς μόνας.

Δορυασσόντων [5] μόχθων. τουτέστι, τῶν κατὰ πόλεμον μόχθων. ἐξ οὗ, πολεμικῶν.

Δορυφορεῖ. αἰτιατικῇ. τιμὴν περιποιεῖ.

Δορυφόροι. φύλακες. ὑπηρέται βασιλέως. ὁπλοφόροι. ὑπασπισταί.

Δορύχνιον, [6] καὶ δορύκνιον. ἔστι δὲ πόα τις. πινόμενον γὰρ ὑπάρχει τῶν θανασίμων. ἔστι δὲ κατὰ τὴν ὀσμὴν καὶ τὴν γεῦσιν γάλακτι παραπλήσιον. ὅθεν δυσδιάκριτον τῷ πίνοντι, διὰ τὸ εἶναι γάλακτι παραπλήσιον. Δημοφῶν δὲ ἐτυμολογεῖ αὐτὸ οὕτω κεκλῆσθαι διὰ τὸ δόρατι ἴσον εἶναι κατὰ τὴν ἀναίρεσιν.

Δός. δότε.

Καὶ [7] δὸς, πᾶς ὁ βίος· λάβε δ' οὐδ' ἐπὶ νηυσὶν
ἀκούσαις.

Δοσίθεος. [8] ὄνομα κύριον.

Δόσις. [9] ἰδίως λέγεται παρὰ τοῖς ῥήτορσιν συμβόλαιον γραφόμενον, ὅταν τις τὰ αὑτοῦ διδῷ διὰ τῶν ἀρχόντων.

Δοσοληψία.

Δότε [10] μοι λεκάνην. ἐπὶ τῶν ὀργιζομένων καὶ προσποιουμένων ὑπὸ χολῆς ἐμεῖν.

Δότειρα. δοτήρ. δότης. δώτωρ δέ.

Δουλεία. [11] κατὰ τρεῖς τρόπους. τὸν κατὰ τὴν δημιουργίαν. καθά φησιν· Ὅτι τὰ [12] σύμπαντα δοῦλα σά. τὸν παρὰ τῆς πίστεως ὡς εἴρηται, [13] Ἐλευθερωθέντες δὲ ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθητε τῇ δικαιοσύνῃ. τρίτον, ἀπὸ τῆς πολιτείας· κατὰ τὸ εἰρημένον· [14] Μωϋσῆς ὁ θεράπων μου.

Δούλειον ἦμαρ.

Δουλίχιος. νῆσος.

ut Glaucus & Diomedes. Item, qui legatus mittitur captivorum redimendorum gratia. Δορυξένους etiam vocabant, qui quomodocunque hoſpitio ab aliquo excepti fuiſſent. [Sophocles:] *Quis viri iſtius benevolentiam rejiciat, cui in terra noſtra, omnibus hoſpitibus communi, ſedes deneganda non eſt.* Vel ſenſus eſt, quæ vel hoſtibus amica eſt.

Δορυξόος. Haſtarum faber. Ariſtophanes: *Et ſi quis haſtarum faber, aut clypeorum inſtitor bellum cupit, ut merces ſuas melius vendat, a latronibus captus ſolum hordeum edat.*

Δορυασσόντων μόχθων. Laborum, qui in bello ſuſtinentur. Δορυασσόντων enim hic eundem ſenſum habet quem πολεμικῶν.

Δορυφορεῖ. Accuſativo jungitur. [Satellitio ſtipat.] Honorem conciliat.

Δορυφόροι. Cuſtodes. Regis miniſtri. Armigeri. Satellites.

Δορύχνιον, & δορύκνιον. Herba quædam, quæ, ſi bibatur, letalis eſt. Eadem odore & ſapore lacti ſimilis eſt. Unde difficulter a bibente diſcerni poteſt, quod lacti ſimilis ſit. Demophon vero eam inde dictam eſſe putat, quod haſtæ inſtar occidat.

Δός. δότε. Da, date. *Et, da, tota eſt vita. Accipe vero, ne in navibus quidem audias.*

Δοσίθεος. Doſitheus. Nomen proprium.

Δόσις. Apud oratores peculiariter ſic vocantur tabulæ teſtamenti, in quibus quis, quæ ſua ſunt, alteri dat, interveniente magiſtratu.

Δοσοληψία. Donorum acceptio.

Δότε μοι λεκάνην. Date mihi pelvim. De iis dicitur, qui iraſcuntur, & præ ira ſe vomere ſimulant.

Δότειρα, δοτήρ, & δότης, [per ο ſcribuntur.] Δώτωρ vero, per ω.

Δουλεία. Servitus. Triplici ſenſu dicitur. Primo quatenus Deo, ut creatori, ſubjecti ſumus; ſecundum illud: *Omnia tibi ſerviunt.* Deinde eſt etiam ſervitus reſpectu fidei; ſecundum illud: *Liberati a peccato ſervi Juſtitiæ facti eſtis.* Tertia ſervitus eſt civilis & politica; ſecundum illud: *Moſes ſervus meus.*

Δούλειον ἦμαρ. Servitus.

Δουλίχιος. Dulichius, inſula.

---

[1] Δορυξένους ἐκάλουν καὶ τοὺς ὁπωσοῦν ἐπιξενωθ.] Hæc deſcripta ſunt ex Scholiaſta Sophoclis ad *Oedip. Colon.* pag. 292. ut Portus bene monuit.

[2] Ἀνδρὸς τοιοῦδ', ὅτῳ μὲν πρ.] Supple & diſtingue ex Sophocle:

Τίς δῆτ' ἂν ἀνδρὸς εὐμένειαν ἐκβάλοι
Τοιοῦδ', ὅτῳ πρῶτον μὲν ἡ δορύξενος
Κοινή τ' ἄρ' ἡμῖν αἰὲν ἐστὶν ἑστία.

Sed verſum ſecundum ſenſus gratia ita refinxerim:

Τοιοῦδ', ὅτῳ πρῶτον μὲν ἡ δορυξένοις. Hanc lectionem in verſione ſecutus ſum. Et deinde, pro κοινή τ' ἄρ' ἡμῖν, ex Suida reſcribendum eſt, κοινὴ παρ' ἡμῖν.

[3] Ἀριστοφάνης] *Pace* pag. 449. (653. Ed. Baſ. P.)

[4] Ἦν ἐμπολῶν] Scribe, ἵν' ἐμπολᾷ, ut legitur apud Ariſtophanem.

[5] Δορυασσόντων μόχθων] Sunt verba Sophoclis *Ajace* pag. 66. ut Portus obſervavit.

[6] Δορύχνιον, καὶ δορύκνιον. ἔστι δὲ πόα τις] Hæc & quæ ſequuntur, αὐταλεξεὶ etiam leguntur apud Etymologum: ſed deſunt in MSS. Pariſ.

[7] Καὶ δὸς, πᾶς ὁ β.] Scaliger in Collectione Proverbiorum metricorum verſum hunc ita edidit:

Δὸς, δότε, πᾶς ὁ βίος. λάβε δ' οὐδ' ἐπὶ νηυσὶν ἀκούσαις.

[8] Δοσίθεος] De eo vide apud Photium Cod. ccxxx. pag. 884

[9] Δόσις. ἰδίως λέγεται παρὰ τοῖς ῥήτ.] Ex Harpocratione: ad quem vide Mauſſacum & Valeſium.

[10] Δότε μοι λεκάνην] Sunt verba Ariſtophanis *Nubibus* pag. 176. (106. Ed. Baſ. P.)

[11] Δουλεία. κατὰ τρεῖς τρόπους. τὸν κατὰ τὴν δημ.] Hæc, & quæ ſequuntur, ſunt verba Chryſoſtomi Homil. 1. in Epiſt. ad Roman. pag. 5. His apprime conſona ſunt, quæ habet Theophylactus ad cap. 1. Epiſt. ad Rom. v. 1. Πολλαὶ δουλείας τρόποι· ὁ ἀπὸ τῆς δημιουργίας, καθ' ὃν τὰ πάντα δοῦλα σά. ὁ ἀπὸ τῆς πίστεως, καθ' ὃν εἴρηται, ὅτι ὑπηκούσατε εἰς ὃν παρεδόθητε τύπον διδαχῆς. ὁ ἀπὸ τῆς πολιτείας, καθ' ὃν καὶ Μωσῆς θεράπων Θεοῦ.

[12] Τὰ σύμπαντα δοῦλα σά] Pſal. CXVIII. 91.

[13] Ἐλευθερωθέντες δὲ ἀπὸ τῆς ἁμαρτ.] Rom. VI. 18.

[14] Μωϋσῆς ὁ θεράπων μου] Deuteron. XXXIV. 5.

Δουλιχοδείρων. μακροτραχήλων.

Δουλοκρατίαν. Γάϊος Ῥωμαίων βασιλεὺς δουλοκρατίαν νομοθετήσας ἐπέτρεψε κατηγορεῖν τῶν δεσποτῶν, εἴ τι ἂν εἰδεῖεν αὐτῶν πλημμέλημα. τὰ λοιπὰ ἐν τῷ Γάϊος.

Δοῦλος. δύηλίς τις ὤν. δύη γὰρ ἡ κακοπάθεια καὶ δυστυχία.

Δοῦλος [1] ὢν κόμην ἔχεις. ἐπὶ τῶν παραλόγως τι πραττόντων· παρόσον ἐλευθέρων τὸ κομᾷν. λέγεται δὲ καὶ δουλότερος κατὰ σύγκρισιν.

Δουλοσύνη. [2] Οἱ δὲ Φωκέες περιημέκτεον τῇ δουλοσύνῃ. ἀντὶ τοῦ, ἐδυσφόρουν.

Δούλων [3] πόλις. παροιμία. ἐν Λιβύῃ. Ἔφορος έ. καὶ ἑτέρα ἱεροδούλων· ἐν ᾗ εἷς ἐλεύθερός ἐστιν. ἔστι δὲ καὶ ἐν Κρήτῃ δουλόπολις, ὡς Σωσικράτης ἐν τῇ ά τῶν Κρητικῶν. ἔστι δέ τις καὶ περὶ Θρᾴκην Πονηρόπολις, ἣν Φίλιππόν φασι συνοικίσαι, τοὺς ἐπὶ πονηρίᾳ διαβαλλομένους αὐτόθι συναγαγόντα, συκοφάντας, ψευδομάρτυρας, καὶ τοὺς συνηγόρους, καὶ τοὺς ἄλλους πονηρούς, ὡς δισχιλίους· ὡς Θεόπομπος ἐν τῇ αγ' τῶν Φιλιππικῶν φησι.

Δοῦλοι πάντες μὲν φύσει Θεοῦ· διαθέσει δέ, οἱ τούτου τὴν δεσποτείαν ἀσπασίως αἱρούμενοι. καὶ δοῦλοι οἱ φαῦλοι τῶν [4] κακῶν. οἱ δὲ σπουδαῖοι ἐλεύθεροι. [5] εἶναι δὲ καὶ ἄλλην δουλείαν, τὴν ἐν ὑποτάξει. καὶ τρίτην ἐν κτήσει καὶ ὑποτάξει· ᾗ ἀντιτίθεται ἡ δεσποτεία, φαύλη οὖσα καὶ αὐτή. οὐ μόνον δὲ ἐλευθέρους εἶναι τοὺς σπουδαίους, ἀλλὰ καὶ βασιλέας. [6] ἡ γὰρ βασιλεία ἀρχὴ ἀνυπεύθυνος. ἥτις περὶ μόνους ἂν τοὺς σοφοὺς συσταίη.

Δούπησεν. ἔπεσεν, ὥστε ψόφον τινὰ ἀπετέλεσε.

Δοῦπον. ψόφον. καὶ δοῦπος, θάνατος μετὰ ψόφου.

Δούπων. ὄνομα κύριον.

Δουράτειος ἵππος. καὶ δουράτεος.

Δούρειος. ὁ ξύλινος ἵππος τῶν Ἑλλήνων. [7] Ἀριστοφάνης· Μέγεθος ὅσον ὁ δούρειος, ὑπὸ τοῦ πλάτους ἂν παρελασαίτην. τὸ δὲ μῆκος ἑκατοντόργυιον.

Δουρινεκές. [8] ὅσον δόρατος βολή. ὅσον δόρυ διατεῖναι. ἢ μῆκος δόρατος.

Δουλιχοδείρων. Longa colla habentium.

Δουλοκρατίαν. *Cajus Romanorum Imperator ſervis lege lata eam poteſtatem & licentiam conceſſit, ut dominos accuſare eis liceret, ſi quod crimen ab iis admiſſum eſſe ſcirent.* Cætera quære in v. Γάϊος.

Δοῦλος. Servus. Quaſi dicas δύηλις. Δύη enim ærumnam & infelicitatem ſignificat.

Δοῦλος ὢν κόμ. *Servus cum ſis, comam habes?* Dicitur de iis, qui indecore aliquid faciunt. Ingenuorum enim eſt comam alere. Dicitur etiam δουλότερος in comparativo.

Δουλοσύνη. Servitus. *Phocenſes vero ſervitutem iniquo animo ferebant.*

Δούλων πόλις. Servorum urbs. Proverbium. Erat autem in Africa ſita, ut auctor eſt Ephorus libro V. Et altera, ſacrorum ſervorum urbs, in qua unus erat ingenuus. Erat & in Creta Dulopolis, ut ait Soſicrates libro primo rerum Creticarum. Erat & alia quædam Poneropolis (i. e. urbs improborum) in Thracia, quam Philippus, ut ferunt, condidit, conductis eo hominibus, qui flagitiis infames erant; veluti calumniatoribus, falſis teſtibus, cauſidicis, & aliis hujus generis hominibus ad duo millia, ut ait Theopompus rerum Philippicarum lib. XIII.

Δοῦλοι. Servi. Omnes quidem natura ſervi ſunt Dei: at animi voluntate illi, qui imperio ejus ſe libenter ſubjiciunt. Et mali ſunt vitiorum ſervi: boni vero, liberi. [Dicunt autem Stoici,] eſſe & aliam ſervitutem, quæ in ſubjectione conſiſtat: itemque tertiam, qua mancipia dominis ſubjecta ſint: cui dominatio, quæ & ipſa mala eſt, opponitur. Non ſolum autem viros bonos ajunt eſſe liberos, ſed & Reges. Regnum enim eſt imperium nemini obnoxium, quod in ſolos tantum ſapientes cadat.

Δούπησεν. Cum ſonitu cecidit.

Δοῦπον. Strepitum. Et δοῦπος, mors ejus, qui cum ſtrepitu cadit.

Δούπων. Dupon. Nomen proprium.

Δουράτειος, & δουράτεος ἵππος. Ligneus equus.

Δούρειος. Ligneus equus Græcorum. Ariſtophanes: *Duo currus in muri dorſo propter ejus latitudinem facile ſe prætereant; etiamſi eum trahant equi, ligneo Græcorum equo magnitudine pares. Longitudo vero ejus eſt centum orgyiarum.*

Δουρινεκές. Quouſque haſtæ jactus pertingit. Quantum haſta extendi poteſt. Vel, haſtæ longitudo.

---

[1] Δοῦλος ὢν κόμην ἔχεις] Ariſtophanes *Avibus* pag. 584. (404. Ed. Baſ. P.)

[2] Οἱ δὲ Φωκέες περιημέκτεον τῇ δουλ.] Hæc ſunt verba Herodoti lib. I. pag. 42. ſed ubi pro περιημέκτεον legitur περιημεκτέοντες.

[3] Δούλων πόλις] Confer Stephanum Byzantinum h. v. & Vaticanam Proverbiorum Append. Centur. III. Adag. XCIV. & ibi Schottum.

[4] Κακῶν] Lego κακιῶν, id eſt, vitiorum.

[5] Εἶναι δὲ καὶ ἄλλην δουλείαν, τὴν ἐν ὑπο.] Hæc, & quæ ſequuntur, ſunt verba Laertii lib. VII. ſegm. CXXI. CXXII. ut Pearſonius etiam obſervaverat.

[6] Ἡ γὰρ βασιλεία] Sic recte 2 MSS. Pariſ. At priores Editt. male ὁ γὰρ βασιλεύς.

[7] Ἀριστοφάνης] *Avibus* pag. 595. (412. Ed. Baſ. P.) unde locus hic ita ampliandus & diſtinguendus eſt:

Ὥσθ' ὑπεράνω μὲν Προξενίδης ὁ Κομπασεὺς
Καὶ Θεαγένης ἐναντίω δύ' ἅρματε,
Ἵππων ὑπόντων μέγεθος, ὅσον ὁ Δούρειος,
Ὑπὸ τοῦ πλάτους ἂν παρελασαίτην. Ἡράκλεις.
Τὸ δὲ μῆκός ἐστι, καὶ γὰρ ἐμέτρησ' αὐτ' ἐγώ,
Ἑκατοντόργυιον.

Senſus eſt clarus. Scholiaſta ad illud, ὅσον ὁ Δούρειος: Οὐ πιθανὸν κοινῶς λέγειν αὐτόν· ἀλλὰ περὶ τοῦ χαλκοῦ τοῦ ἐν Ἀκροπόλει. ἀνέκειτο γὰρ ἐν Ἀκροπόλει δούρειος ἵππος, ἐπιγραφὴν ἔχων· Χαιρίδημος Εὐαγγέλου ἐκ Κοίλης ἀνέθηκε. δύναται δὲ ὁ ἐν Ἰλίῳ λαμβάνεσθαι. ἐν Ἀκροπόλει δὲ χαλκοῦς ἵππος ἀνέκειτο, κατὰ μίμησιν τοῦ Ἰλιακοῦ. Confer etiam Heſychium v. Κελὸς ἀσελγόκερως, & Meurſium *Cecrop.* pag. 26.

[8] Δουρινεκές] Scribe δουρηνεκές. Vide Homerum Il. K. v. 357. & ibi interpretes.

Δουρὶ, καὶ δορί. τῷ δόρατι.

Δουρίληπτος. αἰχμάλωτος.

Δοῦρις. ὄνομα ποιητοῦ.

Δουροδόκης.[1] τῆς τὰ δόρατα δεχομένης.

Δοχμή. σπιθαμή. [2] Ἀριστοφάνης·

Πρὶν ἡμέραν φορῆσαι, μείζον ἦν δυοῖν δοχμαῖν.

Δοχμή: ἡ παλαιστή. λέγει δὲ περὶ βυρσοδέψου περὶ τοῦ δέρματος.

Δόχμιον. πλάγιον.

Δῶ. κατ᾽ ἀποκοπήν. δῶμα. ὁ οἶκος.

Δωδεκάβοιον. δώδεκα βοῶν ἄξιον.

Δωδεκαδώρῳ. δώδεκα παλαιστῶν ὄντι. δῶρον γὰρ ἡ παλαιστή. ἐν Ἐπιγράμματι· [3] Κυλληνίῳ ἀνερύσαντες ἔρρεξαν, καὶ οἱ δωδεκάδωρα κέρα ἄλλῳ μακρολένοντι ποτὶ πλατάνιστον ἐπάξαι.

Δωδεκάκρουνος. [4] κρήνη Ἀθήνησιν ἦν. [5] Θουκυδίδης Ἐννεάκρουνον[6].

Δωδεκάκρουνον στόμα. ὁ γὰρ Κρατῖνος ἑαυτὸν ἐπῄνεσεν ἐν Πυτίνῃ λέγων·

Ἄναξ[7] Ἄπολλον, τῶν ἐπῶν τῶν ῥευμάτων
Καναχοῦσι[8] πηγαί, δωδεκάκρουνον στόμα.
Ἰλισσὸς[9] ἐν τῇ φάρυγγι ἂν εἴποιμι.
Εἰ μὴ ἐπιβύσει τις αὐτοῦ τὸ στόμα
Κατακλύσει τοῖς λόγοισιν.

Δωδεκαμήχανον. ἐπὶ τῶν παντοδαποῖς καὶ ποικίλοις ἤθεσι χρωμένων. [10] Κυρήνη γάρ τις ἐπίσημος γέγονεν ἑταίρα, δωδεκαμήχανος ἐπικαλουμένη, διὰ τὸ τοσαῦτα σχήματα ἐν τῇ συνουσίᾳ ποιεῖν. ἔστι δὲ παρὰ τὸ ἐξ Ὑψιπύλης Εὐριπίδου· Ἀνὰ τὸ δωδεκαμήχανον ἄστρον. καὶ δωδεκαμήχανος πόρνη, ιβ΄ σχήμασι χρωμένη, Κυρήνη τοὔνομα.

Δωδεκατημόριον ἡ δωδεκάτη μοῖρα.

Δωδεκίδες. [11] θυσίαι δώδεκα ἱερείων· ὡς τριττὺς, ἡ ἐκ τριῶν.

Δωδωναῖον[12] χαλκεῖον. ἐπὶ τῶν [13] μικρολογούντων. Δήμων γάρ φησιν, ὅτι τὸ τοῦ Διὸς μαντεῖον ἐν Δωδώνῃ λέβησιν ἐν κύκλῳ περιείληπται. τούτους δὲ ψαύειν ἀλλήλους, καὶ κρουσθέντος τοῦ ἑνός, ἠχεῖν ἐκ διαδοχῆς

Δουρὶ, & δορί. Idem quod δόρατι. Haſta.

Δουρίληπτος. Bello captus.

Δοῦρις. Duris. Poetæ nomen.

Δουροδόκης. Thecæ haſtarum.

Δοχμή. Palmus. Ariſtophanes: *Priuſquam unum diem ſoleæ geſtatæ eſſent, ultra duos palmos ſeſe dilataverant.* Hæc aliquis de corio dicit ad coriarium.

Δόχμιον. Obliquum.

Δῶ. Per apocopen pro δῶμα. Domus.

Δωδεκάβοιον. Quod duodecim boves valet.

Δωδεκαδώρῳ. Duodecim palmorum longitudinem habenti. Δῶρον enim eſt palmus. In Epigrammate: [*Juvencam*] *capite reſupinato immolarunt Cyllenio, eique cornua duodecim palmorum longo clavo ad platanum affixerunt.*

Δωδεκάκρουνος. Fons erat Athenis, ita dictus: quem Thucydides Ἐννεάκρουνον vocat.

Δωδεκάκρουνον στόμα. Duodecim fiſtulas vel ſcatebras habens os. Cratinus in *Pytina* ſe ipſe laudat, ſic dicens: *Rex Apollo, os ejus inſtar fontis plures ſcaturigines habentis verſuum flumina cum ſtrepitu fundit. Iliſſus eſt in faucibus ejus. Quid dicam? Niſi quis os ejus obturaverit, omnia hæc obruet poematibus.*

Δωδεκαμήχανον. Vox hæc dicitur de illis, qui variis artibus & technis utuntur. Cyrene enim nobilis meretrix, δωδεκαμήχανος vocata fuit, quod in concubitu duodecim ſchemis venereis uti ſoleret. Hoc autem expreſſum eſt ex illo verſu Euripidis *Hypſipyla*: Ἀνὰ τὸ δωδεκαμήχανον ἄστρον. Et δωδεκαμήχανος πόρνη, meretrix, duodecim ſchemis venereis utens, quæ vocabatur Cyrene.

Δωδεκατημόριον. Duodecima pars.

Δωδεκίδες. Sacrificia duodecim victimarũ: ut τριττὺς, ſacrificium ex tribus victimis conſtans.

Δωδωναῖον χαλκεῖον. Æs Dodonæum. Proverbium de iis, qui multa garriunt. Demon enim narrat, Dodonæi Jovis oraculum lebetibus fuiſſe circundatum, inter ſe contiguis;

---

[1] Δουροδόκης] Homerus Odyſſ. A. v. 128.

Δουροδόκης ἔντοσθεν ἐΰξόου.

Brevis Scholiaſta ad eum locum τὸ δουροδόκης exponit δορατοθήκης.

[2] Ἀριστοφάνης] *Equit.* pag. 305. (206. Ed. Baſ. *P.*)

[3] Κυλληνίῳ ἀνερύσαντες ἔρρ.] Locus hic eſt corruptiſſimus, quem Portus infeliciter tentavit. Ejus autem veram emendationem afferam ex Cod. MS. Anthologiæ ineditæ, in quo integrum Epigramma, cujus verba iſta pars ſunt, ſic legitur: Ἐρυκίου.

Γλαύκων καὶ Κορύδων, οἱ ἐν οὔρεσι βουκολέοντες,
Ἀρκάδες ἀμφότεροι, τὸν κεραὸν δάμαλιν
Πανὶ φιλορείτᾳ Κυλλανίῳ αὖ ἐρύσαντες
Ἔρρεξαν, καὶ οἱ δωδεκάδωρα κέρα
Ἄλῳ μακροτένοντι ποτὶ πλατάνιστον ἔπαξαν
Εὐρεῖαν, νομίῳ καλὸν ἄγαλμα Θεῷ.

Glaucon & Corydon, in montibus armenta paſcentes, ambo Arcades, cornutam hanc juvencam Pani montium amanti & Cyllenio capite reſupinato immolarunt, eique duodecim palmorum cornua clavo longo ad patulam platanum affixerunt, pulcrum paſtorali Deo donarium. In Hexametro ſecundo Pan dicitur Κυλλάνιος, a Cyllene, monte Arcadiæ; quæ regio ei præcipue ſacra erat. In Hexametro tertio τὸ ἄλῳ Dorice dictum eſt pro ἥλῳ, i. e. clavo. Reliqua ſunt plana.

[4] Κρήνη Ἀθήνησιν ἦν. Θουκυδ.] Lego & diſtinguo: Κρήνη Ἀθήνησιν, ἣν Θουκυδίδης &c.

[5] Θουκυδίδης] Lib. II. cap. XV. ubi Hiſtoricus ſic inquit: Καὶ τῇ κρήνῃ, τῇ νῦν μὲν, τῶν τυράννων οὕτω σκευασάντων, Ἐννεακρούνῳ καλουμένῃ, τὸ δὲ πάλαι φανερῶν τῶν πηγῶν οὐσῶν, Καλλιρρόῃ ὠνομασμένῃ &c.

[6] Ἐννεάκρουνος] Sic non ſolum Thucydides, ſed etiam alii ſcriptores fontem hunc vocant. Quare miror, unde Suidas expiſcatus ſit, eundem etiam δωδεκάκρουνον vocatum fuiſſe.

[7] Ἄναξ Ἄπολλον, τῶν ἐπ.] Hi verſus Cratini leguntur apud Scholiaſtam Ariſtophanis ad *Equit.* pag. 319. (219. Ed. Baſ. *P*) unde Suidas eos deſcripſit. Vide etiam ſupra v. Ἀφίλαια. & Tzetzem Chil. VIII. cap. CLXXXIV. qui tres priores fragmenti hujus verſus itidem adducit.

[8] Καναχοῦσι] Sic MSS. & ipſe Suidas ſupra v. Ἀφίλαια. At priores Editt. minus recte καναχῶσι.

[9] Ἰλισσὸς ἐν τῇ φαρ.] Hi tres verſus male ſe habent, qui ex Scholiaſta Ariſtophanis ſic emendandi ſunt:

Ἰλισσὸς ἐν φάρυγι. τί δ᾽ ἂν εἴποιμί σοι;
Εἰ μὴ γὰρ ἐπιβύσει τις αὐτοῦ τὸ στόμα,
Ἅπαντα ταῦτα κατακλύσει ποιήμασιν.

[10] Κυρήνη γάρ τις ἐπίσημος γέγονεν ἑτ.] Ex Scholiaſta Ariſtophanis ad *Ranas* pag. 275. (181. Ed. Baſ. *P.*)

[11] Δωδεκίδες] Confer Heſychium v. Δωδεκαΐδες, & v. Δωδεκηΐδα

[12] Δωδωναῖον χαλκεῖον] Confer Parœmiographos, & præcipue Stephanum Byzantium v. Δωδώνη.

[13] Μικρολογούντων] Imo μακρολογούντων: ut Portus etiam monuit.

πάντας· ὡς διὰ πολλοῦ χρόνου γίνεσθαι τῆς ἠχῆς τὴν περίοδον. [1] Ἀριστοτέλης δὲ ὡς πλάσμα διελέγχων, δύο [2] φησὶ στύλους εἶναι, καὶ ἐπὶ μὲν τοῦ ἑτέρου λέβητα, ἐπὶ θατέρου δὲ, παῖδα κρατοῦντα μάστιγα, ἧς τοὺς ἱμάντας χαλκέους ὄντας σειομένους ὑπ' ἀνέμου τῷ λέβητι προσκρούειν. τὸν δὲ τυπτόμενον ἠχεῖν. κέχρηται δὲ τῇ παροιμίᾳ Μένανδρος Αὐλητρίδι. † Πρὸς Δήμωνα. Εἰ δὲ πολλοὶ ἦσαν, οὐκ [3] ἂν ἑνικῶς ἐλέγετο ἡ παροιμία.

Δωδωναῖος. ὁ Ζεύς. παρόσον ἐν Δωδώνῃ τῆς Θεσπρωτίδος ἐτιμᾶτο.

Δωδώνη. πόλις ἐν τῇ Θεσπρωτίδι Πελασγία, ἐν ᾗ ἵστατο δρῦς, ἐν ᾗ μαντεῖον τῶν γυναικῶν προφητίδων. καὶ εἰσιόντων τῶν μαντευομένων, ἐκινεῖτο δῆθεν ἡ δρῦς ἠχοῦσα. αἱ δὲ ἐφθέγγοντο, ὅτι τάδε λέγει ὁ Ζεύς. καὶ ἀνδριὰς ἵστατο ἐν ὕψει ῥάβδον κατέχων, καὶ παρ' αὐτὸν λέβης ἵστατο· καὶ ἔπαιεν ὁ ἀνδριὰς τὸν λέβητα· ἐξ οὗ ἦχός τις ἐναρμόνιος ἀπετελεῖτο. αἱ δὲ τῶν δαιμόνων φωναὶ ἄναρθροί εἰσι.

Δωήκ. ὄνομα κύριον. ὁ Σύρος.

Δῶμα. [4] ὁ οἶκος. καὶ δωμάτιον, οἰκημάτιον.

Δωνατική. διάδοσις, ἡ διδομένη παρὰ τοῦ βασιλέως τοῖς στρατεύμασι.

Δῶρα θεοὺς πείθει, καὶ αἰδοίους βασιλῆας. οἱ μὲν Ἡσιόδειον οἴονται τὸν στίχον. εἴρηται δὲ καὶ [5] Πλάτωνος ἐν τρίτῃ πολιτείᾳ.

Δῶρα καὶ δωρεὰ διαφέρει. Δωρεαὶ μὲν γὰρ, αἱ σιτήσεις, καὶ αἱ προεδρεῖαι, καὶ αἱ ἀτέλειαι, καὶ τὸ ἱερᾶσθαι, καὶ ὅσα ἄλλα λαμπρύνει ἄνδρας. Δῶρα δὲ, χρυσὸς, ἄργυρος, ἵπποι, ἀνδράποδα, καὶ ὅσα ἑρμηνεύει πλοῦτον. ἀπὸ τοῦ δῶρα οὖν δωρὰ, καὶ πλεονασμῷ τοῦ ε, δωρεά. ἢ οὕτως· Δῶρα μὲν τὰ ἐπὶ δωροδοκίᾳ διδόμενα· Δωρεὰ δὲ, ἐπὶ τιμῇ.

Δωρεά. δόσις ἀναπόδοτος. ἔστι δὲ ἡ δόσις γένος τῆς δωρεᾶς.

Αἶνος. Oratio proverbialis [& ſymbolica. Ænigma.] Vel laus & encomium. Ænigma quoddam circumfertur, virū non virum, avem non avem, in arbore non arbore ſedentem, lapide non lapide percuſſam necaſſe.

Αἶνος differt a μύθος: quod αἶνος non puerorum ſed virorum gratia factus ſit, nec tantum animum oblectet, ſed etiam præcepta virtutum contineat. Propoſitum enim ei eſt, occulte aliquid ſuadere & docere: quod ab Heſiodo factum videmus. Αἰνὸς vero, cum acuto in ultima, homo ſævus & atrox. Et αἶνος, laus, hymnus, gloria.

Αἶνος. Ænus, urbs Thraciæ, Abſynthus vocata. Eſt & altera, ab Æno Gunei fratre ſic dicta.

Αἰνῶ. Recuſo. Sophocles.

Αἰνών. Ænon. Ex Euangelio. *Joannes autem baptizabat in Ænon prope Salem.*

Αἰνοίην. Annui. Aſſenſus ſum. Comprobavi.

Αἴνυτο. Abſtulit. Cepit.

Αἴξ. Capra. Et proverbium: *Capra præbens gladium.* Cum enim Corinthii Junoni Acrææ (cujus ſtatua a Medea fertur dedicata) rem divinam facerent, qui ad præbendam victimam cæteraſque res ad ſacrificium neceſſarias conducti fuerant, gladio ſub terra occultato, ſe ejus oblitos eſſe ſimulabant. Capra vero eum pedibus eruit. *Port.*

Αἲξ οὐρανία. Capra cœleſtis. Albarum fabarum genera, quibus in ſuffragiis, & ſententiis ferendis olim utebantur. Cratinus vero, ut capram Amaltheam Jovis nutricem fuiſſe dicit; ſic etiam capram cœleſtem illorum, qui dona accipiebant. Alii vero ea, quæ aliquibus pecuniæ parandæ facultatem copioſe præbent, ita comice dicere & uſurpare ſolent. Capra igitur cœleſtis dicitur de illo, qui rerum omnium fit compos, quaſcunque cupit. Capram enim Jovis nutricem in aſtra tranſlatam fuiſſe ferunt. Ajunt autem illum, qui ipſam orientem conſpexerit, omnium votorum compotem fieri. *Port.*

---

[1] Ἀβδήρων προθανόντα τὸν αἰνοβ.] Diſtichum hoc legitur Anthol. lib. III. cap. v. Epigr. III.

[2] Ὡς ἀνήρ τε καὶ οὐκ ἀν.] Senſus hujus ænigmatis eſt, veſpertilionem ſambuco inſidentem ab eunucho pumice percuſſum fuiſſe.

[3] Αἰνῶ. παραιτ.] Græci, cum beneficium aliquod oblatum recuſabant, vel ſibi eo opus non eſſe ſignificare volebant, dicere ſolebant αἰνῶ, vel ἐπαινῶ: ut non ſolum ex hoc loco Suidæ, ſed etiam ex aliis Grammaticis conſtat. Eodem etiam ſenſu interdum adhibere ſolebant vocem καλῶς, ut diſcimus ex Suida infra h. v. Item, τὸ κάλλιστα; ut obſervavit Caſaubonus *Lect. Theocr.* cap. XVI. Sic Latini *benigne*: ut apud Horatium lib. I. Epiſt. VII. & VIII.

[4] Ἦν δὲ καὶ Ἰωάννης βαπτ.] Joh. cap. III. v. 23.

[5] Ἡ αἲξ δοῦσα τὴν μάχ.] De proverbio hoc plenius Heſychius.

[6] Ἥρᾳ Ἀκραίᾳ] Junonis Ἀκραίας meminit etiam Zenobius in hoc ipſo proverbio; & Pauſanias lib. II. pag. 128. Hoc autem ideo moneo, ut obiter emendem Heſychium, apud quem in ſerie ſua hodie legitur, Ἀκέλα, ἡ Ἀθηνᾶ ———— ἔστι δὲ καὶ ἡ Ἥρα καὶ Ἄρτεμις καὶ Ἀφροδίτη. Dicit Ἀκέλα eſſe epithetum Minervæ, Junonis, Dianæ, & Veneris: ſed male. Scribendum enim eſt Ἀκραία; quæ vox deducta eſt ab ἄκρα, i. e. mons, vel arx urbis. Dii enim, quorum ſimulacra vel templa in montibus vel arcibus urbium dedicata erant, appellabantur Ἀκραῖοι. Pollux lib. IX. cap. V. Τὰ δὲ δημόσια, ἀκρόπολις· ἣν καὶ ἄκραν ἂν εἴποις, καὶ πόλιν. καὶ τοὺς ἐν αὐτῇ θεοὺς, Ἀκραίους. Apud eundem Heſychium alibi legas: Ἀκρεία, ἡ Ἀθηνᾶ καὶ Ἀφροδίτη. Sed & ibi ſcribendum eſt Ἀκραία, per αι. Diphthongus enim αι cum vocali ι ſexcentis in locis apud Grammaticos confundi ſolet.

[7] Ἐπιφθασάμενον] Alii ἐπιθεασάμενον: quod non diſplicet.

Αἴξ Σκυρία. ἐπὶ τῶν τὰς εὐεργεσίας ἀνατρεπόντων. Φασὶ γὰρ αὐτὰς πολὺ γάλα ἐχούσας, ἐπειδὰν ἀμελχθῶσιν, ἀνατρέπειν τὸ ἀγγεῖον.

Αἰξωνεύεσθαι. τὸ κατηγορεῖν βλασφημοῦντα. μετῆκται δὲ ἀπὸ τοῦ δήμου τῶν Αἰξωνέων. βλάσφημοι γὰρ κωμῳδοῦνται.

Αἰξωνεύς. ὁ βλάσφημος. σημαίνει δὲ καὶ τὸν τὰς αἶγας ὠνούμενον.

Αἰξωνεία. ἡ βλασφημία.

Αἰξωνηΐς.[1] δῆμός ἐστι φυλῆς Κεκροπίδος. ἐκωμῳδοῦντο δὲ ὡς βλάσφημοι. ἀφ᾽ οὗ καὶ τὸ κακῶς λέγεσθαι αἰξωνεύεσθαι ἔλεγον.

Αἰξωνίδα τρίγλην. δοκοῦσιν αὗται κάλλισται εἶναι, καὶ τῶν ἄλλων διαφέρειν ταύτῃ.

Αἰόλαν. πηδητικήν.[2] Αἰόλαν χορείαν ἐφθεγξάμεθα βρεκεκέξ.

Αἰόλαν. σκοτεινήν.

Αἰόλλει. ποικίλλει. στρέφει. πλανᾷ.

Αἰόλη[3] νύξ. ἤτοι μέλαινα. ἢ ποικίλη διὰ τὰ ἄστρα.

Αἰόλιος ὄνομα κύριον.

Αἰολοκένταυρος.

Αἰολομίτρης.[4] ποικίλην ἔχων μίτραν.

Αἰολόπωλος.[5] ποικίλους ἵππους ἔχων.

Αἴολος. ὄνομα κύριον.

Αἰόλος. εὐκίνητος. ποικίλος. ἢ ταχύς. παρὰ τὴν ἄελλαν, ἥτις ἀπὸ τοῦ ἄειν καὶ εἰλεῖν.

Αἰονῶ. τὸ βρέχω.

Αἰών. ὁ νωτιαῖος μυελός. ἢ χρόνος ἀΐδιος. Αἰὼν δὲ καὶ ὁ παρὼν βίος. [6] Δαβίδ· Ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου.

Αἰῶνα. ζωήν. βίον. [7] Σοφοκλῆς·

Ὡς οὐκ ἂν αἰῶν᾽ ἐκμάθοι βροτῶν, πρὶν ἂν
Θάνοι τις· οὔτ᾽ εἰ χρηστός, οὔτ᾽ εἴ τῳ κακός.
Ἐγὼ δὲ τὸν ἐμόν, καὶ πρὶν εἰς ᾅδου μολεῖν,
Ἔξοιδ᾽ ἔχουσα δυστυχῆ τε καὶ βαρύν.

Αἰωνίζει. διὰ παντὸς μένει.

Αἰωνίου μακαριότητος.

Αἰωνοάριος. ὁ Ἰαννουάριος μήν. οὕτω Λογγῖνος αὐτὸν ἑρμηνεῦσαι βιάζεται, ὡσανεὶ αἰῶνος πατέρα.

Αἰῶνος ἄγαλμα. ἐν τῷ Διαγνώμων.

Αἰώρα.[8] ἀγχόνη. ὕψωσις. ἔπαρσις.

Ὡς[9] δ᾽ οὐκ ἐφικνεῖτ᾽, ἀλλ᾽ ἔκαμνε πηδῶσα,
Οὐδὲν κρεμαστῆς οὖσα πλεῖον αἰώρας,
Παρῆλθεν οὕτω βουκολοῦσα τὴν λύπην.

Αἴξ Σκυρία. Capra Scyria. De iis, qui beneficia ſua irrita faciunt. Ajunt enim eas multum habere lactis: ſed cum [paſtores] eas mulſerint, evertere mulctram.

Αἰξωνεύεσθαι. Maledicere. Maledictis inſectari. Tranſlatio ducta eſt a populo Æxonenſium, qui ut maledici a Comicis perſtringuntur.

Αἰξωνεύς. Maledicus. Significat etiam caprarum emptorem.

Αἰξωνεία. Maledicentia.

Αἰξωνηΐς. Populus tribus Cecropiæ. Æxonenſes vero ut maledici a Comicis perſtringebantur: unde etiam αἰξωνεύεσθαι ponebatur pro maledicere.

Αἰξωνίδα τρίγλην. Mullum Æxonenſem. [Id eſt, optimum.] Mulli enim hi pulcherrimi, & reliquis præſtantiores eſſe putantur.

Αἰόλαν. Saltatricem. *Choream luſimus, accinentes brececex.*

Αἰόλαν. Obſcuram.

Αἰόλλει. Variat. Vertit. Decipit.

Αἰόλη νύξ. Nox atra. Vel, variis ſtellis diſtincta.

Αἰόλιος. Æolius. Nomen proprium.

Αἰολοκένταυρος. Centaurorum inſtar agilis.

Αἰολομίτρης. Variam zonam habens.

Αἰολόπωλος. Varios equos habens.

Αἴολος. Æolus. Nomen proprium.

Αἰόλος. Agilis. Varius. Vel, velox. Ab ἄελλα, procella: ſic dicta ab ἄειν, ſpirare, & εἰλεῖν, convolvere.

Αἰονῶ. Rigo. Irrigo.

Αἰών. Medulla dorſi. Vel, tempus perpetuum. Ævum. Item, vita præſens. David: *Vita noſtra a vultu tuo illuminetur.*

Αἰῶνα. Ævum. Vitam. Sophocles: [*Vulgo quidem dici ſolet,*] *neminem mortalium ſcire poſſe, utrum quis felicem, an vero infelicem vitam egerit, antequam moriatur. Ego vero, vel antequam ad inferos deſcenderim, de vitæ meæ infelicitate ſatis perſuaſa ſum.*

Αἰωνίζει. In æternum durat.

Αἰωνίου μακαρ. Beatitudinis æternæ.

Αἰωνοάριος. Menſis Januarius. Sic enim Longinus menſem illum dictum eſſe contendit, quaſi patrem ævi.

Αἰῶνος ἄγαλμα. Ævi ſimulacrum. Vide in v. Διαγνώμων.

Αἰώρα. Suſpenſio. In altum ſublatio. Elevatio. [Babrius:] *Cum autem eo pertingere non poſſet, ſed ſaltando defatigata fruſtra pendentia* [*in arbore pira*] *ſpectaret, abiit, hoc modo animi ſui dolorem fallens.*

---

[1] Αἰξωνηΐς. δῆμός ἐστι φυλ.] Ex Harpocratione: ſed apud quem pro Αἰξωνηΐς rectius legitur Αἰξωνή.

[2] Αἰόλαν χορείαν ἐφθ.] Ariſtoph. *Ranis* pag. 223. (140. Ed. Baſ. P.)

[3] Αἰόλη νύξ. ἤτοι μέλαινα. ἢ ποικ.] Ex Scholiaſta Sophoclis ad *Trachin.* pag. 334. ut Pearſonius obſervavit.

[4] Αἰολομίτρης] Eſt vox Homerica Il. Ε. v. 707.

[5] Αἰολόπωλος] Et hac voce uſus eſt Homerus Il. Γ. v. 185. ſed quam brevis Scholiaſta ibi exponit ἱπποκόμος, i. e. equiſo.

[6] Δαβίδ] Pſalm. LXXXIX. v. 8.

[7] Σοφοκλῆς] Initio *Trachin.*

[8] Αἰώρα] Vide infra v. Ἑώρα.

[9] Ὡς δ᾽ οὐκ ἐφικν.] Fragmentum hoc ex Babrio depromptum eſt, idque pertinere videtur ad fabulam de vulpe, quæ cum mala vel pira in arbore conſpecta fruſtra appeteret, neque ſe eorum compotem fieri poſſe videret, ſe eadem contemnere ſimulabat. Fabula exſtat apud Æſopum.

Αἰωρηθέντες. ἀντὶ τοῦ μετεωρισθέντες.

Αἰωρήσεις. κρεμάσεις.

Αἰωροῦνται. κρέμανται. Εἰς ὃν τὰ τῶν Καρχηδονίων αἰωρεῖται πράγματα.

Αἶπερ. ὥσπερ.

Αἴπει. τῷ ὑψηλῷ. ἡ εὐθεῖα, αἶπος, οὐδετέρως.

Αἴπεια. ὄνομα κύριον.

Αἰπεινή. ὑψηλή.

Αἰπεινὴν ἐλάτην ἔρις ὤρορεν αἴσυλα φάσθαι.

Αἰπειναῖς. ὑψηλαῖς. μακραῖς. ἐν μύθῳ·

Αἰπειναῖς ἐλάταις ἔρισεν βάτος. ἡ μὲν ἔειπε,
Καὶ ναῦς καὶ νηοὺς τεμνομένην τελέειν.

Αἰπεινός. ὁ χαλεπός.

Αἰπήεσσα. ὑψηλή.

Αἰπόλια. αἰγονόμια. καὶ αἰπόλος, αἰγονόμος. καὶ αἰπολῶ, διοικῶ.

Αἰπύ. ὑψηλόν. μέγα.

Λευκάδος[1] αἰπὺν ἔχων ναύταις τηλέσκοπον ὄχθον.

Σὺ[2] δ' ὦ τὸν αἰπὺν οὐρανὸν διφρηλατῶν
Ἥλιε, πατρῴαν τὴν ἐμὴν ὅταν χθόνα
Ἴδῃς, ἐπισχὼν χρυσόνωτον ἡνίαν,
Ἄγγειλον ἄτας τὰς ἐμάς.

Αἰπύκερως ἔλαφος. ὑψηλὰ κέρατα ἔχων.

Αἰπύς. ὁ ὀλέθριος.

Αἰπύ[3] οἱ ἐσσεῖται μάλα περ μεμαῶτι μάχεσθαι. μεταφορικῶς, ἀντὶ τοῦ δυσπρόσβατον, δυσχερές.

Αἶρα. ἡ τοῦ σίτου διαφθορά· διὰ διφθόγγου. Ἔρα δὲ ἡ γῆ, διὰ τοῦ ε ψιλοῦ. σημαίνει δὲ καὶ τὴν [4]σφαῖραν. καὶ ὄνομα πόλεως.

Αἴρεσθαι. προσενέγκασθαι. Κρατῖνος Τροφωνίῳ.

Οὐ σῖτον αἴρεσθ', οὐχ ὕπνου λαχεῖν μέρος.

Αἶρε. πρόσφερε. Ὅμηρος· Μή μοι οἶνον ἄειρε. καὶ [5]Ἀριστοφάνης·

Αἶρ', αἶρε μάζαν ὡς τάχιστα κανθάρῳ.

Αἶρε δάκτυλον. τίθεται ἐπὶ τῶν ἀπαγορευόντων ἐν τῇ [6]ἀγωνίᾳ. ἐπαίρεσθαι γὰρ τὴν χεῖρα, σύμβολον τοῦ νενικῆσθαι. καὶ Πολύβιος· Ὁ δὲ προσπεσὼν, αἴρεται νίκην εὐτυχεστάτην.

Αἱρεθέν. θεληθέν.

Αἶρε[7] μασχάλην. ἐπὶ τοῦ ὀρχήσασθαι.

Αἰωρηθέντες. In altum ſublati. Suſpenſi. Pendentes.

Αἰωρήσεις. Elevationes. Suſpenſiones.

Αἰωροῦνται. Pendent. Suſpenſa ſunt. *Ex quo res Carthaginenſium pendent.*

Αἶπερ. Quemadmodum.

Αἴπει. Altitudini. Rectus eſt αἶπος: idque generis neutrius.

Αἴπεια. Æpea. Nomen proprium.

Αἰπεινή. Excelſa. Alta. Procera. *Procera abies, contentionis ſtudio impulſa, protervis verbis* [*rubum*] *laceſſivit.* Et αἰπειναῖς, altis, proceris. In Fabula: *Altis cum abietibus contendit rubus: cui abies dixit, ex lignis ſuis & naves & templa ædificari.*

Αἰπεινός. Gravis. Moleſtus.

Αἰπήεσσα. Excelſa. Alta.

Αἰπολία. Greges caprarum. Et αἰπόλος, caprarius, ſive paſtor caprarum. Et αἰπολῶ, capras paſco.

Αἰπύ. Altum. Magnum. [In Epigrammate:] *Qui altum & nautis longe conſpicuum Leucadis promontorium tenes.* [Et Sophocles:] *Tu vero, qui per altum cœlum currum agis, Sol, cum terram meam patriam conſpexeris, aureo fræno adducto, calamitates meas annuntia.*

Αἰπύκερως ἔλαφος. Excelſa cornua habens cervus.

Αἰπύς. Pernicioſus.

Αἰπύ. Arduum. Acceſſu difficile. Difficile. Per metaphoram. *Arduum hoc ipſi erit & difficile, quamvis pugnandi valde cupido.*

Αἶρα. Per αι diphthongum, lolium. Ἔρα vero, per ε, terra. Significat etiam malleum. Item, nomen urbis.

Αἴρεσθαι. Sumere. Capere. Cratinus *Trophonio: Nec cibum nec ſomnum capere.*

Αἶρε. Admove. Affer. Præbe. Homerus: *Ne mihi vinum præbe.* Et Ariſtophanes: *Præbe, præbe quam citiſſime ſcarabæo mazam.*

Αἶρε δάκτυλον. Tolle digitum. De iis dicitur, qui in certamine ſuccumbunt. Qui enim manum tollebant, victos ſe eſſe ſignificabant. Et Polybius: *Ille vero hoſtem adortus, inſignem victoriam reportavit.*

Αἱρεθέν. Quod quis ſponte elegit, vel voluit.

Αἶρε μασχάλην. Tolle axillam. De ſaltatione dicitur.

---

[1] Λευκάδος αἰπὺν ἔχ.] Hexameter hic eſt pars Epigrammatis, quod ex cod. MS. Anthologiæ ineditæ integrum publici juris fecimus ſupra v. [illegible].

[2] Σὺ δ' ὦ τ' αἰπ.] Hæc, & quæ ſequuntur, ſunt verba Sophoclis *Ajace* pag. 51. ut Portus quoque monuit. Vide etiam ſupra v. Διφρηλατῶν, ubi idem fragmentum legitur.

[3] Αἰπύ οἱ ἐσσ.] Eſt verſus Homericus Il. N. v. 317.

[4] Σφαῖραν] Sic habent omnes Editt. itemque Etymologus: ſed male. Scribendum enim eſt σφῦραν. Recte Heſychius: Αἶρα. σφῦρα. ἀξίνη. Quæ vero apud eundem ſequuntur, fœde corrupta ſunt: Αἶ ῥα. [illegible] αἴπυνες δὴ ἀέρχοντες. Scribe abſque novo principio, ἡ ῥαιστήρ: idque refer ad vocem præcedentem αἶρα. Significat enim ῥαιστὴρ malleum, æque ac αἶρα: cui proinde τὸ ῥαιστὴρ interpretationis loco recte jungitur. Quid vero facias illis: Αἴπυνες δὴ ἀέρχοντες? Equidem, lituram ea mereri exiſtimo, quoniam a librariis neſcio quid ſomniantibus temere in textum intruſa videntur. Saltem fateor, me non videre, quomodo verba iſta inſtituto Heſychii convenire queant: & proinde liberum cuivis Lectori de hoc loco judicium relinquo.

[5] Ἀριστοφάνης] Initio *Pacis*.

[6] Ἀγωνίᾳ] Sic recte MSS. Pariſ. At priores Editt. male, γωνίᾳ. Ἀγωνία autem idem ſignificat, quod ἀγών, i. e. certamen.

[7] Αἶρε μασχάλην] Aliter proverbium hoc interpretantur Zenobius Centur. v. Adag. VII. & ipſe Suidas infra v. Μασχάλην: quæ loca confer.

Αἶρε[1] πλῆκτρον. τουτέστιν, ὅπλον ἀμυντήριον. ἡ μεταφορὰ ἀπὸ τῶν ἀλεκτρυόνων. κἀκεῖνοι γὰρ ἔχουσι πλῆκτρα, ἐν οἷς μάχονται· ἃ ἡμεῖς κέντρα λέγομεν τῶν ὀρνίθων· οἱ δὲ, πλῆκτρα. πλῆκτρα δέ εἰσι, τὰ ἐμβαλλόμενα τοῖς πλήκτροις τῶν ἀλεκτρυόνων τὰ χαλκᾶ.

Αἵρεσις. καταστροφή. κατάλυσις. Διὸ καὶ πρώτῳ τῶν ἄλλων ἐπέθεντο δι' ἐπιβουλῆς, ἵνα σφίσι, τὸ λεγόμενον, ἐξ ἄκρας ἡ αἵρεσις γένηται τῶν θεοφιλῶν καὶ ἀρχαιονόμων ἠθῶν τε καὶ ἐπιτηδευμάτων.

Αἵρεσις.[2] ἡ λόγῳ τινὶ κατὰ τὸ φαινόμενον ἀκολουθοῦσα, ἢ δοκοῦσα ἀκολουθεῖν. Ἱππόβοτος δὲ ἐννέα φησὶν αἱρέσεις εἶναι τῶν φιλοσόφων καὶ ἀγωγάς· Μεγαρικὴν, Ἐρετριακὴν, Κυρηναϊκὴν, Ἐπικούρειον, Ἀννικέρειον, Θεοδώρειον, Ζηνώνειον, τὴν καὶ Στωϊκὴν, Ἀκαδημαϊκὴν, Περιπατητικήν. οὔτε δὲ Κυνικὴν, οὔτε Ἠλιακὴν, οὔτε Διαλεκτικήν. τὴν γὰρ Πυῤῥώνειον οὐδ' οἱ πλείους προσποιοῦνται διὰ τὴν ἀσάφειαν. εἰ γὰρ αἵρεσιν νοοῦμεν [3] πρόσκλισιν ἐν δόγμασιν, ἀκολουθίαν ἔχουσαν, οὐκέτ' ἂν προσαγορεύοιτο αἵρεσις ἡ Πυῤῥώνειος. οὐ γὰρ ἔχει δόγματα. ἔτι δὲ καὶ Ἐκλεκτική τις εἰσῆλθεν ὑπὸ Ποτάμωνος τοῦ Ἀλεξανδρέως, ἐκλεξαμένου τὰ ἀρέσαντα ἐξ ἑκάστης τῶν αἱρέσεων. [4] Κριτήρια δέ φησιν εἶναι τἀληθῆ· τὸ μὲν ὡς ὑφ' οὗ γένηται ἡ κρίσις· τουτέστι, τὸ ἡγεμονικόν· τὸ δὲ, ὡς δι' οὗ, οἷον τὴν ἀκριβεστάτην φαντασίαν. ἀρχάς τε τῶν ὅλων τήν τε ὕλην καὶ τὸ ποιοῦν· ποίησίν τε καὶ τόπον. ἐξ οὗ γὰρ, καὶ ὑφ' οὗ, καὶ ποίῳ, καὶ ἐν ᾧ. τέλος δὲ εἶναι, ἐφ' ὃ πάντα ἀναφέρεται, ζωὴν κατὰ πᾶσαν ἀρετὴν τελείαν, οὐκ ἄνευ τῶν τοῦ σώματος κατὰ φύσιν ἀγαθῶν, καὶ τῶν ἐκτός.

Αἱρέσιος. ὄνομα κύριον.

Αἱρετίζω. τὰ τῶν αἱρετικῶν φρονῶ. σημαίνει καὶ τὸ προαιροῦμαι. ἐξ οὗ καὶ αἱρετισάμενος, καὶ ᾑρετίσατο.

Αἱρετόν. ἐπιθυμητόν. [5] τοῦτο τριχῶς λέγεται. τὸ καλὸν, τὸ ἡδὺ, καὶ τὸ συμφέρον. ᾧ δὴ ταῦτα πάντα ὑπάρχει, καὶ διὰ πάντα αἱρετὸν, τοῦτο τῶν μὴ πάντα ἐχόντων αἱρετώτερον· οἷον ἡ φρόνησις. Καὶ αὖθις· Ὁ δὲ [6] Αὐρηλιανὸς ὁ βασιλεὺς μᾶλλον ἀναγκαῖος ἦν στρατηγὸς, ἤπερ αἱρετὸς βασιλεὺς, ἐν παντὶ καιρῷ δυσχερὴς ὢν, καὶ ἀπρόσιτος, ὡς μηδὲ τῶν οἰκείων αἵματος διαμεῖναι καθαρός.

Αἱρετώτερος. προκριτότερος. Οὐκ ἐκ παραλλήλου κεῖται τὸ αἱρετώτερον τοῦ βελτίονος, ἀλλ' ἐπὶ

Αἶρε πλῆκτρον. Tolle calcar. Id eſt, telum, quo vis hoſtilis propulſatur. Tranſlatio ducta eſt a gallis gallinaceis, qui ferreis ſtimulis armati pugnare ſolent. Eos autem ſtimulos nos κέντρα, alii vero πλῆκτρα vocant. Πλῆκτρα vero ſunt ferrei illi ſtimuli, qui calcaribus gallorum addi ſolent.

Αἵρεσις. Everſio. Deſtructio. *Quamobrem etiam illum primum omnium per inſidias aggreſſi ſunt, ut Deo grata & antiqua inſtituta moreſque funditus, quod ajunt, everterent.*

Αἵρεσις. Secta, quæ rationem aliquam probabilem ſequitur, aut ſequi videtur. Hippobotus dicit novem eſſe ſectas, ſive diſciplinas Philoſophorum: Megaricam, Eretriacam, Cyrenaicam, Epicuream, Anniceriam, Theodoriam, Zenoniam (quam & Stoicam vocant) Academicam, Peripateticam. Cynicæ autem & Eliacæ atque Dialecticæ nullam mentionem facit. Nam Pyrrhonia quidem propter obſcuritatem a pleriſque repudiatur. Si enim ſectam intelligimus propenſionem ad dogmata, quæ aliquam habent conſequentiam; Pyrrhonia non poterit appellari ſecta. Nulla enim habet dogmata. Præterea vero ſecta quædam Eclectica introducta eſt a Potamone Alexandrino, qui ex ſingulis ſectis ea, quæ ſibi placerent, eligebat. Hic criteria veritatis duo eſſe dicebat: unum, a quo fiat judicium, id eſt, mentem: alterum, per quod; id eſt, phantaſiam claram & certam. Principia vero omnium rerum idem ſtatuebat, materiam, efficiens, effectionem, & locum. Ex quo enim fiant omnia [inquirimus,] & a quo, & quali, & in quo. Finem vero, ad quem omnia referantur, dicebat eſſe vitam, omni virtute perfectâ, boniſque corporis naturalibus & externis inſtructâ.

Αἱρέσιος. Hæreſius. Nomen proprium.

Αἱρετίζω. Cum Hæreticis ſentio. Hæreticorum opinionem ſequor. Item, eligo. Hinc αἱρετισάμενος, & ᾑρετίσατο.

Αἱρετόν. Expetendum. Hoc triplex eſt: Honeſtum, jucundum, & utile. Cui igitur hæc omnia inſunt, & quod ob omnia iſta expetendum eſt, præferendum utique eſt illis, quibus ea omnia non inſunt: ut prudentia. Et iterum: *Aurelianus vero magis neceſſarius erat belli dux, quam Imperator amabilis, trux omni tempore, & acceſſu difficilis, & qui ne a neceſſitudinum quidem cæde abſtineret.*

Αἱρετώτερος. Magis expetendus. Anteponendus. Τὸ αἱρετώτερον, & τὸ βέλ-

---

[1] Αἶρε πλῆκτρον. τουτέστιν, ὅπλ. ἀμυ.] Totum hunc locum deſcripſit Suidas ex Scholiaſta Ariſtophanis ad *Aves* pag. 577. Vide etiam infra v. Πλῆκτρον.

[2] Αἵρεσις. ἡ λόγῳ τινὶ κατὰ τὸ φ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Laertii lib. 1. ſegm. XIX. XX.

[3] Πρόσκλισιν] Sic recte MS. Pariſ. A. At priores Editt. male πρόσκλησιν.

[4] Κριτήρια δὲ φησιν εἶναι τἀληθῆ] Locus hic ex Laertio ſic emendandus eſt: Κριτήρια δὲ φησιν εἶναι τῆς ἀληθείας δύο, &c.

[5] Τοῦτο τριχῶς λέγεται——— ἡ φρόνησις] Locus hic ex Alexandro Aphrodiſeo in *Topica* pag. 140. ſic ſupplendus & ampliandus eſt: Λέγεται δὴ τὸ αἱρετὸν τριχῶς. ἢ γὰρ τὸ καλὸν, ἢ καὶ τὸ ἡδὺ, ἢ τὸ συμφέρον αἱρετόν. ᾧ δὴ πάντα ταῦτα ὑπάρχει, ἢ διὰ πάντα ἐστὶν αἱρετὸν, τοῦτο τῶν μὴ πάντα ἐχόντων αἱρετώτερον. ἢ ᾧ τὰ πλείω τῶν οἷς τὰ ἐλάττω, ἐὰν τὰ ὁμοίως αὐτοῖς ὑπάρχῃ. ἐπειδὴ δύναταί γε τὸ κατά τι ἓν σφόδρα αἱρετὸν, τοῦ κατὰ πάντα μὲν μὴ μέντοι σφόδρα αἱρετοῦ αἱρετώτερον εἶναι. Ἡ γοῦν φρόνησις δι' αὑτὴν μόνον οὖσα αἱρετὴ, αἱρετωτέρα ἐστὶν ἰσχύος διὰ πάντα οὔσης αἱρετῆς, &c.

[6] Ὁ δὲ Αὐρηλιανὸς ὁ βασιλεὺς μᾶλλον ἀναγκ.] Fragmentum hoc exſtat in Excerptis Joannis Antiocheni a Valeſio editis pag. 834. idemque legitur ſupra v. Αὐρηλιανός.

πλεῖον τὸ βέλτιον τοῦ αἱρετωτέρου. τὸ μὲν γὰρ αἱρετώτερον ἐν τοῖς αἱρετοῖς καὶ μόνοις· τὸ δὲ βέλτιον καὶ ἐν ἄλλοις. καὶ γὰρ ἐν θεωρητικοῖς, καὶ φυσικοῖς, καὶ λογικοῖς ἡ ζήτησις ἡ τοῦ βελτίονος. ὁ γὰρ ζητῶν, ποτέρα βελτίων οὐσία, ἡ κινουμένη, ἢ ἀκίνητος· φυσικὸν μεταχειρίζεται πρόβλημα. λογικὸς δὲ, ὁ ζητῶν, πότερον βέλτιον, ἐπαγωγὴ, ἢ συλλογισμός. θεωρητικὸς δὲ, ὁ ζητῶν, πότερον ἡ φρόνησις πρακτικώτερον, ἢ θεωρητικώτερον.

πον melius, non ſunt ſynonyma, nec ejuſdem plane ſignificationis: ſed τὸ βέλτιον latius patet quam τὸ αἱρετώτερον. Nam τὸ αἱρετὸν in rebus expetendis, iiſque ſolis verſatur: τὸ βέλτιον vero etiam in aliis. Nam & in Theoreticis & Phyſicis & Logicis quæſtio de eo, quod eſt melius, locum habet. Qui enim quærit, utra ſubſtantia ſit melior, mobiliſne, an vero immobilis; is quæſtionem phyſicam tractat. Logicus vero quærit, utrum Inductio, an vero Syllogiſmus præſtet. Theoreticus vero quærit, utrum prudentia in actione, an vero in contemplatione potius verſetur.

Αἱρούμενος. ἀφαιρούμενος.

Αἱρούμενος. Auferens.

Αἱραί. πόλις Μακεδονίας. τὸ ἐθνικὸν, Αἱρεύς.

Αἱραί. Æræ. Urbs Macedoniæ. Gentile eſt, Αἱρεύς.

Αἱρεῖ. ἀναιρεῖ. φονεύει. [1] Σοφοκλῆς·

——Πόλεμος οὐδέν' ἄνδρ' ἑκὼν
Αἱρεῖ πονηρὸν, ἀλλὰ τοὺς χρηστοὺς ἀεί.

Αἱρεῖ. Cædit. Occidit. E medio tollit. Sophocles: *In bello vix unquam homines mali, ſed ſemper boni e medio tolluntur.*

Αἱρεῖ. καταλαμβάνει. καὶ αἱρεῖν, κατὰ κράτος λαμβάνειν.

Αἱρεῖ. Capit. Occupat. Et αἱρεῖν, per vim aliquid occupare, vel expugnare.

Αἴρειν. αὔξειν. Ἢ τράπεζαν παραθεῖναι, ἢ αἴρειν.

Αἴρειν. Augere. [De medio tollere.] *Vel menſam apponere, vel tollere.*

Αἴρειν ἔξω πόδα πηλοῦ. ἐπὶ τῶν βουλομένων μὴ ἐν πράγμασιν εἶναι. λέγεται δὲ καὶ αἴρειν ἔξω πόδα αἰτίας.

Αἴρειν ἔξω πόδα π. Pedem ex luto extrahere. De iis, qui negotia fugiunt. Dicitur etiam, pedem extra crimen habere.

Αἴρειν. καὶ τὸ προσφέρειν δηλοῖ.

Αἶρ', αἶρε μᾶζαν ὡς τάχιστα κανθάρῳ.

Ἀριστοφάνης Εἰρήνῃ. καὶ μετὰ τῆς προθέσεως, Φερεκράτης Πετάλῃ·

Πρόσαιρε τὸ κανοῦν. εἰ δὲ βούλει, πρόσφερε.

ἐτίθεσαν [2] δὲ τὴν λέξιν, ὡς καὶ ἡμεῖς, ἐπὶ τοῦ παρακειμένην ἀφελεῖν τὴν τράπεζαν. Μένανδρος Κεκρυφάλῳ·

Εἶτ' εὐθὺς οὕτω τὰς τραπέζας αἴρετε.
Μύρα, στεφάνους ἑτοίμασον, σπονδὰς ποίει.

καὶ Συναριστώσαις·

Ἂν ἔτι πιεῖν μοι δῷ τις. ἀλλ' ἡ βάρβαρος
Ἅμα τῇ τραπέζῃ καὶ τὸν οἶνον ᾤχετο
Ἄρασ' ἀφ' ἡμῶν.

Αἴρειν. Significat etiam admovere, vel præbere. Ariſtophanes *Pace*: *Præbe, præbe quam celerrime mazam ſcarabæo.* Et cum præpoſitione πρὸς, Pherecrates *Petale*: *Admove caniſtrum: vel, ſi vis, affer.* Significabat etiam hæc vox apud veteres, uti & apud nos, menſam poſitam removere. Menander *Cecryphalo*: *Deinde menſas confeſtim removete.* [*Tu vero*] *unguenta & coronas para, & libationes perage.* Idem *Synariſtoſis*: *Adhuc mihi* [*vinum*] *aliquis bibendum det. Sed hæc barbara abiit, ablato cum menſa & vino.*

Αἱρεῖς. δοξάζεις. ἡγῇ. ἐκ τοῦ Θεολόγου· καὶ ὁ λόγος αἱρεῖ, μὴ τιθέναι πρόσκομμα.

Αἱρεῖς. Opinaris. Exiſtimas. Ex Theologo: *Et ratio convincit, non oportere cuiquam præbere offendiculum.*

Αἱρεῖσθαι. ἐργάζεσθαι.

Αἱρεῖσθαι. Operari. Opus facere.

Αἱρῇ. βούλει. Ἐπείπερ αὐτὸς αἱρῇ λέγειν.

Αἱρῇ. Vis. *Quandoquidem ipſe dicere vis.*

Αἱρησαμένων. βουλευσαμένων.

Αἱρησαμένων. Illorum qui conſultarunt.

Αἱρήσασθαι. λαβεῖν.

Αἱρήσασθαι. Cepiſſe. Capere.

Αἱρήσεται. λήψῃ.

Αἱρήσεται. Capiet. Vel, capietur.

Αἱρήσειν. κρατήσειν, συλλαβεῖν, ἑλκύσαι, χειρώσασθαι, πορθῆσαι.

Αἱρήσειν. Capturum, comprehenſurum, tracturum, ſubacturum, direpturum eſſe.

Αἱρήσω τάχα. οἱ πειρώμενοι μετελθεῖν τινας, εἰώθασι τοῦτο λέγειν. καὶ, Αἱροῦντες ᾑρήμεθα. ἐπὶ τῶν ἐλπισάντων κρατήσειν τινῶν, καὶ ὑπ' ἐκείνων ἁλόντων. Αἱροῦντες οὖν ᾑρήμεθα· δοκοῦντες κρατεῖν ἐλήφθημεν.

Αἱρήσω τάχα. Capiam fortaſſe. Qui aliquos perſequuntur, hoc dicere conſueverunt. Et, *Captantes capti ſumus.* Dicitur de illis, qui, cum ſperarent, ſe alios capturos eſſe, ipſi ab illis capiuntur.

---

[1] Σοφοκλῆς] *Philoctete* pag. 401.

[2] Ἐτίθεσαν δὲ τὴν λέξιν, ὡς καὶ ἡμ.] Hæc, & quæ ſequuntur, ex Athenæo procul dubio deſcripſit Suidas, quamvis ea apud ſcriptorem iſtum hodie non reperias. Ratio ejus rei eſt, quod duorum priorum librorum Athenæi epitomen tantum hodie habeamus, quibus integris Suidam uſum fuiſſe ex multis apud eum eclogis colligere licet. Exiſtimo autem locum hunc deſcriptum eſſe ex libro primo *Dipnoſophiſtarum*, quoniam illic Athenæus ex veterum ſcriptis congeſſerat, quæ ad morem apponendi & removendi menſas pertinent, ut colligi poteſt ex iis, quæ hodie adhuc in Epitome iſtius libri pag. 11. & 12. leguntur.

Αἱρήσομαι. λήψομαι. σκέψομαι. βουλεύσομαι.

Αἱρείτω. κατεχέτω.

Αἱρεσέων. ὄνομα ἔθνους. καὶ Αἱρεσεύς.

Αἰρόμενος. φερόμενος.

Αἰρόπινον.[1] σκοτεινόν. καὶ τὸ κόσκινον, ἐν ᾧ πυροὶ σήθονται, ὑπὲρ τοῦ τὰς αἴρας διελθεῖν.

Αἱρούμενος. βουλόμενος. καὶ δεῖπνον αἱρουμένοις, ἀντὶ τοῦ ἑλομένοις δειπνεῖν. Σῖτόν τε αἱρῇ τὸν αὐτὸν ἐκείνοις, καὶ πόμα παραπλήσιον.

Αἶσα. ἡ μοῖρα. ἐν [2] Ἐπιγράμματι·

Οὐ φθονέω· τὴν σὴν ἤθελον αἶσαν ἔχειν.

καὶ αἶσα, ἡ μανία. Τὸν [3] αἶσ' ἄπλατος ἴσχει. τουτέστι, μανία.

Αἴσακος. ὁ κλάδος τῆς δάφνης, ὃν κατέχοντες ὕμνουν τοὺς Θεούς.

Αἰσαλών. εἶδος ζώου.

Αἴσηπος. ὄνομα ποταμοῦ.

Αἴσιμα. τὰ προσήκοντα. παρὰ τὴν αἶσαν. ἐνίοτε δὲ τὰ καθήκοντα, ἢ τὰ ἀγαθά. ἔσθ' ὅτε δὲ τὰ εἱμαρμένα.

Αἰσιμία. ἡ μαντεία.

Αἴσιμος. ὁ χωλός, καὶ ἄτιμος, καὶ ἀμαθής. [4] Ἀριστοφάνης·

Ἰδίᾳ σκοπεῖσθ' ἕκαστος ὅ, τι τις κερδανεῖ·
Τὸ δὲ κοινὸν ὥσπερ Αἴσιμος κυλίνδεται.

Αἰσιμῶ.[5] τὸ καταναλίσκω.

Αἴσιον. τὸ καλόν. μέτριον. δίκαιον. καὶ ὑπεραίσιον, τὸ ὑπὲρ τὴν μοῖραν. ὑπὲρ τὸ προσῆκον.

Αἴσιος. ὁ καθήκων, ἀληθής. Μένανδρος· [6] Ἀλλ' οὐκ αἰσίως αὐτοῖς ἀπέπνευσεν ἡ τύχη. οἱ γὰρ ἐθελοκακοῦντες [7] οὐχ ὑπεστάλησαν. καὶ αὖθις· Καὶ τοῦτο οὐκ αἴσιον δόξαι ἂν βασιλεῖ. † Ὅτι [8] Δημοσθένης συνεφιλολόγησεν Αἰσίῳ τῷ Ἀθηναίῳ.

Αἰσθάνεσθαι. γενικῇ. τοῦτο δύο σημαίνει· τὸ κατὰ δύναμιν, καὶ κατ' ἐνέργειαν. αἰσθάνεσθαι τοίνυν λέγονται οἱ κοιμώμενοι, δύναμιν ἔχοντες τοῦ αἰσθάνεσθαι.

Αἰσθέσθαι καὶ αἰσθάνεσθαι διαφέρει. τὸ μὲν γὰρ αἰσθέσθαι, ἐπὶ τοῦ ἀκριβῶς εἰδέναι τι. τὸ δὲ αἰσθάνεσθαι, ἐπὶ τοῦ ὑπονοεῖν τι. καὶ περὶ μὲν τοῦ αἰσθάνεσθαι Ἀντιφῶν ἐν Προοιμίοις· Ἐγραψάμην ταύτην τὴν γραφὴν ἠδικημένος ὑπὸ τούτου νὴ Δία πολλά· ἔτι δὲ καὶ πλείω ὑμᾶς ᾐσθημένος ἠδικημένους, καὶ τοὺς ἄλλους πολίτας. Τὸ δὲ αἰσθάνεσθαι ἐπὶ τοῦ ὑποπτεύειν, καὶ οὐκ ἐπὶ τοῦ βεβαίως εἰδέναι. Λυ-

Αἱρήσομαι. Capiam. Diſpiciam. Deliberabo.

Αἱρείτω. Capiat. Comprehendat.

Αἱρεσέων. Hæriſeorum. Ab Αἱρεσεύς, quod eſt nomen gentis.

Αἰρόμενος. Qui tollitur. Qui fertur.

Αἰρόπινον. Obſcurum. Tenebroſum. Item cribrum, quo frumentum cribratur, ut lolium per ejus foramina tranſeat.

Αἱρούμενος. Volens. Et δεῖπνον αἱρουμένοις. Cœnam capientibus. Et αἱρῇ. Capis. Particeps es. *Et cibum eundem capis, quem illi, & ſimilem potum.*

Αἶσα. Fatum. Sors. In Epigrammate: *Non invideo* [*tibi.*] *Tua autem vellem ſors mihi obtigiſſet.* Et αἶσα, inſania. *Fatalis eum inſania tenet.*

Αἴσακος. Lauri ramus, quem tenentes hymnis Deos celebrare ſolebant.

Αἰσαλών. Animalis genus

Αἴσηπος. Æſepus. Nomen fluvii.

Αἴσιμα. Quæ conveniunt. Quæ decent. Ab αἶσα. Interdum etiam officia, ſive ea, quæ honeſta ſunt. Item, fatalia.

Αἰσιμία. Vaticinium.

Αἴσιμος. Claudus. Item, infamis, & imperitus. Ariſtophanes: *Proprii unuſquiſque lucri & quæſtus rationem habet. Reſpubl. vero ut Æſimus claudicat.*

Αἰσιμῶ. Abſumo. Conſumo.

Αἴσιον. Honeſtum. Moderatum. Juſtum. Et ὑπεραίσιον. Quod eſt præter fatum, præter decorum, vel præter officium.

Αἴσιος. Decens. Conveniens. Verus. [Felix.] Menander: *Sed rem ex ſententia non geſſerunt, militibus pugnam ſponte remittentibus.* Et iterum: *Hoc vero Regi non videbitur decorum.* † Demoſthenes in diſcenda eloquentia Æſionem Athenienſem ſocium habuit.

Αἰσθάνεσθαι. Sentire. Genitivo jungitur. Duplici autem ſenſu aliquis *ſentire* dicitur: vel ſecundum facultatem, vel actum. Nam & dormientes ſentire dicuntur, quia ſentiendi facultatem habent.

Αἰσθέσθαι & αἰσθάνεσθαι differunt. Nam αἰσθέσθαι ſignificat, aliquid certo ſcire. Αἰσθάνεσθαι vero, aliquid ſuſpicari. Et verbo αἰσθέσθαι uſus eſt Antipho in *Prooemiis: Hanc actionem inſtitui, non ſolum multis ab eo injuriis affectus, ſed etiam qui ſcirem, vos & cæteros cives longe pluribus injuriis affectos eſſe.* Αἰσθάνεσθαι vero ſignificat aliquid ſuſpicari, non vero certo ſcire. Lyſias in oraσίας ἐν τῷ πρὸς Ἀλκιβιάδην φησίν· Οἶμαι μὲν τοίνυν καὶ ἐκεῖνο ἡμᾶς αἰσθάνεσθαι, ὅτι Ἀλκιβιάδης οὐκ ἄλλο τι ἐζήτει κομίσασθαι, ἀλλὰ τῶν ἐμῶν ἠμφισβήτει. Ἔταξαν δὲ αὐτὸ καὶ ἐπὶ τοῦ εἰδέναι. Ἰσαῖος· Τὰ δὲ τοιούτων δὴ μαρτυριῶν οἱ δικάζοντες τὰ μὲν αὐτοὶ συνειδότες, ὅτι ὑγίανεν ὁ παῖς, τῶν ἑωρακότων αἰσθανόμενοι μαρτυρούντων· τὰ δὲ ἀκοῇ πυνθανόμενοι.

---

[1] Αἰρόπινον] Sic Pollux lib. x. cap. xxv. in f. & Etymologus. At Heſychius αἰρόπιον.

[2] Ἐν Ἐπιγράμματι] Anthol. lib. vii. pag. 607.

[3] Τὸν αἶσ' ἄπλατος ἴσχει] Hæc ſunt verba Sophoclis *Ajace* pag. 56. ut Portus obſervavit.

[4] Ἀριστοφάνης] *Eccleſiaz.* pag. 730. (490. Ed. Baſ. *P.*) ubi vide Scholiaſtam.

[5] Αἰσιμῶ] Vide ſupra v. Ἀναισίμου.

[6] Ἀλλ' οὐκ αἰσίως αὐτ.] Hæc ſunt verba Menandri hiſtorici, non Comici; quod ideo moneo, ne quem in errorem inducat Portus, qui fragmentum hoc, tanquam ex Menandro Comico depromptum, in verſus Jambicos redigere conatus eſt.

[7] Οὐχ] Voculam hanc delendam cenſeo. Senſui enim repugnare videtur, quantum quidem ex tam brevi fragmento colligere licet.

[8] Ὅτι Δημοσθένης συνεφιλολόγησεν Αἰσ.] Hæc occurrunt etiam ſupra v. Δημοσθένης: ſed ubi pro Αἰσίῳ rectius legitur Αἰσίωνι. Confer de hoc loco Reineſium *Var. Lect.* lib. iii. pag. 330. 331.

Αἰσθήσεις έ. ὅτι τρανεστέρα ἡ ὄψις τῆς ἀκοῆς, καὶ αὐτὴ τῆς ὀσφρήσεως· ἡ ὄσφρησις τῆς γεύσεως, καὶ τῆς ἁφῆς. ἡ [1] μέν τοι ἁφὴ δοκεῖ μηδὲ αἴσθησις εἶναι. ἑκάστη γὰρ τῶν ἄλλων αἰσθήσεων περὶ μίαν τινὰ τῶν αἰσθητῶν τὴν ἀντίθεσιν ἐνεργεῖ, καὶ τὰ ταύτης μεταξύ· οἷον, ὄψις μὲν περὶ τὸ μέλαν, καὶ τὸ λευκὸν, καὶ τὰ τούτου μεταξὺ χρώματα. ἀκοὴ δὲ, περὶ τὸν βαρὺν καὶ τὸν ὀξὺν φθόγγον, καὶ τοὺς μεταξύ. ὄσφρησις περὶ τὸ εὐῶδες καὶ τὸ δυσῶδες. γεῦσις περὶ τὸ γλυκὺ καὶ τὸ πικρὸν, καὶ τὰ τούτων μεταξύ. ἡ μέν τοι ἁφὴ περὶ πλείους ἀντιθέσεις ἔχει, οὐκ οὔσας ὑπ' ἀλλήλους. περί τε γὰρ τὸ θερμὸν, καὶ τὸ ψυχρόν· καὶ τὸ ὑγρὸν, καὶ τὸ ξηρόν· καὶ τὸ σκληρὸν, καὶ μαλακόν· καὶ τὸ βαρὺ καὶ τὸ κοῦφον· καὶ τὸ μανὸν, καὶ τὸ πυκνόν· ἅπερ ὑπάλληλα εἶναι οὐ δύναται. † Ὅτι αἱ [2] αἰσθήσεις τῶν μειζόνων αἰσθητῶν ἀντιλαμβανόμεναι, οὐκέτι μετ' ἐκείνων τῶν ἡττόνων ἀντιλαμβάνεσθαι δύνανται. ὁ γὰρ πληκτικωτέρων χυμῶν γευσάμενος, τῶν ἠρεμαιοτέρων οὐκ ἐπαισθάνεται. καὶ ὁ μεγάλων ψόφων ἀκηκοὼς, πρὸς τοὺς ἥττους ἐστὶν ἀνεπαίσθητος. καὶ ὁ πρὸς ἥλιον ἀτενίσας, ἀναγνῶναι οὐ δύναται, οὐδὲ τῶν ἄλλων ἀκριβῶς ὁρατῶν ἀντιλαμβάνεσθαι. ὁμοίως καὶ ἐπὶ τῆς ἁφῆς. ὁ δὲ νοῦς τούτοις ἐναντίως ἔχει. ὅσῳ γὰρ τῶν μειζόνων νοητῶν ἀντιλαμβάνεται, τοσοῦτον καὶ ἀκριβέστερός ἐστι πρὸς τὴν ἀντίληψιν τῶν ἡττόνων. καὶ τὰς μὲν αἰσθήσεις ὑπερβολαὶ τῶν αἰσθητῶν φθείρουσιν. ὑπερβολὴ γὰρ φωτὸς, ἢ ζόφου, ἔφθειρε τὴν ὄψιν. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. τὸν δὲ νοῦν τῶν μειζόνων νοητῶν ἡ ἀντίληψις ὀξυδερκέστερον ποιεῖ. † Ὅτι [3] κοινὰ αἰσθητὰ έ. κίνησις, ἠρεμία, ἀριθμὸς, σχῆμα, μέγεθος. κοινὰ δὲ ταῦτα εἶναι λέγονται, οὐχ ὅτι ἓν ἕκαστον αὐτῶν πάσαις ταῖς αἰσθήσεσιν ὑποπίπτει, ἀλλ' ὅτι ἕκαστον πλείοσι, καὶ οὐ μιᾷ. τινὰ δὲ καὶ πάσαις ἅμα. τὸ μὲν γὰρ μέγεθος κοινόν ἐστιν αἰσθητὸν ὄψεως καὶ ἁφῆς. ὁρῶμεν γὰρ, ὅτι μέγας ἐστὶ τυχὸν ὁ ἄνθρωπος· καὶ ἁπτόμενοι αἰσθανόμεθα, ὅτι μέγας ἢ μικρὸς ὁ προσπεσὼν ὄγκος, καὶ τὸ διάστημα. ἤδη δὲ καὶ ψόφου λέγομεν ᾐσθῆσθαι μεγάλου, ἢ μικροῦ. ἀλλ' ἐνταῦθα τὸ μέγεθος κατ' ἀναλογίαν εἴληπται, οὐ κυρίως. μέγεθος γὰρ λέγομεν τὸ συνεχὲς τῶν κοινῶν εἶναι αἰσθητῶν. ὁ μέν τοι μέγας ψόφος, ποιότητός ἐστιν ἐπιτεταμένης καὶ ἀνει-

tione adverſus Alcibiadem: *Arbitror igitur & illud vos ſentire, Alcibiadem nil aliud hinc conſequi ſtuduiſſe; ſed de bonis meis contendere voluiſſe.* Idem tamen vocabulum etiam pro *ſcire* [nonnulli] adhibuerunt. Iſæus: *Hæc vero teſtimonia partim ipſi Judices norunt, ſibi conſcii puerum tunc bene valuiſſe, (teſtes enim ipſi audiverunt;) partim vero fama acceperunt.*

Αἰσθήσεις πέντε. Quinque ſunt ſenſus. Ex his viſus clarior & diſtinctior eſt auditu; auditus olfactu; olfactus guſtatu & tactu. Tactus tamen ne ſenſus quidem eſſe videtur. Nam cæterorum ſenſuum quilibet in una tantum rerum ſenſilium oppoſitione, & in intermediis verſatur: veluti viſus in albo & nigro, & interjectis coloribus: auditus in ſono gravi & acuto, & interjectis: olfactus in odoribus & fœtoribus: guſtatus in dulci & amaro, & interjectis ſaporibus. Tactus autem in pluribus oppoſitionibus cernitur, non ſubalternis; ut in frigido & calido; humido & ſicco; duro & molli; gravi & levi; raro & denſo: quæ ſubalterna eſſe non poſſunt. † Senſus majoribus ſenſilibus perceptis, poſtea minora ſentire non poſſunt. Nam qui acriores ſapores guſtavit, is remiſſiores non percipit: & qui magnos ſtrepitus audivit, minores non ſentit: itemque qui ſolem intuitus eſt, legere non poteſt, aut alia quævis viſu dignoſcere. Idem etiam de tactu dicendum eſt. Mentis vero contraria eſt ratio. Quo enim majora intellectilia comprehenderit, eo expeditior eſt ad minora comprehendenda. Et ſenſum quidem immoderata ſenſilium vis corrumpit. Nimia enim lux vel obſcuritas viſui nocet: idemque de reliquis ſenſibus dicendum eſt. Mentem vero majorum intellectilium comprehenſio acutiorem facit. † Communia ſenſilia ſunt quinque: motus, quies, numerus, figura, magnitudo. Communia vero dicuntur, non quod eorum quodlibet ſub omnes ſenſus cadat: ſed quod ſingula ſub plures, non unum tantum, quædam vero etiam ſub omnes ſimul cadant. Nam magnitudo quidem eſt commune ſenſile viſus & tactus. Videmus enim ex. gr. magnum eſſe hominem; & tangendo ſentimus magnam aut parvam eſſe objectam molem & intervallum. Quinetiam ſtrepitum magnum vel parvum nos audiviſſe dicimus. Sed tunc magnitudo ſecundum proportionem quandam ſumitur, non autem proprie. Magnitudinem enim dicimus eſſe id, quod eſt continuum in rebus ſenſilibus. Magnus vero [vel parvus] ſtrepitus qualitatem intenſam vel remiſſam ſignificat. Quare lenis aut vehemens ſtrepitus magis proprie dicetur. Figura autem tam ſub viſum quam taμένης δηλωτικός. διὸ τὸ ἀμυδρὸν ἢ σφοδρὸν κυριώτερον ἐπὶ τῶν ψόφων ἁρμόζει λέγεσθαι. τὸ δὲ σχῆμα κοινὸν ὄψεως καὶ ἁφῆς. σχῆμα δὲ, οὐ τὸ τετράγωνον, ἢ ὀκτάγωνον (τοῦτο γὰρ λόγου ἐστὶ τὸ εἰπεῖν, ὅτι σχῆμά ἐστι τὸ ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, ἢ ὑπὸ τριῶν, ἢ ὅσων δήποτε) ἀλλ' ὅ, τι ἁπλῶς περιγέγραπται. πᾶσα δὲ περιγραφὴ κατά τι τῶν σχημάτων γίνεται. καὶ τὰ ἄλογα γοῦν, ὅταν ἐπὶ μικρὸν ὕψος καὶ ἐπανάστημα γῆς ἐμπέσωσιν, ἐπιβαίνουσι διελθεῖν, ἅτε δὴ ἐπιστάμενα, ὡς περιγέγραπται τὸ μέγεθος, καὶ οἷά τε ἐστὶ διελθεῖν. εἰς δὲ ὑψηλὸν καὶ ἀπόκρημνον ἐμπεσόντα, οὐκ ἐπιχειρεῖ παρελθεῖν, συναισθόμενα τοῦ μεγέθους τοῦ σχήματος. ὁ δὲ ἀριθμὸς κοινόν ἐστιν αἰσθητὸν πασῶν. [1]ὁρῶμεν γὰρ, ὅτι έ τυχὸν ἄνθρωποι ἀλλὰ καὶ ψηλαφῶντες τοῦτο αὐτὸ ἴσμεν, καὶ μὴν ἀκούοντες.

---

[1] Ἡ μέν τοι ἁφὴ δοκεῖ μηδὲ αἰσθ. —— ἅπερ ὑπάλληλα εἶναι οὐ δύναται] His ſimilia leguntur apud Philoponum in lib. II. Ariſtot. *de Anima*, M. 7. b. Non tamen Suidæ verba inde deſumpta ſunt. *Pearſ.*

[2] Ὅτι αἱ αἰσθήσεις τῶν μειζόνων αἰσθ. —— ὀξυδερκέστερον ποιεῖ] Totus hic locus ad verbum deſcriptus eſt ex Philopono in lib. II. Ariſt. *de An.* H. 5. a.

[3] Ὅτι κοινὰ αἰσθητὰ έ. κίνησις, ἠρεμ.] Hæc, & omnia quæ ſequuntur uſque ad finem articuli, itidem deprompta ſunt ex modo laudato Philopono in lib. II. Ariſtot. *de An.* I. 8. a. b. ut Pearſonius recte obſervavit.

Αἴσθομαί σου. τὸ αἰσθήσεως ἐπιλαμβάνομαι.

Αἰσθόμενοι. νοήσαντες. Οἱ δὲ τὴν προθυμίαν τοῦ Καίσαρος ἰδόντες, καὶ τὰ ἔργα ὁμολογοῦντα ταῖς ἐλπίσιν αἰσθόμενοι.

Αἴσθων. αἰσθόμενος, καὶ βασανιζόμενος ἢ ἐκπνέων.

Αἰσούρ. ὄνομα κύριον.

Αἰσώπειον αἷμα. ἐπὶ τῶν ἀδίκως ἀναιρουμένων. οὐ γὰρ ἐνδίκως ἀπέκτειναν τὸν Αἴσωπον οἱ Δελφοί. Αἰσώπειον οὖν αἷμα, ἐπὶ τῶν [2]δυσαποῤῥύπτοις ὀνείδεσι καὶ κακοῖς συνεχομένων. Δελφοῖς γὰρ συνέβη τὸ δαιμόνιον ὀργισθῆναι, ἀδίκως ἀνελοῦσιν Αἴσωπον.

Αἴσωπος, Μιθριδάτου ἀναγνώστης. [3]ἔγραψε περὶ Ἑλένης· ἐν ᾧ φησὶ, [4]πᾶνα ἰχθὺν καλεῖσθαι κητώδη. ἐν τούτῳ δὲ ἀστερίτην λίθον εὑρίσκεσθαι, ὃς ὑπὸ τῷ ἡλίῳ ἀνάπτεται. ποιεῖ δὲ πρὸς φίλτρα. ἔγραψε καὶ Μιθριδάτου ἐγκώμιον.

Αἴσωπος, Σάμιος, ἢ Σαρδιανός. Εὐγείτων δὲ [5]Μεσημβριανὸν εἶπεν. ἄλλοι, Κοτυαέα Φρύγα. ἐγένετο δὲ λογοποιὸς, ὅ ἐστιν εὑρετὴς λόγων καὶ ἀποκειμάτων. διέτριψε δὲ παρὰ Κροίσῳ φιλούμενος, τοῖς χρόνοις πρὸ Πυθαγόρου· ὃς [6]μεσοῦν ἐπὶ τῆς μ' Ὀλυμπιάδος. ἔγραψε τὰ ἐν Δελφοῖς αὐτῷ συμβάντα ἐν βιβλίοις β'. μᾶλλον δέ τινες φασὶ τὸν Αἴσωπον ἀποκείματα γεγραφέναι μόνον. [7]ἐν γὰρ Δελφοῖς ἀδίκως ἀπολέσθαι, ὑπ' αὐτῶν κατακρημνισθέντα ἀπὸ τῶν Φαιδριάδων καλουμένων πετρῶν, κατὰ τὴν νδ' Ὀλυμπιάδα. οἰκέτην δὲ γενέσθαι Ξάνθου τοῦ Λυδοῦ. ἄλλοι, ἀνδρός τινος Σαμίου [8]Ἰάδμονος, οὗτινος καὶ ἡ Ῥο-

ctum cadit: figura inquam, non quadrangula, aut octangula; (rationis enim eſt dicere, figuram linea una, aut duabus, aut tribus, aut quotcunque tandem, circumſcriptam eſſe) ſed ſimpliciter circumſcripta. Omnis autem circumſcriptio fit ſecundum aliquam figuram. Itaque & brutæ animantes, cum ad tumulum aliquem vel collem modice editum pervenerunt, adſcendere non dubitant, quippe ſcientes, magnitudinem eſſe circumſcriptam, eamque a ſe tranſiri poſſe. Sin in locum nimis altum & præcipitem inciderint, tranſire non audent, animadverſa figuræ magnitudine. Numerus vero ſenſuum omnium commune eſt ſenſile. Nam quinque homines ex. gr. in aliquo loco eſſe videmus: idemque tactu atque auditu cognoſcere poſſumus.

Αἴσθομαί σου. Sentio te. Senſu te percipio.

Αἰσθόμενοι. Qui ſenſerunt. Qui animadverterunt. *Illi vero, cum Cæſaris alacritatem vidiſſent, & facta ſpei reſpondere animadvertiſſent.*

Αἴσθων. Sentiens. Animadvertens. Item, examinans. Vel, expirans.

Αἰσούρ. Æſur. Nomen proprium.

Αἰσώπειον αἷμα. Æſopeus ſanguis. De iis, qui injuſte occiduntur. Delphi enim Æſopum injuſta morte affecerunt. Æſopeus igitur ſanguis dicitur de illis, qui criminibus & piaculis obſtricti ſunt, quæ difficulter elui queunt. Deum enim Delphis iratum fuiſſe ferunt, quod Æſopum injuſte interfeciſſent.

Αἴσωπος. Æſopus, Mithridatis Anagnoſta. Scripſit de Helena: in quo opere dicit, eſſe piſcem quendā cetacei generis, Pana vocatum, in quo reperiatur lapis Aſterites, qui a Sole accendatur, & ad amores conciliandos aptus ſit. Idem etiam ſcripſit Encomium Mithridatis.

Αἴσωπος. Æſopus, Samius, aut Sardianus. Eugiton vero Meſembrianum fuiſſe dicit. Alii Cotyaenſem Phrygem. Fuit autem inventor fabularum, vixitque apud Crœſum, a quo in deliciis habebatur. Idem Pythagora antiquior fuit, utpote qui vixit circa Olympiadem quadrageſimam. Scripſit hiſtoriam eorum, quæ Delphis ſibi acciderant, libris duobus. Vel potius, ut alii dicunt, [fabulas tantum, & arguta] reſponſa ſcripſit. Apud Delphos autem injuſta morte periit, præcipitatus ab illis a rupibus, quæ Phædriades appellantur, Olympiade LIV. Servum fuiſſe ajunt Xanthi Lydi. Alii vero, Samii cujuſdam Iadmo-

---

[1] Ὁρῶμεν γὰρ, ὅτι έ τυχὸν ἄνθρ.] Plenius Philoponus loco laudato: Ὁρῶμεν γὰρ, ὅτι έ τυχὸν οἱ ἄνθρωποι. ἀλλὰ καὶ ψηλαφῶντες τὸ αὐτὸ τοῦτο ἴσμεν. καὶ ἀκούοντες δὲ ἴσμεν, ὅτι πλειόνων ἢ ἐλαττόνων ἢ ἑνός ἐστιν ἡ προσπίπτουσα φωνή.

[2] Δυσαποῤῥύπτοις] In prioribus Editt. legitur δυσαποῤῥίπτοις: quod mendum eſſe librarii facile cuivis patet. Zenobius habet δυσαπονίπτοις; lectione quidem diverſa, ſed ſenſu eodem.

[3] Ἔγραψε περὶ Ἑλένης· ἐν ᾧ φ.] Hæc, & quæ ſequuntur, deſcripta ſunt ex Heſychio Mileſio: eademque repetuntur infra v. Πάν.

[4] Πᾶνα ἰχθὺν καλεῖσθαι κητώδη. ἐν τούτῳ δὲ ἀστερ.] Huc apprime faciunt ea, quæ refert Photius ex Hephæſtione cod. cxc. in fine: Πᾶνα δέ φησιν ἰχθὺν εἶναι θαλάσσιον, κητώδη, ὅμοιον τῷ Πανὶ κατὰ τὴν ὄψιν. ἐν τούτῳ λίθον εὑρίσκεσθαι τὸν Ἀστερίτην, ὃν εἰς ἥλιον τεθέντα ἀνάπτεσθαι. ποιεῖν δὲ καὶ πρὸς φίλτρον. τοῦτον δὲ τὸν λίθον εἶχεν Ἑλένη, γλυφὴν ἔχοντα αὐτὸν τὸν ἰχθὺν τὸν Πᾶνα, καὶ ταύτῃ ἐκέχρητο τῇ σφραγῖδι. Hæc Hephæſtionis verba adeo gemina & affinia ſunt iis, quæ Suidas hic habet, ut non dubitem, quin utriuſque ecloga ex eodem fonte, id eſt, ex libro Æſopi de Helena, deprompta ſit.

[5] Μεσημβριανόν] Unus MS. Pariſ. habet, Μαρμαριανόν. Sed duo reliqui cum excuſis conſentiunt.

[6] Ὃς μεσοῦν ἐπὶ τῆς μ' Ὀλ.] Senſus hujus loci clarus eſt: quamvis verba ſint mendoſa. Docere enim vult Suidas, Æſopum Olymp. XL. vixiſſe. Quare pro ὃς μεσοῦν legi poterit, ὥστε βιοῦν αὐτόν; vel ſimile quid.

[7] Ἐν γὰρ Δελφοῖς ἀδίκως ἀπολέσθαι] De morte Æſopi, ejuſque cauſa, videndus omnino eſt Scholiaſta Ariſtophanis ad *Veſpas* p. 534.

[8] Ἰάδμονος, οὗτινος καὶ ἡ Ῥοδ.] Eadem leguntur infra v. Ἰάδμων.

δῶπις δούλη ἦν· ἣν ἑταίραν γενομένην, Θρᾷτταν τὸ γένος, Χάραξος ὁ ἀδελφὸς Σαπφοῦς ἔλαβε γυναῖκα, καὶ ἐξ αὐτῆς γεννᾷ.

Αἴσωπος,[1] ὁ τῶν μύθων ποιητὴς, [2]Σάμιος, δοῦλος, οὐ τὴν τύχην μᾶλλον, ἢ τὴν προαίρεσιν· οὐκ ἄφρων[3] μὲν, οὐδὲ [4]κατ' αὐτὸ τοῦτο ἀνήρ. ᾧ γὰρ ὁ νόμος οὐ μεταδίδου παρρησίας, τούτῳ προσῆκον ἦν, [5]ἐσκιαγραφημένας τὰς συμβουλὰς καὶ πεποικιλμένας ἡδονῇ καὶ χάριτι προφέρειν· ὥσπερ καὶ τῶν ἰατρῶν οἱ μὲν ἐλεύθεροι τὸ δέον ἐπιτάττουσι· ἐὰν δέ τις οἰκέτης γένηται τὴν τύχην, καὶ τὴν τέχνην ἰατρὸς, πράγματα ἔχει, κολακεύειν ἅμα καὶ θεραπεύειν τὸν δεσπότην ἀναγκαζόμενος.

Αἴσωπον[6] ἀπὸ δείπνου βαδίζονθ' ἑσπέρας,
Θρασεῖα καὶ μεθύση τις ὑλακτεῖ κύων.
Κἄπειτ' ἐκεῖνος εἶπεν· Ὦ κύον, κύον,
Εἰ νὴ Δί' ἀντὶ τῆς κακῆς γλώττης ποθὲν
Πυροὺς πρίαιο, σωφρονεῖν ἄν μοι δοκοῖς.

Τὸν[7] Αἴσωπόν φασί τινες τοσοῦτον ἄρα θεοφιλῆ γενέσθαι, ὡς καὶ ἀναβιῶναι αὐτὸν, [8]καθάπερ οὖν τὸν Τυνδάρεων, καὶ τὸν Ἡρακλέα, καὶ τὸν Γλαῦκον. [9]καὶ Πλάτων φησὶν ὁ κωμικός· Καὶ νῦν ὄμοσόν μοι μὴ τεθνάναι τὸ σῶμα. ἐγὼ ψυχὴ δ' ἀπὸ νίκης ὥσπερ Αἰσώπου ποτέ.

Αἴστωρ.[10] ὁ ἁγνός.

Αἰσυητῆρι. χοιροβοσκῷ.

Αἴσυλα. παράνομα. ἄδικα. ἐν Μύθοις·

Αἰπεινὴν[11] ἐλάτην ἔρις ὤρορεν αἴσυλα φάσθαι.

Αἰσύμη. πόλις. καὶ Αἰσύμνη, πόλις.

Αἰσυμνητήρ. ὁ βασιλεύς.

Αἰσυμνῆται. οἱ ἀγωνοθέται. οἱ τοῦ ἀγῶνος προεστῶτες. ἢ οἱ νεανίαι. ἢ οἱ νεμηταί· ὅ ἐστι, βραβευταί.

Αἰσυμνῆτις. ἡ δέσποινα.

Αἴσυμνος. ὄνομα κύριον.

Αἰσύφηλος. ὁ δειλός.

Αἰσχίνης,[12] Χαρίνου, ἀλλαντοποιοῦ, φιλόσοφος Σωκρατικός. τινὲς δὲ Λυσανίου παῖδά φασιν, Ἀθηναῖον, Σφήττιον. Διάλογοι δὲ αὐτοῦ, Μιλτιάδης, [13]Καλλίας,

nis; cujus & Rhodopis ancilla fuit, quam, corpore quæſtum facientem, & gente Thraciam, Charaxus Sapphonis frater uxorem duxit, liberoſque ex ea ſuſcepit.

Αἴσωπος. Æſopus, fabularum ſcriptor, non fortuna magis quam voluntate ſervus: non ille quidem inſipiens, neque ideo vituperandus. Nam cui lex libertatem ademerat, huic conſentaneum erat conſilia ſua & monita adumbrata quaſi, & voluptate leporeque condita, in medium proferre. Quemadmodum e medicis ingenui quique, quod facto opus eſt, [palam & aperte] præſcribunt. Sin quiſpiam ſit conditione ſervus, & profeſſione medicus, haud mediocriter laborat, dum eodem tempore hero ſuo & adulari & mederi cogitur. [Ariſtophanes:] *Æſopum veſperi a cœna redeuntem audax & ebria allatrabat canis. Cui ille dixit: O canis canis, ſi loco maledictorum frumentum tibi alicunde comparares, ſapere mihi videreris.* † Æſopum quidam ajunt Diis adeo charum fuiſſe, ut mortuus revixerit; ſicut & Tyndareus, & Hercules, & Glaucus. Et Plato Comicus inquit: *Et nunc jura mihi, corpus quidem interiiſſe; animam vero redituram eſſe* [*in vitam,*] *ut quondam Æſopi.*

Αἴστωρ. Caſtus. Purus.

Αἰσυητῆρι. Subulco.

Αἴσυλα. Iniqua. Injuſta. In Fabulis: *Excelſam abietem contentio impulit, ut protervis verbis* [*rubum*] *laceſſeret.*

Αἰσύμη. Æſyme. Urbs. Et Æſymne, pariter.

Αἰσυμνητήρ. Rex.

Αἰσυμνῆται. Agonothetæ. Certaminum ac ludorum præſides. Vel, juvenes & adoleſcentes. Vel, præmiorum victoriæ arbitri.

Αἰσυμνῆτις. Domina.

Αἴσυμνος. Æſymnus. Nomen proprium.

Αἰσύφηλος. Ignavus. Improbus.

Αἰσχίνης. Æſchines, Charini fartoris filius, Philoſophus Socraticus. Quidam vero ipſum Lyſaniæ filium, Athenienſem, Sphettium,

---

[1] Αἴσωπος, ὁ τῶν μύθων ποιητ.——τὸν δεσπότην ἀναγκαζόμενος.] Hæc omnia αὐτολεξεὶ leguntur apud Julianum Orat. VII. pag. 388. unde ea Suidas deſcripſit. Eadem etiam occurrunt apud Scholiaſtam Ariſtophanis ad *Veſpas* pag. 521. unde tamen Suidas ſua non deſcripſit. Contra enim potius exiſtimo, locum hunc, uti & multa alia, a Muſuro, vel alio quopiam, ex Suida in Scholia Ariſtophanis tranſlatum eſſe: qua de re alibi accuratius & prolixius a nobis agetur.

[2] Σάμιος, δοῦλος.] Hæ duæ voces in prioribus Editt. deſiderantur, quas ex Juliano, & 2 MSS. Pariſ. loco huic reſtitui.

[3] Ἄφρων μὲν] Sic recte Julianus, & MSS. Pariſ. At priores Editt. male, ἄφρων μόνον.

[4] Οὐδὲ κατ' αὐτὸ τοῦτο ἀνήρ] Apud Julianum hoc loco lacuna occurrit. Nec lectionem Suidæ ſatis ſanam vel integram eſſe puto, ſed ei mendum aliquod ſubeſſe ſuſpicor, quoniam ſenſum planum fruſtra quis inde elicere conetur.

[5] Ἐσκιαγραφημένας] Hæc vox apud Julianum hodie deſideratur; quæ proinde ex hoc loco Suidæ ei reſtituenda eſt.

[6] Αἴσωπον ἀπὸ δείπνου βαδ.] Quinque hi ſenarii Jambici leguntur apud Ariſtophanem *Veſpis* pag. 530. (361. Ed. Baſ. *P.*)

[7] Τὸν Αἴσωπόν φασί τινες τοσ.] Hæc, & quæ ſequuntur, leguntur etiam ſupra v. Ἀναβιῶναι.

[8] Καθάπερ οὖν τὸν Τυνδάρ.] Vide Apollodorum lib. III. cap. X. §. 3.

[9] Καὶ Πλάτων φησὶν ὁ κωμικός. Καὶ ν.] Eundem locum Platonis Comici adducit Scholiaſta Ariſtophanis ad *Aves* pag. 563. Ὁ δὲ Κωμικὸς Πλάτων καὶ ἀναβιῶσαι αὐτόν φησιν ἐν τοῖς Λάκωσιν οὕτως· Καὶ μὴν ὄμοσόν μοι μὴ τεθνάναι· ψυχὴν δ' αὖ ἥκειν ὥσπερ Αἰσώπου ποτέ. Sed tam apud Scholiaſtam, quam Suidam, locus hic Platonis in mendo cubat, nec metri ratio ei conſtat, qui ſic in integrum reſtitui poteſt:

Καὶ νῦν ὄμοσόν μοι, μὴ τεθνάναι τὸ σῶμ'. Ἐγώ.
Ψυχὴν δ' ἐπανήκειν ὥσπερ Αἰσώπου ποτέ.

Vel ſic:

Καὶ νῦν ὄμοσον τὸ σῶμα μὲν μου τεθνάναι,
Ψυχὴν δ' ἐπανήκειν ὥσπερ Αἰσώπου ποτέ.

[10] Αἴστωρ. ὁ ἁγνός] Scribendum puto, Ἄϊστος. ὁ ἄγνωστος. Id eſt, homo ignotus & obſcurus. Lectio enim vulgata meis ſaltem auribus nova prorſus eſt & inaudita.

[11] Αἰπεινὴν ἐλάτ.] Idem fragmentum legitur etiam ſupra v. Αἰπεινή.

[12] Αἰσχίνης] De eo vide Laertium lib. II. & Meurſium in *Bibliotheca Attica.*

[13] Καλλίας] Quodnam fuerit Dialogi hujus argumentum, docet Athenæus lib. V. cap. ult. pag. 220. Ὁ δὲ Καλλίας αὐτοῦ (Αἰσχίνου) περιέχει τὴν τοῦ Καλλίου πρὸς τὸν πατέρα διαφοράν, καὶ τὴν Προδίκου καὶ Ἀναξαγόρου τῶν σοφιστῶν διαμώκησιν, &c.

Ῥίνων, [1] Ἀσπασία, [2] Ἀξίοχος, [3] Τηλαύγης, Ἀλκιβιάδης, καὶ οἱ καλούμενοι Ἀκέφαλοι, Φαίδων, Πολύαινος, Δράκων, Ἐρυξίας, περὶ ἀρετῆς, Ἐρασίστρατος, [4] Σκυθικοί.

Αἰσχίνης, [5] Ἀθηναῖος, ῥήτωρ, υἱὸς Ἀτρομήτου καὶ Λευκοθέας, μαθητὴς κατὰ τὴν ῥητορικὴν Ἀλκιδάμαντος τοῦ Ἐλεάτου. τινὲς δὲ καὶ δούλους τοὺς γονεῖς αὐτοῦ γεγραφήκασιν. οὗτος ἐπειδὴ συναίρων ἐν δίκῃ τινὶ διέφθειρε τοὺς δικαστὰς, ἐμβληθεὶς ἅμα αὐτοῖς ἐν τῷ δεσμωτηρίῳ, καὶ κώνειον πιὼν, ἀπέθανε, καὶ τὰ πράγματα αὐτῶν ὡς ἀτέκνων ἐδημοσιώθη. ᾤκησε μέντοι ἐν Ῥόδῳ, καὶ ἐπαίδευσεν, ἡττηθεὶς ὑπὸ Δημοσθένους τὸν περὶ τοῦ στεφάνου ἀγῶνα. πρῶτος δὲ πάντων τὸ θείως λέγειν ἤκουσε, διὰ τὸ σχεδιάζειν, ὡς ἐνθουσιῶν.

Αἰσχίνης, Ἀθηναῖος, Ἀτρομήτου γραμματοδιδασκάλου, καὶ Λευκοθέας τῆς τελεστρίας, αὐτὸς ὑποκριτὴς, εἶτα γραμματεὺς, εἶτα ῥήτωρ, προδότης, ὁ Κερσοβλέπτην καὶ Φωκέας προδούς. γραψάμενος δὲ παρανόμων Κτησιφῶντα, στεφανοῦν γράψαντα Δημοσθένην, ἡττήθη, καὶ ἔφυγεν εἰς Ῥόδον, καὶ ἐπαίδευσεν ἐκεῖ.

Αἰσχίνης, ὁ τοῦ Λυσανίου. [6] οὗτος παρὰ Διονύσιον εἰς Σικελίαν ὑπὲρ χρημάτων ᾤχετο. Πλάτων δὲ τρὶς ἀναμετρῆσαι λέγεται τὴν Χάρυβδιν ὑπὲρ πλούτου Σικελικοῦ. Ἀρίστιππος δὲ ὁ Κυρηναῖος, καὶ Ἑλίκων ἐκ Κυζίκου, καὶ [7] Φοίτων, ὅτε ἔφευγε Ῥήγιον, οὕτω τι ἐς τοὺς Διονυσίου κατέδυσαν θησαυροὺς, ὡς μόγις ἀνασχεῖν ἐκεῖθεν. καὶ μὴν καὶ τὸν Κνίδιόν φασιν Εὔδοξον ἐς Αἴγυπτόν ποτε ἀφικόμενον, ὑπὲρ χρημάτων τε ὁμολογεῖν ἥκειν, καὶ διαλέγεσθαι τῷ βασιλεῖ ὑπὲρ τούτου. καὶ ἵνα μὴ πλείους διαβάλλω, Σπεύσιππον τὸν Ἀθηναῖον οὕτω τι ἐρασιχρήματον γενέσθαι φασὶν, ὡς ἐπὶ τὸν Κασσάνδρου γάμον ἐς Μακεδόνας κωμάσαι, καὶ ποιήματα ψυχρὰ ξυνθέντα, δημοσίᾳ ταῦθ' ὑπὲρ χρημάτων ᾆσαι.

Αἰσχίους ἄνδρας. ἀμόρφους.

Αἰσχίω. χείρω.

Αἶσχος. ἀτιμία.

Αἰσχρὰ γυνή. ἄμορφος. καὶ αἰσχρὸν, ἐπὶ κακοῦ. Ταῦτα αἰσχρὰ μὲν οἱ ἀμφ' αὐτὸν ἐγίνωσκον, καὶ τὴν ἀποχώρησιν οὔτε ἐν τῷ παραυτίκα εὐπρεπῆ, οὔτε ἀσφαλῆ ἐς τὰ μέλλοντα.

Αἰσχρίων, [8] Μιτυληναῖος, ἐποποιὸς, ὃς συνεξεδήμει Ἀλεξάνδρῳ τῷ Φιλίππου. ἦν δὲ Ἀριστοτέλους

fuiſſe dicunt. Ejus Dialogi ſunt, Miltiades, Callias, Rhinon, Aſpaſia, Axiochus, Telauges, & Alcibiades. Item illi, qui vocantur Acephali; ut, Phædon, Polyænus, Dracon, Eryxias, De virtute, Eraſiſtratus, Scythici.

Αἰσχίνης. Æſchines. Athenienſis, orator, Atrometi & Glaucotheæ filius, in arte dicendi diſcipulus Alcidamantis Eleatæ: quem nonnulli etiam ſervis parentibus natum fuiſſe ſcripſerunt. Hic cum cauſæ alicujus patrocinio ſuſcepto Judices corrupiſſet, una cum ipſis in carcerem conjectus, hauſta cicuta obiit: eorumque bona publicata ſunt, ac ſi ſine liberis obiiſſent. Rhodi habitavit & docuit, victus a Demoſthene in cauſa de Corona. Primus autem divinitus dicere dictus eſt, quod tanquam divino numine afflatus ex tempore diceret.

Αἰσχίνης. Æſchines, Athenienſis, Atrometi ludimagiſtri & Leucotheæ ſacrificulæ filius, hiſtrio, deinde ſcriba, poſtea orator: proditor, qui Cerſoblepten, & Phocenſes prodidit. Hic cum Cteſiphontem legum violatarum accuſaſſet, quod [aurea] corona donandum Demoſthenem decreto ſuo cenſuiſſet, [a Demoſthene] victus Rhodum fugit, ibique docuit.

Αἰσχίνης. Æſchines, Lyſaniæ filius, in Siciliam ad Dionyſium pecuniæ cauſa profectus eſt. Plato vero Sicularum opum cauſa Charybdim ter emenſus fuiſſe fertur. Item Ariſtippus Cyrenæus, & Helicon Cyzicenus, & Phyton, cum Rhegio exularet, ita Dionyſii theſauris ſe immerſerunt, ut vix inde emergere poſſent. Quin etiam Eudoxum Cnidium pecuniæ cauſa in Ægyptum olim profectum, idque etiam fateri auſum, & cum Rege ea de re collocutum fuiſſe ferunt. Et ne plures criminer, Speuſippum Athenienſem adeo pecuniæ cupidum fuiſſe dicunt, ut ad Caſſandri nuptias in Macedoniam profectus, frigida poemata a ſe compoſita pecuniæ cauſa publice caneret.

Αἰσχίους ἄνδρ. Viros deformes & turpe.

Αἰσχίω. Turpiora. Deteriora.

Αἶσχος. Turpitudo. Ignominia. Dedecus.

Αἰσχρὰ γυνή. Mulier deformis, vel fœda. Et αἰσχρὸν, malum, turpe. *Et amici quidem ejus hæc mala eſſe norant, & diſceſſum ejus nec in præſens honeſtum, nec in poſterum tutum [fore videbant.]*

Αἰσχρίων. Æſchrion, Mitylenæus, poeta Epicus: qui Alexandro Philippi filio itine-

---

[1] Ἀσπασία] Athenæus ibidem: Ἐν δὲ τῇ Ἀσπασίᾳ Ἱππόνικον μὲν τὸν Καλλίου κοάλεμον ἀποσκώπτει (Αἰσχίνης,) τὰς δὲ ἐκ τῆς Ἰωνίας γυναῖκας συλλήβδην μοιχάδας καὶ κερδαλέας.

[2] Ἀξίοχος] Vide Suidam ſupra v. Ἀξίοχος: itemque Athenæum loco laudato, & Menag. ad Laert. lib. II. ſegm. LXI.

[3] Τηλαύγης] Quodnam fuerit argumentum hujus Dialogi, docet Athenæus eodem loco: quem proinde conſule.

[4] Σκυθικοί] Hunc Dialogum quidam Phædoni olim tribuerunt, teſte Laertio in *Phædone:* ubi vide quæ notavit Menagius.

[5] Αἰσχίνης. Ἀθην.] De eo præter veteres vide Meurſium in *Bibliotheca Attica.*

[6] Οὗτος παρὰ Διονύσιον εἰς Σικελίαν ὑπὲρ χρ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ad verbum deſcripta ſunt ex Philoſtrato *de Vit. Apoll.* lib. I. cap. XXII.

[7] Φοίτων] De hoc Phœtone, vel, ut alii eum vocant, Phytone, vide omnino Diodorum Siculum lib. XIV. cui cum Philoſtrato (ex quo, ut diximus, locum hunc excerpſit Suidas) non bene convenire videtur.

[8] Αἰσχρίων, Μιτυλην.] Vide Jonſium *de Scriptor. Hiſtor. Philoſ.* lib. II. cap. II. ubi plures Æſchriones recenſet. Omiſit autem Æſchrionem Grammaticum, cujus mentionem facit Euſtathius ad Il. Α. pag. 841. 24.

γνώριμος καὶ ἐρώμενος, ὡς Νίκανδρος ὁ Ἀλεξανδρεὺς ἐν τῷ περὶ τῶν Ἀριστοτέλους μαθητῶν.

Αἰσχρόν. [1] Σοφοκλῆς·

Αἰσχρὸν γὰρ ἐστὶ τοῦ μακροῦ χρῄζειν βίου
Κακοῖσιν ὅστις μηδὲν ἐξαλλάσσεται.

Τουτέστιν, ὅστις ἀεὶ ἐν κακοῖς ἐξετάζεται.

Αἰσχροῦ[2] εἴδη δ'. Ἄδικον, δειλὸν, ἄκοσμον, ἄμορφον.

Ἕξις. Habitus eſt affectio, quæ difficulter mutari poteſt. Dividitur autem habitus in virtutem & vitium. Sive, habitus ſpecies duæ ſunt: virtus & vitium.

---

[1] Ἐξηρτυμένος] Sic habent MSS. Pariſ. At priores Editt. male, ἐξηρτημένος.

[2] Παρὰ Ἡροδότῳ] Loca Herodoti, in quibus vox ἐξηρτυμένος occurrit, annotavit Portus in Lexico Ionico.

[3] Οἱ δὲ Κελτοὶ ἰδόντες τοὺς Ῥωμ.] Fragmentum hoc ex Polybio depromptum eſſe ſuſpicor.

[4] Ἐξητάσθης] Ex Harpocratione.

[5] Ἀριστοφάνης] *Avibus* pag. 578. (399. Ed. Baſ. *P.*) ubi locus hic ita rectius legitur & diſtinguitur:

Εἴτε Πατροκλείδης τις ὑμῶν τυγχάνει χεζητιῶν,
Οὐκ ἂν ἐξίδισεν ἐς θοἰμάτιον, ἀλλ' ἀνέπτατο.

Ad hunc locum Ariſtophanis reſpexit Euſtathius ad Il. N. pag. 950. 55. ubi ſic inquit: Ὃ (τὸ ἀποπατεῖν) καὶ ἐξιδίειν σεμνῶς ἡ κωμῳδία φησὶν, ἀρχὴν λαβοῦσα ἐξ Ὁμηρικοῦ χρείου, τὸ, Ἴδιον, ὡς ἐνόησα.

Ἐξισωτής.[1] ὁ ἐπόπτης.

Ἐξιστάμενος. ἀντὶ τοῦ παραχωρῶν. Ὁ μὲν Μάρκελλος κύριος ἦν τῶν πραγμάτων, ὀνόματος μόνου καὶ σχήματος τῷ Ἰουλιανῷ ἐξιστάμενος, τῇ δὲ ἀληθεστέρᾳ αὐτὸς ἀρχὴν μεταχειριζόμενος. τάττεται δὲ καὶ ἐπὶ τοῦ, ἐκπληττόμενος.

Ἐξίστασθαι. διαχωρείζεσθαι. Ὁ δὲ, ὅσοι τῆς στάσεως ἐναγεῖς, ἐκέλευσεν ἐξίστασθαι, οὓς κατηκόντισεν.

Εὐφημεῖν[2] χρὴ, κἀξίστασθαι τοῖς ἡμετέροισι χοροῖσι
Ὅς τις ἄπειρος τοιῶνδε λόγων, ἢ γνώμη μὴ καθαρεύοι.

ἀντὶ τοῦ ἐκχωρεῖν. καὶ αὖθις· Ἐξίστασθαι μύσταισι χοροῖς. Ἀριστοφάνης.

Ἐξίστησιν. ἐκπλήττει. Οὔτε δέος ἐξίστησιν αὐτοὺς, οὔτε δαπάναι, οὔτε πόνος.

Ἐξιστορήσαντες. ἀναζητήσαντες. διηγησάμενοι.[3] Τούτους οἱ Ἕλληνες ἐξιστορήσαντες ἃ ἐβούλοντο πυθέσθαι ἀπὸ τῆς Ξέρξου στρατιᾶς, ἀποπέμπουσι δεδεμένους.

Ἐξισοῖ. ἴσα πράττει.[4] Σοφοκλῆς·
Μήτηρ καλεῖται, μητρὶ δ᾽ οὐδὲν ἐξισοῖ.
ἀντὶ τοῦ, οὐκ ἴσα πράσσει τῷ τῆς μητρὸς ὀνόματι.

Ἐξισοῦμαι. δοτικῇ.

Ἐξιτηλία.

Ἐξίτηλα. ἀφανῆ. εὐτελῆ. χαῦνα.

Ἐξιτηρίους[5] εὐχάς. ἐφοδίους. τοῖς πρὸς ἔξοδον ἰοῦσιν, ἢ πρὸς θάνατον.

Ἐξιτηρία,[6] καὶ ἐξαγγελία. κατὰ Ῥωμαίους, τὰ ὑπὲρ τῆς ἐξόδου παρεχόμενα.

Ἐξιχωρείζεσθαι. ἐκπιέζεσθαι. τὸν ἰχῶρα ἐκβάλλειν. οἷον, εἰς [7] γάρον ἐξιχωρείζεσθαι.

Ἐξοδία. ἡ ἔξοδος. Πολύβιος· Τὸ μὲν οὖν πρῶτον ὡς ἐπ᾽ ἐξοδίαν ὁρμήσαντες ἐκ τῆς πόλεως, παρὰ τὴν ὁδὸν ἔμειναν. ἐξοδίαν. Πάνδημον ἐξοδίαν ποιησάμενοι, καθῆκαν ἐνέδραν.

Ἐξόδιοι νόμοι. [8] αὐλήματα, δι᾽ ὧν ἐξῄεσαν οἱ χοροὶ καὶ οἱ αὐληταί. οὕτω Κρατῖνος·
Τοὺς ἐξοδίους ὑμῖν ἵν᾽ αὐλῶ τοὺς νόμους.

Ἐξόδων. ἀνατολῶν. [9] Δαβίδ· Οὔτε ἐξ ἐξόδων, οὔτε ἀπὸ δυσμῶν.

Ἐξολίσθῃ. ἐκπέσῃ. [10] Μεμνημένας ἀεὶ λέγειν τοῦ-

Ἐξισωτής. Peræquator. Inſpector.

Ἐξιστάμενος. Cedens. Concedens. *Penes Marcellum omnium rerum poteſtas erat, qui ſolo tantum nomine & habitu Juliano cedebat, at revera ipſe potius imperium adminiſtrabat.* Ponitur etiam pro, ſtupore perculſus, attonitus.

Ἐξίστασθαι. Ex aliquo loco cedere. Diſcedere. *Ille vero omnes, quotquot ſeditionis rei erant, ſecedere juſſos, telis confecit.* [Et Ariſtophanes:] *Linguis favere oportet, & a Choris noſtris omnes illos recedere, qui vel ſermonum horum ignari ſunt, vel mentem puram & caſtam non habent.* Et iterum: *A Choris myſticis recedere.* Ariſtophanes.

Ἐξίστησιν. Terret. Deterret. *Nec metus ipſos deterret, nec ſumptus, nec labor.*

Ἐξιστορήσαντες. Qui quæſiverunt. Qui ſciſcitati ſunt: qui narrarunt. *Græci ſciſcitati ea, quæ de exercitu Xerxis cognoſcere cupiebant, eos vinctos dimiſerunt.*

Ἐξισοῖ. Exæquat. Paria facit. Sophocles: *Mater quidem vocatur, at nihil minus facit, quam quod matri convenit.* Vel, facta ejus nomini matris non reſpondent.

Ἐξισοῦμαι. Dativo jungitur. Exæquor.

Ἐξιτηλία. [Stultitia.]

Ἐξίτηλα. Evanida. Vilia. Inania.

Ἐξιτηρίους εὐχάς. Preces, vel vota, quæ in alicujus diſceſſu fiunt, aut cum quis iter aliquod ingreditur. Vel, quæ concipiuntur ab iis, qui ad mortem vadunt.

Ἐξιτηρία, & ἐξαγγελία. Sic Romanorum lingua vocantur ea, quæ pro mercibus exportandis penduntur. Jus exituræ.

Ἐξιχωρείζεσθαι. Exprimi. Saniem emittere. Ut, *Saniem emittere, ex qua garum conficiatur.*

Ἐξοδία. Exitus. Eruptio. Expeditio. Polybius: *Primum igitur ut ad expeditionem ex urbe egreſſi, in itinere remanſerunt.* Et ἐξοδίαν, exitum. *Cum toto populo ex urbe egreſſi, inſidias hoſti ſtruxerunt.*

Ἐξόδιοι νόμοι. Tibiarum modi, ad quos Chori & tibicines exibant. Sic Cratinus: *Ut exodios vobis tibia canam modos.*

Ἐξόδων. Orientis. David: *Nec ab oriente, nec ab occidente.*

Ἐξολίσθῃ. Excidat Elabatur. [Ariſtophaτὸ τὸ ῥῆμα, ὡς μήποτ' ἐξολίσθῃ ἡμᾶς. ὁ γὰρ κίνδυνος οὐχὶ μικρὸς, ἢν ἁλῶμεν.

---

[1] Ἐξισωτής] Quos Græci ἐξισωτὰς, Latini *peræquatores* vocant. Vide Valeſium ad Euſebium de Vita Conſtant. Imperat. lib. IV. cap. III. & Dufrenium in utroque Gloſſario.

[2] Εὐφημεῖν χρὴ κἀξίστασθαι τοῖς ἡμετ.] Duo hi verſus Anapæſtici leguntur apud Ariſtophanem *Ranis* pag. 229. (144. 145. Ed. Baſ. P.)

[3] Τούτους οἱ Ἕλληνες ἐξιστορήσ.] Hæc verba leguntur apud Herodotum lib. VII. pag. 284. hoc tantum diſcrimine, quod dialectum Ionicam Herodoti in communem hic mutaverit Suidas.

[4] Σοφοκλῆς] *Electra*, pag. 132. ut Portus monuit.

[5] Ἐξιτηρίους εὐχάς] Gregor. Nazianzenus Orat. XX. pag. 333. Παρῆν ἡ τῆς ἐκδημίας ἡμέρα, καὶ ὅσα τῆς ἐκδημίας, ΕΞΙΤΗΡΙΟΙ λόγοι, προπόμπιοι, ἀνακλήσεις, οἰμωγαὶ, περιπλοκαὶ, δάκρυα. Id eſt: *Aderat diſceſſus dies, & quicquid ad diſceſſum pertinet, extrema allocutiones, vota quibus abeuntes proſequimur, revocationes, gemitus, complexus, lacrymæ.* Hic ἐξιτήριοι λόγοι vocantur ſermones, quibus ſe mutuo alloquuntur amici, quorum alter ab altero diſceſſurus eſt. Apud eundem Nazianzenum in eadem oratione, pag. 370. ἐξιτήριοι λόγοι vocantur ſuprema Baſilii morituri verba: quod exemplum pertinet ad ultimam vocis ἐξιτήριος interpretationem, quam Suidas hoc loco tradit.

[6] Ἐξιτηρία] Vide de hac voce Dufrenium in Gloſſario Græco.

[7] Εἰς γάρον ἐξιχωρείζεσθ.] Huc ſpectat quod Plinius garum appellat *putreſcentium piſcium ſaniem*: & Artemidorus lib. I. cap. LXVIII. σηπεδόνα.

[8] Αὐλήματα] Sic recte 2 MSS. Pariſ. At priores Editt. male, αὐλοί.

[9] Δαβίδ] Pſalm. LXXIV. 6.

[10] Μεμνημένας ἀεὶ λέγειν τοῦτο τὸ ῥ.] Ariſtophanes *Ecclesiaz.* pag. 732. (491. Ed. Baſ. P.)

——— Τοῦτο γὰρ χρὴ
Μεμνημένας ἀεὶ λέγειν, ὡς μήποτ᾽ ἐξολίσθῃ
Ἡμᾶς. ὁ κίνδυνος γὰρ οὐχὶ μικρὸς ἢν ἁλῶμεν.

Sic etiam apud Suidam locus hic ſcribendus & diſtinguendus eſt.

Ἐξολῶν. ἐκβάλλειν μέλλων καὶ ἐξωθεῖν τῆς πολιτείας. [1] Ἀλλ' ἀντὶ πόρων ἔστω τοῦτον ἐξολῶν.

Ἐξομηρευσάμενος. καλῶς διοικήσας. Τὴν δὲ πόλιν ἐξομηρευσάμενος, ἠσφαλίσατο φρουρᾷ. Ἐξομηρευσάμενος οὖν, ἀντὶ τοῦ συμφωνήσας.

Ἐξομηρευσάμενοι. ὁμογνώμονας ποιήσαντες. Ἐξομηρευσάμενοι δὲ τῷ τοιούτῳ τρόπῳ τοὺς πλείους τῶν δυναστῶν, ἐνέβαινον εὐθαρσῶς εἰς τὸν πόλεμον.

Ἐξόμνυσιν. καὶ ἐξόμνυσθαι, ἀρνεῖσθαι.

Ἐξομολόγησις. εὐχαριστία. ἀφήγησις τῶν βεβιωμένων.

Ἐξ ὁμολόγου. ἐκ προφανοῦς. Διὰ τὰς ἐξ ὁμολόγου καὶ σταδίην μάχας πολλοὶ ἔπιπτον ἐξ ἀμφοτέρων. καὶ αὖθις· [2] Εἰς ὁλοσχερῆ δὲ κρίσιν ἐξ ὁμολόγου καταβαίνειν οὐχ οἷός τ' ἦν. κατὰ [3] πρόσωπον.

Ἐξομόργνυνται. ἀπομάττονται. ἀφοσιοῦνται.

Ἐξομόσασθαι. οἱ μαρτυρήσειν τισὶν ἐν δικαστηρίῳ ὑπισχνούμενοι, εἰ μετὰ ταῦτα μὴ βούλοιντο καταμαρτυρεῖν, ὤμνυον μηδὲν ἐπίστασθαι. καὶ τοῦτό ἐστιν ἐξομόσασθαι.

Ἐξομόσαιτο. παντελῶς ἀρνήσαιτο. Δημοσίᾳ δὲ οὐκ ἂν ἐξομόσαιτο, τοῦ εἶναι τῆς Κότυος.

Ἐξόν. δυνατοῦ ὄντος. [4] Ἰώσηπος· Νῦν δὲ Ἰουδαίους ἐλπίσας δυσωπήσειν ἐν τῷ κακοῦν, ἐξὸν μὴ θέλειν.

Ἐξόν.

Τί [5] δῆτα κρεάγρας τοῖς κάδοις ὠνοίμεθ' ἄν,
Ἐξὸν καθέντα γραΐδιον τοιουτονὶ
Ἐκ τῶν φρεάτων τοὺς κάδους ξυλλαμβάνειν;

ἐπὶ τῶν πορνικῶν καὶ ἀσελγῶν γραῶν. καὶ ὁ Ἀπόστολος Πέτρος· Ἄνδρες ἀδελφοὶ, ἐξὸν εἰπεῖν μετὰ παῤῥησίας πρὸς ὑμᾶς.

Ἐξονομηνης. [6] ἐξ ὀνόματος ἐξείπης.

Ἐξονυχίζειν. ἐξετάζειν τοῖς ὄνυξι. [7] Βλάβην νομίζομεν τὸ μὴ περὶ ἑκάστου ἀκριβοῦν καὶ ἐξονυχίζειν. ἢ τὸ [8] ἀκριβολογεῖσθαι.

nes:] *Oportet nos ſæpe memores eſſe illius dicti, ne id unquam ex animo noſtro excidat. Periculum enim haud parvum eſt, ſi in facinore hoc deprehendamur.*

Ἐξολῶν. Perditurus. [Ariſtophanes:] *Allantopola eum perditurus eſt.* Id eſt, ex civitate ejecturus.

Ἐξομηρευσάμενος. [Qui obſides poſtulavit, vel accepit.] Qui recte adminiſtravit. *Obſidibus autem a civitate acceptis, eam præſidio firmavit.* Vel ἐξομηρευσάμενος ſignificat, qui pactionem cum aliquo fecit.

Ἐξομηρευσάμενοι. Qui aliquos in concordiam redegerunt. [Qui acceptis obſidibus aliquos ad fidem ſibi ſervandam obſtrinxerunt.] *Cum autem hoc modo pleroſque dynaſtas obſidibus acceptis ſibi obſtrinxiſſent, bellum audacter ſuſceperunt.*

Ἐξόμνυσιν. Ejerat. Et ἐξόμνυσθαι. Ejerare. Jurejurando negare.

Ἐξομολόγησις. Gratiarum actio. Confeſſio eorum, quæ in vita fecimus.

Ἐξ ὁμολόγου. Ex compacto. Palam. *Propter pugnas condictas & ſtatarias multi utrinque ceciderunt.* Et iterum: *Ut in caſum univerſæ dimicationis ex compacto veniret, adduci nullo modo poterat.* [Vel ἐξ ὁμολόγου hic ſignificat idem quod κατὰ πρόσωπιν, i.e.] adverſa fronte, vel aperto Marte.

Ἐξομόργνυνται. Abſtergunt. Luſtrant. Expiant.

Ἐξομόσασθαι. Qui promiſerant ſe aliquibus in Judicio teſtimonium dicturos eſſe, ſi poſtea adverſus aliquem teſtari nollent, jurabant ſe nihil ſcire: idque ἐξομόσασθαι dicebatur.

Ἐξομόσαιτο. Omnino negaverit. *Publice autem non negaverit, ſe eſſe Cotyos* [*miniſtrum.*]

Ἐξόν. Cum liceat. Cum fieri poſſit. Joſephus: *Sperans autem fore, ut verecundia Judæorum animos flecteret, ſi viderent, ſe, quamvis poſſet, haud tamen gravius quicquam in eos conſulere.*

Ἐξόν. Cum liceat. [Ariſtophanes:] *Quare igitur harpagones ad cados extrahendos emamus, cum liceat vetula tali demiſſa, cados ex puteis extrahere?* Dicitur hoc de vetulis impudicis & laſcivis. Et Apoſtolus Petrus inquit: *Viri fratres, cum liceat ad vos libere verba facere.*

Ἐξονομήνῃς. Nomine vocaris.

Ἐξονυχίζειν. Ad unguem exigere. Accurate expendere. Exiliter ad calculos omnia revocare. *Niſi accurate omnia computemus, & ad unguem quaſi exigamus, id damnum ducimus.*

---

[1] Ἀλλ' ἀντὶ πόρων ἔστω τ.] Locus hic corruptiſſimus eſt, qui apud Ariſtophanem *Equit.* pag. 295. (198. Ed. Baſ. *P.*) ſic legitur:

Ἀλλαντοπώλης ἐσθ' ὁ τοῦτον ἐξολῶν.

Sic etiam apud Suidam ſcribendum eſt.

[2] Εἰς ὁλοσχερῆ δὲ κρίσιν ἐξ ὁμολ.] Hæc ſunt verba Polybii lib. III. cap. XC.

[3] Κατὰ πρόσωπον] Hæ duæ voces non ſunt pars fragmenti præcedentis, ſed interpretatio τοῦ ἐξ ὁμολόγου: quas proinde Portus male cum ſuperioribus miſcuerat.

[4] Ἰώσηπος] Lib. VI. *de Bello Jud.* pag. 925. ſed ubi rectius ſic legitur: Νῦν δὲ Ἰουδαίους μὲν ἐλπίσας δυσωπήσειν, ἐξὸν κακοῦν, τὸ μὴ θέλειν. Hanc lectionem in verſione expreſſi. Portus enim quam longiſſime a vero ſenſu hic aberraverat.

[5] Τί δῆτα κρεάγρας τοῖς κάδοις ὠν.] Hi tres ſenarii leguntur apud Ariſtophanem *Eccleſiazuſis*, pag. 753. (506. Ed. Baſ. *P.*)

[6] Ἐξονομήνῃς. ἐξ ὀνόματος ἐξείπῃς.] Ex Scholiaſta Homeri ad Il. Γ. v. 166. ſed ubi pro ἐξείπῃς legitur εἴπῃς.

[7] Βλάβην νομίζομεν τὸ μ.] Fragmentum hoc, ſi bene memini, apud Artemidorum exſtat; quamvis librum & caput nunc in promptu non habeam.

[8] Ἀκριβολογεῖσθαι] Id eſt, exigue & exiliter ad calculos omnia revocare, ut Ciceronis verbis utar. Dicitur enim hæc vox de hominibus ſordidis & avaris, ut recte obſervavit Menagius ad Laertium lib. III. ſegm. L. Confer etiam Noſtrum infra v. Ἐφιέσθω.

Ἐξ ὄξους δίκη.

Οὔτοι [1] καταπροίξῃ, μὰ τὸν Ἀπόλλω, τοῦτο
δρῶν.
Ὡς ἡδέως φάγοις ἂν ἐξ ὄξους δίκην.

Ἐξόπλους. Ἅμα δὲ λαμβάνειν ἐξόπλους τοὺς πολεμίους κατὰ τὴν ἐπὶ τοὺς Μακεδόνας ἔφοδον.

Ἐξοργιεῖν. εἰς ὀργὴν ἐμβαλεῖν. Ταῦτα δὲ ἔπραξεν ὁ Καῖσαρ, οὐχ ὅτι καταπλήξειν αὐτὸν, ἀλλ' ὅτι ἐξοργιεῖν, κἀκ τούτου πρόφασιν τοῦ πολέμου λήψεσθαι.

Ἐξορθυγμία. ἡ ὀρυγή. ὀξυρθυγμία δὲ λέγεται, ὅταν ἡ τροφὴ ἐποξίσῃ.

Ἐξόριστον. ἀντὶ τοῦ φυγάδα. Δημοσθένης.

Ἐξοστρακισμός. ἐξορισμός. ἐν τῷ Ὀστρακισμός.

Ἐξορχησάμενος. [2] αἰτιατικῇ. ἀντὶ τοῦ φυγὼν καὶ ἀποδράς. Δημοσθένης ἐν τῷ κατ' Ἀνδροτίωνος.

Ἐξ [3] οὗ. οὐ σημαίνει τὴν ὕλην, ὡς τοῖς ἔξω δοκεῖ· ἀλλὰ συνηθέστερον τῇ γραφῇ ἐπὶ τῆς ἀνωτάτω αἰτίας τὴν φωνὴν ταύτην παραλαμβάνειν, ὡς ἐπὶ τοῦ, Εἷς Θεὸς, ἐξ οὗ τὰ πάντα. κέχρηται μέντοι καὶ ὁ τῆς ἀληθείας λόγος τῇ λέξει καὶ ἐπὶ τῆς ὕλης πολλάκις, ὅταν λέγῃ· Ποιήσεις τὴν κιβωτὸν ἐκ ξύλων ἀσήπτων. καὶ, Ποιήσεις τὴν λυχνίαν ἐκ χρυσοῦ καθαροῦ. καὶ, Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός. καὶ, Ἐκ πηλοῦ διήρτισαι σὺ, ὡς κἀγώ.

Ἐξοστρακίζω. γενικῇ καὶ αἰτιατικῇ.

Ἐξότου. ἐπίρρημα.

Ἐξουθενῶ σε. ἀντὶ οὐδενός σε λογίζομαι.

Ἐξούλης δίκη. κατὰ [4] τῶν ἐλασάντων τοὺς ἑλόντας ἐκ τοῦ ὀφλόντος καὶ κατὰ τῶν ὀφλόντων τοῖς [5] ἁλοῦσιν. Ἐπειδὰν τις καταδικασθεὶς μὴ ἐκτίνῃ τὴν καταδίκην, εἰσεπράττετο ὑπὸ τοῦ δήμου, καὶ ἄλλο τῷ δήμῳ τοσοῦτον λελογισμένως πάνυ. εἰ γὰρ τῷ ἰδιώτῃ διπλάσιον ἐπράττετο, παραιτήσεως ἂν ἐτύγχανε δεόμενος ὁ ἁλοὺς, καὶ ἁπλοῦν ἂν ἐξέτινε. νυνὶ δὲ ἀπαραίτητόν ἐστι τὸ δημόσιον. [6] δηλοῖ δὲ καὶ Δημοσθένης· Δίκην δὲ τούτῳ λαχὼν τῆς κατηγορίας, εἷλον ἐρήμην. οὐ γὰρ ἀπήντα. λαβὼν δὲ ὑπερήμερον, εἰσελθεῖν δεδύνημαι. τὸ δὲ κωλύειν ἐξίλλειν ἔλεγον οἱ παλαιοί. ἔστιν οὖν ἐξίλλειν κατὰ τὸ ἔτυμον, τὸ ἐκφεύγειν, καὶ περιπλέκειν, μὴ παρέχοντα τὴν τιμωρίαν, καὶ τούτῳ τῷ τρόπῳ διακωλύειν.

Ἐξ ὄξους δίκη. Lis aceto condita. [Aristophanes: *Haud ſane iſtud impune feres. Quam libenter liticulam aceto conditam comederes.*

Ἐξόπλους. Armatos. Vel, exarmatos. *Simul autem hoſtes armatos deprehendere in expeditione contra Macedones.*

Ἐξοργιεῖν. Ad iram incitaturum, vel provocaturum eſſe. *Hæc autem fecit Cæſar, non quod putaret fore, ut a ſe terreretur, ſed ad iram provocaretur: ex eaque re ſpecioſam ſe belli gerendi cauſam nacturum eſſe ſperabat.*

Ἐξορθυγμία. Effoſſio. Foſſura. Foſſio. Ὀξυρθυγμία vero dicitur, quum [in ſtomacho] cibus coacuit. Acidus ructus.

Ἐξόριστον. Extorrem. Exulem. Demoſthenes.

Ἐξοστρακισμός. Oſtraciſmus. Sive, ratio relegandi, quæ per teſtularum ſuffragia fiebat. Vide in v. Ὀστρακισμός.

Ἐξορχησάμενος. Accuſativo jungitur. Qui aufugit. Demoſthenes in oratione contra Androtionem.

Ἐξ οὗ. Ex quo. Non ſignificat materiam, ut profanis ſcriptoribus placet: ſed uſitatius eſt Sacræ Scripturæ vocem hanc aſſumere, quum de ſuprema cauſa loquitur; ut in hac ſententia: *Unus eſt Deus, ex quo omnia.* Utitur tamen veritatis oratio hac voce etiam ſæpe pro materia, ut cum dicit: *Facies arcam ex lignis, quæ non putreſcunt.* Et, *Facies candelabrum ex auro puro.* Et, *Primus homo ex terra terrenus.* Et, *Ex luto confectus es tu, ſicut & ego.* Port.

Ἐξοστρακίζω. Per teſtularũ ſuffragia aliquẽ in exiliũ pello. Genitivo & accuſativo jungitur.

Ἐξότου. Adverbium. Ex quo tempore.

Ἐξουθενῶ σε. Nihili te facio. Te contemno.

Ἐξούλης δίκη. Interdictum unde vi, vel judicium de vi. Hoc locum habebat adverſus illos, qui ex debitoris bonis expuliſſent eos, qui judicio vicerant. Item adverſus debitores, qui cauſa ceciderant. †Cum quis condemnatus judicatum non perſolvebat, populus id ab eo exigebat, & ærario tantundem pendere cogebat: idque non ſine ratione. Si enim privatus duplum exigeret, fieri poterat, ut reus impetrata remiſſione ſimplum tantum penderet. At vero Reſpubl. eſt inexorabilis, [nec de ſumma debita reo quicquam remittit.] Demoſthenes: *Cum autem ob convitia in me jactata eum in jus vocaſſem, Judices reo abſente & vadimonium deſerente, ſententiam ſecundum me pronuntiarunt. Licet enim reus tempus ſtatutum neglexiſſet, ipſe tamen in Judicio me ſiſtere potui.* Τὸ ἐξίλλειν vero apud veteres ſignificat, arcere, prohibere. Vel ἐξίλλειν, ſi etymologiam ſpectes, ſignificat effugere, vel mulctæ ſolutionem ſubterfugere, & hoc modo [actorem] impedire.

---

[1] Οὔτοι καταπροίξ.] Duo hi ſenarii leguntur apud Ariſtophanem *Veſpis*, pag. 518. (360. Ed. Baſ. *P.*)

[2] Ἐξορχησάμενος.] Ex Harpocratione. Vide etiam Suidam infra v. Ἐξωρχησαμένων, ubi alia vocis hujus ſignificatio traditur.

[3] Ἐξ οὗ. οὐ σημαίνει τὴν ὕλ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba S. Baſilii in Tractatu de Spiritu S. cap. IV. pag. 249. Ed. Baſ. ut Pearſonius recte obſervaverat.

[4] Κατὰ τῶν ἐλασάντων τοὺς ἑλόντας ἐκ τοῦ ὀφλ.] Hæc Portus male omnino interpretatus erat: cujus proinde verſionem hic emendavimus.

[5] Τοῖς ἁλοῦσιν] Lego, τοῖς ἑλοῦσιν. Senſus enim eſt, actionem ἐξούλης locum habuiſſe contra eos, qui aliquid debebant actoribus, qui in Judicio victoriam obtinuerant.

[6] Δηλοῖ δὲ καὶ Δημ.———εἰσελθεῖν δεδύνημαι] Hæc omnia nihil ad rem faciunt, quæ proinde per me deleas licet.

'Εξούλης.[1] ὄνομα δίκης, ἣν ἐπάγουσιν οἱ φάσκοντες ἐξείργεσθαι τῶν ἰδίων κατὰ τῶν ἐξειργόντων. εἴρηται μὲν οὖν τοὔνομα ἀπὸ τοῦ [2] ἐξίλλειν, ὅπερ ἐστὶν ἐξείργειν καὶ ἐξωθεῖν καὶ ἐκβάλλειν. δικάζονται δὲ ἐξούλης κἀπὶ τοῖς ἐπιτιμίοις οἱ μὴ ἀπολαμβάνοντες ἐν τῇ προσηκούσῃ προθεσμίᾳ, ὑπερημέρων γενομένων τῶν καταδικασθέντων. οἱ μέντοι ἐξούλης ἁλόντες καὶ τῷ ἑλόντι ἐδίδοσαν, ἃ ἀφῃροῦντο αὐτοῦ, καὶ τῷ δημοσίῳ κατετίθεσαν τὰ τιμηθέντα. ἐδικάζετο δὲ ἐξούλης καὶ ὁ χρήστης, κατέχειν ἐπιχειρῶν κτῆμα τοῦ χρεωστοῦντος, καὶ κωλυόμενος ὑπό τινος. καὶ ἀπεργασίας δὲ εἴ τις εἴργοιτο, δίδωσιν ὁ νόμος δικάζεσθαι πρὸς τὸν εἴργοντα ἐξούλης. καὶ περὶ ἀνδραπόδου δὲ, καὶ παντὸς, οὗ φησί τις αὐτῷ μετεῖναι. Δείναρχος δὲ ἰδίως κέχρηται τῷ τῆς ἐξούλης ὀνόματι ἐπὶ τῆς ἱερείας, τῆς μὴ βουλομένης τὰ ἴδια δρᾷν.

'Εξούλης. Nomen eſt actionis, quam *illi*, qui dicunt ſe a ſuis bonis arceri, intendunt illis, qui ipſos arcent. Dictum enim eſt nomen hoc a verbo ἐξίλλειν, quod ſignificat excludere, expellere, & ejicere. Hac autem actione de vi in Judiciis utuntur etiam illi, qui mulctas aliquibus condemnatis irrogatas non recipiunt intra convenientem temporis præſcripti diem; quod illi, qui damnati fuerunt, hoc tempus præſcriptum præterierint. Qui tamen de vi convicti fuerant, non ſolum ei, qui ipſos reos peregerat, reſtituebant, quæ ipſi abſtulerant: ſed etiam Reipub. perſolvebant ea, quæ fuerant æſtimata. Hac etiam actione de vi in Judicio utebatur creditor, qui debitoris poſſeſſionem retinere conabatur: ſed ab aliquo impediebatur. Quinetiam, ſi quis operis abſolutione prohibeatur, Lex ei adverſus prohibentem dat actionem de vi. Item de mancipio, & de quavis re, quam quis ad ſe ex parte pertinere dicit. Dinarchus vero peculiariter uſus eſt hac ἐξούλης voce de quadam ſacerdote, quæ res ſuas curare nolebat. *Port*.

'Εξούλης[3] δίκη. οἱ δίκῃ νικήσαντες, ὥστε ἀπολαβεῖν χωρίον, ἢ οἰκίαν· ἔπειτα ἐμβατεύειν κωλυόμενοι, [4] μὴ ἐμβατεύσαντες, ἐξελαυνόμενοι, δίκην εἰσάγουσι πρὸς τοὺς ἐξελαύνοντας, ἢ οὐκ ἐῶντας ἐμβατεύειν. καὶ αὕτη ἡ δίκη ἐξούλης καλεῖται. εἴρηται δὲ ἀπὸ τοῦ [5] ἐξέλλειν. οἱ παλαιοὶ γὰρ τὸ κωλύειν καὶ ἀπελαύνειν, ἐξέλλειν ἔλεγον.

'Εξ οὐρίου. ἐξ ἐπιτηδείου ἀνέμου. Κἂν ἐξ οὐρίων φέρηται, τὴν ἄγαν ἔχων εὐημερίαν, ταλανίζειν τοῦτον χρή.

'Εξουσιάζω. γενικῇ.

'Εξοχετευόμενα. ἐκρέοντα.

'Εξόχως. πάνυ.

῎Εξω βελῶν καθῆσθαι. παραινεῖ ἔξω κινδύνου εἶναι.

'Εξώγκωσεν. ὕψωσε. Καὶ χῶμα ἐξώγκωσαν αὐτῷ. καὶ ἐν Ἐπιγράμματι· Τιμῶσι τῷδε.

῎Εξω Γλαῦκε. χειμῶνα γὰρ σημαίνει ὁ θαλάττιος.

'Εξῴδηκε. ὠγκώθη.

'Εξῳδηκώς. ὁ ὠγκωμένος.

'Εξῳδηκυῖα.

'Εξωκέλης. τὸ λῃστρικὸν πλοῖον, ἢ ἄστρωτος ἵππος.

'Εξώκειλεν. ἐξῆλθεν. ἔπεσε. ἐπὶ νηός. ἐξέβαλεν. ἐξέρριψεν. Ἡ δὲ Κλεοπάτρα βασιλίδα βασιλίδων ἑαυτὴν ἀνεῖπεν. ἐς τοσοῦτον ἄρα φρονήματος ἐξώκειλεν.

'Εξῳκοδόμηται[6] τὸ τεῖχος, ὡς ὅταν ἐπάνω μὲν

'Εξούλης δίκη. Judicium, vel actio de vi. Illi, quibus prædium vel domus ſententia Judicis adjudicata erat, ſi ingreſſu ejus prohiberentur, vel inde expellerentut, dicam ſcribebant illis, qui ipſos expulerant, vel ingreſſu prohibuerant. Et hæc actio vocabatur ἐξούλης: ab ἐξέλλειν; quod apud veteres ſignificabat arcere, vel repellere.

'Εξ οὐρίου. Vento ſecundo. *Quamvis ſecundo vento naviget, & omnia feliciter ipſi ſuccedant, tamen miſerum eum judicare oportet.*

'Εξουσιάζω. Genitivo jungitur. Poteſtatem in aliquem habeo.

'Εξοχετευόμενα. Emanantia. Per canalem effluentia.

'Εξόχως. Excellenter. Eximie.

῎Εξω βελῶν καθῆσθαι. Extra tela ſedere. Monet nos [proverbium,] ut pericula vitemus.

'Εξώγκωσεν. In altum extulit. Excitavit. *Et aggerem ei excitarunt.* Et in Epigrammate: *Honorant eum hoc [tumulo.]*

῎Εξω Γλαῦκε. Foras Glauce. Marinus enim ille [Glaucus, quum ex aquis prodit,] tempeſtatem ſignificat.

'Εξῴδηκε. Inflatus eſt. Intumuit.

'Εξῳδηκώς. Qui intumuit. Inflatus.

'Εξῳδηκυῖα. Quæ intumuit. Inflata.

'Εξωκέλης. Piraticum navigium. Vel, equus ſtrato carens.

'Εξώκειλεν. Exiit. Excidit. Impegit. Ejectus eſt. De nave dicitur. [Item, progreſſus eſt.] *Cleopatra eo inſolentiæ provecta eſt, ut ſe Reginam Reginarum appellaret.*

'Εξῳκοδόμηται τὸ τ. *Exædificatus eſt murus*, &c.

---

[1] 'Εξούλης. ὄνομα δίκ.] Ex Harpocratione. Vide etiam Petitum *de Leg. Att.* pag. 413. 414.

[2] 'Εξίλλειν] Bifariam hæc vox ſcribitur, ἐξίλλειν & ἐξείλλειν: quæ διπλογραφία inde orta eſt, quod a multis jam inde ſeculis τὸ ι & ει apud Græcos eodem prorſus modo pronuntiatum fuerit. Confer Harpocrationem v. Ἀπίλλειν; & Noſtrum infra v. Εἴλλειν.

[3] 'Εξούλης δίκη. οἱ δίκῃ νικ.] Hæc αὐτολεξεὶ etiam leguntur apud Etymologum, qui ea ex Lexico Rhetorico ſe deprompſiſſe teſtatur.

[4] Μὴ ἐμβατεύσαντες, ἐξελαυνόμενοι] Hæc ſupervacanea ſunt, & ſalvo ſenſu deleri poſſunt; vel potius debent, propter ταυτολογίαν.

[5] 'Εξέλλειν] Scribe ἐξίλλειν, ut apud Etymologum; & ipſum Suidam paulo ante.

[6] 'Εξῳκοδόμηται τὸ τ.] Totus hic locus emendandus & diſtinguendus eſt ex Ariſtoph. *Avibus* pag. 594. 595. (412. Ed. Baſ. F.) unde eum Noſter deſcripſit.

Προξενίδης ὁ Κομπασεὺς, καὶ Θεαγένης, ἀμφότεροι κομπασταὶ, ἐναντίω δύ' ἅρματε ἵππων ὑπόντων μέγεθος ὅσον ὁ δούρειος, ὑπὸ τοῦ πλάτους ἂν παρελασαίτην. Ἡράκλεις. τὸ δὲ μῆκος ἑκατοντόργυιον.

Ἐξωλέστερον. [1] Ἀριστοφάνης Πλούτῳ· πενία γάρ ἐστιν, ἧς οὐδὲν θηρίον ἐξωλέστερον. ἀντὶ τοῦ ἀπολέσθαι ὀφεῖλον, ἢ ἐξολοθρευτικώτερον, ἢ χεῖρον. Αἰλιανός· Σύνοδοί τινες εἰς αὐτὴν ἐγίνοντο καὶ συμφοιτήσεις ἀκολάστων ἀνδρῶν, καὶ γυναικῶν ἀσελγῶν, καὶ μειρακίων ἐξώλη βίον προῃρημένων.

Ἐξώλεια. πανωλεθρία. Καὶ ἐξώλειαν ἑαυτῷ προσεπαρασάμενος, καὶ ὁποῦν αὐτῶν ἐκβῇ. τουτέστιν, ἀπηγορευμένων κακῶν.

Ἐξώλης. εὐθείας πτώσεως· καὶ προώλης, καὶ παρώλης. ἀπολλύμενος κίναιδος. καὶ ἐξώλεια. ἡ παντελὴς ἀπώλεια. Τῷ γε μὴν πατρὶ ἐπαρωμένου ἐξώλειαν ἐπίπλαστον. Καὶ αὖθις· [2] Ὅπως ἂν ἐπ' ἐξωλείᾳ τῶν Ἰσραηλιτῶν ἀρὰς ποιήσηται ὁ μάντις.

Ἐξώλισθεν. ἐξερρίφη. ἐξέπεσε. Διονύσιος ὁ δεύτερος ἐξώλισθε τῆς ἀρχῆς, καὶ ἐς Κορινθίους ἧκε φυγάς.

Ἐξωλόθρευσας[3] πάντα τὸν πορεύοντα ἀπὸ σοῦ. οὕτω γραπτέον. καὶ μὴ πορνεύοντα.

Ἐξωμμάτωμαι.[4] ἐπιτεταμένως ὁρῶ. ἡ γὰρ ἐξ πρόθεσις ἐπίτασιν δηλοῖ· ὡς, ἐκ θυμοῦ φιλέων. ἢ μᾶλλον παίζων ἐπὶ στερήσεως λέγει. Ἀριστοφάνης Πλούτῳ·

Ἐξωμμάτωται καὶ λελάμπρυνται κόρας.

Ἐξωμίς. [5] Ἀττικῶς λεξείδιον. σημαίνει δὲ χιτῶνα [6] ἐλευθέριον, οὐκ ἐπισκεπάζοντα τοὺς βραχίονας. εὐτελῆ.

Ἐξωμισάσαις. ἄχρι τῶν ὤμων γυμνωσάσαις.

——— [7] Χειροτονητέον
Ἐξωμισάσαις τὸν ἕτερον βραχίονα.

Ἀριστοφάνης.

Ἔξωμος. καὶ [8] ἐξωμόσατο. ἀπηγόρευσε. καὶ ἐξωμόσασθαι. τὸ μεθ' ὅρκου ἀπαρνήσασθαι πρᾶξίν τινα, διὰ νόσον ἢ πρόφασιν ἑτέραν τινὰ, ἐξωμόσασθαι ἐστίν. οὕτω Δημοσθένης.

Ἐξωμοσία.[9] ἔνορκος παραίτησις, δι' εὔλογον αἰτίαν. Ἐξομοσία, ὅταν τις φάσκῃ ἢ ὑπὲρ αὐτοῦ ἢ ὑπὲρ ἑτέρου ἐγκαλούμενος, μὴ δεῖν εἰσάγεσθαι δίκην· εἶτα καὶ τὴν αἰτίαν, δι' ἣν οὐκ εἰσαγώγιμος ἡ δίκη εἰ δοκεῖ κατὰ λόγον ἀξιοῦν, ἐδίδοτο αὐτῷ ἐξωμοσία χρή-

[Vide ipſum Ariſtophanem, & ejus interpretes.]

Ἐξωλέστερον. Perniicioſius. Vel, Interitu dignius, vel pejus. Ariſtophanes Pluto: *Paupertate enim nullum pernicioſius animal unquam natum eſt* Ælianus: *Conveniebant ad eum viri intemperantes, & impudicæ mulieres, & adoleſcentes, qui perditam vitam agebant.*

Ἐξώλεια. Internecio. Excidium. Interitus. *Præterea vero ſibi ipſi interitum imprecatus, & quodvis malum, quod inde manaturum eſſet.*

Ἐξώλης. Perditus cinædus. Perditus. Eſt caſus rectus: ut προώλης, & παρώλης. Et ἐξώλεια, interitus. *Cum autem patri verbis ſimulatis interitum imprecaretur.* Et iterum: *Ut vates diris devoveret Iſraelitas.*

Ἐξώλισθεν. Excidit. Ejectus eſt. Expulſus eſt. *Dionyſius ſecundus principatu pulſus, Corinthum exulatum abiit.*

Ἐξωλόθρευσας πάντα τὸν π. *Exterminaſti omnem recedentem a te.* Sic ſcribendum eſt, non πορνεύοντα, i. e. ſcortantem.

Ἐξωμμάτωμαι. Intenſe video. Vel, acutum cerno. Nam præpoſitio ἐξ ſæpe intenſionem ſignificat: ut cum dicimus ἐκ θυμοῦ φιλ. *Ex animo diligens.* Vel potius [poeta] jocans hanc vocem de privatione oculorum intelligit. Ariſtophanes *Pluto: Oculis apertis & purgatis nunc clare videt.*

Ἐξωμίς. Vox Attica, ſignificans tunicam ſervilem, non tegentem brachia. Vel, tunicam vilem.

Ἐξωμισάσαις. Brachia ad humeros uſque nudantibus. Ariſtophanes: *Suffragia in concione nobis ferenda ſunt, brachio altero ad humeros uſque nudato.*

Ἔξωμος. Cujus humeri exſtant. Et ἐξωμόσατο, juratus negavit. Et ἐξομόσασθαι ſignificat jurejurando interpoſito aliquid negare vel recuſare, propter morbum, vel aliam quandam cauſam. Sic Demoſthenes.

Ἐξωμοσία. Negatio, vel exceptio, quæ fit jurejurando interpoſito, propter probabilem aliquam cauſam. Vel, ἐξομοσία eſt, cum quis vel ſuo vel alterius nomine accuſatus dicit, cauſam in Judicium non eſſe introducendam; additque deinde rationem, quare ea in Judiσθαι. καὶ οὔπω διεγράφετο [1] ἡ δίκη.

---

[1] Ἀριστοφάνης Πλούτῳ] Pag. 47. (24. Ed. Baſ. *P.*) ubi ſic legitur:
Πενία γάρ ἐστιν, ὦ πόνηρ', ἧς οὐδαμοῦ
Οὐδὲν πέφυκε ζῶον ἐξωλέστερον.
Sic etiam apud Suidam ſcribendum eſt.

[2] Ὅπως ἂν ἐπ' ἐξωλείᾳ τῶν Ἰσρ.] Hæc ſunt verba Joſephi de Balaamo vate lib. IV. *Antiq. Jud.* cap. VI. pag. 112.

[3] Ἐξωλόθρευσας πάντα τὸν πορ.] Hæc ſunt verba Davidis Pſalm. LXXII. v. 27. ſed ubi hodie pro πορεύοντα legitur πορνεύοντα; quam lectionem agnoſcit etiam Theodoretus.

[4] Ἐξωμμάτωμαι. ἐπιτεταμ.] Ex Enarratore Comici ad *Plutum* pag. 68. (34. Ed. Baſ. *P.*)

[5] Ἀττικῶς λεξείδ.] Scribe Ἀττικὸν λεξείδιον.

[6] Ἐλευθέριον] Cum ex Polluce, Heſychio, Etymologo, Scholiaſta Ariſtophanis, aliiſque conſtet, ἐξωμίδα apud veteres Athenienſes fuiſſe tunicam ſervilem; pro ἐλευθέριον hic apud Suidam ſcribendum eſſe putem ἀνελεύθερον: uti etiam ante nos legendum eſſe monuit eruditiſſimus Perizonius ad Æliani *Var. Hiſt.* lib. IX. cap. XXXIV. qui plura ibidem de exomide docte obſervat. Eo igitur Lectorem remittimus.

[7] Χειροτονητέον ἐξωμ.] Fragmentum hoc legitur apud Ariſtophanem *Eccleſiaz.* pag. 731. (491. Ed. Baſ. *P.*)

[8] Ἐξωμόσατο. ἀπηγόρευσε. καὶ ἐξωμ.] Eadem leguntur apud Scholiaſtam Ariſtophanis ad *Eccleſiaz.* pag. 754. Sed tam illic, quam hic pro ἐξωμόσασθαι ſcribendum eſt ἐξομόσασθαι, per ο in ſyllaba ſecunda.

[9] Ἐξωμοσία. ἔνορκος παραίτ.] Et hæc leguntur apud eundem Scholiaſtam Ariſtophanis loco modo laudato.

Ἐξωνήσατο. ἐξηγόρασεν. ἐπορίσατο. Χρυσίον δίδωσιν, οὐ μὴν ἐξωνήσατο τὸ μηδὲν παθεῖν.

Ἐξωπτῆσθαι. ὠπτημένον ὑπάρχειν.

Ἔξωρα. [2] Σοφοκλῆς·

Ἔξωρα πράσσω, κοὐκ ἐμοὶ προσεικότα.

τουτέστι, προσήκοντα.

Ἐξωραϊσμένον. κεκαλλωπισμένον.

Ἐξώργισεν.[3] ἐξεθύμωσεν.

Ἔξωρος. ὁ γεγηρακώς. ἢ ἄχρειος. Ὅσοι ἀπόλεμοι ἦσαν καὶ ἔξωροι τὴν ἡλικίαν, ἐξωθοῦνται. ἄωρος γὰρ καὶ ἔξωρος ἡ ἡλικία.

Ἐξωρχησάμην. Πρὸς ὃν ἐξωρχησάμην τὰ τέως ἀνέκπυστα. ἐξεφαύλισα, κατέπαιξα. Καὶ αὖθις· Ὁ [4] δὲ μεθυσθεὶς ἐν τῇ οἰκίᾳ Πυλτίωνος τοῦ παρασίτου τὰ μυστήρια ἐξωρχήσατο. ἀντὶ τοῦ ἐξεμυκτήρισεν, ἔκπυστα ἐποίησεν.

Ἐξώστης ἄνεμος. ὁ τραχύς.

Ἐξώστοα.

Ἐξωστρακίσθη, ἐξωρίσθη. ἐπειδὴ εἰς [5] ὄστρακον ἔγραφον. ζήτει ἐν τῷ Ὀστρακισμός.

Ἐξώτερος. ὁ ἐξώτατος.

Ἐξωφρυωμένοι. ἐξηρμένοι. ὑπερηφανευόμενοι.

Ἐξπέδιτα. τὰ στρατιωτικὰ πλήθη. Τῶν ἐξπεδίτων ταλαιπωρούντων τῷ μήκει τοῦ χρόνου. τέταρτος γὰρ ἐνιαυτὸς ἐτύγχανεν ὤν.

Ἐξπλωράτωρ. οὗτοι οἱ ἐξπλοράτοι τῶν [6] βασιλείων πόλεις τε καὶ κώμας, καὶ τοὺς ἄλλους τόπους, καὶ τὰ πλεῖστα τῶν χωρίων, καὶ τῶν ὁδῶν διαστήματα, καὶ τὰς θέσεις, καὶ ὧν ἕκαστος τόπος εὐπορεῖ τε καὶ οὔ, ἐπιτηδείων ὄντων τοῖς ὁδοιπόροις, καὶ εἰ πρὸς πλῆθος ἐπαρκεῖν οἷά τέ εἰσιν. ἔργον γὰρ τούτοις τὸ περιεργάζεσθαι, τίς ἡ τῶν πραγμάτων κατάστασις, καὶ ποῖα τὰ κατὰ Ῥωμαίων σκεπτόμενα ὑπὸ Περσῶν, καὶ ἀναφέρειν ἐπὶ τὸν βασιλέα.

Ἐξκουβίτωρ.

Ἐξκουσσία.[7]

Ἔξοινος. ὁ μεθύων. [8] Ὁ δὲ ἔξοινος ὢν καὶ ἡμικραίπαλος, ὑπὸ τοῦ ὕπνου διακοπτόμενος. Πολύβιος· Ἔξοινοι γεγονότες καὶ κατὰ τὰς σκηνὰς ἐῤῥιμμένοι πάντες, οὔτε παραγγέλματος ἁπλῶς ἤκουον, οὔτε τοῦ μέλλοντος ἐλάμβανον οὐδ' ἡντιναοῦν πρόνοιαν.

cium introduci non debeat. Si igitur ratio, quam afferrebat, juſta & æqua eſſe videbatur, licebat ei uti exceptione, quæ ἐξωμοσία dicebatur: & ſic actio tollebatur.

Ἐξωνήσατο. Redemit. Sibi comparavit. *Aurum quidem dedit; nequaquam tamen impunitatem redemit.*

Ἐξωπτῆσθαι. Aſſatum eſſe.

Ἔξωρα. Intempeſtiva. Ætati non convenientia. Sophocles: *Facio ea, quæ ab ætate mea aliena ſunt, nec mihi conveniunt.*

Ἐξωραϊσμένον. Exornatum. Comptũ. Fucatũ.

Ἐξώργισεν. Ad iram provocavit.

Ἔξωρος. Qui ex florenti ætate jam exceſſit. Qui conſenuit. Vel, intempeſtivus. *Qui imbelles erant, vel ætatem militarem jam exceſſerant,* [*ex urbe*] *ejiciebantur.* Ἄωρος enim, & ἔξωρος, utrumque de ætate dicitur.

Ἐξωρχησάμην. Contempſi. Deriſi. Ludibrio habui. [Enuntiavi.] *Cui enuntiavi ea, quæ ante nemini audita fuerant.* Et iterum: *Ille vero in Pultionis paraſiti domo inebriatus, myſteria enuntiavit.* Vel, deriſit, & divulgavit.

Ἐξώστης ἄνεμος. Ventus aſper & vehemens.

Ἐξώστοα. Extra porticum ſita.

Ἐξωστρακίσθη. Oſtraciſmo in exilium pulſus eſt. Nomina enim eorum, qui in exilium pellendi erant, teſtis inſcribebant. Vide in v. Ὀστρακισμός.

Ἐξώτερος. Exterior.

Ἐξωφρυωμένοι. Supercilium tollentes. Faſtu elati. Superbi.

Ἐξπέδιτα. Copiæ militares. *Cum copiæ militares diuturni temporis moleſtiis confectæ eſſent. Jam enim quartus agebatur annus.*

Ἐξπλωράτωρ. Explorator. Hi exploratores regii urbes & vicos, aliaque loca, & pleroſque agros, & viarum intervalla ſituſque [inſpiciebant,] & quibus rebus unuſquiſque locus abundaret, vel careret, (iis nempe, quæ ad commeatum pertinent) & an multitudini ſufficere poſſent, [explorabant.] Horum enim munus erat accurate inquirere, quiſnam eſſet rerum ſtatus, & quænam conſilia contra Romanos a Perſis agitarentur: eaque cum cognoviſſent, ad Imperatorem referre.

Ἐξκουβίτωρ. Excubitor.

Ἐξκουσσία. Excuſatio.

Ἔξοινος. Temulentus. Vino ebrius. *Ille vero vino adhuc madidus, & crapula nondum exhalata ſomno excuſſus,* &c. Et Polybius: *Illi autem omnes vino madidi, & per tentoria ſtrati, nec imperium ducis audiebant, nec de futuro ullo modo ſolliciti erant.*

---

[1] Ἡ δίκη] In prioribus Editt. locus hic una voce auctior ſic legitur, ἡ δίκη ἐξώμοτος. Sed ultima vox vel delenda eſt (nam & ſenſus eam ut ſupervacaneam reſpuit, nec agnoſcit eam Scholiaſta Ariſtophanis loco laudato) vel ſaltem inde disjungenda, & ſeparatim ponenda eſt, ut nova λέξις; quod conſentaneum eſt MStis Pariſ.

[2] Σοφοκλῆς] *Electra*, pag. 109. ut Portus monuit.

[3] Ἐξώργισεν] Vide ſupra v. ἐξοργιεῖν.

[4] Ὁ δὲ μεθυσθεὶς ἐν τῇ οἰκίᾳ Πυλτίωνος τοῦ παρασ.] Fragmentum hoc intelligendum eſt de Alcibiade: quippe qui in domo Pultionis, vel potius Polytionis, myſteria Cereris enuntiaſſe & deriſiſſe legitur. Vide Andocidem *de Myſteriis*, pag. 2. & Plutarchum in *Alcibiade*, pag. 202.

[5] Εἰς ὄστρακον ἔγραφον] Adde ex Heſychio, ἐξορίας.

[6] Τῶν βασιλείων] Cum Porto legere malim τῶν βασιλέων.

[7] Ἐξκουσσία] Rectius ἐξκουσσεία, per ει. Vide Dufrenium in Gloſſario Græco h. v.

[8] Ὁ δὲ ἔξοινος ὢν καὶ ἡμικρ.] Hæc ſunt verba Theophylacti Simocattæ lib. v. cap. 1. ubi locum integrum vide.

Ἐξ οἵων ἔχω. ὡς ἔστι μοι δυνατόν. ὡς δυνάμεως ἔχω. [1]Ὀρέστης φησίν·

Ἄναξ Ἄπολλον, ἵλεως αὐτῶν κλύε,
Ἐμοῦ τε πρὸς τούτοισιν, ἥ σε πολλὰ δὴ
Ἀφ' ὧν ἔχοιμι, λιπαρεῖ προὔστην χερί.
Νῦν δ', ὦ Λύκι' Ἄπολλον, ἐξ οἵων ἔχω,
Αἰτῶ, [2]προσπιτνῶ, λίσσομαι, γενοῦ πρόφρων
Ἡμῖν ἀρωγὸς τῶνδε τῶν βουλευμάτων.

Ἐξοιστρηθείς. μανείς. παρορμηθείς. ἐρεθισθείς.

Ἐξυβρίζοντα. παρασπονδοῦντα. παραβαίνοντα τὰς συνθήκας. ἀδικοῦντα. Τὰ γὰρ ἐκδικήματα τοῦ Δεκεβάλου ἐς τοσόνδε προεληλύθει, ὥστε ἀναγκαῖον εἶναι πολέμῳ καταπαῦσαι ἐξυβρίζοντα.

Ἐξυπαρχῆς. ἀπ' ἀρχῆς.

Ἐξ ὑπερδεξίων. ἐξ ὑψηλῶν. Ἕτεροι τὰς ὑπερδεξίους τῶν πεδίων σκοπιάς.

Ἐξ ὑπογύου. παρ' αὐτά. ἀπερισκέπτως. ἐκ τοῦ σύνεγγυς. Γεγονὼς ἀπὸ Μαρκέλλης τὸ γένος ἀνέκαθεν· τὸ δὲ ἐξ ὑπογύου πατρόθεν, ἀπὸ Ἐκδικίου ῥήτορος.

Ἐξ ὑποθέσεως. ὁ [3]Ἀριστοτέλης λέγει παρακολουθεῖν ταῖς ἕξεσι δυνάμεις τινὰς ἐξ ὑποθέσεως, αἷς χρήσαιντ' ἄν, εἰ ἐν τούτῳ γένοιντο, πρὸς ὃ εἰσιν αἱ δυνάμεις χρήσιμοι· οἷον, τῇ πρᾳότητι ἕξει οὔσῃ παρακολουθεῖ ἡ δύναμις ἐξ ὑποθέσεως, τὸ δύνασθαι κρατεῖν ὀργῆς ἀμέτρου τε καὶ μὴ προσηκούσης, εἴποτε ἐμπέσοι. ἐξ ὑποθέσεως οὖν ἡ δύναμις τῇ πρᾳότητι ἕπεται. εἰ γὰρ ὀργισθείη, κρατήσει.

Ἐξυπτιάζω. Οἱ [4]μεθυσθέντες οἴνῳ, ἐπὶ πρόσωπον πίπτουσιν· οἱ δὲ κρίθινον πεπωκότες, ἐξυπτιάζονται τὴν κεφαλήν. ἐξυπτιάζειν οὖν, τὸ ἐπὶ νώτου φέρεσθαι.

Ἐξυρημένος. τὴν κόμην ἀποβαλών.

Ἔξυσεν. ὕφηνεν.

Ἐξυφήνας. κατασκευάσας.

Ἔολπα. ἤλπιζον. παρακείμενος. καὶ ἔοργα. εἰργασάμην, παρακείμενος.

Ἑόν. τὸ ἴδιον.

Ἑορτὴ πολλὰ ἔχουσα. ἐπὶ τῶν πολλὰ [5]ἀποτιθεμένων φορτία. εἴρηται δὲ ἐπὶ τῶν πρὸς τὰς ἑορτὰς ἐπειγομένων, οἳ πολλὰ ἐπιφέρονται καὶ ἱερεῖα, καὶ ἱμάτια, καὶ ἄρτους, ἵνα μηδενὸς ὑστερήσωσιν.

Ἑορτολόγιον.

Ἐῴη. συγχωροίη.

Ἕωθεν. πρωΐθεν.

Ἑωθινός.

Ἐωθός. χωρὶς τοῦ ι. Ἄρχιππος. καὶ [6]Ἀραρώς,

Ἐξ οἵων ἔχω. Pro meis facultatibus. Pro meis viribus. [Apud Sophoclem] Electra inquit: *Rex Apollo, propitius ipſos audi; meque cum iſtis, quæ de bonis meis aſſidue ſacra tibi feci. Nunc vero, Lycie Apollo, enixe te precor, veneror, & ſuppliciter oro, ut conſilia & conatus noſtros ad felicem exitum perducas.*

Ἐξοιστρηθείς. Oeſtro percitus. Rabie agitatus. Incitatus. Irritatus.

Ἐξυβρίζοντα. Præ inſolentia omne jus & fas contemnentem. Fœdera violantem. Injuriam facientem. *Decebalus vero in violandis pactis & fœderibus eo audaciæ proceſſerat, ut neceſſe eſſet inſolentiam ejus bello compeſcere.*

Ἐξυπαρχῆς. A principio. Ab initio.

Ἐξ ὑπερδεξίων. [E locis ſuperioribus. *Alii ſpeculas locis planis imminentes [occuparunt.]*

Ἐξ ὑπογύου. Ex tempore. Abſque præmeditatione. Ex propinquo. A tempore proximo. *Marcella ortus, ſi altius genus ejus repetas: ſin propiorem paterni generis originem ſpectes, ab Ecdicio Rhetore.*

Ἐξ ὑποθέσεως. Ariſtoteles ait, eſſe quaſdam facultates, quæ ex hypotheſi habitus ſequantur: quibus illi utuntur, ſi tale quid inciderit, adverſus quod facultates iſtæ ſunt utiles. Ut, lenitatem, quæ eſt habitus, ex hypotheſi ſequitur facultas iram immoderatam & a ratione alienam coercendi, ſi quando ira inciderit. Ex hypotheſi igitur facultas illa lenitatem ſequitur. Si enim [homo lenis] iratus fuerit, iram coercebit.

Ἐξυπτιάζω. Supinus cado. Reſupinor. *Qui vino inebriantur, proni in faciem cadunt: at qui zytho, in caput reſupinantur.*

Ἐξυρημένος. Novacula raſus.

Ἔξυσεν. Texuit.

Ἐξυφήνας. Qui contexuit. Qui confecit.

Ἔολπα. Speravi. Eſt præteritum perfectum [medium:] uti & ἔοργα, feci.

Ἑόν. Suum. Proprium.

Ἑορτὴ πολλὰ ἔχουσα. Feſtum multa habens. De iis dicitur, qui multis ſarcinis ſe onerant. Vel de iis, qui ad feſta proficiſcuntur. Illi enim multas victimas, & veſtes, & panes ſecum portare ſolent, ne qua re indigeant.

Ἑορτολόγιον. Codicillus feſtorum.

Ἐῴη. Sinat. Concedat. Permittat.

Ἕωθεν. Mane. Diluculo. A diluculo.

Ἑωθινός. Matutinus.

Ἐωθός. Sine ι. [Pro εἰωθός.] Solitum. Conſueἔωθας. καὶ Θουκυδίδης, ἐώθεσαν.

---

[1] Ὀρέστης φησίν] Errat hic compilator. Non enim Oreſti, ſed Electræ hæc tribuuntur apud Sophoclem *Electra* pag. 139. ut Portus etiam obſervaverat.

[2] Προσπιτνῶ] Sophocles loco laudato habet, προπιτνῶ; uti etiam hic metri gratia ſcribendum eſt.

[3] Ὁ Ἀριστοτέλης λέγει παρακολουθεῖν ταῖς ἕξεσι δυν.] Totus hic articulus ſumptus eſt ex Alex. Aphrod. in lib. IV. *Topic.* pag. 176.

[4] Οἱ μεθυσθέντες οἴνῳ, ἐπὶ πρ.] Athenæus lib. I. circa finem: Ἀριστοτέλης δέ φησιν, ὅτι οἱ μὲν ἀπ' οἴνου μεθυσθέντες ἐπὶ πρόσωπον φέρονται· οἱ δὲ τὸν κρίθινον πεπωκότες, ἐξυπτιάζονται τὴν κεφαλήν. Hinc verba Suidæ deprompta eſſe patet.

[5] Ἀποτιθεμένων] Imo ἀνατιθεμένων: ut recte legitur in Vaticana Proverbiorum Appendice.

[6] Ἀραρώς, ἔωθας] Portus ἀβλεψίαν ſuam nimis claro indicio hic prodidit, dum locum hunc ſic vertit: *Et aptatus conſuevisti.* Τὸ ἀραρὼς enim hic non ſignificat *aptatus*, ſed eſt nomen proprium poetæ, apud quem Suidas dicit τὸ ἔωθας abſque ι, pro εἴωθας, legi, uti τὸ ἐωθὸς apud Archippum, & apud Thucydidem ἐώθεσαν, itidem abſque jota reperiatur. De poeta autem Araro Suidas non

Ἐῴκει. ὅμοια ἦν.

Ἕωλα. τὰ χθεσινά. καὶ ἕωλον ὁμοίως, τὸ ψυχρὸν, μάταιον, ἀνωφελὲς, ἀνίσχυρον. τὸ εἰς τὴν ἕω λειπόμενον. Καὶ ἑώλων κρεῶν πλήρεσι. χθιζῶν. ἐπὶ ὄψων. [1] Ἔκειτο πήρα ἄρτων.

nim hic significat idem quod χθιζῶν. Dicitur
nibus plena.

Ἑωλοκρασία. [2] τὸ χθιζὸν βρῶμα κυρίως. ἔθος ἦν τοῖς νέοις δειπνοῦσι καὶ νυκτερεύουσι καταχεῖν τῶν κοιμωμένων τῶν ἑώλων δείπνων τοὺς ζωμοὺς, πρὸς τοιαύτην παιδιὰν κεκραμένους. ἐγὼ δὲ μᾶλλον νομίζω πεποιῆσθαι τὸ ὄνομα [3] ὑπὸ ῥήτορος ἀπὸ τῶν ἑώλων, ἅ ἐστιν ἀρχαῖα· ὅτι πράγματα ἀρχαῖα συγκεράσας κατηγορεῖ ὁ Αἰσχίνης.

Ἑωλοκρασία. ἡ ματαία πόσις. [4] Δημοσθένης· Αἴτιος δ' οὗτος ὥσπερ ἑωλοκρασίαν τινά μου τῆς πονηρίας τῆς ἑαυτοῦ καὶ τῶν ἀδικημάτων κατασκεδάσας.

Ἑωλονεκρός. ὁ πρὸ [5] πολλοῦ τεθνηκώς.

Ἐώλπειν. ὑπερσυντέλικος.

Ἐωνημένοι. ἀγοράσαντες. ἢ ἠγορασμένοι. [6] Ἀριστοφάνης Πλούτῳ·

Τοῦ σώματος γὰρ οὐκ ἐᾷ τὸν κύριον
Κρατεῖν ὁ δαίμων, ἀλλὰ τὸν ἐωνημένον.

ἀντὶ [7] τοῦ τὸν ὠνησάμενον· ἀπὸ τοῦ ὠνοῦμαι. λέγεται γὰρ καὶ ἡ ἐφεξῆς τοῦ ῥήματος κλίσις. τοῦ δὲ ὀνόματος τὸ πληθυντικὸν οὐκ ἔστιν ὠνησάμενοι. διὸ μεταβάλλοντες οἱ Ἀττικοὶ πριάμενοι λέγουσιν ἑτέρᾳ φωνῇ.

Ἐῳνοχόει. ἐκίρνα.

Ἑῴων. ἐκ τῶν ἀνατολῶν.

Ἔῳξας. ἀνέῳξας.

Ἑῷος. ὁ ἀνατολικός. καὶ ἑῷοι. ὀρθρινοί. ἢ ἀνατολικοί.

Ἐώρα. [8] ὕψωσις. ἢ μέταρσις.

Ἐώργειν. ὑπερσυντέλικος.

Ἐωρηθήτω. κρεμασθήτω.

Ἐώρημα. ὁ [9] Βελλεροφόντης διὰ τοῦ Πηγάσου τοῦ πτερωτοῦ ἐπεθύμησεν εἰς τὸν οὐρανὸν ἀνελθεῖν. καί φησιν Εὐριπίδης·

Ἄγ' ὦ φίλον μοι Πηγάσου ταχύπτερον.

tum. Archippus. Et Araros, ἔωθας, [pro εἴωθας,) consuevisti. Et Thucydides ἐώθεσαν, [pro εἰώθεσαν,] consueverunt.

Ἐῴκει. Similia erant.

Ἕωλα. Hesterna. Et ἕωλον, hesternum, frigidum, rancidum, vanum, inutile, infirmum. Proprie sic dictum, quod εἰς τὴν ἕω, i. e. ad auroram, vel in posterum diem usque relinquatur. *Et hesternis cibis plenis.* Ἑώλων e-
autem de cibis. *Jacebat ibi pera rancidis pa-*

Ἑωλοκρασία. Proprie cibus hesternus, vel pridianus. Solebant olim adolescentes cœnantes & noctu vigilantes, in eos, qui dormiebant, pridianæ cœnæ jura, ejus lusus gratia commixta, effundere. Ego autem potius existimo, oratorem vocabulum istud deduxisse ἀπὸ τῶν ἑώλων, i. e. a rebus, quæ non sunt recentes, sed veteres: quasi diceret, *Æschines eorum me accusat, quæ ipse a longo jam tempore miscuit & machinatus est.*

Ἑωλοκρασία. Potatio supervacanea & immoderata. Crapula hesterna. Demosthenes: *Hic Æschines rancidum quasi & pridianum improbitatis & scelerum suorum cinnum in me effudit.*

Ἑωλονεκρός. Jam pridem mortuus.

Ἐώλπειν. Plusquamperfectum. Speraveram·

Ἐωνημένοι. Qui emerunt. Aut, qui empti sunt. Aristophanes *Pluto: Fortuna enim non dat hominibus jus & potestatem in proprium corpus, sed domino, qui id pretio emit.* Ἐωνημένον hic dictum est pro ὠνησάμενον: ab ὠνοῦμαι. Hujus autem nominis numerus pluralis non est ὠνησάμενοι; sed ejus loco Attici dicunt, πριάμενοι.

Ἐῳνοχόει. Vinum infundebat. Vinum temperabat.

Ἑῴων. Orientalium.

Ἔῳξας. Aperuisti.

Ἑῷος. Orientalis. Et ἑῷοι, matutini. Vel, Orientales.

Ἐώρα. Elatio. Suspensio.

Ἐώργειν. Plusquam perfectum. Feceram.

Ἐωρηθήτω. Suspendatur. In altum tollatur.

Ἐώρημα. Machina, qua quis sublimis tollitur. Bellerophontes Pegaso alato vectus in cœlum adscendere cupiebat. Ideo dicit Euripides: *Age, chare mihi Pegase, velocibus*

---

solum suo loco agit, sed ejusdem etiam meminit v. Ἀναθεῖναι: ubi similem hominis cujusdam imperiti errorem notavimus. Confer etiam Diatribam nostram, Editioni huic præfixam.

[1] Ἔκειτο πήρα ἄρτων] Videtur deesse vox ἑώλων. Alias enim exemplum hoc erit ἀπροσδιόνυσον.

[2] Ἑωλοκρασία] Confer Hesychium, Etymologum, Tzetzem Chil. VI. cap. LXXXV. & Meursium *de Lud. Græc.* pag. 18.

[3] Ὑπὸ ῥήτορος] Intellige Demosthenem: cujus locus, ad quem nota hæc referenda est, adducitur a Suida in voce sequente.

[4] Δημοσθένης] In oratione pro Ctesiphonte pag. 320.

[5] Πρὸ πολλοῦ τεθνηκώς] In prioribus Editt. post τεθνηκὼς additur, τριαδικός: sed quam vocem ut supervacaneam hic omisi, quoniam in MSS. Paris. non reperitur.

[6] Ἀριστοφάνης Πλούτῳ] Circa initium.

[7] Ἀντὶ τοῦ τὸν ὠνησ.] Hæc, & quæ sequuntur, sunt verba Scholiastæ ad modo indicatum locum Aristophanis.

[8] Ἐώρα] Imo potius αἰώρα, per diphthongum αι, ut supra suo loco. Vocalem enim ε cum diphthongo αι a librariis & Grammaticis sæpissime confundi, quis ignorat? Idem etiam dictum velim de vocibus sequentibus ἐωρηθήτω, ἐώρημα, ἐωρίζω.

[9] Ὁ Βελλεροφόντης διὰ τοῦ Πηγ.] Aristophanes *Pace* pag. 629.
Ὦ Πηγάσιόν μοι, φησὶ, γενναῖον πτερόν.
Scholiasta ad eum locum: Παρὰ τὸ ἐκ Βελλεροφόντου. ἐκεῖνος γὰρ διὰ Πηγάσου τοῦ πτερωτοῦ ἐπιθυμεῖ εἰς τὸν οὐρανὸν ἀνελθεῖν. Ἄγ' ὦ φίλον μοι Πηγάσου πτερόν. Hinc Suidas sua deprompsit. Sed in fragmento Euripidis tam apud Scholiastam quam Suidam pro Πηγάσου scribendum est Πηγάσιον. Et deinde apud Scholiastam pro πτερὸν ex Suida rescribendum est ταχύπτερον.

μετέωρος δὲ αἴρεται ἐπὶ μηχανῆς. τοῦτο δὲ καλεῖται ἐώρημα. ἐν αὐτῇ δὲ κατῆγεν τοὺς Θεοὺς, καὶ τοὺς ἐν ἀέρι πολοῦντας.

Ἑώρα. ἡ κρεμάθρα. καὶ ἐωρῶ. τὸ κρεμῶ.

Ἑώρησις. κρέμασις. καὶ ἐώρημα, ὁμοίως.

Ἐωρίζω. τὸ μετεωρίζω.

Ἐωροκοπίαις.[1] ὑψηλοφρονίαις.

Ἑώρταζον. ἐτέλουν.

Ἕως. ἐν τοσούτῳ. ἐν ὅσῳ. [2] Περίεργον τοῦτο τὸ ἕως παρὰ τῇ γραφῇ καὶ ἐπὶ τοῦ διηνεκοῦς πολλάκις εὑρίσκομεν κείμενον· ὡς τὸ, Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. καὶ ἔστι διηνεκές. καὶ, Οὐκ ἀνέστρεψεν ἡ περιστερὰ πρὸς τὸν Νῶε, ἕως τοῦ ξηρανθῆναι τὴν γῆν. καὶ εἰς τὸ παντελὲς οὐκ ἀνέστρεψε. καὶ, Ἕως ἂν καταγηράσητε, ἐγώ εἰμι· φησὶν ὁ Θεός. καὶ ἔστι διηνεκῶς. καὶ ἄλλα τοιαῦτα πολλάκις ἀποράδην ἐν τῇ θείᾳ εὑρίσκεται γραφῇ. οὕτω τὸ ἐν τοῖς θείοις χρησμοῖς εἰρημένον νόησον· Ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς. οὐχ ὡς μετὰ ταῦτα (ὡς βλασφημοῦσιν οἱ ἀχάριστοι Ἰουδαῖοι) συναφείας τῷ μνηστῆρι πρὸς τὴν παρθένον γεγενημένης.

Ἕως[3] οὗ ἀνταναιρεθῇ ἡ σελήνη. ἀντὶ τοῦ, πάντα τοῦ παρόντος βίου τὸν χρόνον. τὸ δὲ, Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου· οὐ χρονικόν ἐστι τὸ ἕως, ἀλλ' ἰδίωμα τῆς γραφῆς. οὕτω καὶ διὰ τοῦ προφήτου φησὶν ὁ Θεός· Ἐγώ εἰμι, καὶ ἕως ἂν καταγηράσητε, ἐγώ εἰμι. δῆλον δὲ ὅτι οὐ περιορίζεται τὸ εἶναι τοῦ Θεοῦ τὸ γῆρας τῶν ἀνθρώπων.

Ἕως τῶν πατέρων. ἕως τοῦ τέλους.

Ἕως. ἡ πρὸ τῆς τοῦ ἡλίου ἀνατολῆς ὥρα.

Ἐώσαντο. βιαίως εἰσῆλθον. Οἱ τοίνυν τελευταῖοι τῶν φίλων ἐώσαντο καὶ εἰσεπήδησαν.

Ἔωσεν. ἀπώσατο. ἐνέβαλεν. Ἡ δὲ ἐγκύψαντα αὐτὸν εἰς πίθον, ἵνα ἀρύσηται οἶνον, ἔωσεν ἐς κεφαλὴν καὶ ἀπέπνιξεν. καὶ περὶ τοῦ Αἰσώπου·

Οἱ Δελφοὶ ἔωσαν αὐτὸν κατὰ κρημνοῦ μάλα.

Ἑωσφόρος. ἀνατολικὸς ἀστὴρ, πρωϊνὸς, καλούμενος Φωσφόρος. [4] Ὅμηρος τοῦτον λέγει φέρειν τὴν ἡμέραν, ἀλλ' οὐχὶ τὸν ἥλιον.

Ἑωϋτόν. ἑαυτόν.

Ἐπαγαγέσθαι. παραπεῖσαι. ἐφελκύσασθαι. Ἀνὴρ δι' ἀρετὴν ἱκανὸς ἐπαγαγέσθαι τὸ θεῖον. καὶ αὖθις· Ἐς [5] Βενετίους ἰόντας ὡς πλεῖστα ἐπαγαγέσθαι τῶν ἐκείνῃ χωρίων ἐκέλευεν.

Ἐπαγγέλλεται. παρακαλεῖ. ἀξιοῖ. οὕτως Ἡρόδοτος.

alis prædite. [Dum autem ista dicit,] sublimis tollitur machina, αἰώρημα vocata: qua etiam Deos demittebant, & eos, qui in sublimi versabantur.

Ἑώρα. Machina pensilis, qua quis in altũ tollitur. Et ἐωρῶ. Suspendo. Sublimem tollo.

Ἑώρησις. Suspensio. Elatio. Et ἐώρημα, idem.

Ἐωρίζω. In altum tollo. Sublimem tollo.

Ἐωροκοπίαις. Arrogantia. Superbia.

Ἑώρταζον. Diem festum agebant.

Ἕως. Quamdiu. Donec. Quoad. Τὸ ἕως in S. Scriptura sæpe positum invenimus pro, *in perpetuum:* ut in eo dicto, *Donec ponam inimicos tuos scabellum pedum tuorum.* Id enim perpetuum est. Item, *Non reversa est columba ad Noe, donec siccaretur terra.* Prorsus enim non reversa est. Item, *Donec consenueritis, Ego sum: inquit Deus.* Id est, Ego semper sum. Et alia hujusmodi exempla sæpe passim in sacra Scriptura reperiuntur. Sic etiam illud in divinis oraculis dictum intelliges, *Donec peperit filium suum.* Non quasi, (quemadmodum ingrati Judæi impie calumniantur) postea sponsus cum virgine rem habuerit.

Ἕως οὗ ἀνταναιρ. *Donec sublata fuerit Luna.* Id est, omni præsentis vitæ tempore. In illo vero dicto, *Donec posuero inimicos tuos scabellum pedum tuorum;* τὸ ἕως non significat certi alicujus temporis spatium, sed sensu Scripturæ peculiari adhibetur. Sic & per Prophetam dicit Deus: *Ego sum: & donec consenueritis, ego sum.* Constat enim Dei esse non circumscribi hominum senectute.

Ἕως τῶν πατέρων. Usque ad patres. Id est, usque ad finem.

Ἕως. Aurora. Vel, tempus, quod ortum solis præcedit.

Ἐώσαντο. Per vim intrarunt. *Postremi igitur amici per vim intrarunt, & in eum locum se intruserunt.*

Ἔωσεν. Repulit. Trusit. Impulit. *Illa vero eum prono corpore in dolium inspicientem, in caput impulit, & sic suffocavit.* Et de Æsopo: *Delphi eum de rupe præcipitem egerunt.*

Ἑωσφόρος. Stella matutina, quæ alias etiam Φωσφόρος, i. e. Lucifer, appellatur. Homerus dicit, stellam hanc adducere diem, non autem solem.

Ἑωϋτόν. [Ionice pro] ἑαυτόν. Se ipsum.

Ἐπαγαγέσθαι. Allicere. Persuadere. Blanditiis flectere. Sibi conciliare. *Vir, qui virtute sua divinum Numen sibi conciliare queat.* Et iterum: *Jussit eos ad Venetos proficisci, & quamplurima illius regionis loca sibi adjungere.*

Ἐπαγγέλλεται. Præcipit. Hortatur. Petit. Sic Herodotus.

---

[1] Ἐωροκοπίαις] Sic melius MSS. Paris. quam priores Editt. quæ habent ἰωροπίαις.

[2] Περίεργον τοῦτο τὸ ἕως παρὰ τῇ γρ.] Hæc, & quæ sequuntur, sunt verba Isidori Pelus. lib. 1. Ep. XVIII. ut Pearsonius recte observaverat.

[3] Ἕως οὗ ἀνταναιρεθῇ——παρόντος βίου τὸν χρόνον] Ex Theodoreto ad Psalmum LXXI. v. 7.

[4] Ὅμηρος] Respexit Suidas ad locum Poetæ Il. ψ. v. 226.
Ἦμος δ' ἑωσφόρος εἶσι φόως ἐρέων ἐπὶ γαῖαν.

[5] Ἐς Βενετίους ἰόντας ὡς πλεῖστα ἐπαγ.] Fragmentum hoc legitur apud Procopium lib. II. de Bello Goth. cap. XVIII.

Ἐπαγγέλλει. ἀντὶ τοῦ ἐπιτάσσει, ἐντέλλεται, διακελεύεται. Ἐπαγγέλλει τὴν ἐπὶ Ἰταλίας ἔξοδον. Καὶ αὖθις· Ὁ δὲ βασιλεὺς φιλοφρόνως δέχεται αὐτὸν, καὶ κελεύει θαῤῥεῖν, καὶ εἴ τι θέλει ἐπαγγέλλειν. (ἀντὶ τοῦ αἰτεῖσθαι) ὁ δὲ δεῖται [1] ὑπὲρ Μονάτου τοῦ Πραάτου, ὃς ἦν λ' ἔτη ἐν σκότῳ καθειργμένος. Καὶ Ἐπαγγέλλοντος, ἀντὶ τοῦ ἐπιτάσσοντος. [2] Εἰθισμένον δὲ ὂν [3] γράμματα οἰκεῖα τοῖς βιβλίοις ἐντιθέναι τὸν βασιλέα, ὅσα ἂν ἐπαγγέλλοντος αὐτοῦ γένοιτο, Ἰουστῖνος ὁ βασιλεὺς οὔτε ἐπήγγειλεν, οὔτε τοῖς πραττομένοις ξυνεπίστασθαι οἷός τε ἦν. † Ἐν [4] τῷ σπηλαίῳ καθειργμένος ὁ Δαβὶδ, καὶ τοὺς πολεμίους ὁρῶν, τὸ θεῖον ἔλεον ἐπαγγέλλει, Ἐλέησόν με, ὁ Θεὸς, ἐλέησόν με.

Ἐπαγγελία, [5] καὶ ἐπαγγεῖλαι. σημαίνει μὲν καὶ ἄλλα, ἰδίως δὲ [6] ἐπὶ τῶν ἐγκαλούντων τινὶ δημηγορεῖν καὶ πολιτεύεσθαι, οὐκ ἐξόν· καὶ ἔστιν οἷον παραγγελία. λέγουσι δὲ τὸ ἐπαγγέλλεσθαι καὶ ἀντὶ τοῦ προστάττειν, ἢ αἰτεῖσθαι, ὡς Ἀντιφῶν. ἀλλὰ καὶ Δημοσθένης ἐν τῷ περὶ παραπρεσβείας.

Ἐπαγγελίαι. [7] καθ' ὧν εἰσι μὴ κολάσεις [8] ὡρισμέναι κατὰ τοὺς κειμένους ἤδη νόμους.

Ἐπαγγείλαντας. ἐπικαλεσαμένους. Τοὺς δὲ ὀρθοῖς λόγοις χρησαμένους, καὶ τὴν σὴν βοήθειαν ἐπαγγείλαντας, σωτηρίας τετυχηκότας.

Ἐπαγωγά. ἀπατηλά. πιθανά. ἐφολκά. Διεκελεύετο ἐπαγωγοῖς λόγοις αὐτοὺς παύειν, ὧν δρᾶν διανοοῦνται.

Ἐπαγωγή. πειρασμός. ἢ ζημία, αἰχμαλωσία, ἤτοι τὸ ὁπωσοῦν ἐπαγόμενον κακόν. Βουλόμενος γὰρ ὁ Ὠριγένης μηδὲν ἐᾶσαι ἀνερμήνευτον, εἰς ἐπαγωγὴν ἑαυτὸν περιέβαλεν ἁμαρτίας.

Ἐπαγωγή. περὶ Πλάτωνος φησίν· [9] Ἀναγκαῖον ἡγησάμην ὑπογράψαι καὶ τὴν φύσιν τῶν λόγων, καὶ τὴν τάξιν τῶν διαλόγων, καὶ τὴν ἔφοδον τῆς ἐπαγωγῆς.

Ἐπαγωγή. [10] Ἐπαγωγὴ ἐστὶ λόγος, διά τινων ἀληθῶν τὸ ὅμοιον αὐτῷ ἀληθὲς οἰκείως ἐπιφέρων. δύο δὲ τῆς ἐπαγωγῆς εἰσὶ τρόποι· ὅ, τε κατ' ἐναντίωσιν,

Ἐπαγγέλλει. Imperat. Mandat. Jubet. Edicit. Denunciat. *Expeditionem in Italiam indicit.* Et rurſus: *Rex autem humaniter ipſum excipit, & bono animo eſſe jubet, & petendi, ſi quid velit, poteſtatem facit. Ille autem pro Monato Praatæ filio deprecatur, qui per* XXX. *jam annos in tenebris concluſus fuerat.* Et ἐπαγγέλλοντος, præcipientis. *Cum moris eſſet, ut Imperator nomen ſuum inſcriberet libellis, quibus mandata ejus continebantur; Juſtinus Imperator neque imperabat quicquam, neque eorum, quæ gerebantur, gnarus eſſe poterat.* † *David in ſpelunca concluſus, & hoſtes videns, divinam miſericordiam imploravit, dicens: Miſerere mei Deus, miſerere mei.*

Ἐπαγγελία & ἐπαγγεῖλαι, tum alia ſignificat, tum peculiariter etiam dicitur de illis, qui aliquem accuſabant, quod in concione populi verba feciſſet, vel magiſtratum aliquem gereret, quod ei facere non licebat. Dicta eſt igitur ἐπαγγελία quaſi παραγγελία. Significat etiã τὸ ἐπαγγέλλεσθαι, imperare, jubere. Item, petere, poſtulare, ut apud Antiphontem; itemque. Demoſthenem in oratione *de Falſa legatione*.

Ἐπαγγελίαι. Eſt nomen actionis, quæ locum habet in delictis, de quibus leges receptæ nullas certas pœnas ſtatuerunt.

Ἐπαγγείλαντας. Qui implorarunt. *Illos, qui recta oratione uſi ſunt, tuumque auxilium implorarunt, ſalutem conſecutos eſſe* [*conſtat.*]

Ἐπαγωγά. Fallacia. Blanda. Alliciendi vim habentia. *Juſſit eos blandis verbis a cœptis & conatibus revocari.*

Ἐπαγωγή. Inductio. Tentatio. Vel, damnum, captivitas, & quodvis malum, quod in aliquem inducitur. *Origenes*, *cum nihil inexplicatum relinquere vellet, ſe ipſe in peccati tentationem conjecit.*

Ἐπαγωγή. Inductio. De Platone [Laertius] ait: *Neceſſarium duxi & naturam ſermonum, & ordinem dialogorum, & Inductionis vim breviter deſcribere.*

Ἐπαγωγή. Inductio eſt oratio, quæ per quædam vera ſimile iſtis verum proprie concludit. Sunt autem duo Inductionis modi:

---

[1] Ὑπὲρ Μονάτου τοῦ Πραάτου] Sic habent omnes Editt. & 2 MSS. Pariſ. At in uno MS. exaratum eſt, ὑπὲρ Βοναίνου τοῦ Πραάτου.

[2] Εἰθισμένον δὲ ὂν κτλ ——ξυνεπίστασθαι οἷός τε ἦν] Hæc ſunt verba Procopii *Hiſt. Arc.* cap. VI. pag. 20. quod a Claudio Maltreto obſervatum non fuit, qui accurata cæteroqui diligentia fragmenta Procopii, quæ apud Suidam paſſim leguntur, collegit, & ſcriptori illi ad calcem Editionis Pariſ. ſubjecit. Cæterum ne oratio ſit ἀνακόλουθος, pro εἰθισμένον δὲ ὂν, hic apud Suidam ſcribendum eſt, εἰθισμένου δὲ ὄντος; ut apud Procopium loco laudato: apud quem tamen τὸ ὄντος deeſt.

[3] Γράμματα οἰκεῖα τοῖς βιβλίοις ἐντιθέναι τὸν βασιλέα] Portus locum hunc ſic verterat: *Cum moris eſſet Regem ſuas literas libris inſerere, & ſcriptis illas mandare.* Quam ἀστόχως & inſulſe. Vide noſtram verſionem, quæ longe aliud docet.

[10] Ἐπιμήνια. τὰ καθ' ἕκ.] Ex Harpocratione. Horum ſacrificiorum ἐπιμηνίων meminit etiam Athenæus lib. VI. pag. 234.

[11] Θυόμενα] Sic recte Harpocratio. At priores Editt. male φυόμενα.

[12] Ἐπινάστειος] Vox eſt ſuſpecta.

[13] Ἀριστοφάνης] *Eccleſiaz.* pag. 749. (504. Ed. Baſ. *P.*)

Ἐπινέμησις. ὁ τοῦ χρόνου μερισμός.

Ἐπινενησμένον.[1] ἐπικεκλωσμένον. καὶ ἐπινηθεῖσαν, ἐπικλωσθεῖσαν. Ἡνίκα ἂν τὴν πεπρωμένην ὁδὸν καὶ ἐπινηθεῖσαν διανύσω.

Ἐπινεφρίδιον. τὸ ἐπὶ τοῖς νεφροῖς λίπος.

Ἐπίνειον. παραθαλάσσιον χωρίον, ἢ προσορμιτήριον. ὁ λεγόμενος κατάβολος. Πολύβιος· Οἱ Ῥωμαῖοι τὰς μὲν ναῦς ἐνεώλκησαν· τοὺς δὲ ἐν τῇ Ταρρακῶνι συναθροίσαντες, ἐκ τῶν προγεγονότων ἐλαττωμάτων ἐπίνειον ἐποίησαν, ἐπὶ τῷ [2] προσκαθίσαντας ἐπὶ τῆς διαβάσεως διαφυλάξαι τοὺς συμμάχους.

Ἐπίνειον. παρὰ τὸ ἐν αὐτῷ νήχεσθαι τὰς ὁλκάδας, καὶ ὀκέλλειν. [3] ἔστι δὲ πόλισμα παραθαλάσσιον, ἔνθα τὰ νεώρια τῶν πόλεών εἰσιν· ὥσπερ Πειραιεὺς τῶν Ἀθηναίων, καὶ Νίσαια τῆς Μεγαρίδος. δύνασαι δὲ ἐπὶ παντὸς ἐμπορίου καὶ παραθαλασσίου χρήσασθαι τῷ ὀνόματι τούτῳ, ὃ νῦν οἱ πολλοὶ κατάβολον καλοῦσιν.

Ἐπινηθέντα.[4] τὸν ἐπινηθέντα ἐνίοις βίον. τὸν ὁρισθέντα. καὶ αὖθις [5] Αἰλιανός· Καὶ ὅτε ἔμελλε τὴν [6] ἐπινηθεῖσάν οἱ καὶ τελευταίαν ὁδὸν ἀπιέναι, ᾤχοντο ἀπιοῦσαι.

Ἐπινήσαντες. Φρύγανα περὶ τοῦ τείχους καὶ παντοδαπὸν φορυτὸν συγκομισάμενοι, καὶ ἐπινήσαντες κόπρον, πῦρ ὑπέβαλλον. ὡς δὲ ἐπὶ πολὺ ἐπὶ τοσόνδε ἤρθη ὁ καπνὸς, ὥστε ἂν ἀπιόντες μὴ καταφανεῖς εἶεν, ἀπανέστησαν τῆς πολιορκίας.

Ἐπινηθεῖσαν. ἀντὶ τοῦ ἐπικλωσθεῖσαν.

Ἐπίνικος. καὶ [7] αὐτὸς κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστὶν Ὑποβαλλόμεναι, [8] ὡς Ἀθήναιος.

Ἐπίνικος, ἔπαρχος τῆς πόλεως ἐπὶ Βασιλίσκου, χρηματισμοῦ κόρον μὴ λαμβάνων μηδένα, καὶ τὰ ἔθνη καὶ τὰς πόλεις πάσας καπηλεύων, καὶ ἀτόπων τὰς ἐπαρχίας προσταγμάτων ἐμπλήσας· ἃ μὴ φέρουσαι ἔτι τῶν ἀρχόντων αἱ τάξεις, μηδὲ αἱ ἔξω φυλαὶ, φυγοῦσαι κατέλιπον τὰς τῶν φόρων εἰσπράξεις. ἐκ δὲ τῆς τούτου πλεονεξίας ἀρχόμενοι ἱκέται ἐν τοῖς κοινοῖς ἱεροῖς ἐκαθέζοντο, ἐλέγχοντες τὰ τούτου κλέμματα. ἦν δὲ πᾶσιν ἀπεχθὴς, τιμὴν οὐδενὶ νέμων προσήκουσαν. καὶ τοῦτον τῆς ἀρχῆς ἀπήλλαξαν ἀτίμως· ἀνθαιροῦνται δὲ ἄνδρα Λαυρέντιον, ὃς ἦν ἐξ ἀρχῆς τῶν ἐπὶ τῆς ἀγορᾶς τῆς μεγάλης ῥητόρων, καὶ πρωτεύσας ἐν ταύτῃ. ὅτῳ δὲ συνείποι, οὔτε τρίβειν, ὡς ἂν μᾶλλον κερδαίνοι, οὔτε διέλκειν ἠνείχετο.

Ἐπινῶς. τὸ λίαν.

Ἐπίνυσεν. [9] ἀντὶ τοῦ διήγειρεν.

Ἐπινέμησις. Diſtributio. Temporis partitio.

Ἐπινενησμένον. A Parcis deſtinatum, vel decretum. Et ἐπινηθεῖσαν, a Parcis deſtinatam. *Cum iter fatale & divinitus mihi deſtinatum confecero.*

Ἐπινεφρίδιον. Pinguedo, quæ eſt circa renes.

Ἐπίνειον. Caſtellum maritimum. Portus, in quem naves appelluntur: Idem etiam κατάβολος appellatur. Polybius: *Romani vero naves in terram ſubduxerunt, & convocatis Tarraconenſibus, ob memoriam cladum ante acceptarum caſtellum, in quo naves ſtationem haberent, fecerunt, ut trajectui præſidentes ſocios obſervarent.*

Ἐπίνειον. Sic dictum eſt a νήχεσθαι, natare: quod naves onerariæ in eo natent. Significat autem caſtellum vel oppidum maritimum, ubi ſunt urbium navalia: ut Piræeus Athenienſium, & Niſæa Megarenſium. Poteſt tamen etiam pro quolibet emporio vel oppido maritimo accipi: ita ut idem ſit, quod nunc vulgo κατάβολον vocant.

Ἐπινηθέντα. Fatalem. Decretum. Deſtinatum. Ælianus: *Cum fatalem & ultimam viam ingreſſurus eſſet,* [*Muſæ*] *ab eo receſſerunt.*

Ἐπινήσαντες. Qui coacervarunt. Qui accumularunt. *Cum ſarmenta ante muros & virgulta congeſſiſſent, fimumque coacervaſſent, ignem ei ſubjecerunt. Orto igitur fumo tam ſpiſſo, ut abeuntes conſpici non poſſent, ab obſidione receſſerunt.*

Ἐπινηθεῖσαν. Divinitus decretam. Fatalem.

Ἐπίνικος. Epinicus, & ipſe Comicus: ex cujus fabulis eſt etiam ea, quæ Ὑποβαλλόμεναι inſcribitur, ut ait Athenæus.

Ἐπίνικος. Epinicus, Præfectus urbis ſub Baſiliſco, inexplebili pecuniæ parandæ cupiditate flagrans, & gentes urbeſque omnes cauponans, provincias iniquis edictis implevit. Quæ cum diutius ferre non poſſent Magiſtratuum ordines, nec externæ tribus, fugerunt, & tributorum exactiones reliquerunt. Poſtea vero avaro hujus dominatu urgente, ſupplices in communibus templis ſederunt, hujus furta redarguentes. Omnibus autem erat inviſus, quod nulli debitum honorẽ tribueret. Huic autem ignominioſe magiſtratum abrogarunt, eique ſurrogarunt Laurentium, qui ab initio erat ex numero Oratorum magni fori, & in eo princeps. Hic, cujuſcunque cauſam defendendam ſuſcepiſſet, [in ea tuenda] nec tempus terere, nec protrahere ſuſtinebat, ut majorem quæſtum faceret. *Port.*

Ἐπινῶς. Valde. Vehementer.

Ἐπίνυσεν. Docuit. Inſtituit. Modeſtiã inculcavit.

---

[1] Ἐπινενησμένον] Vide paulo poſt v. Ἐπινηθέντα.

[2] Προσκαθίσαντας] Valeſius in notis ad Excerpta a ſe edita pag. 20. reponit συγκαθίσαντας: cujus conjecturam probo.

[3] Ἔστι δὲ πόλισμα παραθαλ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſumpta ſunt ex Scholiaſta Thucydidis ad lib. 1. c. xxx.

[4] Ἐπινηθέντα] Sic recte 2 MSS. Par. At priores Ed. male ἐπινηθέντες.

[5] Αἰλιανός] Locum integrum Æliani vide infra v. Φιλήμων: unde ſenſum hujus fragmenti ſupplebis.

[6] Ἐπινηθεῖσαν] Sic recte 2 MSS. Pariſ. & ipſe Suidas infra v. Φιλήμων. At in prioribus Editt. male legitur ἐπινηθεῖσιν.

[7] Καὶ αὐτὸς κωμ.] Ergo Suidas de alio Epinico Comico proxime ante quædam tradidiſſe videtur: ſed quæ ex codicibus noſtris exciderint. Niſi enim ſic ſtatuas, locus hic nullum ſenſum habebit.

[8] Ὡς Ἀθήναιος.] Præter Ὑποβαλλομένας Epinici hujus Athenæus etiam laudat ejus Ὑποβαλλομένους, & Μνησιπτόλεμον.

[9] Ἐπίνυσεν] Eſt vox Homerica Il. Ξ. v. 249. quam brevis Scho-

Ἐπι-

Ἐπίξηνος. ὁ μαγειρικὸς κορμὸς, ἐφ' οὗ τὰ κρέα συγκόπτουσιν. [1] Ἀριστοφάνης·

Ὑπὲρ ἐπιξήνου θελήσω τὴν κεφαλὴν ἔχων λέγειν. εἰ μὴ λέγω, φησὶ, δίκαια, τῆς κεφαλῆς ἀφαιρεθείην.

Ἐπὶ [2] ξυροῦ. ἐπὶ κινδύνου. ἐν αὐτῇ τοῦ πράγματος ἐπιτάσει. Ὁ δὲ περιαλγῶν ἐπὶ τῇ προῤῥήσει δῆλος ἦν, ἐπὶ ξυροῦ τε ἀκμῆς, τὸ λεγόμενον, ὁ τούτου κίνδυνος ὤν. οἵ τε ναῦται, καὶ ὅσοι περίνεοι, οὐκ ἀνεξόμενοι τῆς τούτου μελλήσεως δῆλοι ἦσαν. καὶ αὖθις· Καὶ αὐτοῦ τὸ κράτος ἐπὶ ξυροῦ ἀκμῆς ἦν.

Ἐπιορκήσαντα. [3] Λυσίας ἐπιορκήσαντα τὸν ὀμόσαντα εἶπεν.

Ἐπίορκον ἀπώμοσεν. οὐ τὸ ἔξωθεν ἐπιπεφωνημένον ἐπίορκον ὤμοσεν ἑκουσίως· ἀλλ' ἐπειδὴ οὐκ ἔμελλε τελειωθῆναι τὰ ὀμωμοσμένα, καὶ ἐπιορκίας ἁλῶναι μάλιστα φυλαττόμενος.

Ἐπιούσιος [4] ἄρτος. ὁ ἐπὶ τῇ οὐσίᾳ ἡμῶν ἁρμόζων. ἢ ὁ καθημερινός.

Ἐπιωγή. ἡ σκέπη.

Ἐπιώρκει. [5] ὑπερσυντέλικος. ἤγουν ἐπιώρκησεν.

Ἐπιώψατο. [6] κατέλεξεν. ἐξελέξατο. ἔστι δ' Ἀττικόν. Ὁ βασιλεὺς ἐπιώψατο ἀῤῥηφόρους. οἷον, κατέλεξεν. ἐξελέξατο. Πλάτων ἐν Νόμοις.

Ἐπὶ [7] Παλλαδίῳ. δικαστήριον Ἀθήνησιν, ἐν ᾧ οἱ Ἐφέται ἀκουσίου φόνου ἐδίκαζον. Ἀργεῖοι γὰρ ἀπὸ Ἰλίου πλέοντες, ἡνίκα προσέσχον Φαλήροις, ὑπὸ Ἀθηναίων ἀγνοούμενοι ἀνῃρέθησαν. ὕστερον δὲ Ἀκάμαντος γνωρίσαντος, καὶ τοῦ Παλλαδίου εὑρεθέντος, κατὰ χρησμὸν αὐτόθι τὸ δικαστήριον ἀπέδειξαν, ὡς Φανόδημος. Κλειτόδημος δέ φησιν, Ἀγαμέμνονος σὺν τῷ Παλλαδίῳ προσενεχθέντος Ἀθήναις, Δημοφῶντα ἁρπάσαι τὸ Παλλάδιον, καὶ πολλοὺς τῶν διωκόντων ἀνελεῖν. τοῦ δὲ Ἀγαμέμνονος δυσχεραίνοντος, κρίσιν [8] ὑποσχεῖν ἐπὶ ν' Ἀθηναίων, καὶ ν' Ἀργείων· οὓς Ἐφέτας κληθῆναι, διὰ τὸ παρ' ἀμφοτέρων ἐφεθῆναι αὐτοῖς περὶ τῆς κρίσεως.

Ἐπίξηνος. Truncus culinarius, ſupra quem coqui carnes concidunt. Ariſtophanes: *Dicere volo capite menſæ culinariæ impoſito.* Id eſt, niſi vera dixero, non recuſo, quo minus mihi caput amputetur.

Ἐπὶ ξυροῦ. In acie novaculæ. Id eſt, in ſummo diſcrimine. Vel, cum res ad ſummum perducta eſt. *Manifeſtum autem erat, eum ob denunciationem iſtam ingenti dolere affici, periculumque ejus in acie, quod ajunt, novaculæ eſſe; nautaſque & vectores cunctationem ejus minime laturos eſſe.* Et iterum: *Et imperium ejus in acie, quod ajunt, novaculæ verſabatur.*

Ἐπιορκήσαντα. Lyſias dixit pro ὀμόσαντα, i. e. illum, qui juravit.

Ἐπίορκον ἀπώμοσεν. Perjurium jurejurando negavit. Illud extrinſecus acclamatum perjurium non juravit ultro, ſed quia quæ juraverat, ad finem perducturus non erat, [hoc ideo dictum,] & quia accuratiſſime cavebat, ne perjurii convinceretur. *Port.*

Ἐπιούσιος ἄρτος. Panis naturæ noſtræ conveniens. Vel, quotidianus.

Ἐπιωγή. Tectum.

Ἐπιώρκει. Pluſquamperfectum. Pejeraverat. Vel, pejerabat.

Ἐπιώψατο. Delegit. Elegit. Eſt autem Atticum. *Rex quatuor puellas arrephoros elegit.* Plato in *Legibus.*

Ἐπὶ Παλλαδίῳ. Ad Palladium. Sic Athenis vocabatur Dicaſterium, ſive locus Judicii, in quo Ephetæ de cæde, quam quis invitus vel imprudens commiſerat, judicabant. Argivi enim ab Ilio redeuntes, cum ad Phalera appuliſſent, ab Athenienſibus, quinam eſſent ignorantibus, interfecti fuerunt. Poſtea vero, cum Acamas hoc ipſis indicaſſet, & Palladium illic inventum fuiſſet, ex oraculo Dicaſterium [Athenienſes] illic condiderunt, ut Phanodemus tradit. Clitodemus vero auctor eſt, Agamemnone cum Palladio Athenas appellente, Demophontem Palladium rapuiſſe, & perſequentium multos interfeciſſe. Agamemnone autem rem iſtam graviter ferente, judicium ea de re habitum fuiſſe a L. Athenienſibus, & totidem Argivis: quos Ephetas appellatos fuiſſe ajunt, quod ab utroque controverſiæ diſceptatio eis permiſſa fuiſſet.

---

liaſta ibi exponit, ἐπαίδευσεν, ἐσωφρόνισε. συνήθισεν. Hunc ſecutus Heſychius eandem vocem interpretatur ἐσωφρόνισε. At Suidas eam hoc loco reddit διήσειρεν: quod quid ſignificet nemo dixerit, cum ſit corruptum. Portus reponendum putabat διήγειρεν, vel διέσυρεν: ſed quorum poſterius fatetur nihil facere videri ad vocem ἐπίνυσεν; quod idem etiam de priore conjectura dicere debebat. Quomodo enim τὸ διήγειρεν voci ἐπίνυσεν convenire queat, haud ſane video. Ego breviter ſic cenſeo: nodum hunc non eſſe ſolvendum, ſed ſecandum, & τὸ διήσειρεν, utpote vocem non ſolum corruptam, ſed etiam nullius auctoritatis (non agnoſcunt enim illam MSS. Pariſ. nec antiquiſſima Edit. Mediol. quippe in quibus ſola vox ἐπίνυσεν abſque interpretatione legitur) prorſus abjiciendam eſſe, & audiendos potius Scholiaſtam Homeri & Heſychium, qui, ut diximus, τὸ ἐπίνυσεν recte interpretantur ἐσωφρόνισεν.

[1] Ἀριστοφάνης] *Acharnenſibus* pag. 387. (275. Ed. Baſ. P.) Confer etiam Noſtrum infra v. Ὑπὲρ ἐπιξήνου, ubi hic ipſe locus repetitur.

[2] Ἐπὶ ξυροῦ] Nimis præciſe proverbium hoc extulit Suidas. Dicere enim debebat, Ἐπὶ ξυροῦ ἀκμῆς, i. e. *in acie novacula.* Homerus Il. K. v. 173.

Νῦν γὰρ δὴ πάντεσσιν ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς.

Scholiaſta ad eum locum: Ἀντὶ τοῦ, τὰ πράγματα ἡμῶν τριχὸς ἤρτηται. ἤ ἐστιν, ἐν ἐσχάτῳ κινδύνῳ ἐστὶ, καὶ ἐπὶ ὀξύτητος κινδύνου. *Res noſtra e pilo pendent: id eſt, in extremo periculo verſantur, vel in ſummo diſcrimine.* Proverbio hoc paſſim & frequentiſſime ſcriptores utuntur.

[3] Ἐπιορκήσαντα. Λυσ.] Ex Harpocratione.

[4] Ἐπιούσιος ἄρτος] De pane ἐπιουσίῳ, quem in oratione Dominica petere jubemur, plurima a commentatoribus in S. Scripturam dicta ſunt. Nos tantum hic monemus, veram nobis videri ſententiam Scaligeri, qui τὸ ἐπιούσιος ab ἐπιών, non vero ab ἐπὶ & οὐσία, ut alii volunt, dictum contendit. Confer omnino Suicerum in *Theſauro Eccleſ.* v. Ἐπιούσιος.

[5] Ὑπερσυντέλικος] Imo potius παρατατικὸς, i. e. Imperfectum, ut Grammatici vocant: ab ἐπιορκέω.

[6] Ἐπιώψατο. κατέλεξεν. ἐπλ.] Eadem etiam ad verbum leguntur apud Etymologum.

[7] Ἐπὶ Παλλαδίῳ] Hæc omnia Suidam ex Pauſaniæ Lexico depromſiſſe, patet ex Euſtathio, qui eadem αὐτολεξεὶ ex ſcriptore illo profert ad Odyſſ. A. pag. 1419. Confer etiam Harpocrationem h. v. Heſychium v. Δικαστήρια: Pauſaniam in *Atticis* pag. 52. Ælianum *Var. Hiſt.* lib. v. cap. xv. Pollucem lib. viii. cap. x. Suidam infra v. Ἐφέται: Meurſium in *Areopago*, pag. 97. & Petitum *de Leg. Att.* pag. 513.

[8] Κρίσιν ὑποσχεῖν] Euſtathius loco laudato rectius habet, κρίσιν αὐτοὺς ὑποσχεῖν.

Ἐπιπαρένησαν. [1] Θουκυδίδης· Ταχὺ δὲ πλήρους γενομένου διὰ πολυχειρίαν, ἐπιπαρένησαν καὶ τῆς ἄλλης πόλεως, ὅσον ἐδύναντο. ἀντὶ τοῦ, ἐσώρευσαν.

Ἐπίπαστα.[2] τὰ ἐπιπαστόμενα τῷ σώματι ἄλφιτα. ἔθος γὰρ εἶχον ποιεῖν πλακοῦντας, ἢ ἄρτους, καὶ ἐπιπάσσειν τινὰ καρυκεύματα, ἢ ἁλμυρά· καὶ ἐκ τούτου ἠναγκάζοντο πίνειν πολλά. τοῦτό ἐστι τό,

Ἐπίπαστα λείξας δημιόπρατα ὁ βάσκανος,
Ῥέγχει[3] μεθύων ἐν ταῖς θύραις ὕπτιος.

συμβαίνει δὲ μάλιστα τοῦτο πάσχειν τοὺς μεθύοντας, ἢ τοὺς ὑπτίους κειμένους.

Ἐπίπεμπτον.[4] Λυσίας μὲν ἀντὶ τοῦ ἁπλοῦ τὸ πέμπτον εἶπεν.

Ἐπιπηδῶ. δοτικῇ. Οἷς οὐδὲ ἀπ' ἀρχῆς ἐπεπηδήσαμεν. αἰτιατικῇ δέ· Ἐπεπήδησεν ἀναιδῶς τὴν ἐξουσίαν.

Ἔπιπλα.[5] ἡ μὴ ἔγγειος κτῆσις, ἀλλὰ ἐπιπόλαιος.

Ἔπιπλα. σκεύη, τὰ μὴ ἔγγεια, ἀλλ' οἷον ἐπιπόλαια. οἱ δὲ ἐπίπλεα αὐτά φασιν.

Ἔπιπλα.[6] τὰ ἐξ ἐπιπολῆς σκεύη. οἷον, ἡ ἐπιπόλαιος κτῆσις, καὶ ὅση δυνατὴ [7] πλωΐζεσθαι, ἀλλ' οὐκ ἔγγειος.

Ἐπίμπλαντο. Ἡδονῆς τε ἐπίμπλαντο. καὶ ἐπίμπλατο.

Ἐπιπλέα. ἀνάμεστος. πεπληρωμένη. Ἡρόδοτος· Καὶ τράπεζαν ἐπιπλέαν ἀγαθῶν παντοίων παραθέντες.

Ἐπιπλέον, καὶ ἐπιπλεῖστον. ἐπίρρημα. ἐπὶ τὸ πλεῖστον δὲ, ἐπὶ τὸ πλεῖον.

Ἐπίπληξις. ἐπιτίμησις.

Ἐπίπλους. Θουκυδίδης. Ρν' νηῶν ἐπίπλουν ἐξαρτύοντες οἱ Ἀθηναῖοι πρὸς τὸν πόλεμον.

Ἐπίπλους. ἐπιβάτας. Ἀῤῥιανός· Κυβερνήτας δὲ καὶ πρωρέτας μόνους ἐπίπλους εἶχον.

Ἐπιπλώσας.[8] ἐπιπλεύσας. καὶ ἐπιπλὼς, παρ' Ὁμήρῳ. παρὰ τὸ πλέω, πλώω, πλώσας, καὶ συγκοπῇ, πλὼς, καὶ ἐπιπλώς. ἔστι δὲ ἄκλιτον, διότι ἡ

Ἐπιπαρένησαν. Accumularunt. Congeſſerunt. Thucydides: *Cum autem propter magnam hominum multitudinem, manus operi admoventium, pars illa celeriter repleta fuiſſet, & ad reliquas urbis partes, quantum fieri poterat, materiam congeſſerunt.*

Ἐπίπαστα. Farina, quæ pulti aſpergitur. [Vel, condimenta placentis aſperſa.] Solebant enim veteres placentas aut panes conficere, & condimenta quædam vel ſalſa illis aſpergere: unde illi, qui ea comedebant, multum bibere cogebantur. Et hoc eſt, [quod ait Ariſtophanes:] *Poſtquam faſcinator ille bona publicata civium, haud ſecus ac condimenta quæ placentis aſperguntur, ligurivit, vino gravis in pellibus ſupinus ſtertit.* Hoc autem potiſſimum accidit illis, qui ſunt ebrii, vel ſupini jacent.

Ἐπίπεμπτον. Lyſias hac voce uſus eſt pro ſimplici πέμπτον, i. e. quintum.

Ἐπιπηδῶ. Dativo jungitur. Inſulto. *Quibus ne ab initio quidem inſultavimus.* Item accuſativo. *In illius poteſtatem impudenter inſultavit.* Port.

Ἔπιπλα. Bona mobilia, vel ſupellex: non autem poſſeſſiones terreſtres, vel fundi.

Ἔπιπλα. Supellex, vel bona mobilia, non autem ſolo inhærentia: quaſi dicas ἐπιπόλαια, i. e. in ſuperficie ſita. Alii vero eadem vocant ἐπίπλεα.

Ἔπιπλα. Vaſa, vel inſtrumenta domus. Supellex. Non autem fundi. Dicta autem ſunt ἔπιπλα, quaſi ἐπιπόλαια, i. e. in ſuperficie ſita: vel quæ poſſunt πλωΐζεσθαι, i. e. navibus impoſita alio transferri.

Ἐπίμπλαντο. Implebantur. *Et voluptate replebantur.* Et ἐπίμπλατο. Implebatur.

Ἐπιπλέα. Plena. Referta. Herodotus: *Cum autem menſam omnis generis bonorum plenam appoſuiſſent.*

Ἐπιπλέον. Magis. Amplius. Adverbium. Et ἐπιπλεῖστον, plurimum, maxime: itidem adverbium. At ἐπὶ τὸ πλεῖστον, ἐπὶ τὸ πλεῖον, [non ſunt adverbia].

Ἐπίπληξις. Increpatio. Reprehenſio.

Ἐπίπλους. Claſſis adventus. Expeditio navalis. Thucydides: *Athenienſes centum & quinquaginta navium claſſem ad bellum pararunt.*

Ἐπίπλους. Vectores. Arriāus: *Nullos alios vectores habebant præter gubernatores & proretas.*

Ἐπιπλώσας. Qui cum nave ad aliquem accedit. Qui claſſe aliquem invadit. Et ἐπιπλὼς, apud Homerum, idem. [Id autem ſic formatur.] A πλέω fit πλώω: unde πλώσω, φωνὴ αὐτοῦ ἀόριστός ἐστι. τὸ δὲ σημαινόμενον, παρατατικός.

---

[1] Θουκυδίδης] Libro II. cap. LXXVII. unde ſenſus hujus loci petendus eſt.

[2] Ἐπίπαστα. τὰ ἐπιπαστ.] Ex Scholiaſta Ariſtophanis ad *Equit.* pag. 294. (197. Ed. Baſ. *P.*) ſed ubi rectius legitur ἐπιπασσόμενα τῷ ἔτνει ἄλευρα. Confer etiam Pollucem lib. VI. cap. X. qui vocem ἐπίπαστα ibi exponens, hunc ipſum locum Ariſtophanis ob oculos habuit.

[3] Ῥέγχει μεθύων ἐν τ.] Reſcribe ex Ariſtophane:
Ῥέγχει μεθύων ἐν ταῖσι βύρσαις ὕπτιος.

[4] Ἐπίπεμπτον. Λυσ.] Ex Harpocratione.

[5] Ἔπιπλα. ἡ μὴ ἔγγειος κτῆσις] Recte. Apud Græcos enim hæc duo ſibi invicem opponuntur, ἔπιπλα, & ἔγγειος κτῆσις: ut apud Ictos Latinos bona mobilia & immobilia. Polybius in Excerptis a Valeſio editis pag. 146. Τοσοῦτον ἀπέλιπε τὸν ἴδιον βίον, ὥστε μὴ δύνασθαι τὴν φερνὴν τῇ γυναικὶ διαλῦσαι πωλοῦσιν ἐκ τῶν ἐπίπλων, εἰ μὴ τῶν ἐγγείων τινὰς προσαπέδοντο κτήσεων. Id eſt, interprete Valeſio: *Ejuſmodi faculates reliquit, ut ſupellectilis auctione facta redigi non potuerit, unde dos uxori ejus redderetur, niſi præterea etiam fundi aliquot venditi fuiſſent.* Vides τοῖς ἐπίπλοις hic opponi τὰς ἐγγείους κτήσεις. Confer etiam Salmaſium *de Modo Uſur.* pag. 84.

[6] Ἔπιπλα. τὰ ἐξ ἐπιπ.] Hæc totidem pene verbis leguntur etiam apud Harpocrationem.

[7] Πλωΐζεσθαι] Hæc vox non tam ad ſenſum, quam ad etymologiam vocis ἔπιπλα referenda eſt. Quod enim ad ſenſum attinet, melius huc quadrat τὸ μετακομίζεσθαι, quod habet Harpocratio.

[8] Ἐπιπλώσας. ἐπιπλ.] Confer Etymologum v. Ἐπιπλώς.

Ἐπιπλήττω. δοτικῇ.

Ἐπίπνοια. ἐνθουσιασμός. Πολύβιος· Οἱ δὲ Ῥωμαῖοι θείας ἐπιπνοίας τινὸς ἐπεπλήρωντο, τήν τε προθυμίαν ἀνανταγωνίστῳ σθένει φραξάμενοι.

Ἐπιποθία.[1] ἡ ἀγάπη.

Ἐπιπολάζει. ἐπιπλέει.

Ἐπιπολάς.[2] τὰ ὤνια. Τοὺς [3] δὲ Ῥωμαίους θαῤῥεῖν συνέβαινε, κρατοῦντας τοῦ περὶ τὰς Ἐπιπολὰς τόπου. † [4] Ἐπιπολαστικῶς καὶ κατακόρως χρώμενοι τῇ κραυγῇ.

Ἐπιπόλαια. τὰ πρὸς ὀλίγον φαινόμενα.

Ἐπιπόλαια.[5] τὰ [6] φαινόμενα μὲν ἔνδοξα, μὴ ὄντα δὲ ἔνδοξα, ἀλλ' ἐπιπόλαιον ἔχοντα παντελῶς τὴν φαντασίαν. ἐπιπόλαιον δέ ἐστι πᾶν τὸ ἐκ βραχείας ἐπιστασίας ἐλεγχόμενον. τοιοῦτον δὲ τὸ εἶδος τῶν ἐριστικῶν προτάσεων, ἢ συλλογισμῶν· οἷον τὸ, τὸν ὁρῶντα ὀφθαλμοὺς ἔχειν. δι' οὗ συνάγεται, ὁ ἑτερόφθαλμος ὀφθαλμοὺς ἔχει. καὶ τὸ, ἃ λαλεῖς διὰ τοῦ στόματός σου διέρχεται· λαλεῖς δὲ ἅμαξαν· διὰ τοῦ στόματός σου ἄρα διέρχεται. καὶ, ἃ οὐκ ἀποβέβληκας ἔχεις. τοῦτο γάρ τις λαβὼν συνάγει, ὅτι κέρατα ἔχεις. οὐκ ἀποβέβληκας γὰρ κέρατα. ὁμοίως καὶ τὸ, τὸν ὄψιν ἔχοντα ὁρᾷν. τὸν δὲ κοιμώμενον ὄψιν ἔχειν· ὁ κοιμώμενος ἄρα ὁρᾷ. τὰ γὰρ τοιαῦτα ἐπιπόλαιον ἔχει τὸ πιθανόν.

πλώσας, & per ſyncopen πλῶς, & ἐπιπλώς. Eſt autem indeclinabile, quia ſonum quidem habet Aoriſti; at ſignificationem Imperfecti.

Ἐπιπλήττω. Dativo jungitur. Increpo.

Ἐπίπνοια. Numinis afflatus. Polybius: *Romani vero afflatu quodam Numinis repleti fuerunt, & animorum alacritatem invicto robore muniverunt.*

Ἐπιποθία. Deſiderium. Dilectio.

Ἐπιπολάζει. Innatat. In ſuperficie verſatur.

Ἐπιπολάς. Res venales. Merces. [Item, nomen proprium loci.] *Captis vero Epipolis animus & audacia Romanis acceſſit.* [Et ἐπιπολαστικῶς, adverbium.] *Immodice & effuſe vociferantes.*

Ἐπιπόλαια. Quæ ad exiguum tempus apparent, vel durant. Vel, quæ non ſunt ſolida.

Ἐπιπόλαια. [Sic a Dialecticis vocantur] ea, quæ videntur quidem probabilia, ſed revera levem tantum & inanem omnino ſpeciem habent: adeo ut falſitas eorum vel exigua attentione adhibita facile deprehendi poſſit. Hujuſmodi autem generis ſunt propoſitiones & ſyllogiſmi contentioſi: veluti, Qui videt oculos habet. Inde enim quis concludere poteſt, & luſcum oculos habere. Item illud, Quæ dicis, ex ore tuo egrediuntur. Currum autem dicis. Ergo currus ex ore tuo egreditur. Et, Quæ non amiſiſti, habes. Hoc enim ſumpto quis concludit, Ergo cornua habes. Cornua enim non amiſiſti. Simile eſt & illud: Qui viſum habet, videt. Dormiens viſum habet. Ergo dormiens videt. Talia enim quæ ſunt, levem tantum probabilitatis ſpeciem habent.

Ἐπιπόλαιος. Ὁ δὲ Σιλβανὸς ἐπιεικὴς μὲν ἦν, καὶ τἄλλα ἱερὸς, καὶ ἁπλούστερος τὰ ἤθη, καὶ ἐπιπόλαιος. ἀντὶ τοῦ, οὐ βαθὺς τὸν τρόπον.

Ἐπιπολαίως. ἐξ ἐπιπολῆς. [7] Ἰώσηπος· Τιτρώσκει αὐτὸν ἐπιπολαίως, προεκλύσαντος τὸ βληθὲν τοῦ διαστήματος.

Ἐπιπολῆς. τὸ ἐπάνω ἐπιπλέον. ἄῤῥιζον.

Ἐπὶ πολλῷ. ἀντὶ τοῦ πολυπλασίως. Οἱ δὲ χρόνον μέν τινα ἡσύχασαν· ἔπειτα ἐπὶ πολλῷ τὸ πάθημα σφῶν τοῖς Ῥωμαίοις ἀπέδοσαν.

Ἐπιπόνως. χαλεπῶς. Ὁ δὲ γυμνὸς ὢν, ὥρᾳ χειμῶνος ἐν ἄντρῳ ἐναυλισάμενος ἐπιπόνως, πρόβατα εὑρὼν ἀνεῖλε, καὶ ταῖς δοραῖς αὐτῶν ἠμφιάσθη.

Ἐπιπραξάμενοι. ἐπὶ τοῖς προτέροις προσεπιθέντες. ἀπαιτήσαντες. Οἱ Ῥωμαῖοι τοὺς Καρχηδονίους χρήματα ἐπιπραξάμενοι, σπονδὰς ἀνενεώσαντο.

Ἐπιπρεπείαις. στολαῖς εὐπρεπέσιν. Ὁ δὲ [8] Ἀννί-

Ἐπιπόλαιος. Qui diſſimulare neſcit, ſed animo eſt aperto. *Silvanus autem bonus erat, & in cæteris ſanctus, moribuſque ſimplicioribus & animo aperto præditus.*

Ἐπιπολαίως. In ſuperficie. Leviter. Joſephus: *Ipſum autem leviter tantum vulneravit, quod longum intervallum vim teli fregiſſet.*

Ἐπιπολῆς. Quod ſuperne innatat. Radice carens.

Ἐπὶ πολλῷ. Multipliciter. *Illi vero aliquamdiu quidem quieverunt: at deinde cladem multiplicata menſura Romanis reddiderunt.*

Ἐπιπόνως. Laborioſe. Difficulter. *Ille vero, cum eſſet nudus, tempore hiberno duriter & miſere in antro degens, oves quaſdam invenit: quibus interfectis, earum pellibus ſe veſtivit.*

Ἐπιπραξάμενοι. Qui priori ſummæ aliquid adjecerunt. Qui exegerunt. *Romani cum majorem, quam antea, pecuniæ ſummam a Carthaginenſibus exegiſſent, fœdus renovarunt.*

Ἐπιπρεπείαις. Modis convenientibus. Veβας ὁ Καρχηδονίων στρατηγὸς κατεσκευάσατο περιθέτας τρίχας, ἁρμοζούσας ταῖς κατὰ τὰς ὁλοσχερεῖς διαφορὰς τῶν ἡλικιῶν ἐπιπρεπείαις· καὶ ταύταις ἐχρῆτο συνεχῶς μεταπιθέμενος.

---

[1] Ἐπιποθία] Voce hac uſus eſt D. Paulus ad Rom. XV. ut Portus etiam monuit.

[2] Ἐπιπολάς. τὰ ὤνια] Videtur hic Suidas τὸ ἐπιπολάς confundere cum ἐμπολάς. Nam ἐμπολὴ apud Græcos ſignificat merces, ſive ὤνια; & ἐμπολᾷν, mercari, emere, vendere; teſtibus Grammaticis. At vocem ἐπιπολὴ eodem ſignificatu uſpiam occurrere, haud facile crediderim. Certe in fragmento auctoris anonymi, quod hic ſubjungitur, τὸ Ἐπιπολὴ eſt nomen proprium loci, cujus etiam Stephanus Byzantius, Thucydides, & alii meminerunt.

[3] Τοὺς δὲ Ῥωμαίους θαῤῥεῖν συνέβ.] Fragmentum hoc Valeſius Polybio tribuit.

[4] Ἐπιπολαστικῶς καὶ κατακ.] Hæc ſunt verba Polybii lib. IV. cap. XII.

[5] Ἐπιπόλαια· τὰ φαιν] Totum hunc articulum deſcripſit Suidas ex Alex. Aphrodiſienſi in lib. I. *Topic.* pag. 13. ut Pearſonius recte obſervaverat.

[6] Τὰ φαινόμενα μὲν ἔνδοξα, μὴ ὄντα δὲ ἐνδ.] Hunc locum ex optimo MS. A. & Alexandro Aphrodiſienſi ſupplevi, qui in prioribus Editt. male ſic legitur, τὰ φαινόμενα ἔνδοξα, ἀλλ' ἐπιπόλαιον, &c.

[7] Ἰώσηπος] Lib. III. *de Bello Jud.* pag. 844.

[8] Ὁ δὲ Ἀννίβας, ὁ Καρχηδ.] Fragmentum hoc legitur apud Polybium lib. III. cap. LXXVIII.

Ἐπίπροσθεν. ἔμπροσθεν, τιμιώτερον. [1]Ξενοφῶν· Τὸν δὲ Κῦρον ἀφελκύσαντες ἦγον, ἐπίπροσθεν ποιούμενον τοὺς προσάγοντας, ὅτι ἑώρα τὸ πρόσωπον τοῦ πάππου ἠγριωμένον. † Ὅτι Πρόκλος τῆς φιλοσοφίας πάσης ἐπίπροσθεν ἦγε τὴν θεολογίαν· τῆς δὲ περὶ ἀρετὴν ζωῆς ἐῤῥωμένης τὴν ἀντίστροφον πρὸς ἐκείνην εὐσέβειαν προτιμῶν ἐφαίνετο.

Ἐπιπροσθεῖ. ἐπισκιάζει. ἐκ τῶν ἔμπροσθεν ὑπερανέχει. καὶ ἐπιπροσθοῦντος.

Ἐπὶ [2]πρύμνην ἀνεκρούοντο, καὶ ὤκελλον τὰς ναῦς. κατὰ πρύμναν ὑπεχώρουν οὐκ ἐπιστραφέντες, καὶ ἐξέκλιναν τῶν πολεμίων τὰς ἐπιούσας ναῦς.

Ἐπὶ Πρυτανείῳ. δικαστήριον. [3]ὅταν τὸ μὲν ἀποκτεῖναν βέλος ᾖ φανερὸν, ἢ λίθος, ἤ τι τοιοῦτον· ὁ δὲ δράσας μὴ ᾖ. ἀρχαῖον γὰρ ἔθος τὸ καὶ τὰ ἄψυχα κρίνειν, εἰ χρὴ ἐξορίζεσθαι.

ſtibus decentibus. *Annibal vero Carthaginenſium Imperator, capillamenta concinnavit omnium ætatum formis convenientia, quæ notabilem differentiam homini afferunt. His ſic utebatur, ut alia aliis ſubinde mutaret.*

Ἐπίπροσθεν. Ante. Loco honoratiore. Xenophon: *Cyrum vix inde abſtractum* [*ad Aſtyagem*] *deduxerunt, juſſi ab eo præcedere, quod avi vultum iratum cerneret.* † *Proclus univerſæ Philoſophiæ Theologiam anteponebat: & inter virtutes pietatem reliquis præferebat.*

Ἐπιπροσθεῖ. Obſcurat. A parte anteriore obſtat. Et ἐπιπροσθοῦντος, obſcurantis.

Ἐπὶ πρύμνην ἀνεκρ. *Naves in poſticam partem repellentes, portum petebant.* Vel, naves retro agebant, prora non converſa, ut declinarent naves hoſtium ſe invadentes.

Ἐπὶ Πρυτανείῳ. Ad Prytaneum. [Sic appellabatur] Dicaſterium quoddam [Athenis, in quo de cædibus judicium habebatur,] cum telum quidem, quo quis interfectus eſſet, ſive lapis, ſive aliquid hujuſmodi, manifeſtum erat, at auctor cædis ignorabatur. Moris enim erat apud antiquos, res inanimatas quoque in judicium adducere, & de iis inquirere, an exterminandæ eſſent.

Ἐπὶ πυγὴν καθίσαι. ταπεινῶσαι.

Ἐπὶ πυγὴν τρέχειν. εἰς τοὐπίσω τρέχειν.

Ἐπιῤῥαπίζων. κωλύων. Ὁ δὲ ἤσχυνε τῇ ἀπειλῇ μόνῃ τὸ ἀκέλευστον αὐτοῦ, καὶ τὸ ὑφ' ἑαυτοῦ βούλεσθαι τὴν πρᾶξιν, ἐπιῤῥαπίζων ἄρα ἐκεῖνος.

Ἐπιῤῥέξει. θύσει. ἐν [4]Ἐπιγράμματι·

Καί σοι ἐπιῤῥέξει Γοργὸς χιμάροιο νομαίης
Αἷμα. ——————

Ἐπιῤῥεπής. ἐπικλινόμενος.

Ἐπίῤῥημα.[5] παρὰ Ἀριστοφάνει μέρος τι τῆς κωμῳδίας.

Εἰ [6]μετ' ὀρνίθων τις ὑμῶν, ὦ θεαταὶ, βούλεται
Διαπλέκειν, ζῶν ἡδέως τὸ λοιπὸν, ὡς ἡμᾶς ἴτω.
Ὅσα γάρ ἐστιν ἐνθάδ' αἰσχρὰ τῷ νόμῳ κρατούμενα,
Ταῦτα πάντ' ἐστὶν παρ' ἡμῖν τοῖσιν ὄρνισιν καλά.

καὶ τὰ ἑξῆς δῆλα.

Ἐπίῤῥησις. ὁ ψόγος, καὶ ἡ κατηγορία.

Ἐπίῤῥητον. αἰσχρόν. καταγνώσεως ἄξιον. Ὁ τῶν τριῶν ἐκείνων τῶν ἐπιῤῥήτων εἷς. † Ζῶν δὲ παρῄει ἐς οὐδὲν ἱερόν. ἤλαυνον γὰρ ὡς ἐπάρατον καὶ ἐπίῤῥητον. καὶ αὖθις· [7]Ἦν δὲ ἐπίῤῥητος ἐπὶ παιδεραστίᾳ. † Βιώσας βίον ἐπίῤῥητον καὶ βδελυρὸν, οὐδεμίαν ἐπιστεύθη βασιλικῶν χρημάτων ἐξουσίαν.

Ἐπὶ [8]ῥητοῖς γέρασιν. ἀντὶ τοῦ, ἐπὶ φανεραῖς τιμαῖς. ἐπὶ ὁμολογουμέναις.

Ἐπίῤῥοθος. βοηθός. καὶ ἐπιτάῤῥοθος.

Ἐπὶ πυγὴν καθίσαι. In nates collocare. Deprimere.

Ἐπὶ πυγὴν τρέχειν. Retro currere.

Ἐπιῤῥαπίζων. Impediens. * * * * * *

Ἐπιῤῥέξει. Sacrificabit. Immolabit. In Epigrammate: *Et tibi Gorgus capellæ paſcentis ſanguinem ſacrificabit.*

Ἐπιῤῥεπής. Propenſus. Inclinans. Vergens.

Ἐπίῤῥημα. Apud Ariſtophanem eſt quædam comœdiæ pars. [Ut in Avibus:] *Si cum avibus aliquis veſtrum, o ſpectatores, cupit degere, & ſuaviter in poſterum vivere, ad nos veniat. Nam quæcunque illic lege turpia ſunt, ea omnia apud nos aves honeſta habentur,* &c.

Ἐπίῤῥησις. Vituperatio. Accuſatio.

Ἐπίῤῥητον. Turpe. Damnandum. Infame. *Unus ex tribus illis impuris hominibus.* † *Vivens vero nullum templum ingrediebatur. Unde ut exſecrandum & impurum* [*ex urbe*] *expellebant.* Et iterum: *Ob puerorum vero amores infamis erat.* † *Cum vitam turpem & flagitioſam vixiſſet, nulla pecuniæ regiæ adminiſtratio ei commiſſa eſt.*

Ἐπὶ ῥητοῖς γέρασιν. Conceſſis certis honoribus & prærogativis.

Ἐπίῤῥοθος. Auxiliator. Adjutor. Et ἐπιτάῤῥοθος, idem.

---

[1] Ξενοφῶν] *De Inſtit. Cyri* lib. I. pag. 20. ut Portus obſervaverat.

[2] Ἐπὶ πρύμνην ἀνεκρούοντο, καὶ ὤκελλον τὰς ναῦς] Hæc ſunt verba Herodoti lib. VIII. pag. 309. Vide etiam ſupra v. Ἐπανακρούσασθαι, ubi plura de hac phraſi diximus.

[3] Ὅταν τὸ μὲν ἀποκτεῖναν β.] Vide Petitum *de Legibus Att.* pag. 523. qui loca auctorum huc ſpectantia diligenter collegit. Confer etiam Noſtrum infra v. Νίκων.

[4] Ἐν Ἐπιγράμματι] Anthol. lib. IV. cap. XII. pag. 481.

[5] Ἐπίῤῥημα] Confer Heſychium v. Ἐπιῤῥήματα.

[6] Εἰ μετ' ὀρνίθων τις ὑμ.] Hi quatuor verſus Trochaici leguntur apud Ariſtophanem *Avibus* pag. 576. (397. Ed. Baſ. P.)

[7] Ἦν δὲ ἐπίῤῥητος ἐπὶ παιδ.] Vide infra v. Ἐπιθένης.

[8] Ἐπὶ ῥητοῖς γέρασιν] Thucydides lib. I. cap. XIII. Πρότερον δὲ ἦσαν ἐπὶ ῥητοῖς γέρασι πατρικαὶ βασιλεῖαι. Scholiaſta ad illum locum: Ἐπὶ ῥητοῖς γέρασιν. ἀντὶ τοῦ, ἐπὶ φανεραῖς τιμαῖς. ἐπὶ ὁμολογουμένοις γέρασι. Hinc Suidas ſua depromſit, ut Portus etiam monuit.

Ἐπιρρωννῦντες. ἐνισχύοντες. ἐνδυναμοῦντες. καὶ ἐπιρρώσει, ἐνισχύσει.

Ἐπίρρωσις. ἡ ἐνίσχυσις.

Ἐπιρρύξας.[1] ἄγριος αὐτοῖς ἐπιπηδήσας.

Ἐπίρρυτοι.[2] ἐχθροί.

Ἐπιρυγχίδα.[3] ὅτι γαμψώνυχα ζῶα, ὅσα τῶν πτερωτῶν τὴν ἐπιρυγχίδα γεγάμψωκεν ὑπὸ τὴν γένυν, οἷα ἐστὶν ἀετὸς, ἱέραξ, καὶ κεγχρηΐς, ἄλλα τε τὰ μὴ πίνοντα.

Ἐπίσαλος. ἀβέβαιος. εὐμετάπτωτος. [4]Ἐπισάλων τε τῶν τῆς σωτηρίας ἐλπίδων γενομένων αὐτοῖς, ἐξεχώρουν τοῦ ἄστεος.

Ἐπισάξαι. [5]ἐπαναβῆναι. [6]Ξενοφῶν· Ἐὰν θόρυβος γένηται, δεῖ ἐπισάξαι τὸν ἵππον Πέρσῃ ἀνδρὶ, καὶ θωρακισθέντα ἀναβῆναι ἐπὶ τὸν ἵππον. ταῦτα δὲ πάντα χαλεπὰ ποιεῖν νύκτωρ, καὶ θορύβου ὄντος.

Ἐπὶ σαυτῷ τὴν σελήνην καθέλκεις. [7]αἱ τὴν σελήνην καθέλκουσαι Θετταλίδες λέγονται τῶν ὀφθαλμῶν καὶ τῶν ποδῶν στερίσκεσθαι. εἴρηται οὖν ἡ παροιμία ἐπὶ τῶν ἑαυτοῖς κακὰ ἐπισπωμένων.

Ἐπισεῖσαι. ἐπενεγκεῖν. Παρεκάλουν μὴ χαλεπώτερον αὐτοῖς ἐπισεῖσαι τὸν κίνδυνον. καὶ αὖθις· Ἅπαντα τρόπον ἀπάτης τοῖς δεομένοις ἐπισείσας. ἀντὶ τοῦ ἐπαγαγών.

Ἐπισημαίνεσθαι.[8] ἀντὶ τοῦ ἐπαινεῖν μὲν καὶ ἐπιφωνεῖν, Ἰσοκράτης. ἀντὶ δὲ τοῦ ἐπισφραγίσαι, Ἰσαῖος.

Ἐπισημαινόμενος. διάφορα σημαίνει.

Ἐπὶ σημείου. ἐπὶ ὕψους.

Ἐπισημήνασθαι. βεβαιῶσαι. Ἐπισημαινομένων δὲ τῶν ἐκ τῆς Ἑλλάδος πρεσβευτῶν. ἀντὶ τοῦ κυρωσάντων. καὶ [9]Πολύβιος· Τίς γὰρ οὐκ ἂν ἐπισημήναιτο; ἀντὶ τοῦ ἐκπλαγείη, θαυμάσειεν. καὶ αὖθις· Τοὺς μὲν χάρισι, τοὺς δὲ κολάσεσιν· ὡς καὶ τοῖς ἄλ-

Ἐπιρρωννῦντες. Corroborantes. Robur ac vires addentes. Et ἐπιρρώσει. Corroborabit.

Ἐπίρρωσις. Corroboratio. Confirmatio.

Ἐπιρρύξας. [Proprie dicitur de venatoribus, qui canes certo quodam vocis ſigno in feras inſtigant & immittunt.]

Ἐπίρρυτοι. Hoſtes. Inimici.

Ἐπιρυγχίδα. Roſtrum incurvum. Omnes volucres, quæ inflexum habent roſtrum, aduncis etiam unguibus armatæ ſunt: ut aquila, accipiter, cenchreis, & aliæ, quæ non bibunt.

Ἐπίσαλος. Inſtabilis. Inconſtans. Fluctuans. Dubius. *Cum autem dubia ipſis eſſet & incerta ſalutis ſpes, ex urbe exierunt.*

Ἐπισάξαι. Adſcendere. [Imo, inſternere.] Xenophon: *Quod ſi quis tumultus oriatur, neceſſe eſt Perſæ equus inſternatur: &, poſtquam lorica ſe munierit, equum conſcendat oportet: quæ omnia noctu, & orto tumultu facere difficile eſt.*

Ἐπὶ σαυτῷ τὴν σελ. *Tuo malo Lunam deducis.* Mulieres Theſſalæ, quæ Lunam cœlo deducunt, oculos & pedes amittere dicuntur. Proverbium igitur hoc dicitur de iis, qui ipſi ſibi mala accerſunt.

Ἐπισεῖσαι. Incuſſiſſe. Intuliſſe. Injeciſſe. *Rogabat eum, ne in gravius periculum ipſos adduceret.* Et iterum: *Cum omni fraudis genere ſupplices circumveniſſet.*

Ἐπισημαίνεσθαι. Iſocrates hanc vocem accipit pro laudare, & acclamare, vel clamore aliquid approbare. Iſæus vero pro obſignare.

Ἐπισημαινόμενος. Varia ſignificat. [Vide ſequens Ἐπισημήνασθαι.]

Ἐπὶ σημείου. In loco alto.

Ἐπισημήνασθαι. Confirmare. Ratum facere. *Legatis autem Græcis [fœdus illud] confirmantibus.* Vel, ratum facientibus. Et Polybius: *Quis enim hoc non admiretur?* Τὸ ἐπισημήναιτο enim hic idem ſignificat, quod ἐκπλαγείη, vel θαυμάσειεν. Et iterum: *Alios* λοις παράδειγμα ἦν ἐπισημαίνεσθαι.

---

[1] Ἐπιρρύξας] Sic recte duo MSS. Pariſ. At priores Editt. ἐπιρρήξας: quam lectionem vel literarum ſeries mendoſam eſſe arguit. Cæterum, locus hic Suidæ mutilus eſt & interpolatus, qui quomodo ſupplendus & ſcribendus ſit, patet ex Ariſtophanis *Veſpis* p. 481. (336. Ed. Baſ. *P.*) ubi inter alia & hæc leguntur:

——Καὖθ' ὅπως οὗτός γ' ἐπισίξῃ,
Ἐπὶ τῶν ἐχθρῶν τιν' ἐπιρρύξας, ἀγρίως αὐτοῖς ἐπιπηδᾷς.

Hinc Suidas ſua deſcripſit, quamvis prorſus ἀκρίτως & negligenter. Nam nec integram loci Ariſtophanici ſententiam repræſentavit, nec vocem ἐπιρρύξας interpretatus eſt: quod tamen præcipue facere debebat. Quæ enim apud Noſtrum ſequuntur, ἄγριος αὐτοῖς ἐπιπηδήσας, non ſunt interpretamentum vocis ἐπιρρύξας, (ut putavit ſciolus aliquis: qui eam ob cauſam τὸ ἐπιπηδᾷς in ἐπιπηδήσας mutavit, ut capiti articuli reſponderet) ſed ipſa verba Ariſtophanis, quamvis interpolata, ut ex loco Comici illius ſupra adducto patet. Quid autem vox ἐπιρρύξας ſignificet, in verſione expoſuimus. Heſychius: Ἐπιρρύξειν, κύνας ἐπαφιέναι καὶ παρορμᾶν. Vide etiam Scholiaſtam Ariſtophanis ad locum Comici iſtius ſupra citatum.

[2] Ἐπίρρυτοι. ἐχθρ.] Sic habent MSS. Pariſ. At in prioribus Editt. contra ordinem literarum legitur, Ἐπίρρητοι. αἰσχροί.

[3] Ἐπιρυγχίδα. ὅτι γαμψώνυχα ζῶα, ὅσα τῶν πτερωτῶν τὴν ἐπιρ.] Repræſentavi hic lectionem MSti Pariſ. A. Priores enim Editt. locum hunc male ſic exhibent: Ἐπιρυγχίδα. γαμψώνυχα, ὅσα τῶν ζώων τὴν ἐπιρυγχίδα γεγάμψωκεν, &c. Cæterum, pro ἐπιρυγχίδα potius ſcribendum eſt ἐπιρρυγχίδα, per duplex ρρ.

[4] Ἐπισάλων τε τῶν τῆς σωτ.] Hæc ſunt verba Theophylacti Simocattæ lib. VI. cap. V. ut Pearſonius etiam obſervaverat.

[5] Ἐπαναβῆναι] Male. Aliam enim vox ἐπισάξαι ſignificationem habet, ut vel ex Lexicis vulgatis conſtat.

[6] Ξενοφῶν] *De Expedit. Cyri* lib. III. pag. 311. quod & Portus ante monuit.

[7] Αἱ τὴν σελήνην καθέλκουσαι Θετ.] Credebant veteres, fœminas Theſſalas carminibus & arte magica Lunam cœlo deducere poſſe: quod præter alios docet eruditus Enarrator Apollonii Rhodii ad lib. IV. v. 59. cujus verba quoniam egregie huc faciunt, Lectori exhibebo. Μιμοῦνται ὡς ἔργα αἱ φαρμακίδες τὴν σελήνην ταῖς ἐπαοιδαῖς καθαιροῦσι. τοῦτο δὲ ποιεῖν δοκοῦσιν αἱ Θεσσαλαί, σφαλεῖσαι τῆς ὑπολήψεως· καθὸ Ἀγλαονίκη Ἡγήμονος θυγάτηρ, ἔμπειρος οὖσα τῆς ἀστρολογίας, καὶ εἰδυῖα τὰς ἐκλείψεις τῆς σελήνης, ὁπότε μέλλοιεν γενέσθαι, ἔφασκε τὴν θεὸν καθαιρεῖν· καὶ παραχρῆμα περιέπιπτε συμφοραῖς, τῶν οἰκείων τινὰ ἀποβαλοῦσα, καὶ δίκην διδοῦσα τοῦ ἁμαρτήματος. ὅθεν κατὰ τὸν βίον λέγεται παροιμία ἐπὶ τῶν συμφοραῖς κεχρημένων, ὅτι τὴν σελήνην καθαιρεῖ. Vide eundem ad lib. III. v. 533. Huc etiam referendus eſt locus ille Ariſtophanis *Nubibus* pag. 169.

Γυναῖκα φαρμακίδ' εἰ πριάμενος Θετταλὴν,
Καθέλοιμι νύκτωρ τὴν σελήνην.

Id eſt: *Si Theſſalam quandam veneficam mihi emam, & Lunam noctu de cœlo detraham.* Plura hanc in rem auctorum loca, quæ obvia ſunt, & ab aliis jam ante obſervata, non addam.

[8] Ἐπισημαίνεσθαι. ἀντὶ τοῦ ἐπαιν.] Ex Harpocratione.

[9] Πολύβιος] Lib. IX. cap. IX. Vide ſupra v. Ἐπισημηνάμην, ubi locus hic Polybii auctior legitur. Cæterum, Suidas τὸ ἐπισημαίνοιτο male hic exponit ἐκπλαγείη, θαυμάσειεν: cum potius ſignificet, *plauſu proſequatur*, vel *laudet*. Et ſane eo ſenſu accipitur in dicto loco Polybii: ubi, quod obiter moneo, poſt ἐπισημαίνοιτο additur καὶ θαυμάσειε; quod forte Suidam in eam opinionem induxit, ut crederet, τὸ ἐπισημαίνεσθαι idem ſignificare quod θαυμάζειν, & duas iſtas voces ſibi invicem ἐκ παραλλήλου junctas eſſe: in quo tamen ratio eum fugit.

Ἐπισίζει.[1] ποιόν τινα ἦχον ἐπιβοᾷ.

Ἐπίσιον.[2] τὸ αἰδοῖον τῆς γυναικός.

Ἐπισίτια.[3] τὰ εἰς τροφὴν καὶ εἰς τὸ σιτεῖσθαι διδόμενα. ταῦτα δὲ ἐνίοτε καὶ σιτίον ἐκάλουν.

Ἐπίσιτος.[4] ὁ τροφῆς χάριν ἐργαζόμενος.

Ἐπισθένης. οὗτος ἦν ἐπὶ Σεύθου τοῦ Θρακῶν βασιλέως, ἐπίῤῥητος ἐπὶ παιδεραστίᾳ.

Ἐπισκαλμίσι. τοῖς τῆς νηὸς μέρεσι. Πτύα ὡς πλεῖστα ταῖς ἐπισκαλμίσιν ἐνερτωσάμενοι, ἤρεττον.

Ἐπισκευάσασθαι. ἐπιφορτίσασθαι.

Ἐπισκήνους. [5] Σοφοκλῆς· Μηδ᾽ ἐπισκήνους γόους δάκρυε. ἤτοι μεγάλους, ἢ ἀπρεπεῖς, οἵους ἐπὶ τῇ σκηνῇ.

Ἐπισκήπτει. δοτικῇ. ἐπιτιμᾷ. [6] Τὸν μὲν οὖν λοιμὸν, καίπερ ἐπισκήψαντα ἐς τὴν ξύμπασαν, διέφυγον οἱ ἄνθρωποι οὐχ ἧσσους, ἢ ὅσοις διαφθαρῆναι τετύχηκε.

Ἐπίσκηψις.[7] δίκη κατὰ τῶν ψευδομαρτυρησάντων.

Ἐπισκήψω. σημειώσομαι, ἐπιστήσω τὸν νοῦν. Σοφοκλῆς·

Ὑμῖν τε κοινὴν τήνδ᾽ ἐπισκήπτω χάριν.

Ἐπίσκιον. [8] Σοφοκλῆς·

Ἄνακτα δ᾽ αὐτὸν ὀμμάτων ἐπίσκιον
Χεῖρ᾽ ἀντέχοντα κρατὸς, ὡς δεινοῦ τινος
Φόβου φανέντος, οὐδ᾽ ἀνασχετοῦ βλέπειν.

Ἐπίσκοπα. εὔστοχα. Τὴν ἄφεσιν τῶν βελῶν κατ᾽ ἴσον βιαίαν καὶ ἐπίσκοπα ἱέναι. καὶ αὖθις· [9] Οἱ Καρδοῦχοι σφενδονῆται ἄριστοι λίθοις τε καὶ μολιβδίναις σφαίραις, ἃς ἐξακοντίζουσιν ἐπίσκοπα.

Ἐπίσκοπον.[10] σημαντικόν. ἔφορον. οὐχ ἡμαρτηκὸς τῆς συμφορᾶς, ἀλλ᾽ ἐστοχασμένον. [11] Αὐδὴν γὰρ δοκῶ κλύειν ἄτης τῆσδ᾽ ἐπίσκοπον μέλος.

Ἐπισκοπῶν. καθορῶν.

Τί [12] μοί ποτ᾽, ὦ ξέν᾽, ὧδ᾽ ἐπισκοπῶν στένεις.

Ἐπίσκοπος. οἱ [13] παρ᾽ Ἀθηναίων εἰς τὰς ὑπηκόους πόλεις ἐπισκέψασθαι τὰ παρ᾽ ἑκάστοις πεμπόμενοι, Ἐπίσκοποι καὶ Φύλακες ἐκαλοῦντο· οὓς οἱ Λάκωνες Ἁρμοστὰς ἔλεγον.

beneficiis, alios vero pœnis [*in officio continuit:*] *ut & aliis exemplum hoc notabile eſſet.*

Ἐπισίζει. Certum quendam ſonum ac ſibilum edit.

Ἐπίσιον. Pudendum mulieris.

Ἐπισίτια. Cibaria. Commeatus. Pro eodem etiam aliquando dicitur σιτίον.

Ἐπίσιτος. Qui victus cauſa operam ſuam aliis locat.

Ἐπισθένης. Epiſthenes. Hic ſub Seuthe Thracum Rege ob puerorum amorem infamis fuit.

Ἐπισκαλμίσι. Epiſcalmidibus. Vel, partibus quibuſdam navis. *Cum ventilabra plurima remorum loco ad epiſcalmides alligaſſent, remigare cœperunt.*

Ἐπισκευάσασθαι. Sarcinis onerare. Onus imponere.

Ἐπισκήνους. Sophocles: *Neque in tentorio ejulatus & ploratus ede.* Vel ἐπισκήνους hic ſignificat, magnos & indecoros, quales in Scena edi ſolent.

Ἐπισκήπτει. Dativo jungitur. Increpat. Objurgat. [Item, ingruit, irruit, invadit.] *Peſtilentiam igitur, quamvis toto fere Orbe graſſantem, non pauciores effugerunt, quam quot ea exſtincti fuerant.*

Ἐπίσκηψις. Judicium, vel actio contra falſos teſtes.

Ἐπισκήψω. Notabo. Obſervabo. Animum advertam. [Et ἐπισκήπτω, mando, præcipio, injungo.] Sophocles: *Et illud vobis injungo, ut hanc mihi gratiam communi opera præſtetis.*

Ἐπίσκιον. Obumbrans. Sophocles: *Regem autem ipſum* [*vidimus*] *manum opponentem capiti, eaque oculos tegentem, tanquam viſa re aliqua terribili, & cujus aſpectus ferri non poſſet.*

Ἐπίσκοπα. Ictu certo & ſcopum feriente. *Tela, quamvis violenter excuſſa, certo tamen ictu deſtinata ferire.* Et iterũ: *Carduchi funditores optime norunt jaculari lapides & glandes plumbeas; quippe quibus deſtinata dextre feriũt.*

Ἐπίσκοπον. Obſervans. Significans. Curam gerens. A calamitate non alienum, ſed ei conveniens. *Videor audire vocem* [*Teucri,*] *tanquam carmen a malo hoc non alienum.*

Ἐπισκοπῶν. Inſpiciens. Spectans. *Quid cauſæ eſt, hoſpes, quare huc ſpectans gemas?*

Ἐπίσκοπος. Qui ab Athenienſibus in urbes ipſis ſubjectas mittebantur, ut eorum, quæ in iis gererentur, inſpectores eſſent, Ἐπίσκοποι & Φύλακες appellabantur: quos Lacedæmonii Ἁρμοστὰς vocabant.

---

[1] Ἐπισίζει] Vide de hac voce Scholiaſtam Ariſtophanis ad *Veſpas* pag. 481.

[2] Ἐπίσιον] Sic etiam Etymologus. At Heſychius habet, ἐπείσιον, per diphthongum ει.

[3] Ἐπισίτια. τὰ εἰς τρ.] Ex Harpocratione.

[4] Ἐπίσιτος. ὁ τροφῆς χ.] Athenæus lib. VI. pag. 246. Ἐπίσιτοι γὰρ καλοῦνται οἱ ἐπὶ τροφαῖς ὑπουργοῦντες. Lege apud eundem & ſequentia.

[5] Σοφοκλῆς] *Ajace*, pag. 35. ut Portus monuit.

[6] Τὸν μὲν οὖν λοιμὸν, καίπερ ἐπισκ.] Fragmentum hoc legitur apud Procopium *Hiſtor. Arc.* cap. VI.

[7] Ἐπίσκηψις. δίκη κ.] Confer Noſtrum ſupra v. Ἐπισκήψαιτο.

[8] Σοφοκλῆς] *Oedip. Colon.* pag. 324. ut & Portus ante obſervaverat.

[9] Οἱ Καρδοῦχοι σφενδ.] Vide Diodorum Siculum l. XIV. p. 257.

[10] Ἐπίσκοπον. σημαντ.] Ex Scholiaſta Sophoclis ad *Ajacem* pag. 57. ut Portus monuit.

[11] Αὐδὴν γὰρ δοκῶ κλ.] Sophocles loco laudato:

Σίγησον. αὐδὴν γὰρ δοκῶ Τεύκρου κλύειν
Βοῶντος ἄτης τῆσδ᾽ ἐπίσκοπον μέλος.

Sic etiam apud Suidam ſcribendum eſt.

[12] Τί μοί ποτ᾽, ὦ ξέν᾽, ὧδ᾽ ἐπισκ.] Senarius hic legitur apud Sophoclem *Electra* pag. 132.

[13] Οἱ παρ᾽ Ἀθηναίων εἰς τὰς ὑπηκ.] Eadem ad verbum etiam leguntur apud Harpocrationem, & Scholiaſtam Ariſtophanis ad *Aves* pag. 590.

Ἐπίσκοποι. ἐπόπται. κατάσκοποι.

Ἐπισκοπῶσι. καὶ ἐπισκοπῶ. αἰτιατικῇ. Καὶ τόπους, οὓς οὐκ ἐπισκοπεῖ κύριος.

Ἐπισκοτῶ. καὶ ἐπισκοτεῖν, δοτικῇ. τὸ ἐπικεῖσθαί τινι, καὶ ἐπιτειχίζειν τὸ φῶς.

Ἐπισκύζονται. ὀργίζονται.

Ἐπισκύνιον. τὸ ἐπικείμενον ταῖς ὀφρύσι δέρμα.

Γυμνώσαντα[1] βίου παντὸς ἐπισκύνιον.

Ἐπισμῇ.[2] ἐπιχέει. ἐπιξύει. σμῆξαι δὲ ἐπὶ τὸ τὸν ῥύπον ἀποξύσαι. οἱ δὲ μεταφορικῶς ἀπὸ τοῦ σμήχειν, οἷον ἐπιτρίβειν. σφοδρὰν γάρ τινα τρίψιν καὶ τὴν σμῆξιν εἶναι. τάχα δὲ καὶ τὴν σμώδιγγα εἰρῆσθαι ἀπὸ τούτου. οἱ δὲ ἐξ ἔθους γλωσσηματικὴν εἶναι τὴν λέξιν, καὶ μὴ εἶναι ἐπιτρίβειν, ἀλλὰ τύπτειν, καὶ σκώπτειν τὸ σμώχειν. ἔστι δὲ λοιδορία· ἀπὸ τοῦ καθάπτεσθαι τῶν σμωμένων. [3]Ἀριστοφάνης·

Τί γὰρ οὗτος ἡμᾶς οὐκ ἐπισμῇ τῶν κακῶν.

Ἐπίσκοποι. Inſpectores. Speculatores. Exploratores.

Ἐπισκοπῶσι. Speculentur. Inſpiciant. Et ἐπισκοπῶ. Speculor. Inſpicio. *Et loca, quæ Dominus non inſpicit.*

Ἐπισκοτῶ. Tenebras offundo. Et ἐπισκοτεῖν, dativo jungitur. Lumen alicui obſtruere. Luminibus officere.

Ἐπισκύζονται. Iraſcuntur.

Ἐπισκύνιον. Supercilium. Pellis, quæ eſt ſuper cilia. [In Epigrammate:] *Qui totius vitæ ſupercilium nudavit.*

Ἐπισμῇ. Illinit. Ramento aſpergit. Σμῆξαι autem eſt, ſordes abradere. Alii metaphoram ductam ajunt a σμήχειν, i. e. infricare, vel infligere: quod σμῆξις vehemens quædam ſit frictio. Fortaſſe autem & vox σμώδιξ inde ducta eſt. Alii tamen more conſueto τὸ σμώχειν gloſſam eſſe ajunt, eamque non ſignificare, infricare, ſed verberare, & riſu caviliſque excipere. Poteſt etiam exponi, maledictis vel conviciis inceſſere: per metaphoram ductam ab illis, qui fricantur, vel abraduntur. Ariſtophanes: *Quibus enim ille conviciis & probris nos non aſpergit?*

Ἐπίσσωτρα.[4] οἱ κανθοί. τὰ ἐπάνω τῶν τροχῶν σιδηρᾶ.

Ἐπισπασάμενος. ἐφελκύσας. Ὁ δὲ ἐπισπασάμενος τῆς κόμης τοῦτον, κτείνειν ἔμελλεν.

Ἐπισπαστῆρες. τῶν θυρῶν τὰ προσηλωμένα σιδήρια, δι' ὧν ἀνακλίνεται καὶ ἐπιτίθεται ἡ πύλη.

Ἐπισπαστήρων.[5] τῶν τῆς θύρας κρατημάτων. Εὑρὼν προσκειμένας τὰς θύρας, καὶ λαβόμενος τῶν ἐπισπαστήρων, ἀπρὶξ εἴχετο, καρτερῶς τε καὶ ἐγκρατῶς.

Ἐπισπέρχει. κατεπείγει. σπεύδει.

Ἐπὶ σπεῖρα σχοινίον. ἐπὶ τῶν προσφερόντων τοῖς ἔχουσιν ἔτι πλείονα. ἐπειδὴ καὶ αἱ σπεῖραι, ἐξ ὧν καὶ σχοινία εἰσίν.

Ἐπίσπῃ. [6]ἕψηται.

Ἐπισπόμενος. ἐπακολουθῶν. Ἐπισπώμενος δὲ, προσλαμβάνων, καὶ ἐπισύρων.

Ἐπισταθμευόμενοι. κρίνοντες. ὑπονοοῦντες. Οἱ δὲ Φωκεῖς τὰ μὲν ὑπὸ τῶν ἀπολειφθέντων Ῥωμαίων ἐν ταῖς ναυσὶν ἐπισταθμευόμενοι, τὰ δὲ τὰς ἐπιταγὰς δυσχερῶς φέροντες, ἐστασίαζον.

Ἐπίσσωτρα. Canthi, vel ferrei rotarum orbes.

Ἐπισπασάμενος. Qui attraxit. Qui traxit. *Ille vero eum per comam ad ſe tractum interfecturus erat.*

Ἐπισπαστῆρες. Ferramenta quædam foribus affixa, quorum ope janua aperitur & clauditur. Anſæ januæ.

Ἐπισπαστήρων. Anſarum januæ. *Cum fores clauſas inveniſſet, anſas earum arreptas firmiter omnibuſque viribuſque retinuit.*

Ἐπισπέρχει. Feſtinat. Urget. Maturat.

Ἐπὶ σπεῖρα σχοινίον. Ad ſpiram funiculus. Dicitur de iis, qui habentibus plura adhuc addunt. Nam ſpiræ ex pluribus funiculis convolutis conſtant.

Ἐπίσπῃ. Sequatur.

Ἐπισπόμενος. [Per ο parvum.] Sequens. At ἐπισπώμενος, [per ω,] aſſumens, attrahens.

Ἐπισταθμευόμενοι. Judicantes. Suſpicantes. *Phocenſes, partim quidem ex iis Romanis, qui in navibus relicti fuerant, de reliquis judicium facientes, partim vero imperia eorum iniquo animo ferentes, ſeditionem excitarunt.*

---

[1] Γυμνώσαντα βίου π.] Pentameter hic eſt pars Epigrammatis in Diogenem Cynicum, quod integrum legitur Anthol. lib. III. cap. XXXIII. pag. 419.

[2] Ἐπισμῇ. ἐπιχ.] Hæc procul dubio deſcripta ſunt ex Scholiaſta deperdito ad locum illum Ariſtophanis in *Theſmophor.* qui ad finem articuli hujus adducitur.

[3] Ἀριστοφάνης] *Theſmophoriaz.* pag. 787. (521. Ed. Baſ. P.)

[4] Ἐπίσσωτρα. οἱ κανθ.] Scholiaſta Homeri ad Il. E. v. 725. Ἐπίσσωτρα. Ἐπίσωτρα. τὰ ἐπάνω τῶν τροχῶν σιδηρᾶ, ἢ χαλκᾶ. οὓς καὶ κανθοὺς καλοῦσι. ὁ ἔξωθεν τῶν τροχῶν κατέχων σίδηρος. οἱ σιδηροῖ, ἢ χαλκοῖ κύκλοι τῶν τροχῶν.

[5] Ἐπισπαστήρων] Male Portus putabat vocem hanc ſignificare cardines januæ; cum notet anſas januæ: ſic dictas, quod iis januam aperiendam vel claudendam ad nos attrahamus: ab ἐπισπάω, attraho. Significationem hanc vel ſenſus fragmenti, quod ſequitur, ſatis confirmat. Nam quod ibi dicitur, aliquem τοὺς ἐπισπαστῆρας manibus prehenſos firmiter retinuiſſe, anſis utique januæ, non vero cardinibus ejus convenit.

[6] Ἕψηται] Imo potius ἕψῃ. Nam τὸ ἐπίσπῃ, cum habet ſignificationem *ſequendi*, eſt ſecunda perſona ſingularis, ab ἐπίσπωμαι, ſequar; ut in loco hoc Sophoclis *Electr.* pag. 123.

Ἀλλ' ἢν ἐπίσπῃ τοῖς ἐμοῖς βουλεύμασιν

Id eſt: *Sed ſi meis conſiliis obtemperaveris.* At τὸ ἐπίσπῃ, quod eſt tertiæ perſonæ ſingularis apud Homerum, deductum eſt ab ἐπισπῶ, vel ἐπισπάω, attrahere: cujus Aor. 2. eſt ἐπίσπον; & in Subjunctivo, ἐπίσπω, ῃς, ῃ. Male igitur Grammatici poſterius ἐπίσπῃ apud Homerum interpretantur, καταλάβῃ, καταδιώξῃ, ἐπακολουθήσῃ: confundentes nimirum duo illa verba ἐπισπῶ, attrahere, & ἐπισπέσθαι, ſequi; quæ tamen non ſolum ſenſu, ſed etiam conſtructione differunt. Nam ἐπισπῶ, accuſativo; at ἐπισπέσθαι dativo ſemper apud Homerum jungitur: quod miror Grammaticos non perpendiſſe. Cum igitur Homerus dicit, θάνατον καὶ πότμον ἐπισπεῖν; metaphora non eſt ducta ab illis, qui ſequendo aliquid aſſequuntur, vel conſequuntur, (eo enim ſenſu cum dativo potius, ut diximus, verbum hoc conſtruendum eſſet) ſed ab illis, qui rem aliquam ad ſe attrahunt: quo ſenſu apud eundem poetam Odyſſ. Σ. v. 72. ἐπίσπαστον κακὸν dicitur malum, quod quis ultro ſibi acceſſit, & in ſe quaſi attrahit. Hæc breviter dicenda fuerunt ad coarguendum errorem Grammaticorum, qui τὸ ἐπισπᾶν & ἐπισπέσθαι plerumque inter ſe confundere ſolent.

Ἐπισταθμευόμενοι. εἰς τοὺς ἑαυτῶν οἴκους δεχόμενοι. Ἐπισταθμευομένους τε ὑπ' αὐτῶν καὶ διαρπαζομένους.

Ἐπίσταθμοι. ἄρχοντές τινες.

Ἐπίσταθμος.[1] Ἰσοκράτης Πανηγυρικῷ· Ἑκατόμνος ὁ Καρίας ἐπίσταθμος. ὃς οὐδὲν ἕτερον ἦν, ἢ κατὰ σατραπείαν Καρίας κύριος.

Ἐπίστασθαι. τοῦτο δύο σημαίνει· τὸ ἐπιστήμην αὐτὸς ἔχειν· ἢ τὸ ἐπιστήμην αὐτοῦ εἶναι. καὶ ἑκάτερον διχῶς· ἢ καθ' ἕξιν, ἢ κατὰ προαίρεσιν.

Ἐπιστασία. προστασία.

Ἐπίστασις. γνῶσις. Ἐπίστασις, καὶ ἡ προσοχὴ, καὶ ἡ μίμησις. Πολύβιος· Ὁ δὲ Ἀσδρούβας πέφυκεν ἡμῖν ἄξιος ἐπιστάσεως εἶναι καὶ ζήλου. καὶ αὖθις· Τὰ δὲ τῶν πόλεων πράγματα ἀλλοιοτέρας ἔτυχεν ἐπιστάσεως καὶ μεταβολῆς.

Ἐπιστάτης.[2] ὁ τοῦ [3]λόχου ὀπίσω τεταγμένος. ὁ δὲ μετ' αὐτὸν, πρωτοστάτης. ὁ δὲ κατὰ τοῦτον πάλιν, ἐπιστάτης· ὡς εἶναι τὸν ὅλον στίχον ἐκ πρωτοστατῶν καὶ ἐπιστατῶν συγκείμενον. ἔνιοι δὲ λοχαγὸν μὲν τὸν πρωτοστάτην λέγουσι· καὶ οὐραγὸν, τὸν ἐπιστάτην. τοὺς ἐν μέσῳ δὲ οὐχ ὡσαύτως· ἀλλ' ἐπιστάτην μὲν, τὸν μετὰ τὸν πρωτοστάτην, ἤτοι τὸν δεύτερον· τὸν δὲ τρίτον ἀπὸ τοῦ πρωτοστάτου, ὑποστάτην.

Ἐπισταθμευόμενοι. Qui in domos a quibuſdam recipiuntur. Qui hoſpitio excipiuntur. *Hoſpitio ab illis exceptos & ſpoliatos.*

Ἐπίσταθμοι. Magiſtratus quidam.

Ἐπίσταθμος. Dominus. Præfectus. Iſocrates *Panegyrico : Hecatomnus Cariæ dominus.* Ἐπίσταθμος enim hic ſignificat idem quod κύριος : quoniam Hecatomnus nihil aliud erat, quam Cariæ dominus, a Satrapa haud multum diverſus.

Ἐπίστασθαι. Scire. Hæc vox duplici ſenſu accipitur. Nam & dicitur de eo, qui ipſe aliquid ſcit; & in quem ſcientia cadit. Utrumque autem bifariam accipitur: & ſecundum habitum, & ſecundum propoſitum.

Ἐπιστασία. Præfectura.

Ἐπίστασις. Cognitio. *Cognitio, attentio, & imitatio.* Polybius: *Aſdrubal vero attentiore conſideratione & laude nobis dignus videtur.* Et iterum : *Civitatum vero res in longe alium ſtatum & mutationem inciderunt.*

Ἐπιστάτης. Sic vocatur ille, qui poſt Lochagum (i. e. Seriei ductorem) collocatus eſt. Eum vero excipit Protoſtates: & hunc rurſus Epiſtates: adeo ut tota ſeries ex Protoſtatis & Epiſtatis [alternatim collocatis] compoſita ſit. Alii vero Manipuli ductorem vocant πρωτοστάτην, & Tergiductorem, ἐπιστάτην. At eorum, qui in medio collocati ſunt, non eadem eſt ratio. Nam ibi ἐπιστάτην vocant eum, qui Protoſtatam, vel ſecundum, excipit. At tertium a Protoſtata Hypoſtatam appellant.

Ἐπιστάτης.[4] Τῶν Πρυτανέων εἷς ὁ λαχὼν Ἐπιστάτης ἐλέγετο. δὶς δὲ τὸν αὐτὸν ἐπιστατῆσαι οὐκ ἐξῆν. Φυλάσσει δὲ τοῦ ἱεροῦ τὰς κλεῖς, ἐν ᾧ τὰ δημόσια χρήματα. ἔτι μὴν καὶ τὴν δημοσίαν σφραγῖδα. ἐπειδὰν δὲ οἱ Πρυτάνεις συναγάγωσι τὴν Βουλὴν, ἢ τὸν δῆμον, ὁ Ἐπιστάτης κληροῖ Προέδρους ἐννέα, ἀπὸ Φυλῆς ἑκάστης ἕνα, πλὴν τῆς πρυτανευούσης. καὶ πάλιν ἐκ τῶν ἐννέα τούτων Ἐπιστάτην ἕνα κληροῖ, καὶ τὸ πρᾶγμα παραδίδωσιν· αὐτὸς δὲ εἰσάγει τὴν δίκην, καὶ ἐπιμελεῖται τοῦ κατὰ νόμον πάντα γενέσθαι, καὶ μηδὲν παραλειφθῆναι πρὸς τὸ διδαχθῆναι τοὺς δικαστάς.

Ἐπιστάτης. Unus e Prytanibus, cui ſorte munus hoc obtigerat, vocabatur Ἐπιστάτης, [quaſi dicas, Præſes:] nec licebat eundem bis eſſe Epiſtatam. Cuſtodiebat autem claves templi, in quo pecunia publica repoſita erat: & præterea ſigillum publicum. Cum vero Prytanes Senatum aut populum cogebant, Epiſtata, ſive Præſes novem Proedros, e ſingulis tribubus ſingulos ſortiebatur; excepta illa tribu, quæ tunc Rempubl. adminiſtrabat, quæ πρυτανεύουσα dicebatur. Et rurſus ex his novem unum Epiſtatam ſortiebatur, eique ſummam rerum committebat: ipſe vero lites in judicium introducebat, & curabat, ut ex legibus omnia fierent, neque quicquam prætermitteretur, quod ad Judices edocendos faceret.

Ἐπιστάτης. δύο ἦσαν Ἀθήνησιν· ὧν ὁ μὲν ἐκ Πρυτανέων ἐκληροῦτο· ὁ δὲ ἐκ τῶν Προέδρων. ἐλέγετο δὲ καὶ ὁ ἐν τοῖς κοινοῖς ἐφεστηκὼς πράγματι ᾡτινιοῦν.

Ἐπιστάτης. καὶ ἐπὶ τοῦ εἰδήμονος.

Ὡς ἰσχνολέσχης τῶν γραφῶν ἐπιστάτης.

Πισίδης φησίν.

Ἐπιστάτης.[5] χαλκοῦς τρίπους χυτρόποδος ἐκπληρῶν χρείαν. οἱ δὲ, πήλινος Ἥφαιστος, πρὸς ταῖς ἑ-

Ἐπιστάτης. Epiſtates. Præſes. Duo erant Epiſtatæ, quorum alter ex Prytanibus, alter vero ex Proedris ſorte legebatur. Dicebatur vero Ἐπιστάτης & ille, qui negotio alicui Reip. præfectus erat.

Ἐπιστάτης. Significat etiam ſcientem & peritum. *Ut ſubtilis cauſarum patronus.* Piſides inquit.

Ἐπιστάτης. Æreus tripus chytropodis vicem præſtans. Alii vero ſic vocari tradunt

---

[1] Ἐπίσταθμος. Ἰσοκρ.] Ex Harpocratione.

[2] Ἐπιστάτης. ὁ τοῦ λόχου ὀπ.] Cum hoc loco conferendus eſt Ælianus in *Tacticis* cap. v. qui eadem iiſdem pene verbis tradit.

[3] Λόχου] Scribe λοχαγοῦ, ut recte legitur apud Ælianum loco laudato.

[4] Ἐπιστάτης. Τῶν Πρυτ.] Confer Harpocrationem h. v. Euſtathium ad Odyſſ. Ρ. pag. 1827. & Petitum *de Leg. Att.* pag. 189. 190.

[5] Ἐπιστάτης. χαλκοῦς τρίπους χυτρ.] Ex Scholiaſta Ariſtoph. ad *Aves* pag. 562. Confer etiam Euſtath. ad Odyſſ. Ρ. pag. 1827. qui eadem αὐτολεξεὶ pene habet.

σίαις ἱδρυμένος, ὡς ἔφορος τοῦ πυρός. ἔνιοι δὲ ξύλον ἐπίμηκες πεπασσαλωμένον, ὅθεν ἐξαρτῶσι τὰ μαγειρικὰ σκεύη. Καλλίστρατος δὲ τὸ τῇ ἐσχάρᾳ ἐπιτιθέμενον ξύλον. οἱ [1] πυριστάτην πλαττόμενόν τινα ξύλινον ἐν ταῖς ἐσχάραις, ὡς παρὰ ταῖς καμίνοις τὸν Ἥφαιστον ἀναπλάττουσιν. ἢ ξύλον κόρακας ἔχον, ἐξ οὗ κρεμῶσι τὰ μαγειρικὰ ἐργαλεῖα. οἱ δὲ τρίποδα χαλκοῦν, ᾧ ἐπιτιθέασι τὸν λέβητα, καὶ ὑποκαίουσιν. οἱ δὲ, ἀνδριάντα πήλινον πρὸς ταῖς ἐσχάραις. [2] Ἀριστοφάνης Ὄρνισι· Τὴν πανοπλίαν λαβόντε κρεμάσατον τύχῃ ἀγαθῇ εἰς τὸν ἰπνὸν εἴσω πλησίον τοὐπιστάτου.

[4] Ἐσκήνησαν. ἀντὶ τοῦ ᾤκησαν. κεκλ.] Scholiaſta Ariſtophanis ad *Acharnenſ.* pag. 374. Ἐσκηνημένοι. κέκλιται τὸ ῥῆμα ἀπὸ τῆς πρώτης τῶν περισπωμένων. εἰ γὰρ ἦν ἀπὸ τῆς τρίτης, ἦν ἂν διὰ τοῦ ω, ὡς κεχρυσωμένοι. Huc Suidas reſpexiſſe videtur.

[5] Ἐσκιμάλισεν. τῷ μέσῳ δακτύλῳ συναρμ.] Ex Scholiaſta Ariſtophanis ad *Pacem* pag. 662. (453. Ed. Baſ. *P.*) Confer etiam Noſtrum infra v. Σκιμαλίσω.

[6] Ἐσκιοτροφημένα] Magis uſitatum eſt, ἐσκιατροφημένα.

[7] Ἀριστοφάνης] Fragmentum hoc Ariſtophanis, de cujus ſenſu nihil certi ſtatui poteſt, fruſtra quis quærat in fabulis ejus hodie adhuc exſtantibus. Pro σκυτάλων autem forte legendum eſt σκυβάλων. Nam τὸ σκυτάλων primam longam habet, quam proinde metrum reſpuit.

[8] Ἐς κόρακας. Βοιωτοῖς Ἄρνην π.] Hæc, & quæ ſequuntur uſque ad ἁμαρτάνοντας ἔπεμπον, ad verbum fere etiam leguntur apud Zenobium, & Enarratorem Comici ad *Nubes* pag. 131.

Ἐς κόρακας, καὶ σαυτόν τε πρός. τουτέστιν, ἀπόφερε τὸ πρᾶγμα, καὶ σαυτόν.

Ἐσκοροδίσας.[1] κλαῦσαι ἐποίησας. ἀπὸ τῶν τὰ σκόροδα τριβόντων. ἢ ἀηδίσας. ἐπίκρανας. ἢ ἐδριμύξας.

Ἐσκοροδισμένος.[2] σκόροδα φαγών. ἀπὸ τῶν ἀλεκτρυόνων. ὅτε γὰρ ἐς μάχην συμβάλλωσιν αὐτοὺς, σκόροδα διδόασιν αὐτοῖς, ἵνα δριμύτεροι ὦσιν ἐς τὴν μάχην.

Ἐσκοροδισμένοις. Ἀριστοφάνης·

Οὐ [3] μὴ πρόσει τούτοισιν ἐσκοροδισμένοις.

ἀντὶ τοῦ, οὐ [4] καταβαλεῖς σφοδροῖς οὖσι καὶ πικροῖς γενομένοις, μετειληφόσι τῶν σκορόδων· ἀπὸ μεταφορᾶς τῶν ἀλεκτρυόνων.

Ἐσκουποδίαι.[5] κατὰ Ῥωμαίους, στρατιωτικὰ ἐφόδια.

Ἐς [6] Κυνόσαργες. οἱονεὶ [7] Κυνόσαργες· ἀπὸ τοῦ, θυσίας πλησίον γενομένης εἰσελθόντα κύνα καὶ ἁρπάσαντα κρέας τοῦ θύματος ἀγαγεῖν ἐκεῖσε· ἐν ᾧ καὶ ναὸς ἐκτίσθη· καὶ οἱ νόθοι ἐνταῦθα ἐκρίνοντο, εἰ τοῦδε ὄντως γέγονεν υἱός. ἐκάλουν δὲ Ἀθηναῖοι καὶ τοὺς ἀπελευθέρους νόθους. εἰς τὸ Κυνόσαργες σαφέστερον κεῖται.

Ἐς [8] Μασσαλίαν πλεύσειας. ἐπὶ τῶν θηλυτέρως καὶ μαλακῶς ζώντων. οἱ γὰρ Μασσαλιῶται θηλύτερον ἔζων, στολαῖς ποικίλαις καὶ ποδήρεσι καὶ μύροις χρώμενοι.

Ἐσμός. πλῆθος. ὄχλος. κυρίως τῶν μελισσῶν. παρὰ τὸ ἅμα πετομένας ἵεσθαι.

Ἕσο. ἐνδέδυσο. [9] σημαίνει δὲ καὶ τὸ, ὕπαρχε.

los relegarunt. Alii vero [proverbium hoc inde ortum eſſe dicunt,] quod corvus ſit animal impudens, & mali ominis inter homines habeatur. Ariſtoteles vero dicit, cum peſtilentia aliquando graſſante multi corvi apparuiſſent, homines eos captos luſtraſſe, vivoſque dimiſiſſe, & peſtilentiæ poſtea dixiſſe: *Fuge ad corvos.* Æſopus autem fingit, graculum majorem, qui ſe corvis parem putaret, ad illos iviſſe: ſed victum ad graculos rediiſſe. Illos vero indignatos eum ferire cœpiſſe, dicentes, *Fuge ad corvos.* Ariſtides vero ait, corvos in aſperis & præruptis locis nidificare ſolere; unde ortum ſit proverbium: *Fuge ad corvos. Ad corvos* igitur ſignificat, in malam rem, in perniciem.

Ἐς κόρακας, καὶ σ. Una cum re iſta & ipſe ad corvos abi.

Ἐσκοροδίσας. Flere feciſti. Tranſlatio ducta eſt ab illis, qui terunt allia. Vel, moleſtia me affeciſti. Exacerbaſti. Vel, exaſperaſti.

Ἐσκοροδισμένος. Qui allia comedit. [Tranſlatio ducta eſt] a gallis gallinaceis. Illis enim, cum committuntur, allia edenda dantur, ut ad pugnam ſint acriores.

Ἐσκοροδισμένοις. Illis, qui allia comederunt. Ariſtophanes: *Ne accedas ad hos, allium redolentes.* Id eſt, ne accedas ad hos, qui exacerbati ſunt; haud ſecus ac ſi allium comediſſent. Tranſlatio ducta eſt a gallis gallinaceis.

Ἐσκουποδίαι. Sic Romanorum lingua vocantur commeatus militum.

Ἐς Κυνόσαργες. Ad Cynoſarges. Dictum quaſi Κυνόσαρκες: ab eo, quod, cum ſacrificium prope fieret, canis ingreſſus carnem victimæ raptam in locum illum intuliſſet: in quo etiam templum conditum eſt. Ibidem etiam de nothis judicium habebatur, [& inquirebatur,] an hic revera hujus eſſet filius. Athenienſes autem & libertos vocabant nothos.

Ἐς Μασσαλίαν πλεύσειας. Maſſiliam naviges. Dicitur de iis, qui effœminate & molliter vivunt. Maſſilienſes enim effœminate vivebant, veſtibus pictis, & talaribus, & unguentis utentes.

Ἐσμός. Multitudo. Turba. Proprie, examen apum: [ſic dictum,] quod ſimul volantes eant.

Ἕσο. Indue. Induaris. Significat etiam, Eſto.

---

[1] Ἐσκοροδίσας. κλαῦσαι ἐποίησας. ἀπὸ τ.] Ex Scholiaſta Ariſtophanis ad *Equit.* pag. 345.

[2] Ἐσκοροδισμένος. σκόροδα φ.] Et hæc ſumpta ſunt ex Scholiaſta Ariſtophanis ad *Equit.* pag. 317. (217. Ed. Baſ. *P.*) Photius in Lexico inedito: Ἐσκοροδισμένος. παρωξυμμένος ὑπὸ τῶν σκορόδων. μεταφορὰ δὲ ἀπὸ τῶν ἀλεκτρυόνων, τῶν διὰ τὴν νόσον χριομένων σκόροδα. Eadem habet Etymologus.

[3] Οὐ μὴ πρόσει τούτοισιν ἐσκ.] Senarius hic legitur apud Ariſtophanem *Acharnenſ.* pag. 379. (268. Ed. Baſ. *P.*) Vide ibi Scholiaſtam, cujus verba Suidas hic more ſolito deſcripſit.

[4] Οὐ καταβαλεῖς] Hæ duæ voces nullum hic ſenſum habent, quippe quæ ἀκρίτως repetitæ ſunt ex verſu illo, qui proxime apud Ariſtophanem loco laudato præcedit,

Οὐ καταβαλεῖτε τὰ σκόροδ', ὦ μοχθηροὶ σύ;

Quare, vel penitus eas dele, vel loco earum ſcribe, οὐ πρόσει, i. e. ne accede.

[5] Ἐσκουποδίαι] In Gloſſis Baſilicorum legitur, Στουπένδια: quæ vox pari modo ibi exponitur, στρατιωτικὰ ἐφόδια. Videtur autem utrumque vocabulum detortum eſſe ex voce Latina *ſtipendium.*

[6] Ἐς Κυνόσαργες] Confer Noſtrum infra v. Εἰς Κυνόσαργες, & v. Κυνόσαργες.

[7] Κυνόσαργες] Recte Portus monuit, legendum eſſe Κυνόσαρκες. Senſus enim hujus loci eſt, τὸ Κυνόσαργες dictum eſſe quaſi Κυνόσαρκες, a κύων, & σάρξ: quod canis carnem victimæ aliunde raptam in locum illum intuliſſet.

[8] Ἐς Μασσαλίαν πλ.] Egregie huc faciunt ea, quæ habet Athenæus lib. XII. pag. 523. Μασσαλιῶται δ' ἐθηλύνθησαν, οἱ τὴν αὐτὴν Ἴβηρσι τῆς ἐσθῆτος φοροῦντες κόσμον. ἀσχημονοῦσι γοῦν διὰ τὴν ἐν ταῖς ψυχαῖς μαλακίαν, διὰ τρυφὴν γυναικοπαθοῦντες. ὅθεν καὶ παροιμία περιῆλθεν, Πλεύσειας εἰς Μασσαλίαν. Confer etiam Noſtrum ſupra v. Ἐκ Μασσαλίας.

[9] Σημαίνει δὲ καὶ τὸ, ὕπ.] Sed tunc ſcribendum eſt ἴσο, cum ſpiritu tenui.

Ἐς ὅ. ἀντὶ τοῦ, μέχρι τούτου. ἕως οὗ. Ἐπολιόρκει τὴν πόλιν, ἐς ὃ ἐξεῖλεν αὐτήν.

Ἔσοπτρον. τὸ κάτοπτρον.

Ἐς ὅτι. ἀντὶ τοῦ λίαν. Ξυνεστήσατο φάλαγγας ἐς ὅτι μάλιστα καρτεράς.

Ἐς ὅτι μάλιστα. ἀντὶ τοῦ λίαν. Καλάμους ἐς ὅτι μάλιστα στεῤῥοὺς καὶ παχίστους.

Ἐς ὀψιγόνους. τοὺς μετὰ ταῦτα.

Ἔσω. τοπικόν.

Ἔσω ἄνθρωπος. κατὰ[1] τὸν Ἀπόστολον, ἡ ψυχή. Ἔξω ἄνθρωπος, τὸ σῶμα. ἔσθ' ὅτε γὰρ ἀπὸ μέρους τὸ σύμπαν ἡμῖν δηλοῦται ζῶον· ὡς ἐν τῷ, Ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα. καὶ κατὰ Μωσέα προσδιαλεγόμενον τοῖς ἐξ Ἰσραήλ· Ἐν ό καὶ έ ψυχαῖς κατέβησαν οἱ πατέρες σου εἰς Αἴγυπτον.

Ἔσωθεν. τοπικόν.

Ἐσώθην. ἀπὸ τοῦ σώω, σώσω. σέσωκα. σέσωμαι. ἐσώθην. τὸ δὲ σέσωσμαι, ἀπὸ τοῦ σώζω. τὸ δὲ σώζω, ἔχει τὸ σ. καὶ πᾶσα κλίσις, ἔχουσα τὸ ζ· οἷον σώζομαι, ἐσωζόμην, καὶ τὰ ὅμοια.

Ἐσωκράτουν.[2] ἀντὶ τοῦ ἐκόμων. ἐῤῥύπων. ἐπείνων.

Ἐσωμαλοποίει. ἔπλαττε. Πολύβιος· Ὡσανεὶ καὶ τὸ αὐτόματον καὶ τύχη τις ἐσωμαλοποίει τὰς τοῦ Σκιπίωνος πράξεις, ὥστ' ἐπιφανεστέρας ἀεὶ καὶ μείζονας φαίνεσθαι τῆς προσδοκίας.

Ἐσωμάσκει. συνεκρότει. ηὐτρέπιζεν. ὤδινεν. ἡτοίμαζεν. Ὁ δὲ πολλοὺς δεκάζων τῶν Ἰσαύρων, τὰ κατὰ τὸν πόλεμον ἐσωμάσκει.

Ἐσπάθα.[3] κατανήλισκε, καὶ κατήσθιε. διὰ τοῦτο οὐκ ἀργὸς ἦν. σπαθᾷν δὲ, τὸ ἀφειδῶς ἀναλίσκειν, καὶ παρὰ τοῖς ῥήτορσιν εἴρηται. οἰκείως δὲ νῦν τῇ λέξει ἐχρήσατο. καὶ γὰρ ἐπὶ τῶν ὑφαινομένων ἱματίων λέγομεν σπαθᾷν, τὸ ἄγαν κρούειν τὴν κρόκην· ὥστε προσκαθίζειν, καὶ πολλὴν μὲν ἀναλίσκειν κρόκην· ἰσχυροτέραν δὲ ἀπεργάζεσθαι τὴν ὑφήν. δύναται οὖν τὸ σπαθᾷν ἐπ' ἀμφοτέρων νοεῖσθαι. ὅτι δὲ νῦν ἐπὶ τοῦ πολλὰ δαπανᾷν παρείληπται, δῆλον ἐκ τοῦ ἐπιφερομένου·

Ἐγὼ[4] δ' ἂν αὐτῇ θοἰμάτιον δεικνὺς τοδὶ,
Πρόφασιν, ἔφασκον· Ὦ γύναι, λίαν σπαθᾷς.

Ἐσπαθᾶτο.[5] Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου, ἀντὶ τοῦ ἀπώλλυτο. παρὰ τὴν σπάθην. ἢ τὸ ἐῤῥίπτετο, ἢ διεκόπτετο. ἢ ἀντὶ τοῦ συνετίθετο. ἀπὸ τῆς τῶν ὑφαντῶν σπάθης, ἥτις συντίθησι τὰ ὑφαινόμενα.

Ἐσπαθημένος. πεπυκνωμένος. ἀπὸ τῶν κατακρουουσῶν σπαθῶν τὴν κρόκην.

Ἐσπάραττεν. ἠρέθιζεν.[6] Ἰώσηπος· Μετεώρους ὄν-

Ἐς ὅ. Donec. *Urbem obſedit, donec eam expugnaret.*

Ἔσοπτρον. Speculum.

Ἐς ὅτι. Valde. *Phalanges quam maxime firmas conſtituit.*

Ἐς ὅτι μάλιστα. Quam maxime. *Calamos quam maxime firmos & craſſiſſimos.*

Ἐς ὀψιγόνους. Ad poſteros.

Ἔσω. Adverbium loci. Intus. Intra.

Ἔσω ἄνθρωπος. Internus homo. Secundum Apoſtolum eſt ipſa anima. Externus homo, corpus. Interdum enim a parte totum animal a nobis indicatur: ut in illo loco: *Effundam de ſpiritu meo ſuper omnem carnem.* Item ſecundum Moſem, qui populum Iſraeliticum alloquens dicit: *Cum* LXXV. *animabus patres tui in Ægyptum deſcenderunt.*

Ἔσωθεν. Adverbium loci. Intus. Intrinſecus.

Ἐσώθην. Servatus ſum. A σώω, σώσω, σέσωκα, σέσωμαι, ἐσώθην. At σέσωσμαι, eſt a σώζω. Τὸ σώζω vero habet σ: & omne tempus, quod cum ζ conjugatur: ut σώζομαι, ἐσωζόμην, & ſimilia.

Ἐσωκράτουν. [Socratico more vivebant. Id eſt,] Comam alebant. Eſuriebant. Squalebant.

Ἐσωμαλοποίει. [Corpus nitidum & pingue reddebat.] Speciem alicujus rei augebat. Polybius: *Caſus & fortuna res geſtas Scipionis ita augebat, ut ſemper illuſtriores & expectatione majores viderentur.*

Ἐσωμάσκει. Conflabat. Adornabat. Inſtruebat. Parturiebat. Præparabat. *Ille vero multos Iſauros muneribus corrumpens, res ad bellum neceſſarias parabat.*

Ἐσπάθα. Conſumebat, & devorabat. Non enim erat otioſa. Σπαθᾷν autem, pro prodige aliquid conſumere, etiam apud Oratores dictum eſt. Nunc autem [Ariſtophanes] hac voce apte uſus eſt. Etenim de veſtibus, quæ texuntur, dicimus σπαθᾷν: i. e. valde pulſare tramam, ut eam condenſantes, magnam ejus vim conſumamus, & ſic telam firmiorem reddamus. Poteſt igitur τὸ σπαθᾷν utroque modo accipi. Quod vero nunc ſignificet multa conſumere, patet ex eo, quod ſubjicitur: *Ego vero ei pallium hoc prætextus nomine oſtendens, dicebam: O fœmina, nimium texis.*

Ἐσπαθᾶτο. Demoſthenes in oratione contra Æſchinem [hac voce uſus eſt] pro ἀπώλλυτο, i. e. perdebatur, vel peribat. A σπάθη, gladius. Vel [ſignificat] disjicebatur, diſcindebatur. Vel, componebatur. A ſpatha textorum, quæ telam componit & denſat.

Ἐσπαθημένος. Denſatus. Dictum eſt a ſpathis textoriis, quæ tramam pulſant, [pulſuque ſuo denſant.]

Ἐσπάραττεν. Irritabat. Joſephus: *Illos fu-*

---

[1] Κατὰ τὸν Ἀπόστολον] D. Paulum, II *Corinth.* IV. 16.

[2] Ἐσωκράτουν. ἀντὶ τοῦ, ἐκόμων. ἐῤῥ.] Ariſtophanes *Avibus* pag. 601. (416. Ed. Baſ. P.)

Ἐλακωνομάνουν πάντες ἄνθρωποι τότε,
Ἐκόμων, ἐπείνων, ἐῤῥύπων, ἐσωκράτουν.

Hinc Suidas locum hunc conſarcinavit.

[3] Ἐσπάθα. κατανήλισκε, καὶ κατήσθιε. διὰ τ.] Ex Scholiaſta Ariſtoph. ad *Nubes* pag. 126. (62. Ed. Baſ. *P.*)

[4] Ἐγὼ δ' ἂν αὐτῇ θοιμ.] Hi duo ſenarii leguntur apud Ariſtophanem loco eo, quem in nota præcedente indicavimus.

[5] Ἐσπαθᾶτο. Δημοσθένης ἐν τῷ κατ' Αἰσχ.] Ex Harpocratione.

[6] Ἰώσηπος] *De Bello Jud.* lib. III. pag. 824.

τας ἐπὶ τῷ μέλλοντι πολέμῳ, ἐσπάραττε.

Ἐσπαρμένη παράταξις. ὅταν εἰς ὄγκους πλείονας διαλύηται [1] τῶν πραγμάτων.

Ἔσπασας. ἔπιες, εἵλκυσας.

Ἀρκεσίλαε,[2] τί μοι τόσον ἄκρητον ἀφειδῶς
Ἔσπασας, ὥστε φρενῶν ἐκτὸς ὤλισθες ἐών·

Ἔσπαιρεν. ἐκινεῖτο.

Ἑσπερινός. ὁ τῆς ἑσπέρας.

Ἑσπερῖτις λίμνη. ἡ πρὸς δύσιν οὖσα.

Ἕσπερον. κέλευθον ἑσπέριον. ἐπὶ δυσμὰς ὁδόν.

Ἕσπερος. [3] Παρμενίδης πρῶτος πεφώρακε, τὸν αὐτὸν Ἕσπερον εἶναι καὶ Φωσφόρον. οἱ δὲ, Πυθαγόραν.

Ἕσπερος,[4] ὃς κάλλιστος. νῦν τὸν Ἕσπερον λέγει κάλλιστον. [5] ἐν ἄλλῳ δὲ, τὸν Ἑωσφόρον φαάντατον.

Ἔσπετε. εἴπατε.

Ἐσπεικώς. τεθυκώς.

Ἐσπείσατο. διηλλάγη. καὶ ἔσπεισεν. ἔθυσεν.

Ἐσπεῖσθαι. σπονδὰς πεποιῆσθαι. Ἂν τινα δ᾽ ἄρα αἰτίαν ἐπὶ ταῖς σπονδαῖς ἔχῃ, πρὸς τὸ μὴ αὐτὸς ἐσπεῖσθαι δοκεῖν.

Ἐσπόδει,[6] κ᾽ ἀπέτριβεν. κονιορτοῦ ἐπλήρου. συνέτριβεν.

Ἑσπόμενος. ἐπακολουθῶν.

Ἐσπούδαζον· ἐσεμνολογοῦντο. ἐπεμελοῦντο. Πολύβιος· [7] Ἐσπούδαζον γὰρ τὰς ἀκολουθίας καὶ τὰς ἐσθῆτας διαφερόντως, καί τις ἦν περὶ τοὺς πλείστους καλλωπισμὸς, ὑπερέχων τὴν ἐκ τοῦ βίου χορηγίαν. ὅπλων δὲ ἠμέλουν.

Ἐς [8] πῦρ ξαίνεις. ἐπὶ τῶν ἀδυνάτων.

Ἐσταθευμέναις.[9] ἐξ ἐπιπολῆς ὀπτηθείσαις. σταθεύειν γὰρ, τὸ μὴ λίαν ὀπτῆσαι. ἢ χλιανθείσαις πυρί.

-- Ὥσπερ εἴ τις σηπίαις
Πώγωνα περιδήσειεν ἐσταθευμέναις.

Ἐστάθμησεν. ἐμέτρησεν.

Ἔσταλκεν. ἐμείωσεν.

Ἐσταλμένοι. ἐσκευασμένοι. Νεανίαι [10] χωρητικῶς ἐσταλμένοι. καὶ αὖθις· [11] Πάντας δὲ ὡς ἁβρότατά τε καὶ ἅμα ἐς ἔκπληξιν κατὰ πλοῦτον, τῷ γε δὴ πλοῦτον θαυμάζοντι, ἐσταλμένους.

turi belli metu suspensos irritabat.

Ἐσπαρμένη παράταξις. Acies dispersa. Id est, ea, quæ in plures manipulos dissolvitur.

Ἔσπασας. Bibisti. Hausisti. *Arcesilae, quare tantum meri tam largiter hausisti, ut in dementiam incideris?*

Ἔσπαιρεν. Movebatur. Palpitabat.

Ἑσπερινός. Vespertinus. Occidentalis.

Ἑσπερῖτις λίμνη. Palus ad occidentem sita.

Ἕσπερον. Vesperum. Et κέλευθον ἑσπ. Viam ad Occidentem.

Ἕσπερος. Vesper. Parmenides primus deprehendit, eundem esse Vesperum, & Luciferum. Alii vero Pythagoram [primum id observasse tradunt.]

Ἕσπερος. *Vesper, qui pulcherrimus* [*est inter stellas.*] Nunc Vesperum vocat pulcherrimum. Alibi vero Luciferum lucidissimum [appellat.]

Ἔσπετε. Dicite.

Ἐσπεικώς. Qui libavit. Qui mactavit, aut immolavit.

Ἐσπείσατο. Fœdus & amicitiam pepigit. Et ἔσπεισεν, libavit, immolavit.

Ἐσπεῖσθαι. Fœdus fecisse. *Si quam forte habeat causam, quare ipse non videatur fœdus fecisse.*

Ἐσπόδει κ᾽ ἀπ. Pulvere me perfundebat, & conterebat.

Ἑσπόμενος. Sequens.

Ἐσπούδαζον. Studebant. Curabant. Polybius: *Comitatus enim & vestium insignem curam gerebant, & in plerisque corporis cultus patrimonii vires superabat. Arma vero negligebant.*

Ἐς πῦρ ξαίνεις. Ignem diverberas. De rebus, quæ fieri nequeunt.

Ἐσταθευμέναις. In superficie assatis. Σταθεύειν enim significat, leviter tantum assare. Vel, igne calefactis. [Aristophanes:] *Quemadmodum si quis sepiis leviter assatis barbam alliget.*

Ἐστάθμησεν. Mensus est. [Ponderavit.]

Ἔσταλκεν. Minuit. Contraxit.

Ἐσταλμένοι. Instructi. Ornati. Vestiti. *Adolescentes rusticorum more vestiti.* Et iterum: *Omnes autem & molliter admodum, & simul ad admirationem usque eorum, qui splendorem admirantur, magnifice vestitos.*

---

[1] Τῶν πραγμάτων] Sic habent libri tam MSti, quam editi: sed male. Scribendum enim est ταγμάτων. Vide Arcerium in notis ad Æliani *Tact* cap. XLVIII.

[2] Ἀρκεσίλαε, τί μοι τόσον ἄκρ.] Distichum hoc est pars Epigrammatis in Arcesilaum, quod integrum exstat apud Laertium in *Arcesilao* circa finem. Ibi autem versus prior, qui apud Suidam claudicat, sic legitur:

Ἀρκεσίλαε, τί μοι, τί τοσοῦτον ἄκρητον ἀφειδῶς.

At ego malim:

Ἀρκεσίλαε, τί μοι τόσον οἶνον ἄκρητον ἀφειδῶς, &c.

[3] Παρμενίδης πρῶτος πεφώρακε, τὸν αὐτὸν Ἑσπ.] Hæc sunt verba Laertii in *Parmenide*, pag 562. ut Pearsonius etiam monuit.

[4] Ἕσπερος, ὃς κάλλιστος] Homerus Il. X. v. 318.

Ἕσπερος, ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστήρ.

Ad hunc locum Suidas respexit: ut Pearsonius quoque observaverat.

[5] Ἐν ἄλλῳ δὲ, τὸν Φωσφόρον φαάντατον] Odyss. N. v. 93. ubi Poeta inquit:

Εὖτ᾽ ἀστὴρ ὑπερέσχε φαάντατος, ὅς τε μάλιστα
Ἔρχεται, ἀγγέλλων φάος Ἠοῦς ἠριγενείης.

[6] Ἐσπόδει, κ᾽ ἀπέτρ.] Aristophanes *Nubibus* pag. 199. (124. Ed. Bas. *P.*)

Κᾄπειτ᾽ ἔφλα με, κᾀσπόδει, κᾄπνιγε, κᾀπέτριβε.

Ad hunc locum Comici Suidas respexit.

[7] Ἐσπούδαζον γὰρ τὰς ἀκολ.] Confer Nostrum infra v. Ὑπερέχων, & v. Χόρδιον.

[8] Ἐς πῦρ ξ.] Vide infra v. Εἰς πῦρ ξαίνεις.

[9] Ἐσταθευμέναις. ἐξ ἐπιπολῆς ὀπτ.] Ex Scholiasta Aristophanis ad *Ecclesiaz.* pag. 728. (488. Ed. Bas. *P.*)

[10] Χωρητικῶς] Vel scribe, χωριτικῶς, per ι; a χωρίτης, rusticus: vel, quod Portus suggerebat, χωρικῶς.

[11] Πάντας δὲ ὡς ἁβρότατά τε καὶ ἅμ.] Fragmentum hoc legitur etiam supra v. Ἁβρός.

Ἐς τάχος γράφει.[1] οὕτω λέγεται Ἀττικῶς καὶ ἐς κάλλος γράφει καὶ ἐς τάχος παίει. ἀλλ' οὐ καλλιγραφεῖ.

Ἔσται. [2] τετραχῶς λέγεται τούτῳ Ὅμηρος· Ἔσσεται, ἐσσεῖται, ἔσται.

Ἔστε. ἀντὶ τοῦ, ἕως οὗ. Οἱ δὲ τῆς Ἀσίας ἦρχον, ἔστε ὑπὸ τῶν Μακεδόνων τὴν ἀρχὴν ἀφῃρέθησαν.

Ἔστε. μέχρις οὗ. Ἀππιανός· [3] Ἐλίθουν αὐτήν, ἔς τε τιτρωσκομένη κατεχώσθη.

Ἐστερήθην. ἐζημιώθην.

Ἐς τέφραν γράφεις. ἐπὶ τῶν μάτην πονούντων.

Ἐστεφάνουν.[4] οἱ Ἀθηναῖοι τοὺς εὐαγγελιζομένους καὶ τοὺς συνηγορεύοντας αὐτοῖς στεφάνοις ἐτίμων.

Ἔστειλα. ἀπέστειλα.

Ἑστήκει. ἀντὶ τοῦ ἵσταται.

Ἐστηλιτευμένους. ἀναγεγραμμένους.

Ἔστιν. ὑπάρχει.

Ἑστία. δίαιτα. οἴκησις. βωμός. χυτρόπους. ἐσχάρα. [5] Γυναῖκα πλάττουσι τὴν γῆν, τύμπανον βαστάζουσαν· ἐπειδὴ τοὺς ἀνέμους ἡ γῆ ὑφ' ἑαυτὴν συγκλείει.

Ἑστιάδες.[6] ἱέρειαι· ἃς [7] Ἑλένη ἡ μήτηρ τοῦ μεγάλου Κωνσταντίνου μετὰ τὸ ἀνευρεῖν τὰ ἅγια καὶ τίμια ξύλα, καὶ ναὸν ἀνεγείρασα ἐν τῷ τάφῳ τοῦ Κυρίου, τὰς παρθένους ἐν τοῖς εὐκτηρίοις ἀναγράψασα σηκοῖς, σιτήσεις τε αὐταῖς ἐκ τοῦ δημοσίου ἐπιχορηγεῖσθαι παρεκελεύσατο. ταῦτα διαπραξαμένη, καὶ ὀγδοήκοντά που βιώσασα χρόνους, τὸν βίον μεταλλάττει. ὁ δὲ υἱὸς αὐτῆς ἐν τοῖς κατὰ τὴν Ῥώμην βασιλείοις τὸ σῶμα αὐτῆς ἐκήδευσεν. Συνέσιος· Οὐδὲν ἂν φαίην ἀπόρρητόν τι κρύπτειν αὐτούς, ὥσπερ τὰς Ἑστιάδας τὸ πῦρ.

Ἑστίᾳ[8] θύομεν. ἐφ' ὧν οὐκ ἀποφέρονται ἀπὸ τῆς θυσίας.

Ἑστιᾶν. αἰτιατικῇ. τρέφειν. καὶ ἑστιᾶσθαι. τρέφεσθαι. εὐωχεῖσθαι. οὐχὶ δὲ τὸ παρά τινι ἔλεγον. [9] δοτικῇ δὲ συντάσσεται τὸ ἑστιῶ. Ἀριστοφάνης· Τοῖς κόραξιν ἑστιῶν.

Ἐς τάχος γράφει. Sic Attice dicitur, [pro ταχυγραφεῖ.] Notis ſcribit. Item, ἐς κάλλος γράφει: non, καλλιγραφεῖ. Eleganter ſcribit. Et ἐς τάχος παίει, celeriter ferit.

Ἔσται. Erit. Homerus tribus modis vocem hanc effert: Ἔσσεται, ἐσσεῖται, & ἔσται.

Ἔστε. Donec. *Illi vero Aſiæ imperarunt, donec a Macedonibus imperium eis adimeretur.*

Ἔστε. Donec. Appianus: *Ipſam autem lapidibus petierunt, donec vulnerata obrueretur.*

Ἐστερήθην. Privatus ſum. Mulctatus ſum.

Ἐς τέφραν γράφεις. In cinere ſcribis. Dicitur de iis, qui fruſtra laborant.

Ἐστεφάνουν. Coronabant. Athenienſes illos, qui lætum nuncium afferrent, vel cauſam ipſorum defenderent, coronis honorabant.

Ἔστειλα. Miſi.

Ἑστήκει. Pro ἵσταται. Stat.

Ἐστηλιτευμένους. In columna ſcripti. Infamia notati.

Ἔστιν. Eſt. Exiſtit.

Ἑστία. Veſta. Domicilium. Habitatio. Ara. Olla pedibus inſtructa. Focus. Tellurem fingunt mulierem, tympanum geſtantem: quia Terra ventos intra ſe concludit.

Ἑστιάδες. Virgines ſacræ, quas Helena Conſtantini M. mater, poſt inventa ſancta & pretioſa [Crucis] ligna, temploque ad ſepulcrum Domini exſtructo, numero earum adſcripſit, quæ in ſacellis oratoriis precibus vacarent; victumque iis e publico ſuppeditari juſſit. His peractis, cum LXXX. circiter annos vixiſſet, vitam cum morte commutavit: cujus corpus filius Romæ in palatio Regio ſepulturæ mandavit. Syneſius: *Non dixerim, eos aliquid arcani celare, ſicut Veſtales ignem.*

Ἑστίᾳ θύομεν. Veſtæ ſacrificamus. [Dicitur de illis, qui nemini quicquam impertiuntur.] De ſacrificiis enim Veſtæ nemini licebat quicquam [domum] ſecum auferre.

Ἑστιᾶν. Accuſativo jungitur. Alere. Convivio excipere. Et ἑστιᾶσθαι. Ali. Convivio excipi. Non dicebant autem [ἑστιᾶσθαι] παρά τινι. Item dativo jungitur. Ariſtophanes: *Corvos paſcens.*

---

[1] Ἐς τάχος γράφει. οὕτω λέγ.] Ἀττ.] Hæc nota referenda eſt ad locum illum Ariſtophanis *Acharnenſ.* pag. 403.

Ἐς τάχος παίει, ξυνάπτων στρογγύλοις τοῖς ῥήμασι.

Scholiaſta: Ἐς τάχος παίει. παίειν λέγουσι τὸ πᾶν ὁτιοῦν συντόμως (lege, συντόνως) ποιεῖν. τὸ δὲ, ἐς τάχος, ἀπὸ μεταφορᾶς τῶν ἐν τοῖς διδασκαλείοις παίδων, ἐφ' ὧν οὕτως ἐλέγετο· Ἐς τάχος· ἐς κάλλος.

[2] Τετραχῶς] Imo, τριχῶς: ut vel ex ſequentibus patet.

[3] Ἐλίθουν] Infra v. Λιθάζω, ubi fragmentum hoc repetitur, ſcribitur ἐλίθαζον: uti etiam hic apud Suidam ſcribendum eſt. Τὸ λιθοῦν enim apud Græcos ſcriptores non ſignificat, lapidibus obruere, vel lapidare; ſed in lapidem vertere: ut vel ex Lexicis vulgatis notum eſt.

[4] Ἐστεφάνουν. οἱ Ἀθηναῖοι τοὺς εὐαγγ.] Nota hæc referenda eſt ad locum illum Ariſtophanis *Equit.* pag. 327.

Εἶτ' ἐστεφάνουν μ' εὐαγγέλια, κἀγὼ ἔφρασα.

Scholiaſta: Ἐστεφάνουν μ' εὐαγγέλια. τοὺς γὰρ εὐαγγελιζομένους τι ἀγαθὸν, στεφάνοις ἐτίμων. Huc egregie facit locus ille Sophoclis *Trachin.* pag. 337.

Εὐφημίαν νῦν ἴσχ', ἐπεὶ καταστεφῆ
Στείχονθ' ὁρῶ τιν' ἄνδρα πρὸς χαρὰν λόγων.

Id eſt: *Linguis nunc fave, quoniam coronatum aliquem accedere video, læta nunciaturum.* Scholiaſta ad eum locum: Πρὸς χαρὰν λόγων. Πρὸς ἡδονήν, πρὸς χάριν, εὐαγγελοῦντα λόγον ἡδονὴν διδόντα. ἐκ τοῦ στεφάνου δὲ στοχάζεται, ὅτι μέλλει χρηστὰ εὐαγγελίζεσθαι.

[5] Γυναῖκα πλάττουσι τὴν γῆν, τύμπ.] Codinus *de Orig. CPolit.* pag. 15. Τὴν γῆν λέγουσιν Ἑστίαν, καὶ πλάττουσιν αὐτὴν γυναῖκα, τύμπανον βαστάζουσαν· ἐπειδὴ τοὺς ἀνέμους ἡ γῆ ὑφ' ἑαυτὴν συγκλείει. Sic etiam apud Suidam ſcribendum eſt. Quod ni fiat, locus hic nihil faciet ad v. Ἑστία.

[6] Ἑστιάδες. ἱέρειαι· ἃς Ἑλένη, ἡ μήτηρ τοῦ μ.] Hæc, & quæ ſequuntur, deprompta ſunt ex ſcriptore aliquo hiſtoriæ Eccleſiaſticæ, qui hodie intercidit.

[7] Ἃς Ἑλένη ἡ μήτηρ τοῦ μ.] Lector facile animadvertet, conſtructionem hujus loci eſſe ἀνακόλουθον: quamvis ſenſus ſit clarus.

[8] Ἑστίᾳ θύομεν] Senſus loci hujus eſt mutilus; qui ſic ſuppleri poteſt: Ἑστίᾳ θύομεν. ἐπὶ τῶν μηδενὶ μεταδιδόντων τινός· παρόσον οὐκ ἀποφέρεταί τι ἀπὸ τῆς θυσίας, ἢ τῇ Ἑστίᾳ τελεῖται. Confer Noſtrum infra, v. Ἱστίον.

[9] Δοτικῇ δὲ συντάσσεται τὸ ἑστιῶ. Ἀρισ.] Fallitur hic Suidas. Dativus enim κόραξι apud Ariſtophanem *Theſmophor.* pag. 818. (533. Ed. Baſ. P.) non regitur a verbo ἑστιῶν, ſed a præcedenti. γέλωτα παρέχων. Locus enim Comici ſic ſe habet:

Ἵνα μὴ κορυβαντῇς καὶ μίτραις γέρων ἀνὴρ
Γέλωτα παρέχων τοῖς κόραξιν ἑστιῶν.

Subintelligendus hic autem eſt accuſativus αὐτούς, qui referatur ad ἑστιῶν.

Ἑστιατορεῖον.[1] τὸ τραπέζιον.

Ἑστιατορία. ἑστίασις.

Ἑστιατόρεια.[2] Ἦν δὲ ἑστιατόρεια πολλὰ καὶ καταλύσεις.

Ἑστιάτωρ. ὁ εἰς εὐφροσύνην καὶ εὐωχίαν καλῶν. Δαιτυμόνες δὲ, οἱ ἀριστηταὶ, οἱ εὐωχούμενοι.

Ἑστιαιεύς.[3] ὄνομα κύριον. καὶ Ἑστιαῖος, ὄνομα κύριον.

Ἐς τί ἔτι; μέχρι τίνος.

Ἑστιεῖς. ὄνομα ἔθνους.

Ἐστιμμίσατο. τοὺς ὀφθαλμοὺς αὐτῆς ἐκαλλωπίσατο.

Ἐστίν. ὑπάρχει. Ὁ[4] λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός.

Ἔστιξαν. τῷ μετώπῳ ἐπέγραψαν.

Ἑστιώμενος. τρώγων.

Ἑστιῶν. ἀριστοποιῶν. Ὁ δὲ ἑστιᾷ τὸν ἄνδρα ἡμερῶν ϛʹ ἐς πανθοινίαν.

Ἔστι[5] τις δίκης ὀφθαλμὸς, ἧς μηδέποτε καταφρονεῖν ἀνθρώπους ὑπάρχοντας.

Ἐστομώθη. ἀντὶ τοῦ, ἠνοίχθη. Οἱ δὲ ὤρυττον, καὶ ταχέως τὸ χῶμα ἐστομώθη.

Ἐστόρεσεν. ἔστρωσεν. [6] Οἱ ἄνεμοι παραχρῆμα ἐκόπασαν, καὶ τὸ κῦμα ἐστορέσθη· πνεῦμα δὲ κεκειμένον κατὰ πρύμναν ἐπέρρει, καὶ τὰ ἱστία ἐπλήρου.

Ἐστορέσθη. ἐστρώθη. ὡμαλίσθη.

Ἔστω. ὑπαρχέτω.

Ἐστωμυλάμην.[7] ἀντὶ τοῦ ἐφλυάρησα. περισσόν τι τοῦ δέοντος ἐλάλησα. ἢ, πανούργως ἐφθεγξάμην. Ἀριστοφάνης·

—— Συγγνώμην ἔχε,
Εἰ πτωχὸς ὢν, εἶπόν τι, κἀστωμυλάμην.

Ἐστρατήγησε[8] μετ' Ἐρασινάδου. ἐπὶ τῶν δυστυχῶν. ἐκ τῶν περὶ Ἀργινούσας στρατηγησάντων δυστυχῶς. ἀπέθανον δὲ δημοσίᾳ, οὗτός τε, καὶ οἱ ὑπομείναντες, Θράσυλλος, Περικλῆς, καὶ[9] οἱ λοιποί. ἐγένετο δέ τι καὶ περισσότερον τῷ Ἐρασινάδῃ, τὸ καὶ κλοπῆς κατηγορηθῆναι τῶν περὶ Ἑλλήσποντον χρημάτων.

Ἐστρέβλου. ἐκάκου. ἠνάγκαζε. Τοῦτον οὖν πλευρῖτις νόσος περιλαβοῦσα, ἐστρέβλου δεινῶς.

Ἔστυγεν. ἐστύγνασεν. ἀπὸ τῆς τοῦ προσώπου στυγνότητος. Ὅμηρος·

—— Καλὰ δ' ἔστυγε, μῦθον ἀκούσας.

Ἑστιατορεῖον. Mensa. [Triclinium. Cœnaculũ.]

Ἑστιατορία. Epulatio. Epulum. Convivium.

Ἑστιατόρεια. Loca, in quibus convivia celebrantur. *Erant ibi autem multa loca, in quibus convivari ſolebant homines; itemque multa diverſoria.*

Ἑστιάτωρ. Qui convivio aliquos excipit. Qui ad convivium & epulas invitat. Δαιτυμόνες vero ſunt ipſi convivæ invitati.

Ἑστιαιεύς. Nomen proprium. Et Ἑστιαῖος Itidem nomen proprium.

Ἐς τί ἔτι. Quo uſque?

Ἑστιεῖς. Heſtienſes. Nomen gentis.

Ἐστιμμίσατο. Oculos ſtibio fucavit.

Ἔστιν. Eſt. *Oculus eſt corporis lucerna.*

Ἔστιξαν. Frontem punctis vel literis notarunt.

Ἑστιώμενος. Edens. Comedens. Epulans.

Ἑστιῶν. Prandium vel cœnam alicui præbens. Convivio excipiens. *Ille autem per ſex dies virum illum publico convivio excepit.*

Ἔστι τις δίκης ὀφθ. *Eſt quidam oculus juſtitiæ, qui ab hominibus minime ſpernendus eſt.*

Ἐστομώθη. Apertum eſt. *Illi vero terram fodiebant, & agger celeriter aperiri cœpit.*

Ἐστόρεσεν. Idem quod ἔστρωσεν. Stravit. *Ventis confeſtim ceſſantibus, fluctus ſtrati ſunt, & aura a puppi ſpirans vela implevit.*

Ἐστορέσθη. Stratus eſt. Æquatus eſt.

Ἔστω. Eſto.

Ἐστωμυλάμην. Garrivi. Futilia locutus ſum. In loquendo modum exceſſi. Vel, ſubdole locutus ſum. Ariſtophanes: *Ignoſce, quæſo, ſi mendicus temere quid & inepte locutus fuerim.*

Ἐστρατήγησε μετ' Ἐρασ. *Cum Eraſinade belli dux fuit.* Dicitur de hominibus miſeris & infelicibus: [proverbio ducto] a ducibus [Athenienſium,] qui ad Arginuſam rem infeliciter geſſerunt. Nam & hic, & Thraſyllus, & Pericles, & reliqui, publice ſupplicio capitali affecti fuerunt. Eraſinades vero etiam peculatus accuſatus fuit, ob pecuniam Helleſpontiacam ſurreptam.

Ἐστρέβλου. Torquebat. Vexabat. Cruciabat. Cogebat. *Hunc igitur dolor lateris graviter cruciabat.*

Ἔστυγεν. Triſtitia affectus eſt. [Proprie dicitur] de triſtitia vultus. Homerus: *Triſtitia affectus eſt, oratione hac audita.*

---

[1] Ἑστιατορεῖον] Confer Dufrenium in Gloſſario Græco v. Ἑστιατόρειον.

[2] Ἑστιατόρεια] Confer Heſychium v. Ἡβητήρεια, & Noſtrum infra v. Ἡβητήρειον.

[3] Ἑστιαιεύς] De eo multa apud Herodotum.

[4] Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθ.] Matth. VI. 22.

[5] Ἔστι τις δίκης ὀφθ.] Fragmentum hoc legitur apud Polybium in Excerptis a Valeſio editis, pag. 117. idemque exſtat ſupra v. Δίκης ὀφθαλμός.

[6] Οἱ ἄνεμοι παραχρῆμα ἐκ.] Fragmentum hoc eſſe Æliani diſcimus ex ipſo Suida infra v. Σκληροί.

[7] Ἐστωμυλάμην. ἀντὶ τοῦ ἐφλ.] Ex Scholiaſta Ariſtophanis ad *Acharnenſ.* pag. 398. (285. Ed. Baſ. *P.*)

[8] Ἐστρατήγησε μετ' Ἐρασινάδου. ἐπὶ τ.] Totum hunc articulum deſcripſit Suidas ex Scholiaſta Ariſtophanis ad *Ranas*, pag. 268. ubi tamen pro Ἐρασινάδου rectius legitur Ἐρασινίδου. Nam & Xenophon ducem hunc Ἐρασινίδην appellat; quem omnino confer lib. I. Ἑλληνικῶν.

[9] Καὶ οἱ λοιποί] Nomina eorum recenſet modo laudatus Xenophon *Hellenic.* lib. I. pag. 442.

Ἐστυκώς. [1] Οὐδὲν μέγα φρονεῖ ἐστυκὼς ἀνήρ.

Ἐς ὕδωρ γράφειν. ἐπὶ τῶν μάτην πονούντων.

Ἐσφαλκέναι. [2] Ὥστε καὶ τὸν ἴδιον οἶκον ἐσφαλκέναι τὸ καθ' αὑτὸν, διὰ τὴν πρὸς τοῦτο τὸ μέρος ὁρμὴν καὶ προστασίαν.

Ἐσφήκωντο. [3] καὶ ἐσφηκῶσθαι. δεδέσθαι, καὶ ἐσφήκωτο. ἐδέδετο.

Ἔσφηλε. κατέβαλεν. Ἄλλον δὲ οὐχ ὥσπερ Κράσσον τε καὶ τοὺς ξὺν ἐκείνῳ ἔσφηλεν. ἀντὶ τοῦ, σφαλῆναι ἐποίησεν.

Ἐσχάρα. [4] ἐσχάραν φησὶ καλεῖσθαι Λυκοῦργος καὶ Ἀμμώνιος τὴν μὴ ἔχουσαν ὕψος, ἀλλ' ἐπὶ γῆς ἱδρυμένην· ἢ κοίλην. παρ' ὃ καὶ τοὺς ἰατροὺς τὰ ἐν σώματι κοῖλα ἕλκη ἐσχάρας καλεῖν.

Ἐσχάρα. μαγειρικὸν ἐργαλεῖον. ἐν [5] Ἐπιγράμματι·

Ἠθμόν τε πουλύτρητον, ἠδὲ τετράπουν
Πυρὸς γέφυραν, ἐσχάρην κρεοδόκον.

Ἐσχάραι. [6] τὰ χείλη τοῦ γυναικείου αἰδοίου.

Ἐσχάραι πυρός. ἐπὶ ἐδάφους ἀνθρακιαί.

Ἐσχαρέου πυρός. τοῦ ἐπὶ τῆς ἐσχάρας.

[7] Ἤριπεν ἐσχαρέου λάβρον ἐπ' ἆσθμα πυρός.

Ἐσχαρίτην. [8] ψωμίον ἀπὸ κλιβάνου.

Ἔσχατα ἐσχάτων κακὰ διαπέπρακται. ὁμοία ἐστὶ τῇ, Δεινότερα Δεινίου· καὶ, Κύντερα Κύντωνος. ἡ παροιμία ἐπὶ τῶν ἄκρως κακῶν.

Ἔσχατα κακά. τὰ μεγάλα. Παθεῖν τὰ ἔσχατα κακὰ ἐκ τῶν ὁμοφύλων, ἢ ἀνδράσιν ἀπίστοις σφᾶς ἐπιτρέψαι. καὶ αὖθις· Ὁ δὲ οὐ παύεται πολιορκίᾳ τὴν πόλιν ἐς τὸ ἔσχατον ὑπάγων κινδύνου. καὶ αὖθις· Λιπαροῦντος οἰκτρῶς καὶ ξὺν ἱκεσίᾳ, μὴ τὰ ἔσχατα αὐτὸν περιϊδεῖν παθόντα. ἀντὶ τοῦ τέλεια, μεγάλα.

Ἐσχάτη ἀδικία. ἄκρα τε, καὶ τελεία.

Ἐσχάτη ἀμαθία. Τὸ δέ ἐστι τῆς ἐσχάτης ἀμαθίας. ὑπὲρ οὗ πολλὰ λέγειν ἔχων, νῦν ἀφίημι.

Ἐσχατιά. [9] τὰ πρὸς τοῖς τέρμασι τῶν χωρίων ἐσχατιὰς ἔλεγον· οἷς γειτνιᾷ εἴτε ὄρος, εἴτε θάλασσα. καὶ [10] εὐτέλεια λέγεται ἐσχατιά. καὶ αὖθις· [11] Ὁ Διο-

Ἐστυκώς. [Proprie, cui penis eſt inflatus. In libidinem veneream pronus.] *Vir in libidinem veneream pronus nihil præclari ſpirat.*

Ἐς ὕδωρ γράφειν. In aqua ſcribere. De iis dicitur, qui fruſtra laborant.

Ἐσφαλκέναι. Dejeciſſe. Labefactaſſe. Evertiſſe. *Adeo ut & domum ſuam, quantum in ipſo fuit, labefactaverit, propter ſuam hac in parte cupiditatem & inſaniam.*

Ἐσφήκωντο. Ligati, vel ſtricti fuerunt. Et ἐσφηκῶσθαι. Strictum, ligatum, vinctum fuiſſe. Et ἐσφήκωτο. Ligatus, vel vinctus fuit.

Ἔσφηλε. Dejecit. Proſtravit. *Alium vero non ſicut Craſſum, ejuſque comites, clade affecit.*

Ἐσχάρα. Focus. Ara. Lycurgus & Ammonius ἐσχάραν dicunt appellari aram, non quæ ſit excelſa, ſed humi ſita: vel cava. Quamobrem etiam Medicos ulcera cava ἐσχάρας vocare.

Ἐσχάρα. Inſtrumentum coquinarium. Craticula. In Epigrammate: *Columque multa foramina habens, & quadrupedem ignis pontem, craticulam ſcilicet, cui carnes imponuntur.*

Ἐσχάραι. Labra pudendi muliebris.

Ἐσχάραι πυρός. [Foci ignis.] Cumuli carbonum humi accenſorum.

Ἐσχαρέου πυρός. Ignis focarii. [In Epigrammate:] *Cecidit in denſum fumum ignis focarii.*

Ἐσχαρίτην. Panem in foco, vel furno coctũ.

Ἔσχατα ἐσχάτων κακὰ διαπ. *Extremorum malorum extrema acciderunt.* Proverbium hoc ſimile eſt illi, *Atrociano atrociora:* &, *Caninio impudentiora.* Dicitur de hominibus ſumme malis.

Ἔσχατα κακά. Mala extrema. Vel, maxima. [*Dicebat, ſe malle*] *extrema quæque mala a popularibus ſuis pati, quam perfidis hominibus ſe dedere.* Et iterum: *Ille vero urbem in extremum periculum adducere non ceſſat.* Vel, ſumma, & perfecta. Et iterum: *Illo miſerabiliter & ſuppliciter orante, ne ſe extrema paſſum deſpiceret.*

Ἐσχάτη ἀδικία. Extrema injuſtitia. Vel, ſumma & perfecta.

Ἐσχάτη ἀμαθία. Extrema imperitia. *Hoc autem eſt extremæ imperitiæ: de quo quamvis multa dicere jam poſſim, id tamen facere ſuperſedeo.*

Ἐσχατιά. Fines prædiorum, vel locorum, quibus conterminus erat vel mons, vel mare, ἐσχατιὰς vocabant. Item, ἐσχατιὰ, quævis exκλητιανὸς λόγον ποιούμενος τῶν πραγμάτων, ᾠήθη δεῖν καὶ δυνάμεσιν ἀρκούσαις ἑκάστην ἐσχατιὰν ὀχυρῶσαι, καὶ φρούρια ποιῆσαι.

---

[1] Οὐδὲν μέγα φρ.] Infra v. Οὐδὲν φρονεῖ, proverbium hoc rectius ſic legitur:

Οὐδὲν φρονεῖ δίκαιον ἐστυκὼς ἀνήρ.

[2] Ὥστε καὶ τὸν ἴδιον οἶκον ἐσφαλκ.] Hæc ſunt verba Polybii in Excerptis a Valeſio editis, pag. 21. unde ea Suidas excerpſit. Vide etiam infra v. Προστασία, ubi idem fragmentum legitur.

[3] Ἐσφήκωντο] Homerus Il. P. v. 52.

Πλοχμοί θ', οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο.

Scholiaſta: Ἐσφήκωντο. ἐσφιγμένοι ἦσαν. ἐδέδεντο. ὅθεν καὶ σφήκωμα εἴρηται. Confer etiam Etymologum v. Ἐσφηκωμένον: qui ibi fragmentum aliquod Sophoclis citat; quod ex fabula ejus, Αἰθίοπες inſcripta, depromptum eſſe, docuit me Photius in Lexico inedito: qui v. Ἐσφηκωμένον, eundem locum Sophoclis adducit.

[4] Ἐσχάραν φησὶ καλεῖσθαι Λυκ.] Ex Harpocratione; apud quem ſic legitur: Ἐσχάρα. Λυκοῦργος ἐν τῷ περὶ Ἱερείας. Ἀμμώνιος ἐν τοῖς περὶ Βωμῶν, ἐσχάραν φησὶ καλεῖσθαι τὴν μὴ ἔχουσαν ὕψος ὡς ἑστίαν, ἀλλ' ἐπὶ τῆς γῆς ἱδρυμένην, &c. Confer etiam Ammonium, vel, ſecundum alios, Erennium Philonem, v. Βωμός: & Berkelium ad Stephanum v. Βωμοί.

[5] Ἐν Ἐπιγράμματι] Anthol. lib. VI. cap. XVII. ut Portus quoque monuit.

[6] Ἐσχάραι. τὰ χείλη τοῦ γυναικείου αἰδ.] Ex Scholiaſta Ariſtophanis ad *Equit.* pag. 359. (254. Ed. Baſ. *P.*)

[7] Ἤριπεν ἐσχαρέου λάβρ.] Pentameter hic eſt pars Epigrammatis, quod integrum legitur Anthol. lib. III. cap. XXIV. ut Portus etiam obſervaverat.

[8] Ψωμίον] Id eſt, panem, ſecundum Græcos recentiores. Nam & hodie in lingua Græco-barbara panis dicitur ψωμί.

[9] Ἐσχατιά. τὰ πρὸς τοῖς τέρμασι τῶν χωρ.] Ex Harpocratione.

[10] Καὶ εὐτέλεια] Peſſime. Scribendum enim eſt, τὰ πλουταῖα.

[11] Ὁ Διοκλητιανὸς λόγον π.] Vide de hoc loco Valeſium ad Ammianum Marc. pag. 256.

Ἐσχατιάν. ἔσχατον τόπον γῆς. ἢ τὰ νομὰς ἔχοντα χωρία· ὡς καὶ Ἀριστοτέλης ἐν τῷ η΄ τῆς πολιτείας. ὅτι τὰ ἀθροίσματος σημαντικὰ, καὶ [1] οὐσίας, πάντα ὀξύνεται· ἀχυρμιὰ, φυλλιὰ, πυρκαϊὰ, ἀνθρακιὰ, ἐσχατιά. οὕτω καὶ τρασιά. ἔστι δὲ τόπος, ὅπου ἐστὶ πλῆθος σύκων ξηραινομένων, ἢ τυρῶν, ἢ ὁτουδήποτε. καὶ [2] τὸ αἱμασιὰ οὕτως ἔχει ἀπὸ τοῦ συμβεβηκότος τὸ ὄνομα. [3] τὸ ἐξουσία, οὐσία, οὐκ ἀντίκειται ἐπὶ πράγματος.

tremitas. *Diocletianus, Reip. rationem habens, & idoneo copiarum numero limites Imperii tutandos, & caſtella exſtruenda eſſe ſtatuit.*

Ἐσχατιάν. Extremum terræ vel agri locum. Vel, loca, quæ paſcua habent: ut apud Ariſtotelem libro VIII. *de Republica.* † Nomina quæ accumulationem & copiam ſignificant, omnia acutum habent in ultima: ut ἀχυρμιά, φυλλιά, πυρκαϊά, ἀνθρακιά, ἐσχατιά. Sic etiam τρασιά: quod ſignificat locum, in quo eſt copia ficuum, quæ ſiccantur; vel caſeorum, vel cujuſcunque rei. Sic etiam ſeſe habet αἱμασιά, i. e. ſepes, ab accidente ita appellata. Huic vero regulæ non obſtant voces ἐξουσία, & οὐσία: [quippe quæ non ſignificant copiam, vel accumulationem.]

Ἔσχατος Μυσῶν πλεῖ. Ἕλλησι λοιμῷ κρατουμένοις ὁ Θεὸς ἔχρησεν, ἐπὶ τὸν ἔσχατον Μυσῶν πλεῖν. οἱ δὲ τὸ μὲν πρῶτον ἠπόρουν. αὖθις δὲ τὴν Αἰολίδα παρὰ τοῖς ἐσχάτοις τῆς Μυσίας εὗρον. ἔνιοι τὴν παροιμίαν τοῦ χρησμοῦ λέγουσι Τηλέφῳ μαντευομένῳ γεγονέναι περὶ γονέων, ἐπὶ τίνας τόπους ἐλθὼν, εὕροι τοὺς γονεῖς. τὸν δὲ Θεὸν προστάξαι, πλεῖν ἐπὶ τὸν ἔσχατον Μυσῶν. ἀφικόμενον δ᾽ εἰς Τευθρανίαν, νέμεσθαι δὲ ταῦτα τὰ χωρία Μυσοὺς, ἐπιτυχεῖν τῇ μητρὶ αὐτοῦ. τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν δυσχερῆ ἐπιτασσομένων. [4] Ἔσχατος δὲ, παρὰ τὴν σχέσιν καὶ κώλυσιν, ὁ τελευταῖος. καὶ ὕστατος, ὅτι ἐπ᾽ αὐτόν ἐστιν ἡ στάσις, καὶ οὐκέτι προβῆναι δύναται, ἀλλ᾽ ὕστερος εἱστήκει, τοῦ πρώτου μὴ ἐῶντος. καὶ τὸ πύματος, ἀπὸ τοῦ πεπαῦσθαι· καὶ τέρμιον, τὸ ἔσχατον, ἀπὸ τοῦ τέρματος ὅ ἐστι, τέλους.

Ἔσχατος Μυσῶν πλεῖ. *Myſorum ultimus navigat.* Græcos peſtilentia laborantes Deus reddito oraculo ad Myſorum extremum navigare juſſit. Illi vero primum quidem [de ſenſu oraculi hujus] ambigentes, poſtea Æolidem in extremis Myſiæ finibus invenerunt. Alii ajunt oraculum hoc, quod in proverbium poſtea abiit, redditum eſſe Telepho, Deum conſulenti, quo loco parentes reperturus eſſet. Illi enim Deum præcepiſſe, ut ad extremum Myſorum navigaret. In Teuthraniam igitur profectus (quæ loca Myſos inhabitaſſe ferunt) matrem ſuam inveniſſe traditur. Dicitur proverbium hoc de iis, quibus dura & difficilia imperantur. Ἔσχατος vero dictus eſt a σχέσις & κώλυσις. Ὕστατος vero dicitur ultimus, quod ad eum ſubſiſtatur: vel, quod ulterius progredi non poſſit, ſed ultimus ſtet, primo non ſinente eum progredi.] Nomen πύματος vero deductum eſt a πεπαῦσθαι, i. e. ceſſare: & τέρμιον, i. e. extremum, a τέρμα, finis.

Ἐσχατόωσαν. κειμένην ἐσχάτην.

Ἐσχατόωσαν. In extremo loco ſitam. Extremam.

Ἐσχάτως. ἄκρως. Μένανδρος· Φοβοῦμαί σε ἐσχάτως.

Ἐσχάτως. Summe. Maxime. Menander: *Te ſupra modum metuo.*

Ἔσχε. κατέπαυσε. Θουκυδίδης· Αἱ γὰρ τριήρεις πλεύσασαι εἰς Αἴγυπτον, ἔσχον κατὰ τὸ Μενδήσιον κέρας. καὶ Αἰλιανός· Οὐ γὰρ ἔσχον ἀνήνασθαι τὸ πρόσταγμα. ἀντὶ τοῦ, ἠδυνήθησαν.

Ἔσχε. Tenuit. Retinuit. Sedavit. [Appulit.] Thucydides. *Triremes enim in Ægyptum navigantes, ad Mendeſium* [*Nili*] *oſtium appulerunt.* Et Ælianus: *Non potuerunt enim imperata recuſare.*

Ἐσχεδίαζον. ἡτοίμαζον. ἢ ἐκ τοῦ παρατυχόντος ἔλεγον. [5] Ἰώσηππος· Τοῖς δὲ τὸν πόλεμον ἐξάψασιν, ἐσχεδιάζοντο πρὸς ἡδονήν. καὶ Πολύβιος· Ἁπλῶς δὲ πάντα κατὰ τὸ συνεχὲς, ἐκ τῆς ἀρχῆς ἄχρι τέλους ἐσχεδιάσθαι καὶ διημαρτῆσθαι.

Ἐσχεδίαζον. Parabant. Vel, ex tempore dicebant. Joſephus: *Belli autem incentoribus, quæ illis placerent, ex tempore fingebantur.* Et Polybius: *Prorſus autem omnia perpetua ſerie ab initio ad finem uſque negligenter dicta, & perperam facta fuiſſe* [*dicebat.*]

Ἔσχετο. ἐπεσχέθη.

Ἔσχετο. Retentus, aut impeditus fuit.

Ἐσχηματισμένος. ὁ προσποιητὸν τρόπον ἔχων, καὶ δοκῶν εἶναι κόσμιος· ὡς παρὰ Λυσίᾳ ἐν τῷ πρὸς Τίμωνα· Οἱ δ᾽ ἀλαζονεύονται μὲν Τίμωνι παραπλησίως, καὶ ἐσχηματισμένοι περιέρχονται, ὥσπερ οὗτος.

Ἐσχηματισμένος. Simulatus. Fictus. Qui ſimulatos mores habet, & modeſtus eſſe videtur; ut apud Lyſiam in oratione contra Timonem: *Illi vero, haud ſecus ac Timon, ſeſe jactant, & ſimulatis moribus circumeunt, ut ille.*

---

[1] Οὐσίας] Sic habent omnes Editt. Sed male. Scribendum enim eſt περιουσίας. Agitur namque hic de nominibus copiam vel abundantiam ſignificantibus: qualia ſunt ἀχυρμιά, ἀνθρακιά, & ſimilia.

[2] Καὶ τὸ αἱμασιὰ οὕτως ἔχει ἀπὸ τ.] Scribe & diſtingue: Καὶ τὸ αἱμασιὰ οὕτως. ἔχει δὲ ἀπὸ τοῦ συμβ.

[3] Τὸ ἐξουσία, οὐσία, οὐκ ἀντ. Confer Etymologum v. Θυσία. Non video tamen, quid hæc ad rem faciant.

[4] Ἔσχατος δὲ, παρὰ τὴν σ.] Hæc, & quæ ſequuntur, αὐτολεξεὶ etiam leguntur apud Etymologum.

[5] Ἰώσηππος] De Bello Jud. lib. II. in fine: ſed ubi pro ἐσχεδιάζοντο (cujus vocis gratia fragmentum hoc in Collectanea ſua retulit Suidas) hodie rectius legitur ἐσχετλιάζοντο, ut ex ſerie ſenſus apud Joſephum patet. Vetus tamen interpres Joſephi, qui vulgo Rufinus fuiſſe putatur, olim etiam legit ἐσχεδιάζοντο, ut ex verſione ejus, quam hic retinui, apparet.

'Εσχολάρχησε. σχολῆς ἦρξεν. ἐδίδαξεν.

'Επάζω. αἰτιατικῇ.

Ἔται. [1] οἱ πολῖται. Πηοὶ δὲ, οἱ κατ' ἐπιγαμίαν συγγενεῖς.

'Εταινίωσε. περιείλησε. συνέσφιγξεν. Ὁ δὲ κατεταινίωσε τὸ τραῦμα τῇ ζώνῃ.

'Εταίρα. φίλη. πόρνη. Ὅτι [2] Σκιπίων ἑταίρας καὶ θύτας καὶ μάντεις ἐξήλαυνε τοῦ στρατοπέδου, οἷς διὰ τὰς δυσπραξίας οἱ στρατιῶται περιδεεῖς γεγονότες, ἐχρῶντο.

'Εταῖραι Κορίνθιαι· Λαῒς, Κυρήνη, Λέαινα, Σινώπη, Πυῤῥίνη, [3] Σκιώνη, Ῥοδῶπις Θρᾳκικὴ, σύνδουλος Αἰσώπου τοῦ λογοποιοῦ· ἥτις ἐλευθερωθεῖσα, κατέμεινεν ἐν Αἰγύπτῳ. Φησὶ δὲ [4] Ἀριστοφάνης ἐν Πλούτῳ·

Καὶ τάς γ' ἑταίρας φασὶ τὰς Κορινθίας,
Ὅταν μὲν αὐτάς τις πένης πειρῶν τύχῃ,
Οὐδὲ προσέχειν τὸν νοῦν· ἐὰν δὲ πλούσιος,
Τὸν πρωκτὸν αὐτὰς εὐθὺς εἰς τοῦτον τρέπειν.

'Εταῖροι. ὁ Πλάτων, καὶ οἱ ἄλλοι φιλόσοφοι, τοὺς γνησίους ἐραστὰς τῶν λόγων ἑταίρους ἐκάλουν· οὓς ἐμιμεῖτο Ἰουλιανὸς, ἑταίρους πάντας καλῶν ἐν ταῖς συνουσίαις, οὐκ ἀπαυθαδιζόμενος τῇ βασιλείᾳ.

'Εταιρεία. ἡ συνήθης ὁμόνοια, καὶ φιλία. Βάβριος·

Θέντο [5] μετ' ἀλλήλοισιν ἑταιρείην μύε δοιὼ,
Οὐ καθομὰ ζῶντες· ὁ μὲν κατὰ νειὸν ἐρήμην
Ἐτρέφετ'· ὃς δὲ δόμοισιν ἐν ἀφνειῶν τρέφετ' ἀνδρῶν.

'Εταιρεία καὶ τὸ τάγμα. καὶ ἑταιρειάρχης, ὁ τῆς ἑταιρείας ἄρχων.

'Εταιρεῖος. ὁ Ζεὺς παρὰ Κρησί. σημαίνει δὲ καὶ τὸν φίλον.

'Εταιρεία. ἡ φιλία. [6] ἰδίως δὲ ἐπὶ τῆς ἑταιρήσεως τοὔνομα τέταχεν Ἀνδοκίδης.

'Εταιριζομένη. [7] ἐρεθιζομένη. προσκυνωμένη. ἑταιρίζω γὰρ, τὸ φίλον προσλαμβάνομαι.

'Εταιρισάμενος. συνεργήσας. καὶ ἑταιρήσας. πορνεύσας. καὶ ἑταιρήσεις, τὰς πορνείας.

'Εταιρίστριαι. αἱ καλούμεναι τριβάδες.

'Εταῖρος. ὁ ἴδιος.

'Εταιρῶ. ἐπὶ τῆς πόρνης.

'Εταιρῶν. [8] ἀνθινῶν. Νόμος [9] Ἀθήνησι, τὰς ἑταίρας ἄνθινα φορεῖν.

Ἔτεα. ἔτη παρ' Ὁμήρῳ.

'Εσχολάρχησε. Scholæ præfuit. In ſchola docuit.

'Επάζω. Accuſativo jungitur. Examino.

Ἔται. Cives. Populares. At πηοὶ, affines.

'Εταινίωσε. Circumligavit. Conſtrinxit. Obligavit. *Ille vero zona vulnus obligavit.*

'Εταίρα. Amica. Meretrix. *Scipio vero meretrices, haruſpices, & vates ex caſtris expulit, quibus milites, præliis adverſis ante territi, utebantur.*

'Εταῖραι Κορίνθιαι. Meretrices Corinthiæ: [quales ſunt,] Lais, Cyrene, Leæna, Sinope, Pyrrhine, Scione, Rhodopis Thracia, conſerva Æſopi, fabularum ſcriptoris: quæ manumiſſa, in Ægypto manſit. Ariſtophanes autem in *Pluto* dicit: *Ajunt etiam meretrices Corinthias, ſi quidem pauper uſuram corporis ab eis petat, nullam ejus rationem habere; ſin dives, illico podicem ad eum convertere.*

'Εταῖροι. Sodalis. Plato, cæterique Philoſophi, veros ſapientiæ amatores, ἑταίρους, i. e. ſodales, vocabant: quos imitatus eſt Julianus, in congreſſibus omnes vocans *Sodales*, nec ob faſtigium imperii ullum faſtum præ ſe ferens.

'Εταιρεία. Familiaritas & concordia ſodalium inter ſe. Amicitia. Babrius: *Inierunt inter ſe amicitiam mures duo, diverſis in locis degentes. Nam alter quidem vivebat in novali, ab hominibus remoto: alter vero in ædibus opulentorum hominum alebatur.* 'Εταιρεία etiam ſignificat ordinem quendam militarem: cujus dux appellatur ἑταιρειάρχης.

'Εταιρεῖος. Epithetum Jovis apud Cretenſes. Id eſt, Amicitiæ præſes. Significat etiam amicum.

'Εταιρεία. Sodalitas. Amicitia. Andocides vero peculiariter hoc nomen poſuit pro ἑταίρησις, i. e. ſcortatio.

'Εταιριζομένη. Sodalem deligens. Adſciſcens. 'Εταιρίζω enim ſignificat, ſodalem adſciſco.

'Εταιρισάμενος. Qui ſimul opus cum aliquo fecit. At ἑταιρήσας, qui ſcortatus eſt. Et ἑταιρήσεις, ſcortationes.

'Εταιρίστριαι. Meretrices. Sive eæ, quæ vocantur τριβάδες, i. e. frictrices.

'Εταῖρος. Sodalis. Socius.

'Εταιρῶ. Scortor. De meretrice [dicitur.]

'Εταιρῶν. Meretricum. Lex erat Athenis, quæ meretrices veſtes variorum colorum geſtare jubebat.

Ἔτεα. Anni. Apud Homerum pro ἔτη.

---

[1] Ἔται. οἱ πολῖται. Πηοὶ δὲ, οἱ κατ' ἐπιγ.] Locum hunc ex MSS. Pariſ. in integrum reſtitui, qui in prioribus Editt. ſic legitur: Ἔται. οἱ πολῖται. † Ἐπηοὶ δὲ, οἱ κατ' ἐπιγαμβρείαν συγγ. Peſſime omnino. Pro πηοὶ enim vitioſe ſcriptum eſt ἐπηοί: & deinde, quæ conjungenda erant, male disjuncta ſunt; uno articulo in duos dirempto. Confer Noſtrum infra v. Πηός.

[2] Ὅτι Σκιπίων ἑταίρας καὶ θύτας καὶ μ.] Fragmentum hoc Valeſius Polybii eſſe putat: in quo vir ſummus fallitur. Eſt enim Appiani in *Iberic.* pag. 517.

[3] Σκιώνη] Apud Ariſtophanem *Pluto* pag. 16. unde locum hunc excerpſit Suidas, legitur Σικυώνη: quod magis placet.

[4] Ἀριστοφάνης ἐν Πλούτῳ] Pag. 16. (8. Ed. Baſ. *P.*

[5] Θέντο μετ' ἀλλήλοισιν ἑτ.] Fabulam, ad quam fragmentum hoc referendum eſt, prolixe & eleganter deſcribit Horatius lib. 11. Sat. x.

[6] Ἰδίως δὲ ἐπὶ τῆς ἑταιρ.] Ex Harpocratione.

[7] Ἐρεθιζομένη. προσκυνωμένη] Sic habent libri tam manu ſcripti, quam excuſi: ſed mendoſe. Scribendum enim eſt, αἱρετιζομένη, προσκτωμένη: quam lectionem in verſione ſecutus ſum.

[8] Ἀνθινῶν] Hæc vox ut ſupervacanea delenda eſt. Non poteſt enim eſſe interpretatio vocis ἑταιρῶν.

[9] Νόμος Ἀθήν.] Vide nos infra ad v. Ζάλευκος.

Ἐτέθησαν. ὑπέκυψαν. ἐπείσθησαν. Οἱ δὲ τῇ τοῦ βασιλέως μᾶλλον καὶ τοῦ ἐπισκοποῦντος ἐτέθησαν βουλῇ.

Ἐτέκταινον. κατεσκεύαζον.

Ἐτέαρχος. ζήτει ἐν τῷ Βάττος.

Ἐτελέσθησαν. ἐμιάνθησαν. μετέσχον τῆς μιαρᾶς συνουσίας.

Ἐτέλεστο. ἐτέτακτο.

Ἐτεοβουτάδαι.[1] γένος [2] Ἀθηναίοις πολὺ καὶ λαμπρὸν, ἀπὸ Βούτου· ἀφ᾽ οὗ οἱ ἱερεῖς καθίσταντο Ἀθήνησιν. † Ὅτι οἱ Ἐτεοβουτάδαι ἀπόγονοι τοῦ Βούτου τοῦ ἱερέως. τὸ γὰρ ἐτεὸν ἀληθὲς δηλοῖ.

Ἐτεοκλῆς. ὄνομα κύριον. καὶ Ἐτεοκλείης.

Ἐτεόν. ἀληθῶς. [3] Ἐτεὸν ἡγῇ γὰρ Θεούς; ἀληθῶς πεπίστευκας εἶναι Θεούς;

Ἐτεόνικος. ὄνομα κύριον.

Ἐτεωνεύς. ὄνομα κύριον.

Ἑτεραλκέα. ἑτεροκλινῆ. Ἑτεραλκὴς νίκη, ὅταν οἱ ἡττηθέντες νικῶσι.

Ἑτερόγναθος. ἐπὶ ἵππου, ἀπειθὴς, ἢ ἄπληστος, καὶ [4] ἀμφοτέραις ταῖς γνάθοις ἐσθίων.

Ἑτερομάσχαλος [5] χιτών. ἣν ἐξωμίδα λέγουσιν.

Ἑτερομόλιος δίκη. εἰς ἣν ἀντίδικοι οὐκ ἦλθον.

Ἕτερον. Ὅμηρος·

Ὅς χ᾽ ἕτερον μὲν κεύθει ἐνὶ φρεσὶν, ἄλλο δὲ εἴπῃ.

ἐνταῦθα δοκεῖ συγκεχύσθαι τὸ δυϊκόν. ἔδει γὰρ ἕτερόν γε εἰπεῖν· ἑτέρου πρὸς ἕτερον ἀντιδιαστελλομένου. [6] τὸ γὰρ ἄλλος ἐπὶ πλειόνων τίθεται. πιθανεύονται δὲ, ὅτι ἐπὶ τῶν ὁμοειδῶν τὸ ἕτερον.

Ἕτερος. ἐπιμεριζόμενον. [7] τετραχῇ δὲ ἐπιμερίζονται· εἷς ἐκ δύο, ὡς ἕτερος τῶν ὀφθαλμῶν. δύο καθ᾽ ἕνα, ὡς ἑκάτερος. εἷς ἐκ πολλῶν, ὡς ἄλλος. πολλοὶ καθ᾽ ἕνα, ὡς ἕκαστος.

Ἑτερόστομος φάλαγξ καλεῖται, ἥτις πορεύεται, τὸ μὲν ἡγούμενον ἥμισυ ἔχουσα ἐν εὐωνύμῳ παραγωγῇ· τουτέστι, τοὺς ἡγεμόνας ἐξ εὐωνύμου· τοῦ δὲ ἡμίσεος τοὺς ἡγεμόνας ἐν δεξιᾷ παραγωγῇ.

Ἑτερόφθαλμος.[8] ὁ ἐν Λοκροῖς νομοθετήσας. Δη-

Ἐτέθησαν. Subjecti ſunt. Paruerunt. Obtemperarunt. *Illi vero Regis & Inſpectoris conſilio potius paruerunt.*

Ἐτέκταινον. Fabricabant. Conficiebant.

Ἐτέαρχος. Etearchus. Quære in voce Βάττος.

Ἐτελέσθησαν. Polluti fuerunt. Impuro coitu ſe contaminarunt.

Ἐτέλεστο. Statutum erat.

Ἐτεοβουτάδαι. Eteobutadæ. Athenis familia fuit ampla & illuſtris, a Bute [quodam ſic appellata:] ex qua Sacerdotes Athenis eligebantur. Eteobutadæ autem Butæ ſacerdotis [veri] poſteri erant. Ἐτεὸν enim verum ſignificat.

Ἐτεοκλῆς. Eteocles. Nomen proprium. Et Ἐτεοκλείης, Eteocleæ.

Ἐτεόν. Vere. Revera. *Vere igitur putas eſſe Deos?* Vel, an igitur revera credis eſſe Deos?

Ἐτεόνικος. Eteonicus. Nomen proprium.

Ἐτεωνεύς. Eteoneus. Nomen proprium.

Ἑτεραλκέα. In alteram partem inclinantem. Et ἑτεραλκὴς νίκη, victoria alternans: quum ſcilicet victi vincunt.

Ἑτερόγναθος. De equo dicitur. Contumax. Ore duro præditus. Vel, inſatiabilis, & qui mandibulis utriſque comedit.

Ἑτερομάσχαλος χιτών. Veſtis unam tantum manicam habens: quam etiam ἐξωμίδα vocant.

Ἑτερομόλιος δίκη. Judicium, ad quod alter adverſariorum tantum accedit.

Ἕτερον. Alterum. Aliud. Homerus: *Qui aliud quidem pectore occultum habet, aliud vero loquitur*. Hic duale videtur confundi. Oportebat enim ἕτερον dicere: quoniam ἕτερον opponitur ἑτέρῳ. Ἄλλος enim de pluribus dicitur. Probabiliter autem dicitur, τὸ ἕτερον dici de rebus, quæ ſunt ejuſdem ſpeciei.

Ἕτερος. Alter. Eſt vocabulum partitionem ſignificans. Partitio autem quadruplex eſt: Unus ex duobus; ut [cum dicimus,] *alter* oculorum. Duo ſingillatim, ut *uterque*. Unus ex multis, ut *alius*. Multi ſingillatim, ut *unuſquiſque*.

Ἑτερόστομος φάλ. Sic vocatur phalanx, quæ ita incedit, ut dimidiam partem ducum in ſiniſtro; alterius vero dimidiæ partis duces in dextro latere collocatos habeat.

Ἑτερόφθαλμος. Altero oculo privatus. Luμοθέτης ἐν τῷ κατὰ Τιμοκράτους.

---

[1] Ἐτεοβουτάδαι. γένος Ἀθην.] Hæc leguntur etiam apud Harpocrationem, ſed non eodem ordine.

[2] Ἀθηναίοις] Malim, Ἀθήναις.

[3] Ἐτεὸν ἡγῇ γὰρ Θεούς] Hæc ſunt verba Ariſtophanis *Equit.* pag. 290. ubi tamen pro ἡγῇ legitur ἡγεῖ: quod eſt Ἀττικώτερον.

[4] Ἀμφοτέραις ταῖς γνάθοις ἐσθ.] Sic etiam habet Photius in Lexico inedito; itemque Etymologus. Sed hæc interpretatio potius convenire videtur voci ἑκατερόγναθος.

[5] Ἑτερομάσχαλος χιτών. ἣν ἐξωμ.] Scholiaſta Ariſtophanis ad *Veſpas* pag. 460. Καὶ ἐξωμίδων. ἱμάτια δουλικὰ καὶ ἑτερομάσχαλα. Confer Noſtrum ſupra v. Ἐξωμίς.

[6] Τὸ γὰρ ἄλλος ἐπὶ πλειόνων τ.] Imo vox ἄλλος interdum etiam apud optimos auctores de duobus dicitur, & τῷ ἕτερος opponitur. Theocritus in *Thalyſ.* v. 36.

———Τάχ᾽ ἅτερος ἄλλον ὀνασεῖ.

Vide ad eum locum Caſaubonum. Homerus Il. I. v. 468. 469.

——— Ἕτερον μὲν ὑπ᾽ αἰθούσῃ εὐερκέος αὐλῆς·
Ἄλλο δ᾽ ἐνὶ προδόμῳ.

Hic ἄλλο jungitur cum ἕτερον, quamvis Poeta de duobus tantum ignibus loquatur. Contra τὸ ἕτερον interdum etiam de pluribus dicitur, & pro ἄλλο ponitur, ut expreſſe teſtatur vetus Enarrator Comici ad verba illa, quæ circa initium *Pacis* leguntur,

Ἑτέραν ἑτέρων δὸς παιδὸς ἡταιρηκότος.

Confer Nos etiam ſupra ad v. Ἄλλο.

[7] Τετραχῇ δὲ ἐπιμερίζονται. εἷς ἐκ δ.] Quæ hic Suidas habet, αὐτολεξεὶ etiam leguntur apud Etymologum v. Ἕκαστος. Cæterum, Portus locum hunc peſſime verterat, quod non intelligeret ſignificationem vocis ἐπιμεριζόμενον, & ἐπιμερίζεσθαι. Ἐπιμεριζόμενα autem apud Græcos dicuntur ea, quæ Grammatici Latini *partitiva* vulgo appellant: quorum quatuor eſſe ſpecies Suidas Lectorem hic docere vult. Vide verſionem noſtram, & omnia clara erunt.

[8] Ἑτερόφθαλμος. ὁ ἐν Λοκρ.] Ex Harpocratione. Per Locrenſium autem legiſlatorem hic intelligi Zaleucum, quis neſcit?

Ἑτερόχροιος. ὁ ἀλλοῖος κατὰ τὴν χροιάν.

Ἑτέρωθι. καὶ ἑτέρωθεν. καὶ ἑτέρωσε. εἰς ἕτερον μέρος. ἀλλαχόσε.

Ἑτεροῖος. ὁ ἄλλος.

Ἑτεροιουμένη. ἀλλοιουμένη.

Ἑτεροιῶ. τὸ μεταβάλλω.

Ἑτεροίως. ἀλλοίως.

Ἐτετρήχει.[1] ἐτετράχυτο.

Ἐτεχνίτευε.[2] μετὰ τέχνης καὶ δόλου ἠρεύνα. [3]Ἰώσηπος· Ἐτεχνίτευε μαθεῖν, τίνι τρόπῳ τοσοῦτον προέχει κατ' ἀρετήν.

Ἔτειον. ἐνιαύσιον. Ἐπέτειον δὲ, τὸ μὴ μόνιμον, ἀλλὰ πρὸς ἐνιαυτὸν ἀκμάζον. καὶ ἔτειος καρπὸς, καὶ καιρός.

Ἔτειρεν. κατεπόνησεν.

Ἐτειχήρευντο. τοῖς τείχεσι περιετειχίζοντο. περιεκλείοντο. Ἐντὸς δὲ τῆς τάφρου καὶ τοῦ ἐρύματος ἐτειχήρευντο.

Ἐτήρει. ἐταμίευε. Τοὺς δὲ νεωτέρους ἐτήρει τῷ θριάμβῳ.

Ἔτης. ὁ πολίτης. ἀπὸ τοῦ ἔθους. ὡς ξένος, ὁ ἔξω τῆς ἑνότητος ὤν. ἢ παρὰ τὸ ἔξω εἶναι.

Ἐτησίαι.[4] οἱ ἄνεμοι, οἱ κατ' ἔτος πνέοντες. πνέουσι δὲ ἐν ἀκμῇ τοῦ θέρους, διότι ὁ ἥλιος μετεωρότερος, καὶ ἀπὸ τῶν μεσημβρινῶν τόπων ἀρκτικώτερος γενόμενος, λύει τὰ ὑγρὰ τὰ ἐν τοῖς ἄρκτοις. λυόμενα δὲ ταῦτα ἐξαεροῦται καὶ πνευματοῦται, καὶ ἐκ τούτων γίνονται οἱ Ἐτησίαι, καὶ ἀπὸ τῶν ἀρκτώων τόπων φέρονται ἐπὶ τοὺς μεσημβρινούς. ἃ προσπίπτει τοῖς ὑψηλοτέροις ὄρεσι τῆς Αἰθιοπίας, καὶ πολλὰ καὶ ἀθρόα γιγνόμενα ἀπεργάζονται ὑετοὺς, καὶ ἐκ τῶν ὑετῶν τούτων πληθωρεῖται ὁ Νεῖλος τοῦ θέρους, ἀπὸ τῶν μεσημβρινῶν καὶ ξηρῶν τόπων ῥέων.

Ἐτήσιος. ὁ κατ' ἔτος.

Ἐτήτυμος, ὁ ἀληθής.

Ἔτι. ἐπίῤῥημα. παρέλκει ἀεὶ παρὰ τοῖς Ἀττικοῖς. [5]παρὰ Ἀριστοφάνει·

Ἢν οὖν ἐμοὶ πείθησθε, σωθήσεσθ' ἔτι.

Ἐτίθετο. Οὐδὲ τῇ ὄψει τῶν ὀνείρων ἐτίθετο. ἀντὶ τοῦ, [6]προσέκειτο. προσεῖχεν.

Ἐτιθηνήσατο. ἐγαλούχησε.

Ἐτίθει σκάνδαλον. ἐποίει.

Ἔτι μήν. χρονικὸν ἐπίῤῥημα.

Ἐτιμησάμην. Ὡς ἔγωγ' ἐτιμησάμην ἂν τοῦ παν-

ſcus. Talis erat [Zaleucus,] Locrenſium legiſlator. Demoſthenes in oratione contra Timocratem.

Ἑτερόχροιος. Diverſum habens colorem.

Ἑτέρωθι. Alibi. Et ἑτέρωθεν. Aliunde. Et ἑτέρωσε. In aliam partem. Alio.

Ἑτεροῖος. Alius. Diverſus. Diſſimilis.

Ἑτεροιουμένη. Immutata.

Ἑτεροιῶ. Immuto. Muto.

Ἑτεροίως. Aliter. Diverſe. Diſſimiliter.

Ἐτετρήχει. Turbatus fuit.

Ἐτεχνίτευε. Aſtute & doloſe ſcrutabatur, vel inquirebat. Joſephus: *Omni aſtu adhibito cognoſcere cupiebat, qui fieret, quod fortitudine tantum reliquis præſtaret.*

Ἔτειον. Annuum. Anniverſarium. Ἐπέτειον vero, quod non perpetuo durat, ſed per unum tantum annum floret. Et ἔτειος καρπός, fructus annuus. Et ἔτειος καιρὸς, annuũ tempus.

Ἔτειρεν. Vexavit. Fatigavit.

Ἑφθοὶ πυροὶ διεγερτικοί εἰσι πρὸς συνουσίαν. καὶ πυροὺς τῇ Ἀφροδίτῃ ἔθυον.

[1]Ἔφλα με. ἔτυπτέ με.

Ἐφλέγετο. ἐν ἐπιθυμίᾳ ἦν. Αἰλιανός· Ὁ δὲ Ἰάσων ὁ Θετταλὸς ἐπὶ τοῖς ἀναθήμασιν ἐν Δελφοῖς ἐφλέγετο.

Ἐφοδεύεται. διοδεύεται.

Ἐφοδευσάτωσαν. κατασκοπησάτωσαν.

Ἐφόδια. τὰ πρὸς τὴν ὁδὸν ἐπιτήδεια ἀναλώματα. Ἐφόδιον παιδείας ὁ πλοῦτος.

Ἐφόδιον. Εὔχεται τῷ Θεῷ, τοὺς κακοὺς μὴ δυναστεύειν, καὶ ἔχειν πλοῦτον εἰς ἐφόδιον ἀδικίας.

Ἔφοδος ὁρμή.

Ἐφόλκια. καράβια μικρά. παρὰ τὸ ἕλκεσθαι ὑπὸ τῶν κωπηλατῶν, ἢ τῶν μεγάλων πλοίων. [2]Καλοῦνται δὲ καὶ οἱ τῶν πόλεων τὰ ὤνια ἐπισκοπούμενοι. Τῶν δὲ στειλάντων ἐν ἐφολκίῳ τινὰς, καὶ μαθόντων Ῥωμαϊκὴν εἶναι τὴν πεῦσιν. Καὶ τὰ ἔπιπλα τὰ ἀγώγιμα. [3]Ὄλπη μοι, καὶ πήρη, ἐφόλκια. καὶ [4]Ἀριστοφάνης Σφηξίν·

Οὐ μὴν πρὸ τοῦ γ' ἐφολκὸς ἦν, ἀλλὰ πρῶτος ἡμῶν
Ἡγεῖτ' ἀνᾴδων Φρυνίχου.

ἀντὶ τοῦ, ὕστερος. καὶ αὖθις· Ἐθάῤῥει γὰρ τὸν χῶρον ἐφολκὸν εἶναι τῇ ὄψει, καὶ πολλοὺς Ῥωμαίων ἐπάξεσθαι. ἀντὶ τοῦ, ἐφελκυστικόν.

Ἐφολκίδα. Ὁ τοίνυν Βλαῖσος ἐπὶ τὴν θοίνην ἀνακληθεὶς οἷον ἐφολκίδα ἄκλητον ἐπάγεται Ἀσκώνιον Παιδιανόν. ἐξῆν γὰρ καὶ ἐπικλήτους οἱονεὶ σκιὰς ἑαυτοῖς παρακαλεῖν τινας. ἐν τῷ Ἀπίκιος Μάρκος.

bat. *Et Magiſtratus his omnibus præfecit integerrimos, & muneribus corrumpi neſcios, ne propter amorem pecuniæ de rigore muneris ſui quicquam remitterent.*

Ἑφθαλέου. Cocti. Elixati. Et ἑφθεῖν. Aſſare, vel, aqua elixare.

Ἑφθοὶ πυροὶ διεγ. Triticum elixum ad Venerem excitandam valet. Unde Veneri triticum offerebant.

Ἔφλα με. Verberabat me.

Ἐφλέγετο. Ardebat. Cupiditate flagrabat. *Jaſon autem Theſſalus donariorum, quæ Delphis erant, cupiditate flagrabat.*

Ἐφοδεύεται. Percurritur. Obitur. Tranſitur.

Ἐφοδευσάτωσαν. Speculentur. Luſtrent. Obeant.

Ἐφόδια. Viatica. *Divitiæ ſunt eruditionis viaticum.*

Ἐφόδιον. Viaticum. *Deum orat, ne mali rerum potiantur, neve opes habeant, injuſtitiæ viaticum.*

Ἔφοδος. Impetus. Impreſſio. Invaſio.

Ἐφόλκια. Parvæ naviculæ: ſic dictæ, quod a remigibus, vel navibus majoribus trahantur. Ab ἕλκω, traho. Sic etiam vocantur rerum venalium in civitatibus inſpectores. *Cum autem illi quoſdam in epholcio miſiſſent, & intellexiſſent, interrogationem illam Romanam eſſe.* Item, ſupellex, ſive vaſa, quæ nobiſcum portamus. *Ampulla olearia & pera mihi ſunt ſupellex.* Et Ariſtophanes *Veſpis*: *Antea nos non ſequi, ſed præire nobis ſolebat, cantans carmina Phrynichi.* Ἐφολκὸς hic poſitum eſt pro ὕστερος, i. e. poſterior, vel, qui ſequitur. Et iterum: *Sperabat enim fore, ut locus ille aſpectui blandiretur, & multos Romanos ad ſe alliceret.* Ἐφολκὸς hic proprie ſignificat, attrahendi vim habens.

Ἐφολκίδα. Parvam navem, quæ a majore trahitur. [Item metaphorice, appendicem.] *Blæſus igitur ad convivium invitatus, Aſconium Pædianum invocatum, tanquam appendicem, ſecum adduxit. Licebat enim invitatis aliquos tanquam umbras ad convivium ſecum adducere.* Vide in v. Ἀπίκιος Μάρκος.

Ἐφορεύειν. ἐποπτεύειν.

Ἐφορεία. ἡ ἐποψία. ἡ ἐπίσκεψις.

Ἐφορεία.[5] ἡ ἐπὶ τῶν ὅρων γιγνομένη προσαγόρευσις. ὡς Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους.

Ἐφορμεῖν.[6] ἀντὶ τοῦ ἐφεδρεύειν. οὕτω Δημοσθένης ἐν Φιλιππικοῖς. [7]ἐνεδρεύειν δὲ ἐν πλοίοις.

Ἐφορεύειν. Inſpicere. Inſpectorem eſſe.

Ἐφορεία. Inſpectio. Vel, munus Ephori.

Ἐφορεία. Denunciatio, vel promulgatio, quæ fit in finibus. Demoſthenes in oratione contra Ariſtocratem.

Ἐφορμεῖν. Inſidiari. Ex inſidiis aliquem invadere. Sic Demoſthenes in *Philippicis*. Proprie autem ſignificat, claſſe vel navibus aliquem invadere.

Ἐφόρμους. [8]Θουκυδίδης· Οἱ Ἀθηναῖοι τοὺς ἐφόρμους ἐπ' ἀμφοτέροις τοῖς λιμέσιν ἐποιοῦντο. τὰς ἐφορμίσεις.

Ἐφόρμους. Invaſiones hoſtiles, quæ claſſe fiunt. Thucydides: *Athenienſes utrumque portum infeſta claſſe invaſerunt.*

---

[1] Ἔφλα με] Ariſtophanes *Nubibus*, pag. 199. (124. Ed. Baſ. *P.*)
Κᾆπειτ' ἔφλα με, κἀσπόδει, κἄπνιγε, κἀπέτριβεν.
Ad hunc locum Suidas reſpexit.

[2] Καλοῦνται δὲ καὶ οἱ τῶν πόλεων τὰ ὤνια ἐπισκ.] Mira interpretatio vocis ἐφόλκιον: de qua Lector proinde cogitet.

[3] Ὄλπη μοι καὶ πήρη ἐφόλκια] Hæc verba ſunt pars Epigrammatis in Diogenem Cynicum, quod integrum legitur Anthol. lib. III. cap. XXXIII. pag. 420.

[4] Καὶ Ἀριστοφάνης Σφηξίν] Pag. 447. (320. Ed. Baſ. *P.*)

[5] Ἐφορεία. ἡ ἐπὶ τῶν ὅρων γιγν.] Ex Harpocratione: apud quem pro προσαγόρευσις rectius legitur προαγόρευσις.

[6] Ἐφορμεῖν. ἀντὶ τοῦ ἐφεδρ.] Et hæc Suidas mutuatus eſt ab Harpocratione; apud quem tamen vox iſta plenius ſic exponitur: Ἐφορμεῖν. ἀντὶ τοῦ ἐφεδρεύειν. τὸ μὲν γὰρ κατά τινων ὁρμᾶν, ἐπιτηροῦντας καιρὸν ἐπιθέσεως, οὕτως ἔλεγον. Quæ autem apud Suidam ſequuntur, ἐνεδρεύειν δὲ ἐν πλοίοις, apud eundem deſunt.

[7] Ἐνεδρεύειν δὲ ἐν πλοίοις] Senſus hujus loci eſt imperfectus, qui ſic ſuppleri poteſt, κυρίως δὲ οὕτως ἔλεγον τὸ ἐν πλοίοις ἐνεδρεύειν. Id eſt, *Proprie autem ſic vocabant, navibus vel claſſe alicui inſidiari.*

[8] Θουκυδίδης] Lib. III. cap. VI.

Ἔφορος. ὁ πάντων ἐπόπτης καὶ θεωρὸς Θεός.

Ἔφορος, Κυμαῖος, ἱστορικὸς, ὁ νεώτερος. ἔγραψε τὰς [1]Γαλλιηνοῦ ἱστορίας ἐν βιβλίοις κζ΄. Κορινθιακά. Περὶ τῶν Ἀλευάδων, καὶ ἄλλα τινά.

Ἔφορος [2]Κυμαῖος, καὶ Θεόπομπος Δαμασιστράτου, Χῖος, ἄμφω Ἰσοκράτους μαθηταὶ, ἀπ' [3]ἐναντίων τό, τε ἦθος καὶ τοὺς λόγους ὁρμώμενοι. ὁ μὲν γὰρ Ἔφορος ἦν τὸ ἦθος ἁπλοῦς· τὴν δὲ ἑρμηνείαν τῆς ἱστορίας ὕπτιος, καὶ νωθρὸς, καὶ μηδεμίαν ἔχων ἐπίτασιν. ὁ δὲ Θεόπομπος τὸ ἦθος πικρὸς καὶ κακοήθης· τῇ δὲ φράσει πολὺς, καὶ συνεχὴς, καὶ φορᾶς μεστός· φιλαλήθης ἐν οἷς ἔγραψεν. [4]ὁ γοῦν Ἰσοκράτης τὸν μὲν ἔφη χαλινοῦ δεῖσθαι· τὸν δὲ Ἔφορον κέντρου. Φυγὰς δὲ γενόμενος ὁ Θεόπομπος, ἱκέτης ἐγένετο τῆς Ἐφεσίας Ἀρτέμιδος. ἐπέστελλέ τε πολλὰ [5]κατὰ Χίων Ἀλεξάνδρῳ· καὶ μέντοι καὶ αὐτὸν Ἀλέξανδρον ἐγκωμιάσας πολλά. λέγεται δὲ καὶ ψόγον αὐτοῦ γεγραφέναι, ὃς οὐ φέρεται.

Ἐφόρουν. ἐκόμιζον. [6]Θουκυδίδης· Ἐφόρουν δὲ τὴν ὕλην εἰς αὐτὸ, καὶ λίθους, καὶ γῆν, καὶ εἴ τι ἄλλο ἀνύσειν μέλλοι ἐπιβαλλόμενον.

Ἔφοροι. [7]Περικλῆς τοὺς Ἐφόρους τῶν Σπαρτιατῶν συμπείσας ἐπὶ τῷ τῆς πόλεως συμφέροντι χρήμασι, τοῦτο μὲν τοῖς λόγοις οὐκ ἀνέγραψεν, ὡς ἂν ἀπόρρητον ὑπάρχον, καὶ πολλὴν αἰσχύνην τοῖς δωροδοκήσασι φέρον. ἐς μέντοι τὸ δέον ἀναγέγραφεν αὐτὰ ἀνηλῶσθαι. καὶ αὖθις· [8]Οἱ δὲ Ἡρακλεῶται συμπίπτουσιν εἰς στάσιν βαρεῖαν. εἶτα ἐπανελθεῖν εἰς φιλίαν καὶ συμβιβάσεις βουλόμενοι, προαιροῦνται ἔφορον τῆς αὐτῶν ὁμονοίας τὸν Κλέαρχον. καὶ αὖθις· Ὁ δὲ πρὸς τοὺς Ἐφόρους ἔγραψεν, ὡς ἐκείνους κήρυγμα ποιήσασθαι δημοσίᾳ, τήν τε πίτταν τῶν βαλανείων ἐξαιροῦντας, καὶ τὰς παρατιλλείας ἐξελαύνοντας, ἐς τὸ ἀρχαῖον ἀποκαθίστασθαι.

Ἔφοροι. παρὰ Λακεδαιμονίοις τὸν ἀριθμὸν ε΄, οὓς Ἐφόρους ἐκάλουν, διὰ τὸ ἐφορᾷν τὰ τῆς πόλεως πράγματα. ἐν διαδοχῇ δὲ ἦσαν.

Ἐφόσον. ἓν μέρος λόγου.

Ἐφ' ὅτῳ. ἐφ' ᾧ τινι.

Ἐφούδ.[9] τὸ μὲν ὄνομα Ἑβραϊκὸν, ἑρμηνευόμενον δήλωσιν [10]ἢ λύτρωσιν σημαῖνον. τὸ δὲ εἶδος αὐτοῦ στι-

Ἔφορος. Omnium rerum inſpector & ſpectator Deus.

Ἔφορος. Ephorus, Cumanus, Hiſtoricus, junior. Scripſit hiſtoriam Galieni libris XXVII. Corinthiaca. De Aleuadis: & alia quædam.

Ἔφορος Κυμ. Ephorus Cumanus, & Theopompus Chius, Damaſiſtrati filius, ambo Iſocratis diſcipuli, ſed ingenio & ſtylo quam maxime inter ſe diſcrepantes. Nam Ephorus ingenio erat ſimplici, &, quod ad dictionem ejus hiſtoricam attinet, ſupinus, & ſegnis, ſemperque remiſſus. Theopompus vero ingenio erat acerbo & maligno; at dictione copioſus, & denſus, & vehementiæ plenus: cæteroqui veritatis ſtudioſus in iis, quæ ſcribebat. Iſocrates igitur hunc quidem frænis; Ephorum vero calcaribus indigere dixit. Theopompus autem in exilium ejectus, ſupplex ad templum Dianæ Epheſiæ confugit. Multas etiam epiſtolas contra Chios ad Alexandrum ſcripſit; eundemque multis laudibus ornavit. Dicitur etiam vituperium ejus ſcripſiſſe; ſed quod non exſtat.

Ἐφόρουν. Ferebant. Portabant. Thucydides: *Portabant autem eo materiam, & lapides, & terram, & ſi quo alio illuc injecto opus celeriter abſolutum iri videbatur.*

Ἔφοροι. Ephori. Pericles, cum Spartanorum Ephoros utilitate Reip. exigente muneribus corrupiſſet, idque in rationes referre nollet, ut rem arcanam, & quæ magno dedecori futura erat illis, qui dona illa acceperant: ſcripſit tantum, pecuniam illam in uſus neceſſarios expenſam fuiſſe. Et iterum: *Inter Heracleotas vero gravis ſeditio exorta eſt. Illi vero, cum in amicitiam mutuam redire & pacem inter ſe facere vellent, Clearchum concordiæ ſuæ moderatorem elegerunt.* Et iterum: *Ille vero ad Ephoros ſcripſit, ut per præconem publice edicerent, ſe pice ex balneis ſublata, & mulieribus depilatricibus ex urbe expulſis, rem in priſtinum ſtatum reſtituere velle.*

Ἔφοροι. Ephori apud Lacedæmonios erant numero quinque: ita dicti, ab ἐφορᾷν, i. e. inſpicere; quod Reip. Inſpectores eſſent.

Ἐφόσον. Eſt unica pars orationis. Quatenus. Quantum.

Ἐφ' ὅτῳ. In quod. Propter quod.

Ἐφούδ. Ephud. Nomen eſt Hebraicum: quod, ſi interpreteris, *declarationem*, vel *re-*

---

[1] Γαλλιηνοῦ] Non dubito quin ſcribendum ſit Γαλιηνοῦ: prout hic apud Suidam legit Raphael Volaterranus lib. XV. *Commentar. Urban.* Solenne enim eſt librariis duas iſtas voces inter ſe confundere, & τὸ Γαλιηνοῦ in Γαλλιηνοῦ, ut nomen notius, mutare: cujus παραδιορθώσεως exemplum & alibi apud Suidam notavi.

[2] Ἔφορος Κυμαῖος, καὶ Θεόπομπ.] Comparationem hanc Ephori & Theopompi Suidam ex Polybio deſumpſiſſe puto,

[3] Ἀπ' ἐναντίων τό, τε ἦθος, καὶ τοὺς λ.] Sic habet MS. Pariſ. A. At in prioribus Editt. excuſum eſt, *ἀπ' ἐναντίων τότε ἦσαν ἐς τοὺς λόγους,* &c. Utraque lectio corrupta eſt. Scripſerim, *ἀπ' ἐναντίων ἠθῶν ἐς τοὺς λόγους ὁρμ.* ut ſit ſenſus, eos contrariis ingeniis præditos, ad ſcribendam hiſtoriam animum appuliſſe.

[4] Ὁ γοῦν Ἰσοκράτης τὸν μὲν ἔφη χαλ.] Idem referunt Cicero in *Bruto*, & Quintil. lib. II. cap. IX.

[5] Κατὰ Χίων] Priores Editt. male habent, καταχίων. At MS. A. κατὰ Χίων, quæ lectio recte ſe habet. Theopompus enim erat Chius: qui cum a popularibus ſuis in exilium pulſus eſſet, graviter eos in epiſtolis ad Alexandrum criminatus eſt, ut Regem illum adverſus patriam ſuam incitaret. Hic enim eſt loci hujus ſenſus.

[6] Θουκυδίδης] Lib. II. cap. LXXV.

[7] Περικλῆς τοὺς Ἐφόρους τῶν Σπαρτ.] Plenius hæc traduntur ſupra v. Δέον, & infra v. Εἰς τὸ δέον.

[8] Οἱ δὲ Ἡρακλεῶται συμπίπτ.] Locus hic longe auctior legitur infra v. Κλέαρχος.

[9] Ἐφούδ.] In MSS. Pariſ. vox hæc abſque interpretatione legitur.

[10] Δήλωσιν ἢ λύτρωσιν σημαῖνον] Male. Significatio enim & etymologia vocis Ephud nihil cum hac interpretatione commune habet. Sed video, quid Suidam deceperit. Lapilli pretioſi, quibus Ephud, ſive pectorale ſummi Pontificis Judæorum diſtinctum erat, & per quos Deus arcana quadam ratione voluntatem ſuam manifeſtare ſolebat, ab Hebræis appellabantur *Urim & Thummim*; quod LXX Interpretes reddunt, δήλωσις καὶ ἀλήθεια. Hanc interpretationem Suidas in mente habuit, ſed qui pro ἀλήθεια non recte hic ſub-

θαμιαῖον ἦν, ὕφασμα δίκην περιστηθίου ἐκ χρυσονήμου τέχνης ποικίλης πεποιημένον. καὶ ἐν μὲν τῷ μέσῳ εἶχεν ὥσπερ ἀστέρα ὁλόχρυσον· ἑκατέρωθεν δὲ αὐτοῦ δύο σμαράγδους, ἔχοντας ἀνὰ ἓξ τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. ἐν δὲ τῷ μεταξὺ τῶν σμαράγδων, λίθον ἀδάμαντα. ἡνίκα γοῦν ἔμελλεν ὁ ἱερεὺς ἐρωτᾷν τὸν Θεὸν περί τινος κεφαλαίου, ἐδέσμει αὐτὸ ἐν τῇ ἐπωμίδι κατὰ τὸ μέσον τοῦ στέρνου, καὶ ἐπετίθει τὰς χεῖρας αὐτοῦ ὑποκάτωθεν, καὶ εὑρίσκετο ἐν ταῖς παλάμαις αὐτοῦ ἐξηπλωμένον ὥσπερ πυξίον· καὶ ἀποβλέπων εἰς τὸ Ἐφοὺδ, ἠρώτα τὸν Θεὸν τὸ ἐρώτημα. καὶ εἰ μὲν ἀρεστὸν ἦν τῷ Θεῷ τὸ ἐρώτημα, εὐθέως ἤστραπτεν ὁ ἀδάμας λίθος, καὶ ἐφεγγοβόλει, ἀκτῖνας ἐκπέμπων. εἰ δὲ οὐκ ἦν ἀρεστὸν, ἔμενεν ἐν τῇ ἰδίᾳ τάξει ὁ λίθος. εἰ δὲ ἔμελλεν ὁ Θεὸς εἰς μάχαιραν παραδιδόναι τὸν λαὸν, ἐγίνετο αἱματώδης· εἰ δὲ [1] θανατικὸν ἔμελλεν, ἐγίνετο μέλας.

Ἐφ' ᾧ. ἐπὶ τούτῳ. Πολύβιος· Ὁ δὲ Μάρκος δοὺς πίστεις ὑπὲρ ἀσφαλείας, ἔπεισεν αὐτοὺς ἐκχωρεῖν εἰς Ἰταλίαν, ἐφ' ᾧ λαμβάνοντας μέτρημα παρὰ τῶν Ῥηγίνων, πορθεῖν τε Βρεττιανὴν κυρίους ὄντας, ὡς ἂν ἐκ τῆς πολεμίας ὠφεληθῶσι. καὶ αὖθις· [2] Καὶ συνέθεντο μεθέξειν τῆς κοινῆς συμμαχίας, ἐφ' ᾧ λαμβάνειν κ' τάλαντα κατ' ἐνιαυτόν.

Ἐφώδευσαν. ἐπέτρεχον.

Ἐφ' ᾧ πάρει; καὶ Χριστὸς πρὸς τὸν Ἰούδαν· Ἑταῖρε, ἐφ' ᾧ πάρει; ἀντὶ τοῦ, οὗ χάριν παραγέγονας;

Ἐφωδήγει. ἐποδήγει δέ.

Ἐφραθᾶ. τόπος. ὅ ἐστι Βηθλεέμ. [3] παρ' Ἑβραίοις δὲ Μαρία σημαίνει τὸ Ἐφραθᾶ.

Ἐφραίμ. ὄνομα κύριον.

Ἐφραῖος. ὄνομα κύριον.

Ἔφριξα. τὰς τρίχας ὠρθώθην. [4] ἐπυκνώθην. Ὅμηρος· Ἔφριξε δὲ μάχη. καὶ [5] Σοφοκλῆς·

Ἔφριξ' ἔρωτι, περιχαρὴς δ' ἀνεπτάμην.

ἀντὶ τοῦ, ὠρθώθην τῇ ἡδονῇ. ἀνεπτερώθην.

Ἐφρύαξαν. [6] ἐταράχθησαν.

Ἐφοινίττετο. ἠρυθραίνετο. [7] Αὐτίκα ὅγε τῷ πληκτικῷ τοῦ λόγου συγχέας τὸ πρόσωπον ἐφοινίττετο.

Ἔφυ. ἐγένετο.

Ἔφυγον[8] κακὸν, εὗρον ἄμεινον. τάττεται ἐπὶ τῶν ἀπὸ κακοῦ εἰς κρεῖττον ἐλθόντων. ἔθος γὰρ Ἀθήνησιν

demptionem ſignificat. Quod ad formam ejus attinet, erat palmi magnitudine, pectorali ſimile, & ex auro artificioſe contextum. In medio habebat veluti ſtellam totam auream: utrinque vero duos ſmaragdos, quibus inſculptæ erant XII. Tribus Iſraeliticæ; ſingulis ſex. In medio vero horum ſmaragdorum erat adamas. Cum igitur ſacerdos Deum de aliqua re conſulturus erat, Ephod epomidi alligatum, medio pectori applicabat, manu ei ſuppoſita; & in palmis ejus reperiebatur explicatum inſtar pugillarium: in quod ſacerdos intuens, Deum interrogabat. Si igitur id, de quo Deum conſulebat, ei placuiſſet, adamas confeſtim coruſcabat, fulgorem & radios emittens. Sin ſecus, naturalem colorem ſervabat. Porro, ſi Deus populum ſuum ferro hoſtili perditurus erat, adamas colore ſanguineo ſuffundebatur: ſi vero peſtilentiam vel luem eidem immiſſurus erat, niger fiebat.

Ἐφ' ᾧ. Ea conditione. Polybius: *Marcus vero data publica fide, ipſis perſuaſit, ut Italiam peterent, & commeatu a Rheginis accepto, Brutorum agrum vaſtarent, poſtquam eo potiti eſſent, & ex hoſtico victum ſibi compararent.* Et iterum: *Et ad communem ſocietatem ſeſe adjuncturos eſſe promiſerunt his legibus, ut annua vicena talenta acciperent.*

Ἐφώδευσαν. Incurrerunt. Invaſerunt.

Ἐφ' ᾧ πάρει; Qua de cauſa veniſti, vel ades? Sic Chriſtus ad Judam dicit: *Amice, qua de cauſa ades?*

Ἐφωδήγει. Itineris dux erat. [Scribitur per Φ.] At ἐποδήγει, [per π]

Ἐφραθᾶ. Ephratha. Locus. Id eſt, Bethleem. Apud Hebræos vero Ephratha ſignificat Mariam.

Ἐφραίμ. Ephraim. Nomen proprium.

Ἐφραῖος. Ephræus. Nomen proprium.

Ἔφριξα. Horrui. Capilli præ horrore mihi ſteterunt. Sum animo ob metum contracto. Homerus: *Pugna vero horruit.* Et Sophocles: *Animo ob gaudium erecto ſum, & lætitia geſtio.* Vel, erectus ſum gaudio, & lætitia efferor.

Ἐφρύαξαν. Turbati ſunt. Fremuerunt.

Ἐφοινίττετο. Rubefiebat. Erubeſcebat. *Ille autem verbis objurgatus, confuſo vultu ſtatim erubeſcere cœpit.*

Ἔφυ. Natus eſt. Fuit. Eſt.

Ἔφυγον κακὸν, εὗρ. *Effugi malum, inveni melius.* Dicitur hoc de iis, quorum conditio e deteriore fit melior. Moris enim erat Athe-

---

ſtituit λύτρωσις: & deinde voci *Ephud* male tribuit, quod, ut diximus, ad *Urim* & *Thummim* pertinet.

[1] Θανατικόν] Portus emendat θανατοῦν: quod probo.

[2] Καὶ συνέθεντο μεθ.] Hæc ſunt verba Polybii lib. IV. cap. XXIX. ſed ubi legitur συνέθετο, numero ſingulari.

[3] Παρ' Ἑβραίοις δὲ Μαρία σημαίνει τὸ Ἐφρ.] Somnians ne an vigilans hæc ſcripſiſti, o bone? Quis enim tibi hic fidem habeat? Aut potius, quis mentem tuam hic intellexerit? Sed cum nugis confligtari non ſoleo.

[4] Ἐπυκνώθην] An potius ἐπαχνώθην? Heſychius: Παχνοῦται, θυμοῦται, πήσσει] (παρὰ τὴν πάχνην) ΦΡΙΣΣΕΙ, λυπεῖται, ἀνιᾷ].

[5] Σοφοκλῆς] *Ajace*, pag. 42. ut Portus monuit.

[6] Ἐφρύαξαν. ἐταράχθησαν] Reſpexit Suidas ad locum illum Pſalmi ſecundi: Ἵνα τί ἐφρύαξαν τὰ ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; Theodoretus ibi τὸ ἐφρύαξαν exponit, ἠλαζονεύσαντο.

[7] Αὐτίκα ὅγε τῷ πληκτικῷ τοῦ λ.] Fragmentum hoc legitur in Eclogis Legationum e Menandro excerptis, pag. 105.

[8] Ἔφυγον κακὸν, εὗρον ἄμ.] Dictum hoc non ſolum in nuptiis apud veteres Athenienſes uſurpari ſolebat, ut Suidas in ſequentibus tradit, ſed etiam in initiationibus, ut diſcimus ex oratione Demoſthenis pro Cteſiphonte, pag. 350. ubi inter alia & hæc leguntur: Καὶ καθαίρων τοὺς τελουμένους, καὶ ἀπομάττων τῷ πηλῷ καὶ τοῖς πιτύροις, καὶ ἀνιστὰς ἀπὸ τοῦ καθαρμοῦ, καὶ κελεύων λέγειν, ΕΦΥΓΟΝ ΚΑΚΟΝ, ΕΥΡΟΝ ΑΜΕΙΝΟΝ.

ἐν γάμοις ¹στρέφεσθαι ἀμφιθαλῆ παῖδα, ἀκάνθας μετὰ δρυΐνων καρπῶν φέροντα, καὶ λίκνον πλῆρες ἄρτων, καὶ λέγειν τὸ προκείμενον, αἰνισσόμενος τὴν ἐπὶ τὸ κρεῖττον μεταβολήν. τὸ γὰρ ἐκ τῶν δρυῶν καὶ ἀκανθῶν στέμμα, κακὸν ἔλεγον.

Ἔφυδρος. Ὕδωρ ἐπάγων. Κολυμβηταῖς ἐφύδροις. Ὑφύδρους δὲ ἁλύσεις διατείνας διὰ τοῦ στόματος τοῦ λιμένος.

Ἐφ' ὕδωρ. ² ἐν ταῖς πρὸς ὕδωρ δίκαις ἐλάγχανεν ὁ ἐπιμελησόμενος τούτου.

Ἐφυλάξατο. ἐξέκλινεν. εἴασεν. Τὰ μαλακὰ καὶ γεώδη ἢ ψαμμώδη ἐφυλάξατο διὰ τὰς ἐσομένας ὑφιζήσεις.

Ἐφύμνιον. τὸ ἐπὶ τῷ ὕμνῳ ᾆσμα.

Ἐφῦντο. ἐνέφυσαν. Σφόδρα ³ἐπεβάλλοντο, ὥστε δοκεῖν συμπεφυκέναι.

Ἐφύπερθεν. ὑπεράνω.

Ἔφυρον. ἔβρεχον. ἢ ἔπλυνον.

Ἐχάτιζεν. ἔχρηζεν.

Ἐχέγγυον, ἀσφαλῆ.

Ἀλλ' ⁴ ὥσπερ ἔλαβες τὸν ἱκέτην ἐχέγγυον,
Ῥύου με καὶ φύλασσε. ————

Ἐχέγγυος. ὁ ἀσφαλὴς ἐγγυητής. ὁ διὰ πίστεως ἄξιος. ⁵Παρὰ δὲ Θουκυδίδῃ, ἰσχυρὸν, ἐγγυῆσαι δυνάμενον.

Ἔχε δή. ἀντὶ τοῦ ἄγε δή. ἢ ἄρα δή. πρόσεχε. ἤ τι τοιοῦτο.

Ἐχέδημος. ὄνομα κύριον.

Ἔχεεν. ἔχωσεν.

Ἐχεκρατίδας, καὶ Ἐχεκρατίδης. ὁ τοῦ Ἐχεκράτου παῖς.

Ἐχεμυθεῖ. ἔχει ἐν ἑαυτῷ τὸν λόγον.

Ἐχεμυθία. σιωπή. μυστήρια.

Ἐχέμυθος. μυστήριον κρυπτὸν φυλάττων. ἢ φρόνιμος. ⁶Ἦν δὲ ἐχέμυθος ἐς τὰ μάλιστα καὶ κρυψίνους· ἀλλ' εἴς τε συναύξησιν ἀρετῆς καὶ ⁷κακίας μείωσιν, ὅλην ἐξεκέχυτο τὴν ψυχήν.

Ἐχεμυθότατος. ὁ φρονιμώτατος.

Ἐχενηΐς. ἡ κρατοῦσα τὴν ναῦν ἄγκυρα. ⁸ἐν Ἐπιγράμματι·

Ἄγκυράν τ' ἐπὶ τοῖς ἐχενηΐδα, δεσμὸν ἀέλλης.

Ἐχενηΐς. γένος ἰχθυδίου, ὅ ἐστιν ἄβρωτον. μέγεθος δ' ἔχει κωβιοῦ, καὶ πτέρυγας δ'. χρῶνται δέ τινες αὐτῷ πρὸς φίλτρα καὶ δίκας. εἴληφε δὲ τὸ ὄνομα

nis, ut puer, cujus uterque parens viveret, ſpinis & glandibus in nuptiis coronaretur, vannumque plenam panibus ferens, ante dictam ſententiam pronuntiaret, ſignificans rerum mutationem in melius. Coronam enim ex ſpinis & glandibus contextam malum dicebant.

Ἔφυδρος. Aquam inducens. In aquæ ſuperficie verſans. *Urinatoribus in aqua verſantibus.* [At ὕφυδρος, ſub aqua latens.] *Cum per oſtium portus catenas ſub aqua latentes extendiſſet.*

Ἐφ' ὕδωρ. Ad aquam. In cauſis, quæ ad clepſydram agebantur, ſorte aliquis conſtituebatur, qui ejus rei curam gereret.

Ἐφυλάξατο. Cavit. Declinavit. Vitavit. *Mollia & terreſtria & arenoſa loca vitabat, utpote veſtigiis cedentia.*

Ἐφύμνιον. Carmen, quod poſt hymnum canitur.

Ἐφῦντο. Inhærebant. Firmiter inhærebant, vel adhærebant. *Tam arcte conjuncta erant, ut coaluiſſe viderentur.*

Ἐφύπερθεν. Superne. Super. Supra.

Ἔφυρον. Rigabant. Miſcebant. Aqua macerabant. Vel, lavabant.

Ἐχάτιζεν. Indigebat.

Ἐχέγγυον. Tutum. Firmum. [Sophocles:] *Sed quemadmodum ſupplicem me ſuſcepiſti, ut defenderes, ſic etiam me tuere & ab injuria immunem præſta.*

Ἐχέγγυος. Sponſor fide dignus, & cui tuto credere poſſis. Apud Thucydidem vero metaphorice ſic dicitur firmus, & cui tanquam idoneo ſponſori fidere queas.

Ἔχε δή. Age igitur. Vel, Eja igitur. Ergo. Attende. Vel aliquid hujuſmodi.

Ἐχέδημος. Echedemus. Nomen proprium.

Ἔχεεν. Pro ἔχωσεν. Aggerem excitavit.

Ἐχεκρατίδας, & Ἐχεκρατίδης. Echecratis filius.

Ἐχεμυθεῖ. Silet. Tacet.

Ἐχεμυθία. Silentiū. Taciturnitas. Myſteriū.

Ἐχέμυθος. Qui myſterium occultum ſervat. Vel prudens. Taciturnus. *Erat autem maxime taciturnus & diſſimulator: ſed ad augendam virtutem & imminuenda vitia omni ſtudio incumbebat.*

Ἐχεμυθότατος. Prudentiſſimus. Valde taciturnus.

Ἐχενηΐς. Ancora navem retinens. In Epigrammate: *Ancoramque præter hæc, retentricem navis, vinculumque procellæ.*

Ἐχενηΐς. Remora. Genus piſciculi, quod eſui non eſt: gobium magnitudine æquans, & quatuor pinnas habens. Quidam eo

---

[1] Στρέφεσθαι] Lege στέφεσθαι. Sic enim habet Heſychius, & patet ex iis, quæ hoc ipſo loco apud Suidam ſequuntur.

[2] Ἐφ' ὕδωρ. ἐν ταῖς πρὸς ὕδ.] Vide quæ notavimus ſupra ad v. Διαμεμετρημένη ἡμέρα.

[3] Ἐπεβάλλοντο] Malim συνεβάλλοντο.

[4] Ἀλλ' ὥσπερ ἔλαβες τὸν ἱκ.] Hæc ſunt verba Sophoclis in *Oedip. Colon.* pag. 281. ut Portus obſervavit.

[5] Παρὰ δὲ Θουκυδίδῃ] Reſpexit Suidas ad locum illum Thucydidis, qui exſtat lib. III. cap. XLVI. Οὐκοῦν χρὴ ὑπὸ τοῦ θανάτου τῇ ζημίᾳ ὡς ἐχεγγύῳ πιστεύσαντας, χεῖρον βουλεύσασθαι. Scholiaſta: Ἐχεγγύῳ. βεβαίῳ. ἰσχυρᾷ. ἐγγυῆσαι δυναμένῃ.

[6] Ἦν δὲ ἐχέμυθος ἐς τὰ μάλιστα καὶ κρυψ.] Hæc ſunt verba Damaſcii de Iſidoro philoſopho, ut docet ipſe Suidas infra v. Ἰδιώτης, ubi locus hic repetitur.

[7] Κακίας μείωσιν] In prioribus Editt. ridicule legitur, κωμῳδίας μείωσιν: quod Portus bona fide *comœdiæ imminutionem* verterat. Sana, quam hic exhibuimus, lectio, non ſolum occurrit in MSS. Pariſ. ſed etiam apud ipſum Suidam infra v. Ἰδιώτης, v. Μεῖον, & v. Ὅλην ἐξεκέχυτο: ubi hic ipſe locus repetitur.

[8] Ἐν Ἐπιγράμματι] Anthol. lib. VI. cap. III. pag. 549.

ἀπὸ τοῦ ἔχεσθαι τῶν θεουσῶν νηῶν· ὁ καὶ ναυκράτης καλεῖται. ὁ [1] ἅγιος Βασίλειος περὶ τούτου φησίν.

ad philtra & judicia utuntur. Nomen autem inde accepit, quod navibus currentibus adhæreat, eaſque retineat: unde etiam ναυκράτης appellatus eſt; quaſi dicas, navis retentor. De hoc S. Baſilius verba facit.

Ἐχέπωλος. [2] ὁ ἔχων ἵππους.

Ἐχέτλη. τοῦ ἀρότρου τὸ κράτημα.

Ἔχετον. ἀντὶ τοῦ ἐχέτωσαν. δυϊκῶς. Καὶ λέγετον τοῦτο Τίμαιος καὶ Ἀναξιμένης, ἔχετον δὲ καὶ Κλείταρχον αὐτοῖς νοοῦντας ἐς μίαν καὶ τὴν αὐτήν. καὶ ἐχέτην, δυϊκῶς, ἀντὶ τοῦ εἶχον.

Ἔχετος. τύραννος ἀπηνὴς καὶ σκληρός. [3] Ὅμηρος.

Πέμψω σ' Ἤπειρόν δε, βαλὼν ἐν νηῒ μελαίνῃ,
Εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων,
Ὅς κ' ἀπὸ ῥῖνα τάμῃσι, καὶ οὔατα νηλέϊ χαλκῷ.

καὶ ἕτερος. [4] Ἐκπέμπεται δὲ ὁ Φῆστος, τὸν ποιητικὸν καὶ μυθώδη Ἔχετον, καὶ εἰ δή τις ἄλλος ἐκ Σικελίας ἢ Θετταλίας, [5] χρυσὸν ἀποδείξων καὶ πανήγυριν.

Ἐχέτω. κρατείτω. [6] Ἀριστοφάνης·

Ἐχέτω δὲ πνοιὰς νήνεμος αἰθήρ·
Κῦμα δὲ πόντου μὴ κελαδείτω
Γλαυκόν.

Ἐχέφρων. συνετός.

Ἔχει αὐτὸν ὁ τοῦ θανάτου ζόφος χαλινώσας. ἀντὶ τοῦ, τέθνηκεν.

Ἔχει ὁ ἀνὴρ γυναῖκα. ἔχεται δὲ ἡ γυνὴ ὑπὸ τοῦ ἀνδρός.

Ἐχειρώθη. ἐκρατήθη.

Ἔχεις [7] τι; ἐπὶ τῶν ἀγρευόντων [8] ἤτοι ὄφιν, ἢ ἰχθῦν. λέγεται δὲ τὸ ἔχεις τι; ἀντὶ τοῦ, εἴληφάς τι. συνεβούλευε γὰρ αὐτῷ ὁ Σωκράτης ὥσπερ [9] ἀναπτῆναι τὴν διάνοιαν, ἐάσαντα τὴν φροντίδα, τῇ τῶν ἀγρευόντων χρησάμενος λέξει. τοῖς γὰρ ἁλιεῦσι καὶ τοῖς ὀρνιθοθήραις οὕτω φασίν· Ἔχεις τι; ὁ δὲ γέρων φησί, Μὰ τὸν Δί', οὐδὲν ἔγωγε. οὐδὲν πάνυ; οὐδέν. πλὴν τὸ πέος ἐν τῇ δεξιᾷ. τουτέστι, τὸ αἰδοῖον. καὶ [10] μιμεῖσθαι τὸν δερμύλλοντα ἑαυτόν.

Ἐχεῖτο. ἐξεκέχυτο.

Ἐχηρώθησαν. ἀνδρῶν ἐστερήθησαν. ἐχήρευσαν.

Ἐχήρωσεν. ἐστέρησεν. Ὁ δὲ τῶν ἀγαθῶν τὴν βασιλείαν ἐχήρωσεν ἁπάντων.

Ἐχείδιον. τὸ ὀφείδιον.

Ἔχιδνα. ὄφις.

Ἐχινάς, Ἐχινάδος. ὄνομα νήσου.

Ἐχέπωλος. Equos habens.

Ἐχέτλη. Stiva.

Ἔχετον. Dualiter, pro ἐχέτωσαν. Habeant. Dicant hoc Timæus & Anaximenes, habeantque ſecum conſentientem Clitarchum. Et ἐχέτην, dualiter, pro εἶχον, habebant.

Ἔχετος. Echetus. Tyrannus ſævus & crudelis. Homerus: *Mittam te in Epirum, in navem nigram conjectum, ad Echetum Regem, communem mortalium perniciem: qui naſum tibi amputabit & aures ſævo ferro.* Et alius [inquit:] *Feſtus vero* [*in Aſiam*] *mittitur, qui crudelitate ſua effecturus erat, ut Homericus & fabuloſus ille Echetus, & ſi qui alii olim fuerunt in Sicilia & Theſſalia tyranni, cum eo collati, aurum & feſtivitas quædam viderentur.*

Ἐχέτω. Retineat. Teneat. Coerceat. Ariſtophanes: *Coerceat vero ventos tranquillus æther, fluctuſque glaucus maris ne reſonet.*

Ἐχέφρων. Prudens. Cordatus.

Ἔχει αὐτὸν ὁ τοῦ θαν. Mortis tenebræ eum vinctum tenent. Id eſt, mortuus eſt.

Ἔχει ὁ ἀνὴρ γυναῖκα. Vir habet uxorem. At uxor habetur a viro.

Ἐχειρώθη. Captus eſt. In poteſtatē redactus eſt.

Ἔχεις τι; Cepiſtine aliquid? De venatoribus dicitur, qui vel avem, vel piſcem ceperunt. Suadebat enim ei Socrates, ut mentem & meditationem velut ſuſpenderet, aucupum voce utens. Ex piſcatoribus enim & aucupibus vulgo quæri ſolet, *Habes ne aliquid?* Senex autem reſpondet: *Nihil, per Jovem.* Socr. *Nil prorſus?* Streps. *Nihil profecto, præter penem in dextra.* Imitabatur enim maſturbantem.

Ἐχεῖτο. Fundebatur. Effundebatur.

Ἐχηρώθησαν. Viduatæ ſunt. Viris orbatæ ſunt.

Ἐχήρωσεν. Viduavit. Privavit. Orbavit. *Ille vero regnum omnibus bonis privavit.*

Ἐχείδιον. Parva vipera.

Ἔχιδνα. Vipera.

Ἐχινάς. Nomen inſulæ. Echinas.

---

[1] Ὁ ἅγιος Βασίλειος περὶ τούτου φησ.] Homil. VII. in *Hexaemeron*, circa finem, ubi ſic inquit: Ὅταν δὲ ἀκούσῃς, ὅτι τὰ μέγιστα τῶν πλοίων ἠπλωμένοις ἱστίοις ἐξ οὐρίας φερόμενα τὸ μικρότατον ἰχθύδιον ἡ ἐχενηῒς οὕτω ῥᾳδίως ἵστησιν, ὥστε ἀκίνητον ἐπὶ πλεῖστον φυλάσσειν τὴν ναῦν ὥσπερ καταρριζωθεῖσαν ἐν τῷ πελάγει, ἆρ' οὐχὶ καὶ ἐν τῷ μικρῷ τούτῳ τὴν αὐτὴν τοῦ κτίσαντος δυνάμεως λαμβάνεις ἀπόδειξιν; Sed hanc fabulam de remora piſce, quam & Ælianus & alii in literas referre non dubitarunt, ratio & experientia ſatis refellunt.

[2] Ἐχέπωλος] Eſt vox Homerica Il. Ψ. v. 296.

[3] Ὅμηρος] Odyſſ. Σ. v. 83. 84. 85.

[4] Ἐκπέμπεται δὲ ὁ Φῆσ.] Scribe, ἐκπέμπεται δὲ ὁ Φῆστος εἰς τὴν Ἀσίαν, ut recte legitur infra v. Φῆστος, ubi monemus fragmentum hoc ex Eunapio depromptum eſſe. Cæterum, Portus a vero hujus loci ſenſu quam longiſſime aberravit, ut ex verſione ejus patet, quæ ſic ſe habet: *Emittit autem Feſtus poeticum & fabuloſum Echetum, & ſi quis alius hujuſmodi erat, ex Sicilia, vel Theſſalia, ſuum aurum & conventum & celebritatem oſtentaturus.* Præſtitiſſet ſane nullam hic dare verſionem, quam talibus ineptiis chartas conſpurcare. Vide noſtram verſionem, in qua verum hujus loci ſenſum expreſſimus.

[5] Χρυσὸν ἀποδείξων καὶ παν.] Senſus eſt is, quem in verſione expreſſimus. Græci enim, cum ſignificare volunt, rem aliquam alteri longe præferendam eſſe, dicere ſolent, eam *aurum* videri, ſi cum altera re comparetur. Proverbium hoc cum apud alios ſcriptores occurrit, tum etiam apud ipſum Suidam infra v. Μακρῷ, & ſupra v. Ἐπέκλυσεν, ubi vide quæ notavimus.

[6] Ἀριστοφάνης] *Theſmophor.* circa initium.

[7] Ἔχεις τι; ἐπὶ τῶν ἀγρευόντων ἤτοι ὄφ.] Ex Scholiaſta Ariſtophanis ad *Nubes*, pag. 168. (98. Ed. Baſ. *P.*)

[8] Ἤτοι ὄφιν] Lege, ἤτοι ὄρνιν, ut habet Enarrator Comici loco laudato.

[9] Ἀναπτῆναι] Scribe ἀναρτῆσαι, ut legitur apud Scholiaſtam Ariſtophanis.

[10] Καὶ μιμεῖσθαι τὸν δερμύλλ.] Locus hic eſt mutilus, quem ex Scholiaſta Comici ſupplebis.

Ἐχῖνος τὸν τόκον ἀναβάλλει. λέγεται ἐφ' ὧν τὸ ἀναβάλλεσθαι πρὸς χεῖρον γίνεται. καὶ γὰρ οἱ χερσαῖοι ἐχῖνοι δοκοῦσι κεντούμενοι ἀνέχειν τὸν τόκον· εἶθ' ὕστερον ὑπὸ τραχυτέρων τῶν ἐμβρύων κάκιον ἀπαλλάσσειν ἐν τῷ τόκῳ. ἐχῖνος δὲ καὶ τὸ ζῶον, καὶ ἡ γαστὴρ τοῦ βοός. ἐν [1] Ἐπιγράμματι·

Ὀξέσι λαχνήεντα δέμας κέντροισιν ἐχῖνον.

καὶ αὖθις·

Κάμαυλος [2] τὸν ἐχῖνον ἰδὼν ἐπὶ νῶτα φέροντα
Ῥᾶγας, ἀπέκτεινεν τῷδ' ἐπὶ θηλοπέδῳ.

Ἐχῖνος.

Τοῖς [3] δὲ Νηρεὺς τῶν ἐχίνων τοῖς σάλοις
Προβλεπτικὰς δίδωσιν ἐν βυθῷ κόρας,
Ὅπως φύγωσι πρὸ ζάλης τὰ τῆς ζάλης.

καὶ παροιμία· Πρὶν δὲ δύο ἐχῖνοι ἐς φιλίαν ἔλθοιεν. ὁ μὲν ἐκ πελάγους, ὁ δὲ ἐκ χέρσου. ἐπὶ τῶν ἀνομοίων.

Ἐχίνους. τοὺς χοιρογρύλλους.

Ἐχῖνος. [4] ἄγγος τι, εἰς ὃ τὰ γραμματεῖα τὰ πρὸς τὰς δίκας ἐτίθεντο. μνημονεύει Δημοσθένης τοῦ ἄγγους τούτου, ἀλλὰ καὶ Ἀριστοτέλης, καὶ Ἀριστοφάνης. ἦν δὲ καὶ πόλις, ἧς μνημονεύει Δημοσθένης ἐν ε' Φιλιππικῶν. ἔστι δέ τι καὶ ζῶον χερσαῖον, καὶ θαλάττιον ὄστρεον.

Ἐχῖνοι. [5] οἱ μὲν, χαλκοῖ· οἱ δὲ, ἐκ κεράμου· εἰς οὓς καθιᾶσιν οἱ διαιτηταὶ τὰ γραμματεῖα τῶν μαρτυριῶν, ἅ τινες ἐμαρτύρησαν, καὶ κατασημηνάμενοι μετὰ ταῦτα, εἰ ἐγκληθείη ἡ δίαιτα, τοῖς δικασταῖς ἐπεδίδουν.

Ἐχίων. ὄνομα κύριον. καὶ συστέλλει. ἦν δὲ ὠκύτατος ποσίν.

Ἔχις. εἶδος ὄφεως. ἀπὸ τοῦ κατέχειν· διότι μόνος τῶν ὄφεων οὐκ ὠοτοκεῖ, ἀλλὰ ζῳοτοκεῖ. ἡ δοτικὴ τῷ ἔχει. καὶ ἐχείδιον. λέγεται καὶ αἱμόῤῥους γένος ἔχεως, ἐν τοῖς πετρώδεσι χηραμοῖς ἔχον τὰς διατριβάς.

Ἐχθραντέος. [6] Σοφοκλῆς·

Ὅτ' ἐχθρὸς ἡμῖν, ἐς τοσόνδ' ἐχθραντέος,
Ὡς καὶ φιλήσων αὖθις. ἔς τε τὸν φίλον
Τοιαῦθ' ὑπουργῶν ὠφελεῖν βουλήσομαι,
Ὡς αἰὲν οὐ μενοῦντα.

Δεῖ, φησὶ, προσέχειν τοῖς ἐχθροῖς, ὡς αὖθις φίλοις ἐσομένοις· καὶ τοῖς φίλοις, ὡς ἐχθροῖς. συμμέτρως οὖν φησι χρῆσθαι τοῖς πράγμασι.

Ἐχθαίρει. αἰτιατικῇ. μισεῖ.

Ἔχθημα. μίσημα.

Ἔχθιον. ἐχθρότερον. Σοφοκλῆς·

Ἐχῖνος τὸν τ. *Erinaceus partum differt.* Dicitur de iis, qui aliquid malo ſuo differunt. Erinacei enim terreſtres, cum a fœtu pungi incipiunt, partum tamen differunt. Poſtea vero, cum fœtus aſperior evaſit, majore cum incommodo & moleſtia partu deſunguntur. Ἐχῖνος vero & erinaceum animal ſignificat, & ventrem bovis. In Epigrammate: *Acutis hirſutum aculeis corpus habentem erinaceum.* Et iterum: *Ruſticus erinaceum videns dorſo portantem uvas, hac in area interfecit.*

Ἐχῖνος. Erinaceus. *Nereus autem erinaceis in profundo maris oculos dat, quibus futurum prævidere queant, ut ante tempeſtatem tempeſtatis incommoda fugiant.* Et proverbium: *Prius vero duo erinacei amicitiam inter ſe ineant.* Alter nimirum marinus; alter vero terreſtris. Dicitur de iis, qui valde diſſimiles ſunt.

Ἐχίνους. Hyſtrices. Erinaceos.

Ἐχῖνος. Vas quoddam, ſive capſa, in qua inſtrumenta litis reponebantur. Ejus meminit Demoſthenes; itemque Ariſtoteles & Ariſtophanes. Erat etiam urbs, ſic appellata, cujus mentionem facit Demoſthenes in quinta Philippica. Sic etiam vocatur animal quoddam terreſtre; itemque oſtreum marinum.

Ἐχῖνοι. Echini, ſive capſæ judiciales. Harum aliæ erant æreæ, aliæ vero fictiles: in quas arbitri tabellas teſtimoniorum conjiciebant, eaſque poſtea, ſi quis arbitrium illud culparet, obſignatas judicibus tradebant.

Ἐχίων. Echion. Nomen proprium: quod corripit [penultimam.] Erat autem inſigni velocitate pedum præditus.

Ἔχις. Vipera. Sive genus ſerpentis: ſic dictum a κατέχειν, i. e. continere. Sola autem vipera inter ſerpentes non eſt ovipara, ſed vivipara. Dativus eſt τῷ ἔχει. Et ἐχείδιον, parva vipera. Eſt & αἱμόῤῥους genus viperæ, in ſaxoſis latibulis degens.

Ἐχθραντέος. Odio proſequendus. Sophocles: *Et inimicus nobis ita odio proſequendus eſt, ut qui rurſus amare nos poſſit. Et amicum ita opera & officiis meis juvabo, ut qui talis ſemper manſurus non ſit.* Oportet, inquit, inimicos ita odiſſe, ut qui amici rurſus futuri ſint: & amicos ita amare, ut qui aliquando poſſint eſſe inimici. Moderationem ergo in rebus ſervandam eſſe monet.

Ἐχθαίρει. Accuſativo jungitur. Odit.

Ἔχθημα. Odium.

Ἔχθιον. Odioſius. Magis inimicū. Sophocles:

---

[1] Ἐν Ἐπιγράμματι] Anthol. lib. vi. cap. vii. Epigr. iv. ut Portus obſervavit.

[2] Κάμαυλος τὸν ἐχ.] Et hoc diſtichum legitur Anthol. lib. vi. cap. vii. ut itidem Portus obſervaverat.

[3] Τοῖς δὲ Νηρεὺς τῶν ἐχίνων τοῖς σ.] Tres hi verſus Jambici leguntur apud Piſidem in Κοσμουργίᾳ, v. 1133. 1134. 1135. Verſus autem primus apud Suidam corruptus eſt, qui apud Piſidem ſic ſe habet:

Ποῖος δὲ Νηρεὺς τοῖς ἐχίνοις ἐνσάλοις.

Vox ultima in iſto verſu mihi non placet, pro qua ſi quis legendum cenſuerit τοὺς κάλος, me non habebit diſſentientem.

[4] Ἐχῖνος. ἄγγος τι, εἰς ὃ τὰ γραμματεῖα τὰ πρ.] Ex Harpocratione.

[5] Ἐχῖνοι. οἱ μὲν, χαλκ.] Ex Enarratore Comici ad *Veſpas*, p. 533. (362. Ed. Baſ. *P.*) Confer etiam Noſtrum ſupra v. Διαιτηταῖς.

[6] Σοφοκλῆς] *Ajace* pag. 41. ut Portus monuit. Cæterum, tam apud Sophoclem, quam hic apud Suidam verſus primus mendo laborat, quo ſenſus Tragici non parum obſcuratur. Nam pro, ὅτ' ἐχθρὸς ἡμῖν, leviſſima mutatione ſcribendum eſt, ὅ, τ' ἐχθρὸς ἡμῖν: quam lectionem in verſione ſecutus ſum. Confer Noſtrum ſupra v. Ἀνήρ, ubi idem locus Sophoclis legitur.

Βουλῆς γὰρ οὐδέν ἐστιν ἔχθιον κακῆς.
Τούτοις ἐγὼ ζῆν τοῖς νόμοις οὐ βούλομαι.

Ἔχθιστος. ἐχθρότατος.

Ἐχθοδοπόν.[1] ἐχθροποιόν.

Ἐχθόμενος. ἐχθρὸς, ἢ μισούμενος.

Ἔχθος. ἔχθρα. μῖσος.

Ἐχθραίνει. δοτικῇ. ἐχθρὸν ποιεῖ. καὶ ἐχθρεῦσαι. ἐχθροὺς γενέσθαι. ἐχθρεῦσαί φασιν ἀετὸν καὶ κάνθαρον, ἐκ τοῦ ἑκάτερον αὐτῶν θατέρου τὰ ᾠὰ διασπᾷν.

Ἐχθρὸς, καὶ ἐκδικητής. παρὰ τῷ Δαβὶδ ὁ Διάβολος.

Ἐχθρωδῶς. ἀπεχθῶς. κακῶς.

Ἐχθρῶν ἄδωρα δῶρα, κοὐκ ὀνήσιμα. ὁ Αἴας φησίν·

[2] Ἀλλ' εἶμι πρός τε λουτρὰ, καὶ παρακτίους
Λειμῶνας, ὡς ἂν λύμαθ' ἁγνίσας ἐμὰ,
Μῆνιν βαρεῖαν ἐξαλεύσωμαι Θεᾶς.
Μολὼν δὲ χῶρον, ἔνθ' ἂν ἀστιβῆ κίχω,
Κρύψω τόδ' ἔγχος τοὐμὸν ἔχθιστον βελῶν,
Γαίας ὀρύξας, ἔνθα μή τις ὄψεται,
Ἀλλ' αὐτὸ νὺξ ᾅδης τε σωζόντων κάτω.
Ἐγὼ γὰρ, ἐξ οὗ χειρὶ τοῦτ' ἐδεξάμην
Παρ' Ἕκτορος δώρημα δυσμενεστάτου,
Οὔπω τι κεδνὸν ἔσχον Ἀργείων πάρα.
Ἀλλ' ἔστ' ἀληθὴς ἡ βροτῶν παροιμία·
Ἐχθρῶν ἄδωρα δῶρα, κοὐκ ὀνήσιμα.
Τοιγὰρ τὸ λοιπὸν εἰσόμεσθα μὲν Θεοῖς
Εἴκειν· μαθησόμεσθα δ' Ἀτρείδας σέβειν.
Ἄρχοντές εἰσιν. ὥσθ' [3] ὑπεικτέον τιμῇ.
Καὶ γὰρ τὰ δεινὰ, καὶ τὰ καρτερώτατα
Τιμαῖς ὑπείκει. ---

Ἐχθροῖς[4] συνέσθειν, εἰς καταλλαγὴν φέρει.

Ἔχμα. τὸ στήριγμα.

Ἐχολώθησαν. ὠργίσθησαν.

Ἐχόμενα. Ὁ δὲ Πέρσης πολλὰ μὲν καὶ ἄλλα ἔδρασεν ἀσεβείας τε καὶ ὕβρεως ἐχόμενα, καὶ βάρβαρον ἀμαθίαν τε καὶ ἀπαιδευσίαν ὁμολογοῦντα. ἀντὶ τοῦ, ἀκολουθοῦντα, καὶ ἀντεχόμενα.

Ἐχόμενος. ἐγγὺς, ἢ κατέχων.

Ἔχοντας σιτί' ἡμερῶν τριῶν. Ἀριστοφάνης. ἀντὶ τοῦ, πολεμεῖν μέλλοντας. [5] οἱ γὰρ πολεμοῦντες πρὸς γ' ἡμέρας ὡρίζοντο παρὰ τῶν στρατηγῶν ἔχειν σιτία εἰς τὸν πόλεμον. ἐχορηγοῦντο δὲ αὐτὰ ἐκ τῶν δημοσίων.

Ἔχοντες. οἰκοῦντες.

Ἐχόντων. ἀντὶ τοῦ, ἐχέτωσαν. Ἐχόντων μὲν οὖν ὡς ἔχουσιν ἕκαστοι, καὶ ὥς τη ἑκάστῳ φίλον, κρινέτω.

Conſilio enim nihil eſt odioſius malo.
His ego vivere legibus nolo.

Ἔχθιστος. Inimiciſſimus. Odioſiſſimus.

Ἐχθοδοπόν. Quod odium & inimicitias conciliat.

Ἐχθόμενος. Inimicus. Vel odioſus.

Ἔχθος. Inimicitia. Odium.

Ἐχθραίνει, Dativo jungitur. Inimicum facit. Et ἐχθρεῦσαι. Inimicitias exercere. Ajunt inter aquilam & ſcarabæum hoſtile eſſe odium, quod alter alterius ova diſperdat.

Ἐχθρὸς, καὶ ἐκδικ. Inimicus, & ultor. Sic apud Davidem Diabolus vocatur.

Ἐχθρωδῶς. Inimice. Hoſtiliter. Male.

Ἐχθρῶν ἄδωρα δ. *Hoſtium dona infauſta ſunt & pernitioſa.* Ajax inquit: *Sed abeo ad lavacra & litoralia prata, ut a piaculo cædis me purgem, & ſic gravem iram evitem Deæ. Deinde, poſtquam in locum deſertum pervenero, ibi gladium iſtum, meorum telorum mihi inviſiſſimum, defodiam, ut nemo eum videat, ſed æternis tenebris conditus lateat. Mihi enim, ex quo ab Hectore inimiciſſimo donum hoc accepi, nullus honor a Græcis amplius habitus eſt. Sed verum eſt illud mortalium proverbium: Hoſtium dona infauſta ſunt & pernitioſa. Quamobrem poſthac ita nos comparabimus, ut & Diis cedamus, & Atridis honorem habeamus. Principes enim ſunt. Cedendum igitur illis eſt. Quidni? Nam & ferociſſima quæque & robuſtiſſima honoribus cedunt.*

Ἐχθροῖς συνέσθ. *Cum inimicis edere, reconciliationem ſignificat.*

Ἔχμα. Retinaculum. Fulcimentū. Fulcrū.

Ἐχολώθησαν. Irati ſunt.

Ἐχόμενα. Hærentia. Adhærentia. Conjuncta. *Perſa vero & multa alia perpetravit, cum impietate & inſolentia conjuncta, & quæ barbaram ejus imperitiam & feritatem aperte teſtarentur.*

Ἐχόμενος. Adhærens. Conjunctus. Vicinus. Vel, retinens.

Ἔχοντας σιτ. *Habentes commeatum trium dierum.* Ariſtophanes. Id eſt, militaturos. Milites enim ad bellum profecturi a ducibus jubebantur cibaria & commeatus trium dierum ſecum ferre: quæ ipſis e publico ſuppeditabantur.

Ἔχοντες. Inhabitantes. Incolentes.

Ἐχόντων. Pro ἐχέτωσαν. Habeant. *Singuli autem, ut habent, habeant, & ut cuique placet, ita judicent.*

---

[1] Ἐχθοδοπόν] Sic recte MS. Pariſ. A. At in prioribus Editt. contra literarum ſeriem legitur, ἐχθροδοπόν.

[2] Ἀλλ' εἶμι πρός τε λουτρὰ καὶ παρ.] Verſus hic, & ſequentes, leguntur apud Sophoclem *Ajace*, pag. 40. ut Portus monuit.

[3] Ὑπεικτέον τιμῇ] Apud Sophoclem locus hic ita legitur & diſtinguitur, ὑπεικτέον. τί μή; Sic etiam apud Suidam ſcribendum eſt. Nam τὸ τιμῇ priorem longam habet, & proinde propter metrum ſtare non poteſt.

[4] Ἐχθροῖς συνέσθειν, εἰς καταλλ.] Verſus hic ad ſomniorum interpretationem pertinet, qui etiam legitur apud Aſtrampſychum & Nicephorum. Sed prior pro καταλλαγὴν habet καταλλαγάς.

[5] Οἱ γὰρ πολεμοῦντες πρὸς γ' ἡμ.] Ariſtophanes *Equit.* pag. 350. (247. Ed. Baſ. *P.*)

Τούτοις ὁ μισθὸς τοῖς Ἀλωπεκίοισι τοῦ;
Ἐγὼ πορεῶ εἰς τοῦτον ἡμερῶν τριῶν.

Scholiaſta ad illum locum: Εἰώθασιν εἰς τὸν πόλεμον ἐξιόντες οἱ στρατιῶται λαμβάνειν τροφὴν ἡμερῶν τριῶν. Locus eſt noſtro huic plane ſimilis.

Ἔχουν. ἐχώννυον. Κἀκ τούτου οἱ μὲν ἔχουν, οἱ δὲ τοῖς βάλλουσιν ἀντεμάχοντο. καὶ αὖθις· Καὶ [1]χώματα δύο ἑκατέρωθεν ἔχουν, ὡς πρὸς τὸ τεῖχος. ξύνδεσμος δὲ τοῦ χώματος αἱ πλίνθοι ἐγένοντο, αἱ ἐκ τῶν οἰκιῶν.

Ἐχώλαναν. [2]Ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν. ἐξέκλιναν ἀπὸ τῆς εὐθύτητος.

Ἔχραον. μετὰ βλάβης ἐπῆλθον.

Ἐχρηματίσθη. χρησμὸν ἐδέξατο. καὶ ἐχρήσθη, ὁμοίως.

Ἐχρῆν. ἔπρεπεν. ἥρμοζεν.

Ἔχρησεν. ἐμαντεύσατο. ἢ ἐδανείσατο.

Ἔχριμπτ᾽[3] ἀεί. ἐπλησίαζε. καὶ ἔχριμψαν.

Ἔχρισεν. ἤλειψεν.

Ἐχρωματίσθη. χρῶμα ἐδέξατο.

Ἐχύμισαν. ἀντὶ τοῦ, ἔγχυμον ἐποίησαν. [4]Ἀριστοφάνης Θεσμοφοριαζούσαις· Ἀνακρέων, Ἀλκαῖος, οἳ περὶ ἁρμονίαν ἐχύμισαν.

Ἐχύρωμα. ἀσφάλεια. Ὁ δὲ [5]σκόλοπας ὀξεῖς ἐπιφερόμενος, ἐνάλλεται τῷ ἐχυρώματι, καὶ μετεωροπορεῖ.

Ἐχυρῶς. [6]ἰσχυρῶς. ἢ ἀσφαλῶς.

Ἐχύρωσεν. ἰσχυροποίησεν.

Ἐχυρώτατον. ἀσφαλέστατον.

Ἕψα. ἑφθὸν ἐποίει.

Ἑψανόν. ἁπαλόν. καὶ ἀτέραμνον, τὸ δυσέψανον. οὕτω Πλάτων.

Ἕψεαι. ἀκολουθήσεις.

Ἕψημα. ὁ ἀπό τινος ἑψηθεὶς ζωμός.

Ἕψεται. ἀκολουθήσει. ἢ ἀκολουθεῖ.

Ἑψήσας. καὶ ἑψημένος.

Ἑψητήριον. ἡ λοπάς.

Ἑψητόν. καὶ ἑψητὸς, ὁ ἑψημένος.

Ἔψηχον. κατέμασσον. ἔτριβον. ἔξεον. Οἱ μὲν τοὺς ἵππους ἔψηχον.

Ἐψία. ἡ ὁμιλία.

Ἕψια.[7] τὰ ἀπὸ λόγων παίγνια. καὶ Φιλέψιος, ὁ φιλοπαίγμων. ψιλουμένου δὲ, φιλολόγος ἐστὶν ὁ Φιλέψιος.

Ἑψιάασθων.[8] παιζέτωσαν. καὶ ἑψιᾶται, παίζει.

Ἑψιατέον. παικτέον. δεῖ παίζειν.

Ἐψιάπιμον. γνωστὸν παίγνιον.

Ἐψιλωμένοι. γεγυμνωμένοι.

Ἔχουν. Aggerem exſtruebant. Terram aggerebant. *Poſtea vero, alii aggerem educebant; alii vero contra eos, qui tela mittebant, pugnabant.* Et iterum: *Et utrinque duos aggeres excitarunt, quibus murus oppugnaretur. Vinculum autem aggeris fuerunt lateres ex ædibus detracti.*

Ἐχώλαναν. Claudicarunt. *Claudicarunt a ſemitis ſuis.* Id eſt, a recta via declinarunt.

Ἔχραον. Infeſto animo invaſerunt.

Ἐχρηματίσθη. Oraculum accepit. Et ἐχρήσθη, idem.

Ἐχρῆν. Oportebat. Decebat.

Ἔχρησεν. Oraculum reddidit. Vel, fœneratus eſt.

Ἔχριμπτ᾽ ἀεί. Accedebat. Appropinquabat. Et ἔχριμψαν. Appropinquarunt.

Ἔχρισεν. Unxit.

Ἐχρωματίσθη. Colore illitus eſt.

Ἐχύμισαν. Succulentam & ſapidam effecerunt. [Metaphorice, gratiam & venuſtatem conciliarunt.] Ariſtophanes *Theſmophoriazuſis: Anacreon & Alcæus, qui numeris muſicis gratiam & venuſtatem conciliarunt.*

Ἐχύρωμα. Munimentum. *Ille autem palos acutos ſecum ferens, in munimentum inſilit, & in ſublime ſcandit.*

Ἐχυρῶς. Valide. Firmiter. Vel tuto.

Ἐχύρωσεν. Munivit. Firmum fecit.

Ἐχυρώτατον. Munitiſſimum. Tutiſſimum.

Ἕψα. Elixabat.

Ἑψανόν. Coctu facile. Tenerum. Et δυσέψανον. Durum. Sive, quod difficulter coqui & igne molliri poteſt. Sic Plato.

Ἕψεαι. Sequeris.

Ἕψημα. Jus ex aliquo cibo excoctum.

Ἕψεται. Sequetur. Vel, ſequitur.

Ἑψήσας. Qui coxit. Qui elixavit. Et ἑψημένος. Coctus. Elixus.

Ἑψητήριον. Olla, vel patina.

Ἑψητόν. Coctum. Elixum. Et ἑψητός. Coctus.

Ἔψηχον. Abſtergebant. Fricabant. Radebant. *Alii quidem equos abſtergebant.*

Ἐψία. Colloquium.

Ἕψια. Sermones ludicri. Et Φιλέψιος, qui verborum ludicra amat. Cum vero Φιλέψιος tenui notatur, ſignificat eum, qui orationis amans eſt.

Ἑψιάασθων. Ludant. Et ἑψιᾶται. Ludit.

Ἑψιατέον. Ludendum eſt.

Ἐψιάπιμον. Notum ludicrum.

Ἐψιλωμένοι. Nudati.

---

[1] Καὶ χώματα δύο ἑκατ.] Thucydides lib. II. cap. LXXV. Ὁρῶντες τὸ χῶμα αἰρόμενον, ξύλινον τεῖχος ξυνθέντες, καὶ ἐπιστήσαντες τῷ ἑαυτῶν τείχει, ᾗ προσεχοῦτο, ἐσῳκοδόμουν ἐς αὐτὸ πλίνθους, ἐκ τῶν ἐγγὺς οἰκιῶν καθαιροῦντες. ξύνδεσμος δὲ ἦν αὐτοῖς τὰ ξύλα &c. Locus hic eſt noſtro quodammodo ſimilis, ut Suidas, nonnullis mutatis, ſua inde deſumpſiſſe videatur.

[2] Ἐχώλαναν ἀπὸ τῶν τρ.] Hæc ſunt verba Davidis Pſalm. XVII. v. 46.

[3] Ἔχριμπτ᾽ ἀεί] Locus integer, ad quem Suidas hic reſpexit, extat apud Sophoclem *Electr.* pag. 113. ut Portus monuit.

[4] Ἀριστοφάνης Θεσμοφοριαζούσαις] Pag. 775. (515. Ed. Baſ. P.)

[5] Ὁ δὲ σκόλοπας ὀξεῖς ἐπ.] Hæc ſunt verba Theophylacti Simocattæ lib. II. cap. XVIII.

[6] Ἐχυρῶς] Alias, ὀχυρῶς, & ὠχύρωσεν.

[7] Ἕψια] Potius ἔψια, cum ſpiritu tenui. Scholiaſta Apollonii Rhodii ad lib. I. v. 459. Ἐψιόωντο. παρὰ τὴν ἐψίαν. ἥ ἐστι διὰ λόγων παιδιά· οἷον ἐπιστία τις οὖσα· παρὰ τὸ ἔπος. διὸ καὶ ψιλοῦται. ὅτι δὲ δασύνεται, ἀντὶ τοῦ ἀκολουθοῦσιν.

[8] Ἑψιάασθων] Imo ἐψιάασθων, & ἐψιατέον, cum ſpiritu tenui. Ἑψιάομαι enim, cum ſpiritu aſpero, ſignificat ſequor. Vide notam præcedentem.

Ἔψιμον. τὸ παίγνιον.	Ἔψιμον. Ludicrum.
Ἔψισαν. ἐψώμισαν.	Ἔψισαν. Cibum alicui præbuerunt. Nutriverunt.
Ἑψόμενος. ἀκολουθήσων. ἕψων.	Ἑψόμενος, & ἕψων. Sequuturus.
Ἕψοντα κυάμους.	Ἕψοντα κυάμους. Elixantem fabas.
Ἑψῶν. τοῦτο βαρύνεται, καὶ περισπᾶται. ὁ ἐνεστὼς, ἑψῶ, ἑψήσω. Ὥσπερ οἱ τὴν χρυσῖτιν γῆν ἑψοῦντες.	Ἑψῶν. Est verbum barytonum & circumflexum. Præſens eſt ἑψῶ, ήσω. *Quemadmodum qui arenam auream coquunt.*
Ἐψώμισεν. ἔθρεψεν.	Ἐψώμισεν. Nutrivit.
Ἔψον, καὶ ἀπέψον, τὸ ἔψιον, διὰ τοῦ ο μικροῦ. Ἀπέψων δὲ, τὸ ἀπεσπόγγιζον, διὰ τοῦ ω μεγάλου. [1] Ἐψῶν δὲ, ἀντὶ τοῦ, κνηθόμενος.	Ἔψον, & ἀπέψον, & ἔψιον, per ο ſcribuntur. At ἀπέψων, abſtergebant, per ω. Ἐψῶν vero, qui ſcalpit, qui fricat.
Ἔψυρεν. [2] ἀπεδίωξεν.	Ἔψυρεν. Abegit. Repulit.
Ἐψυχαγώγησεν. ἐπήλπισε. παρεμυθήσατο. ἢ ψυχὰς διὰ μαγγανείας τῶν τελευτησάντων ἀνήγαγεν.	Ἐψυχαγώγησεν. Spe lactavit. Spe implevit. Conſolatus eſt. Vel animas defunctorum arte magica ex Inferis evocavit.
Ἐψύχθη. ἀπεπαύθη. ἠρέμησεν. ——— [3] Ἄγρια δ' αὐτοῦ Ἐψύχθη χαλεπῆς [4] πνεύματα θευφορίης.	Ἐψύχθη. Refrixit. Sedatus eſt. Quievit. Ceſſavit. [In Epigrammate:] *Furor autem ejus fanaticus reſedit.*

---

[1] Ἑψῶν] Imo, ψῶν, a ψάω.

[2] Ἔψυρεν. ἀπεδ.] Heſychius: Ἔψυξεν. ἀπέπνευσεν. ἀπεδίωξεν. Sic etiam apud Suidam ſcripſerim.

[3] Ἄγρια δ' αὐτοῦ ἐψύχθη κτλ.] Verba hæc decerpta ſunt ex eleganti Epigrammate Dioſcoridis in Gallum, ſive ſacerdotem Deæ Cybeles, leonem ſtrepitu tympani fugantem: quod Epigramma ex cod. MS. Anthologiæ ineditæ integrum exhibemus infra v. Θαλάμη.

[4] Πνεύματα θευφορίης] In Anthologia inedita legitur, πνεῦμ' ὑπὸ θευφορίης. Sed minus recte. Lectio enim Suidæ & ſenſui & conſtructioni magis congruit. Confer Heinſium in *Ariſtarcho*, pag. 203. qui hunc ipſum locum Epigrammatis ex Anthologia inedita adducens, in codice ſuo ſcriptum invenit, πνεύματι θευφορίης: ſed quæ lectio propter ſenſum ſtare non poteſt.